Ἄγροικος [5] ἐξ ἄστεος. Οὐκ ἀργῶς τῇ παραθέσει νῦν ἐχρήσατο. Οὐ γὰρ ὀνειδίσαι βουλόμενος, ἑαυτὸν ἄγροικον καλεῖ· ἀνόητον γὰρ καὶ ἄγροικον παντάπασι διαβάλλειν ἑαυτόν· ἀλλὰ πρῶτον μὲν διὰ τούτου λεληθότως τὴν εὐπορίαν [6] περιΐστησιν τὴν αὐτοῦ. Οὐ γὰρ ἄν, εἰ μὴ πάνυ ἦν πλούσιος, ἐπεδικάσατο ἂν αὐτοῦ ἡ γυνή, καὶ τῇ δόξῃ [7] αὐχοῦσα τοῦ γένους, καὶ τῇ ἐν ἄστει διαίτῃ. Ἀδοξεῖν γὰρ εἰώθαμεν ἐπὶ τοῖς ἀγροίκοις. Ἔπειτα δὲ κἀκείνην θεραπεύει τὴν ἀντίθεσιν, τῷ ὑποτετάχθαι αὐτὸν τῇ γυναικί. Δεσπόζειν γὰρ εἰώθασιν οἱ ἄνδρες τῶν γυναικῶν. Ὁ δὲ τῇ ἀντιπαραθέσει καὶ τοῦτο ἐπιστώσατο, φήσας ἄγροικον αὐτὸν εἶναι, τὴν δὲ γυναῖκα πολιτικήν. Θαυμαστὸν γὰρ οὐδέν, εἰ ἄνθρωπον ἰδιοπράγμονα καὶ μέτριον τοὺς τρόπους, διὰ τὴν ἐπὶ τῆς ἀγροικίας δίαιταν, γύναιον ὑπέταξε πολιτικὸν καὶ κατεδουλώσατο.

8. Ar. Equit. 41. ubi ἀκράχολος legend.

Ἄγροικος [8] ὀργήν. Φιλόδικος. ἀκρόχολος. εἰς ὀργὴν εὔκολος. Ἀριστοφάνης· Νῷν γάρ ἐστι δεσπότης ἄγροικος ὀργήν. καὶ Ἀγροίτης, ὁ ἄγριος.

Ἀγροίκου μὴ καταφρόνει ῥήτορος. Ὅτι μηδὲ τῶν εὐτελῶν χρὴ καταφρονεῖν.

Ἀγροιλῆθεν. [9] Ἀγροίλη δῆμός ἐστι τῆς φυλῆς Ἐ-

Ἄγροφον. Montanum.

Ἀγρώσσω. Venor. Et Ἀγρῶσται, Venatores, ab ἀγρώσσω. Homerus: *Piſces venans.*

Ἀγροῦ πηγή. Agri fons. Dicitur de aſſiduis, & conſtanter alicui operi aſſidentibus.

Ἀγρωνίδης. Agronides. Agronis filius.

Ἄγρωστις. Agroſtis. Genus herbæ, quæ communiter Ἀγρία vocatur.

Ἀγροικίζω. Ruſtice me gero. Et Ἄγροικος, Amens, Moroſus, Durus & Indoctus: vel, qui ruri vivit. Per metaphoram vero Ἀγροικίαν quidam definiunt, duritiem morum. Durities enim proprie de corporibus dicitur.

Ἄγροικος ἐξ ἄστεος. Ruſticus [uxorem ducit] ex urbe. Non otioſe iſta comparatione nunc eſt uſus. Haud enim ſe ipſe vituperare volens, ſe appellat ruſticum (ſtultum enim eſt & ineptum, ſe ipſum vituperare): ſed primum quidem eo ipſo tacite ſuam opulentiam declarat. Niſi enim valde dives fuiſſet, haud ſane ipſi nupſiſſet uxor iſta, & ſplendore natalium, & urbanæ vitæ deliciis ſuperbiens. Nam ob parentes ruſticos contemni ſolemus. Deinde vero, oppoſitionem iſtam mollit, eo quod ſe uxori obedire oſtendat; cum alias viri uxoribus imperare ſoleant. Ille vero oppoſitione iſta ejus rei fidem fecit, dicens, ſe eſſe ruſticum; uxorem vero, urbanam. Non enim mirum eſt, ſi hominem minime curioſum, & modeſtum, & vitæ ruſticæ aſſuetum, muliercula urbana in ſervitutem redigat, & ſibi obſequentem reddat.

Ἄγροικος ὀργήν. Litium amans. Valde iracundus. Ad iram pronus. Ariſtophanes: *Nobis enim eſt dominus valde iracundus.* Et Ἀγροίτης, ferus.

Ἀγροίκου μὴ καταφρόνει ῥήτορος. Ruſticum ne contemne oratorem. Senſus eſt, ne viles quidem homines contemnendos eſſe.

Ἀγροιλῆθεν. Agroele eſt populus Tribus E-

---

[1] Καὶ ἀγρῶσται] Schol. Apollonii Rhodii (quem Sophoclem vulgo appellant) ad v. 175. Lib. IV. Argonauticorum: Ἀγρῶσται, οἱ κυνηγοί. ἀπὸ τοῦ ἀγρώσσω ῥήματος πέπτωκεν. Ὅμηρος· Ἰχθῦς ἀγρώσσων πυκινὰ πτερὰ δεύεται ἅλμῃ. Quæ ſimillima prorſus ſunt iis, quæ Suidas hoc loco adducit. Cæterum, verſus Homeri, quem Scholiaſta Apollonii & Suidas citant, exſtat Odyſſ. E. v. 53.

[2] Ἰχθῦς ἀγρώσσων] Quæ in vulgatis Edit. ſequuntur, καὶ αὖθις. Ἄλλως τ' ἄμουσον &c. ſupra etiam leguntur, v. Ἀγρεία, & v. Ἀγρεστία; eademque ad hunc locum nullatenus pertinent: quæ ratio eſt, quare ea hic inducenda putaverim, præſertim cum & partem eorum in MSS. deeſſe cernerem.

[3] Ἀγροῦ πηγή] In 2 MSS. ſcriptum reperi πυγή, de qua lectione, quam veriorem puto, cogitent eruditi. In Vaticana Proverbiorum Appendice, in qua proverbium hoc paulo prolixius exponitur, legitur etiam πηγή, ut in vulgatis Edit. Suidæ. Cæterum, adagium hoc omiſit Schottus in Collectione proverbiorum, quæ ex Suida excerpſit, & una cum aliis paroemiographis edidit Antwerp. 1612. in 4.

[4] Ἡ κοινῶς ἀγρία] Schol. Theocriti, Idyll. XIII. v. 42. ad verba illa Poetæ,

Εἰλιτενὴς ἄγρωστις

Ἡ συνεστραμμένη. καθὸ εἰλεῖται ἐπὶ μῆκος, καὶ περιπλέκεται τοῖς φυτοῖς κισσοειδῶς. ἥτις παρὰ τοῖς γεωργοῖς καλεῖται ΑΓΡΙΑ.

5. Ar. Nub. 43.

[5] Ἄγροικος ἐξ ἄστεος] Ariſtophanes in *Nubibus*. pag. 61. 3.

Ἐμοὶ γὰρ ἦν ἄγροικος ἥδιστος βίος.
Mihi enim erat ruſtica jucundiſſima vita.

Et paulo poſt ſubjicitur,

Ἔπειτ' ἔγημα Μεγακλέους, τοῦ Μεγακλέους
Ἀδελφιδῆν, ἄγροικος ὤν, ἐξ ἄστεος.
Deinde uxorem duxi Megaclis, illius Megaclis
Sororis filiam, ruſticus urbanam.

Conſule Græca Scholia, quæ Suidas ad verbum fere deſcripſit. Eſt tamen in Scholiis aliqua lectionis varietas. *P.*

[6] Περιΐστησιν] Apud Scholiaſtam legitur, δείκνυσιν.

[7] Αὐχοῦσα] In Edit. Baſileenſi & Genevenſi legitur καυχοῦσα; cui lectioni alteram merito prætuli, quippe quæ non ſolum in MSS. ſed etiam Scholiaſta Ariſtophanis, & Edit. Mediolanenſi reperitur.

[8] Ἄγροικος ὀργήν] Ariſtophanes in *Equitibus*. pag. 193. † v. 40. ita ſcribit:

Λέγοιμ' ἂν ἤδη. νῷν γάρ ἐστι δεσπότης
Ἄγροικος ὀργήν. κυαμοτρώξ. ἀκράχολος.

Scholia conſule, unde pleraque Suidas deſumpſit. Illic docetur, quis dicatur ἄγροικος ὀργήν, quis ἄγριος, quis κυαμοτρώξ, quis ἀκράχολος. *P.* † Cave putes, voces φιλόδικος & ἀκράχολος eſſe interpretationes τοῦ Ἄγροικος ὀργήν. Nam φιλόδικος quidem eſt expoſitio vocis κυαμοτρώξ, quæ apud Ariſtophanem poſt Ἄγροικος ὀργὴν legitur. Ἀκράχολος vero eſt vox ipſius Poetæ, quæ exponitur per ea, quæ ſequuntur, εἰς ὀργὴν εὔκολος. Apparet ergo, τὸ Ἄγροικος ὀργήν, quod eſt articuli caput, interpretatione carere, & reliqua nullo judicio loco huic addita eſſe, utpote nihil ad rem pertinentia: quo quidem nomine Suidas, vel quiſquis eſt Lexici hujus compilator, merito reprehendendus eſt.

[9] Ἀγροιλῆθεν] Vide Harpocrationem v. Ἀγρύλη. & Meurſ. *de Populis Attica*, v. Ἀγραύλη.

Ἐρεχθηΐδος. ὁ δὲ δημότης πάλαι ἐλέγετο Ἀγροιλεύς.

Ἀγροιώτης. ὁ γεωργικὸς λεώς. ὁ ἐν ἀγρῷ.

Ἀγροιώτᾳ[1] τῷδε μονοστόρθυγι Πριήπῳ.

Στόρθυγξ[2] γὰρ, τὸ ἄκρον τοῦ δόρατος, ἢ τὸ τοῦ βέλους σιδήρειον. Θηλυκῶς δὲ ἀγροιῶτις, διὰ τοῦ ι.

Ἄγοι.[3] πολλὰ σημαίνει. Ἰσαῖος δὲ ἀντὶ τοῦ φέρειν, καὶ ἐνάγειν, καὶ ἕλκειν ἔλαβεν. Ἔβλαψε γάρ με, φησὶ, Ξενοκλῆς[4] ἀφελόμενος Εὐμάθην εἰς ἐλευθερίαν, ἄγοντος ἐμοῦ εἰς δουλείαν.† Ἀντιφῶν δὲ τὸ ἄγοι ἀντὶ τοῦ ἡγοῖτο παρείληφε. Φησὶ γὰρ ἐν τῷ περὶ Ἀληθείας· Τοὺς νόμους μεγάλως ἄγοι.

...Spaan de
...phonte in
...h. Or. Graec.
...XIV. p. 825

Ἀγυιαί. ἄμφοδα. ῥῦμαι. ἢ ἐπιμήκεις ὁδοί. παρὰ τὸ μὴ ἔχειν πως γυῖα, καὶ μέλη, καὶ κάμψεις. Τὰ δὲ ἄμφοδα ἔχουσιν ἑκατέρωθεν διεξόδους, καὶ ταύτῃ διαφέρουσιν. Ἀγυιᾶς δὲ ἔνιοι μὲν ὀξύνουσι. Θηλυκῶς δὲ χρώμενοι, οἷον τὰς ὁδούς. βέλτιον δὲ περισπᾷν, ὡς ἀπὸ τοῦ ἀγυιέας.[5] Ἀγυιεύς δέ ἐστι, κίων εἰς ὀξὺ λήγων, ὃν ἱστᾶσι πρὸ τῶν θυρῶν. ἰδίους δέ φασιν αὐτοὺς εἶναι Ἀπόλλωνος· οἱ δὲ, Διονύσου· οἱ δὲ, ἀμφοῖν. Ἔστιν οὖν τὸ ὁλόκληρον ἀγυιεύς· καὶ ἡ αἰτιατικὴ, ἀγυιέας, ἐν συναλοιφῇ δὲ, ἀγυιᾶς. ἔστι δὲ ἴδιον Δωριέων. Εἶεν δ' ἂν οἱ παρὰ τοῖς Ἀττικοῖς λεγόμενοι[6] ἀγυιεῖς, οἱ πρὸ τῶν οἰκιῶν βωμοί.[7] ὡς Σοφοκλῆς μετάγων τὰ Ἀθηναίων ἔθη εἰς Τροίαν, φησί·

5. Schol. Ar.
Vesp. 870

7. in Laoco-
onte. ap.
Brunck.
Fr. Soph.
p. 20

Λάμπει[8] δ' ἀγυιεὺς βωμὸς ἀτμίζων πυρὶ
Σμύρνης σταλαγμοὺς βαρβάρους εὐοσμίας.

καὶ Ἀγυιεὺς, ὁ πρὸ τῶν αὐλίων θυρῶν κωνοειδὴς κίων, ἱερὸς Ἀπόλλωνος. καὶ αὐτὸς θεός. Φερεκράτης Κραπατάλοις·

Ὦ δέσποτ' Ἀγυιεῦ, ταῦτα σὺ μέμνησό μου.

Ἀγυιάν. τὸν στενωπόν. Ξενοφῶν. καὶ ὅλως, πολλὰ τὰ γλωσσηματικὰ παρ' αὐτῷ.

Ἀγύλαιος. ὄνομα κύριον.

Ἀγύρηνα. πόλις Σικελίας. τὸ ἐθνικὸν, Ἀγυρηναῖος. Διονύσιος δὲ, τὸ Ἀγύριον ἔφη.

Ἀγύριος.[9] ὄνομα κύριον. ὃς ἐπὶ μαλακίᾳ διεβέ-

rechtheidis, cujus popularis olim dicebatur Agrœleus.

Ἀγροιώτης. Ruſticus populus, ſive, ruri agens. *Ruſtico huic & unum ſpiculum habenti Priapo.* Στόρθυγξ enim ſignificat extremam haſtæ partem, vel teli ſpiculum ferreum. Fœminino vero genere dicitur Ἀγροιῶτις, per ι.

Ἄγοι. Multa ſignificat. Iſæus vero ſumpſit pro, ferre, ducere, & trahere. *Nocuit enim mihi,* inquit, *Xenocles, aſſerens Eumathem in libertatem, me in ſervitutem eum abducente.* Antipho autem τὸ ἄγοι accepit pro, ducat, vel, exiſtimet. Nam in Tractatu *de Veritate* inquit: *Leges in magno pretio habeat.*

+Antiphon Sophista.

Ἀγυιαί. Viæ, Vici, vel, longæ viæ: inde ita dictæ, quod nulla quaſi membra, nec flexus ullos habeant. Ἄμφοδα vero utrinque habent exitus, & hoc differunt ab ἀγυιαῖς. Vocem autem ἀγυιᾶς nonnulli acuunt, genere fœminino ea utentes, pro ὁδοὺς, i. e. vias. Melius autem eſt, eam circumflectere, utpote ſic dictam pro ἀγυιέας. Ἀγυιεὺς autem eſt columna in acutum deſinens, quam ante fores ſtatuunt. Dicunt nonnulli, eas Apollini eſſe ſacras; alii, Baccho; alii vero, utrique. Integrum igitur vocabulum eſt, ἀγυιεὺς; & accuſativus ἀγυιέας, unde per ſynalœphen fit ἀγυιᾶς. Eſt autem Dorum proprium. Ἀγυιεῖς vero, ab Atticis ita vocati, poſſunt dici fuiſſe aræ, ante ædes collocari ſolitæ: ut Sophocles, Athenienſium ritus ad Trojam transferens, ait:

Lucet vero igne ara, præ foribus ædium collocata,
Myrrhæ barbaricæ ſuaviter olentis fumum exhalans.

Et Ἀγυιεὺς vocatur columna in conum aſſurgens, & ante veſtibuli fores collocari ſolita, quæ Apollini ſacra eſt. Et ipſe Apollo [ſic vocatur.] Pherecrates *Crapatalis: O Domine Apollo, ob hæc memento mei.*

Ἀγυιάν. Angiportum. Xenophon. Apud eum enim multæ gloſſæ, ſive voces obſcuræ, occurrunt.

Xenophon K.Π.Ε΄. p. 151.
Pollux. IX 35. Vol. II. p. 1000. ubi in not. locus Xenophontis citatur. —
Conf. Zeunius in loc. p. 216.

Ἀγύλαιος. Agylæus. Nomen proprium.

Ἀγύρινα. Agyrena. Urbs Siciliæ. Gentile, Agyrenæus. Dionyſius vero dixit Agyrium.

Ἀγύριος. Agyrius. Nomen proprium viri,

---

[1] Ἀγροιώτᾳ.] Epigrammatum lib. VI. pag. 430. ſic iſta ſcribuntur, & locus integer hic eſt:

Ἀγροιώτῃ τῷδε μονοστόρθυγι Πριήπῳ
Θῆκεν ὁ καρποφύλαξ δενδρειακὴν θυσίαν.

Agreſti huic unicum habenti ſpiculum Priapo
Fructuum cuſtos arboreum fecit ſacrificium. P.

V. 40.

[2] Στόρθυγξ γὰρ, τὸ ἄκρον τοῦ δόρατος, ἢ τὸ τοῦ βέλους σιδήρειον] Hæc ſic in omnibus Edit. leguntur. Eadem autem deſunt in 2. MSS. Paris. & in uno ad marginem ſcripta leguntur. Unde apparet, verba iſta eſſe gloſſema, & ex margine in textum irrepſiſſe.

[3] Ἄγοι. πολλὰ σημ.] Eadem legas apud Harpocrationem v. Ἄγοι. ubi vide Valeſium.

[4] Ἀφελόμενος] Græci aſſerere in libertatem vocant ἀφαιρεῖσθαι εἰς ἐλευθερίαν. Harpocratio: Ἀφαίρεσις, ἰδίως λέγεται ἡ εἰς ἐλευθερίαν. i. e. Ἀφαίρεσις, *proprie dicitur aſſertio in libertatem.* Pro eodem etiam dicebant ἐξαιρεῖσθαι & ἐξαίρεσις, teſtibus Harpocratione & Suida, v. Ἐξαιρέσεως δίκη.

[5] Ἀγυιεὺς δέ ἐστι] Totus hic locus ſumptus eſt ex Schol. Ariſtoph. ad *Veſpas*, pag. 493.+ Vide etiam Harpocrationem, v. Ἀγυιᾶς.

+V. 870

[6] Ἀγυιεῖς, οἱ πρὸ τῶν οἰκιῶν βωμοί] Helladius Bezantinous apud Photium, Cod. CCLXXIX. Τὸν Λοξίαν γὰρ προσεκύνουν, ὃν πρὸ τῶν θυρῶν ἕκαστος ἱδρύοντο· καὶ πάλιν βωμὸν παρ' αὐτῷ στρογγύλον ποιοῦντες, καὶ μυρρίναις στέφοντες, ἵσταντο οἱ παριόντες. τὸν δὲ βωμὸν ἐκεῖνον, ἀγυιὰν Λοξίαν ἐκάλουν, τὴν τοῦ παρ' αὐτοῖς Θεοῦ προσηγορίαν νέμοντες τῷ βωμῷ. ad quem locum vide Meurſium. Huc pertinet illud Heſychii: Προστατήριος. τὸν Ἀπόλλωνα οὕτω λέγουσι, παρόσον πρὸ τῶν θυρῶν αὐτὸν ἀφιδρυόντο.

[7] Ὡς Σοφοκλῆς] In fabula Laocoonte, ut nos docet Harpocratio.

[8] Λάμπει δ' ἀγυιεὺς βωμός] Solebant veteres in aris ἀγυιεῦσι, ſive ante fores ante ædium collocatis, odores incendere, vel victimas immolare, ut lætum nuntium a Diis impetrarent. Ariſtoph. *Equitibus*, p. 361.

Τίν' ἔχων φήμην ἀγαθὴν ἥκεις; ἐφ' ὅτῳ κνισῶμεν ἀγυιάς.

Ubi Scholiaſtes inquit: Ἔθυον γὰρ περὶ τῶν εὐαγγελίων πρὸ τῶν πυλῶν ἕκαστος. Ἀγυιᾶς δὲ, τοὺς ἀγυιοὺς θεούς. ἀντὶ τοῦ θυσίας ἐμπιπλοῦμεν τοῖς θεοῖς. Et ibidem: Ἔθος ἦν τοῖς ἐν ἀγυιαῖς ἱσταμένοις θεοῖς ἐπὶ ταῖς ἐρχομέναις ἀγγελίαις θύειν. ὡς ἂν εἰ ἀγαθαὶ εἶεν, ἐπινεύσαιεν ταύταις· εἰ δὲ τοὐναντίον, ἀποτρέψαιεν. De hoc ergo more videtur accipiendum eſſe fragmentum illud Sophoclis, quod emendatius apud Harpocrationem legitur, quem vide.

[9] Ἀγύριος] Infra, v. Περδίσθαι, idem vocatur Ἀργύριος.

1. Ar. Plut. 176.

βλητο, ὡς καὶ πέρδεσθαι αὐτόν. [1] Ἀριστοφάνης Πλούτῳ. Ἐκωμῳδεῖτο δὲ καὶ εἰς θρασύτητα. καὶ [2] Ἀγύῤῥιος, δημαγωγὸς Ἀθηναίων οὐκ ἀφανής. [3] Ἀγύῤῥιος τὸν [4] Πατρονόμου πώγων' ἔχων λέληθεν. ὁ Ἀγύῤῥιος, στρατηγὸς θηλυδριώδης, ἄρξας [5] ἐν Λήμνῳ, ὃς τὸν μισθὸν τῶν ποιητῶν συνέτεμεν. Ὁ δὲ [6] Πατρόνομος αὐλητὴς ἦν, μέγαν πώγωνα ἔχων.

4. Ar. Ecclesiaz. 102.

Ἄγυρις. ἄθροισις. καὶ Ἀγυρισμός. Ὁ δὲ ἐσπούδασεν εἰς τὸ δυνατὸν, πρὸς ἀγυρισμὸν τῆς ἀποῤῥήτου τῆς θείων θεραπείας. καὶ Ἀγυρμός. ἐκκλησία. συναγωγή.

Ἀγυρτείαν. ὁμιλίαν. [7] οἵαν ἐκεῖνος ἐθηρᾶτο πρὸς ἀγυρτείαν τινὰ θρασυνομένην.

Schol. i. Soph. O. Tyr. 387.

Ἀγύρτης. πτωχός. ὀχλαγωγός. ἐπαίτης φιλοκερδὴς, ἢ συρφετώδης. Ἔστι δὲ καὶ βόλος κυβευτικὸς, καὶ Γάλλος, καὶ μάντις. ὡς [8] Ἀπίων ἐν Ἐπιγράμμασι·

Κειράμενος γονίμην τις ἀπὸ φλέβα μητρὸς ἀγύρτης.

8 Inter Alcæi Epigr. Brunck anal. I. 488. + Toup. Ep. Crit. II. 421. legit — καὶ μάντις, ὡς Ἀπίων Ἐν Ἐπιγράμμασι. Alcæi quæ esse notat.
9 Soph. O. Tyr. 388.

Καὶ αὖθις· [9] Δόλιον ἀγύρτην, ὃς ἐν τοῖς κέρδεσι μόνον δέδορκε. Καὶ αὖθις· Ἦν γὰρ αὐτὸς ἀγύρτης τῷ ὄντι καὶ φιλομαντευτής.

Ἀγύρτης. ὁ ἀλαζὼν, καὶ ἀπατεὼν. [10] τὸ δὲ ἀγείρειν καὶ τὸ περιάγειν, τὸ περιϊέναι, καὶ περινοστεῖν, καὶ ἐπὶ νίκῃ, ἢ τινι ἑτέρῳ τοιούτῳ σεμνύνειν. Ὁ δὲ ἀγύρτης, καὶ κυβευτικοῦ βόλου ὄνομά ἐστιν. Ἐμέμφετο αὐτὸν τὸ περὶ τὰς μαντείας ἐπτοημένον, καὶ βουλόμενον ἀεὶ τοῖς ἀγύρταις ἐπιτρέπειν τὰ οἰκεῖα πράγματα. Καὶ Ἀγυρτικὰ, χυδαῖα ψεύσματα. καὶ Ἀγυρτώδη, συρφετώδη.

Ἀγχαάσας. [11] ἀναχλάσας. ἀνακουφίσας. ἀναβαστάσας.

Ἄγχαυρος. [12] ὁ παχνώδης ὄρθρος. παρὰ τὸ ἄγχου ἤτοι πλησίον ἔχειν τὴν αὔραν. [13] Ὅμηρος. Αὔρη δὲ ψυχρὴ πνέει ἠῶθι πρό.

Ἀγχεῖος. ὁ πλησίον.

Ἀγχίσειος. ὁ τοῦ Ἀγχίσου.

Ἀγχηστῖνοι. [14] πυκνοί. καὶ Ἀγχηστῖνος, ἡ εὐθεῖα.

qui propter mollitiem erat infamis, adeo ut etiam publice pederet. Vide Ariſtophanem *Pluto.* Traducebatur etiam a Comicis ob audaciam. Et Agyrrhius, Demagogus Athenis fuit non obſcurus. *Agyrrhius neſcit ſe Pronomi barbam habere.* Agyrrhius Dux fuit effœminatus, Lemni præfectus, qui Poetarum mercedem imminuit. Pronomus vero fuit tibicen, magnam barbam habens.

Ἄγυρις. Congregatio. Et Ἀγυρισμός. *Ille vero pro viribus operam dedit collectioni arcani Deorum cultus.* Et Ἀγυρμὸς, Concio. Cœtus.

Ἀγυρτείαν. Conversationem. - - - - - - -
- - - - - - - - - - - - - - - -

Ἀγύρτης. Mendicus. Plebis ductor. Mendicus avarus, aut trivialis. Sic autem appellatur etiam jactus quidam teſſerarum, & Gallus (i. e. Matris Deum Sacerdos) & vates. Alcæus in Epigrammate: *Matris Deorum agyrta quidam, qui ſibi venam genitalem amputaverat.* Et rurſus: *Doloſum agyrtam, qui in lucris tantum acutum cernit.* Et rurſus: *Erat enim ille revera agyrta, & vaticinandi ſtudioſus.*

Ἀγύρτης. Jactator, & Impoſtor. Ἀγείρειν vero & περιαγείρειν ſignificat circumire, & ob victoriam, vel aliud quid, magnifice ſe jactare. Ἀγύρτης etiam nomen eſt jactus teſſerarum. † *Reprehendebat vero ipſum, quod tantopere vaticiniis eſſet deditus, & agyrtis ſemper negotia ſua committere vellet.* Et Ἀγυρτικὰ, trivialia mendacia. Et Ἀγυρτώδη, vilia.

Ἀγχαάσας. Sublevans. In ſublime tollens.

Ἄγχαυρος. Gelidum, vel pruinoſum mane. Sic dictum, quod (ἄγχου αὔραν) propinquam habeat auram. Homerus: *Aura vero frigida ſpirat ante auroram.*

Ἀγχεῖος. Vicinus.

Ἀγχίσειος. Qui eſt Anchiſis.

Ἀγχηστῖνοι. Denſi. Et Ἀγχηστῖνος, caſus rectus.

---

1. Ar. Plut. 175.

[1] Ἀριστοφάνης Πλούτῳ] Pag. 10. 4. ubi agitur de pecuniæ vi, propter quam nullum quantumvis atrox ac immane facinus intentatum relinquitur. Illic etiam docetur quomodo iſte Agyrius (qui illic Ἀργύριος vocatur, fortaſſe pro Ἀγύῤῥιος) pecuniæ parandæ cauſa publice impudenter pedere conſueviſſet.

Ἀργύριος δ' οὐχὶ διὰ τοῦτον πέρδεται;
Argyrius vero nonne propter hunc Plutum *pedit?* P.

[2] Ἀγύῤῥιος, δημαγωγός] Meminit hujus Agyrrhii Harpocratio, v. Θεωρικά. & Plato Comicus apud Plutarchum ἐν Πολιτικ. Παραγγέλμ. p. 801.

[3] Ἀγύῤῥιος τὸν Πατρονόμου] Corruptam hanc lectionem & Wolfius eſt ſequutus: at Προνόμου ſcribendum. Integer locus apud Ariſtophanem ἐν ταῖς Ἐκκλησιαζούσαις, pag. 487. ita habet: ≠

≠ Vers. 102.

Τίς οὐκ ἂν ἡμᾶς ἄνδρας ἡγήσαιθ' ὁρῶν;
Ἀγύῤῥιός γ' οὖν τὸν Προνόμου πώγων' ἔχων
Λέληθε, καί τοι πρότερον ἦν οὗτος γυνή.

Conſule Græca Scholia, unde Suidæ verba deprompta. *P.*

[4] Πατρονόμου] Vide Meurſ. in *Lect. Attic.* L. VI. cap. IV. qui recte legendum monet Προνόμου, uti etiam legitur in 2 MSS. Pariſ. Errorem ex compendio ſcripturæ natum eſſe manifeſtum eſt.

[5] Ἐν Λήμνῳ] Meurſius *Lect. Attic.* VI. 4. legendum monet, ἐν Λέσβῳ; quem vide.

[6] Πατρόνομος] Lege, Πρόνομος, ut ante.

[7] Οἵαν ἐκεῖνος] Quoniam ex Fragmento hoc nullum ſenſum elicere potui, verſionem ejus prætermiſi.

[8] Ὡς Ἀπίων ἐν Ἐπιγράμμασι] Antholog. lib. 1. p. 64. Epigrammatis iſtius auctor vocatur Alcæus, non Apion. *P.*

[9] Δόλιον ἀγύρτην] Sunt verba Sophoclis, qui in *Oedipo Tyranno* Regem Oedipum de Creonte conquerentem, quod vatem Tireſiam ſubornaſſet, ut ſe de regno pelleret, his verbis inducit loquentem: ≠ 7 V. 387

Ὑφεὶς μάγον τοιόνδε μηχανοῤῥάφον,
Δόλιον, ἀγύρτην, ὅστις ἐν τοῖς κέρδεσι
Μόνον δέδορκε, τὴν τέχνην δ' ἔφυ τυφλός.
Subornato impoſtore tali, machinarum & fraudum conſutore,
Doloſo, mendico, qui in lucris captandis
Tantum videt, arte vero eſt cæcus. P.

[10] Τὸ δὲ ἀγείρειν καὶ τὸ περιάγειν] In 2 MSS. legitur, Τὸ δὲ ἀγύρειν, καὶ τὸ περιαγείρειν, quæ vera lectio eſt. Vide Suidam infra, v. Περιαγειρόμενοι, unde loci hujus illuſtrationem pete.

[11] Ἀγχαάσας. ἀναχλάσας] Locus mendoſus. Portus corrigit, Ἀγχαλάσας, Ἀναχαλάσας, putatque priorem vocem per ſyncopen dictam eſſe pro Ἀναχαλάσας: cujus conjecturam confirmat Etymol. M. in quo legitur, Ἀγχλάσας, ἀναχαλάσας.

[12] Ἄγχαυρος] Scholiaſta Apollonii Rhodii ad lib. IV. *Argonaut.* v. 111. Ἄγχαυρον. τὸν καιρὸν τὸν πλησίον καὶ ἐγγὺς τῆς ἡμέρας, ὥσπερ τὸ καλούμενον λυκόφως. περὶ γὰρ τὸν τοιοῦτον καιρὸν αἱ αὖραι πνέουσι, καὶ τοῦτο δὲ ἐκ τοῦ Ποιητοῦ· Αὔρη δ' ἐκ ποταμοῦ ψυχρὴ πνέει ἠῶθι πρό. P.

[13] Ὅμηρος] Odyſſ. E. v. 469. *P.*

[14] Ἀγχηστῖνοι] Scribendum ἀγχιστῆνοι, & ἀγχιστῆνος. Euſtathius docet dici & ἀγχιστῆναι, per η in penultima, & per ι, ἀγχιστῖναι. 541. 42. 46. Idem 257. 24. Ἀγχιστῖναι οἷς, αἱ ἄγχι ἀλλήλων ἑστηκυῖαι, ὅ ἐστι πυκναί. P.

Ἀγ-

Ἄγχι. ἐγγύς.

Ἀγχιάλεια. πόλις. καὶ Ἀγχίαλος, ἡ ἐγγὺς τῆς θαλάσσης. Οὐ πάντως δὲ αἱ ἀγχίαλοι, καὶ ἀμφίαλοι εἰσίν. οἵα ἐστὶν ἡ Ἀλεξάνδρεια, ἀγχίαλος μὲν, οὐκ ἀμφίαλος δέ. αἱ δὲ νῆσοι, ἀγχίαλοι καὶ ἀμφίαλοί εἰσι. [1] Σοφοκλῆς· Τελαμώνιε παῖ τῆς ἀμφιῤῥύτου Σαλαμῖνος. καὶ αὖθις·

1 Soph. Ajax. 134.

——— ——— Θεῖον Ὅμηρον
Κλεινὸς ἐπ' ἀγχιάλῳ τύμβος ἔχει σκοπέλῳ.

Ἀγχιάλη. [2] πόλις, ἣν ἔκτισεν ἐν μιᾷ ἡμέρᾳ Σαρδανάπαλος ὁ τῶν Ἀσσυρίων Βασιλεύς. Ὁμοίως ἔκτισε καὶ τὴν Ταρσὸν ὁ αὐτός.

Ἀγχιβαθής. [3] ὁ ἐγγύβαθος.

Polybius. IV. 44. 6.

Ἀγχιβατεῖν. Ἴωνες τὸ ἀμφισβητεῖν. καὶ Ἀγχισβασίην, Ἡράκλειτος.

Ἀγχίθυρος. πλησιαίτατος. γείτων. [4] Ἀγχίθυροί τε καὶ γείτονες ἀλλήλων αἱ δυνάμεις ἐγένοντο.

Ἀγχίμαχος. ἐγγύθεν μαχόμενος.

Ἀγχίμολον. ἐγγὺς ἐλθόν.

Ἀγχίνους. συνετός. ὀξὺς τὸν νοῦν. Δημηγορήσαντος τοῦ βασιλέως, τοῦ τε ἱεροῦ ξυλλόγου τὸ ἀγχίνουν τε καὶ βουλευτικὸν τοῦ βασιλέως ἐπαινέσαντος. [5] Ὅτι τρία μέρη εὐμαθείας, ἀγχίνοια, μνήμη, ὀξύτης. καὶ μνήμη μέν ἐστι τήρησις, ὧν ἔμαθέ τις. ὀξύτης δὲ, ἡ ταχύτης τῆς διανοίας. ἀγχίνοια δὲ, τὸ, ἐξ ὧν ἔμαθε, θηρεύειν καὶ ἃ μὴ ἔμαθεν.

f. infr. I. p
V. Ἐπιστρε-

Ἀγχίνοια. σύνεσις, ἡ ἕξις εὑρετικὴ τοῦ καθήκοντος, ἐκ τοῦ παραχρῆμα. ἡ εὐστοχία τις ἐν ἀσκέπτῳ χρόνῳ. καὶ Ἀγχίνουν. [6] Δαμάσκιος· Ὀξεῖαν δὲ καὶ ἀγχίνουν φύσεως δύναμιν, ἐπὶ πολλὰ δι' ὀλίγου φέρεσθαι δυναμένην, ἑτοιμοτάτην συνιέναι, καὶ γνωρίζειν τὰ ἴχνη τῶν θηραμάτων. Περὶ Ἰσιδώρου ὁ λόγος.

Ἀγχίσης. Ἀγχίσου. καὶ Ἀγχισίδης.

Ἀγχίσπορος. ἐγγὺς γένους. [7] Δαμάσκιος· Ἀλλὰ ῥώμη γενναίας φύσεως, καὶ θεῶν ἀγχισπόρου.

Ἄγχιστα. ἔγγιστα.

Ἀγχιστεύς. καὶ Ἀγχιστεία. συγγένεια. καὶ Ἀγχιστεῖς, οἱ ἀπὸ ἀδελφῶν καὶ ἀνεψιῶν, καὶ θείων κατὰ πατέρα καὶ μητέρα ἐγγυτάτω τελευτήσαντος. Οἱ δὲ ἔξω τούτων, συγγενεῖς μόνον. Οἱ δὲ κατ' ἐπιγαμίαν μιχθέντες τοῖς οἴκοις, οἰκεῖοι λέγονται.

Ἀγχιστεία. [8] ἡ μετουσία τῆς οὐσίας. παρὰ Ἀρι-

Ἄγχι. Prope.

Ἀγχιάλεια. Anchialia, urbs. Et ἀγχίαλος, ſita prope mare. Non omnes autem urbes, mari vicinæ, etiam ab utraque parte mari alluuntur. Ut Alexandria, eſt quidem urbs maritima, at non utrinque mari circumfuſa. Sophocles: *Telamonis fili, circumfluæ Salaminis ſolum tenens.* Et rurſus:

——— ——— *Divinum Homerum*
Inclytus tumulus habet ad vicinum mari ſcopulum.

Ἀγχιάλη. Anchiale. Urbs, quam unico die Sardanapalus Aſſyriorum Rex condidit. Idem etiam ſimiliter Tarſum condidit.

Ἀγχιβαθής. Prope littus, vel ripam, profundus.

3 Philo Jud. περὶ Μωσέως β'
Vol. II. p. 140. 1.

Ἀγχιβατεῖν. Iones dicunt pro ἀμφισβητεῖν, contendere. Et Ἀγχισβασίην uſus eſt Heraclitus.

Ἀγχίθυρος. Proximus. Vicinus. *Copiæ proxime ad ſe invicem acceſſerunt.*

Ἀγχίμαχος. Cominus pugnans.

Ἀγχίμολον. Quod prope accedit.

Ἀγχίνους. Solers. Ingenioſus. *Rege concionante, & ſacro Concilio ingenium ejus & prudentiam collaudante.* Tres ſunt docilitatis partes: Ἀγχίνοια, ſolertia; Μνήμη, memoria; Ὀξύτης, acumen. Et Μνήμη quidem eſt, cum memori mente ſervantur ea, quæ quis didicit. Ὀξύτης, cum celeriter aliquid intelligimus & percipimus. Ἀγχίνοια vero, cum ex iis, quæ quis didicit, etiam ea, quæ non didicit, inveſtigat.

De Justiniano. Menandri H. sunt verba, p. 100. B. qui voce utitur, p. 107. C.

Ἀγχίνοια. Solertia, vel facultas extempore inveniendi id, quod decet. Vel ſagacitas quædam extemporalis. Et Ἀγχίνουν, ſolertem. Damaſcius: *Celerem & ſolertem ingenii vim, quæ brevi tempore multa percurrere poterat, promptiſſimam ad intelligendum, & cognoſcenda veſtigia rerum quærendarum.* De Iſidoro illic verba fiunt.

Ἀγχίνοια. σύνεσις. Ἀγχίνους. συνετός. ὀξὺς τὸν νοῦν. Phot.

Ἀγχίσης. Ἀγχίσου. Anchiſes. Anchiſæ. Et Ἀγχισίδης. Anchiſides.

Ἀγχίσπορος. Genere propinquus. Damaſcius: *Sed robur naturæ generoſæ, & ad Deorum genus proxime accedentis.*

Ἄγχιστα. Proxime.

Ἀγχιστεύς. Genere propinquus. Et Ἀγχιστεία, generis propinquitas. Et Ἀγχιστεῖς vocantur, fratrum, conſobrinorum, & patruorum aut avunculorum liberi, qui defunctum cognatione proxime contingunt. Reliqui vero Συγγενεῖς tantum dicuntur. Qui vero per jus connubii aliis juncti ſunt, (οἰκεῖοι) affines vocantur.

Ἄγχιστα. ἔγγιστα. Phot.
Ἀγχιστεία. σ. καὶ Ἀ. οἱ ἀ. Ἀ. καὶ Ἀ. καὶ θ. κ. π. καὶ μ. ε. τοῦ τελευτήσαντος. Οἱ δὲ ἔξω τ. σ. μόνον. Οἱ δὲ κ. ε. μ. τοῖς ο. λέγονται. Phot.

Ἀγχιστεία. Jus adeundæ hæreditatis. Ari-

---

[1] Σοφοκλῆς] In *Ajace flagellifero*, p. 9. 1. ſic legitur: V. 134.
Τελαμώνιε παῖ, τῆς ἀμφιρύτου
Σαλαμῖνος ἔχων βάθρον ἀγχιάλου.
Sequens vero locus exſtat Epigrammatum libro tertio, 269.
Ἐνθάδε Πιερίδων τὸ σοφὸν στόμα, θεῖον Ὅμηρον
Κλεινὸς ἐπ' ἀγχιάλῳ τύμβος ἔχει σκοπέλῳ. P.

[2] Ἀγχιάλη] Vide Stephanum de Urbibus, & infra, v. Σαρδαναπάλους.

[3] Ἀγχιβαθής] In prioribus Edit. legitur Ἀγχιβαθύς. Sed MSS. major apud me fuit auctoritas, quæ Ἀγχιβαθὴς exhibent.

[4] Ἀγχίθυροί τε καὶ γείτονες] Ex Theophylacto Simocatta, lib. II. cap. VIII.

[5] Ὅτι τρία μέρη εὐμαθείας] Hæc ſumpta ſunt ex Vita Pythagoræ apud Photium, Cod. CCXLIX. pag. 1319. Edit. Rhotom. Ultima autem apud Photium minus recte ſe habent, quæ ex Suida emendanda ſunt.

[6] Δαμάσκιος. ὀξεῖαν δὲ] Hæc leguntur apud Photium in Vita Iſidori Philoſophi, Cod. CCXLII. pag. 1034. Vide etiam infra, v. Ἔρως.

[7] Δαμάσκιος] Apud Photium, Cod. CCXLII. pag. 1035. ubi locum integrum lege. Utitur autem hac phraſi idem Damaſcius apud Photium, pag. 1031. ubi homines ætatis aureæ eleganter vocat, θεῶν ἀγχίσπορον γένος.

[8] Ἀγχιστεία] Proprie ſignificat jus cognationis vel agnationis, cum quo ſemper conjunctum eſſe ſolet jus participandi bona defuncti: Unde per metonymiam conſequentis pro antecedenti etiam ſignificat jus adeundæ hæreditatis.

στοφάνει ἐν Ὄρνισι· [1] Νόθῳ μὴ εἶναι ἀγχιστείαν. καὶ Ἀγχιστεύω ῥῆμα, γενικῇ.

Ἀγχιστίνδην. οἱ κατ᾽ α. ὥσπερ ἀγχιστίνδην. ἐπιρρηματικῶς. Ph.

Ἀγχιστίνδην. τὸ κατὰ ἀγχιστείαν. ὡς ἀπὸ τοῦ ἄριστος, ἀριστίνδην, καὶ πλοῦτος, πλουτίνδην.

Ἀγχίστροφοι. —— ἐπιστρεφόμενοι. Phot.
Conf. Vocum Herodoti Recensio, p. 10. Ad finem Edit. Wessel.

Ἀγχίστροφοι. συστραφέντες. ἢ ταχὺ ἐπιστρεφόμενοι. Προκόπιος· [2] Ἦν τε μάχη καρτερὰ ἐγεγόνει, καὶ ἐκ χειρὸς ἦν, ἀγχιστρόφους τε τὰς διώξεις ἐποιοῦντο ἐς ἀλλήλους ἑκάτεροι. καὶ αὖθις· Εἶτα ὑμεῖς τὰς φάλαγγας ἐξελίξαντες ἀγχίστροφοι γενόμενοι, ἀντιμέτωποι γίνεσθε τοῖς διώκουσι. καὶ αὖθις· Τῷ ἀγχιστρόφῳ τῆς τύχης. † [3] Ὁ Θηραμένης ποικίλος τις ὢν καὶ ἀγχίστροφος, καθωμίλει τοῖς καιροῖς, πρὸς τὸ κρεῖττον ἀεὶ διδοὺς ἑαυτόν.

Ἀγχιτέρμων. ὁ γείτων. ὁ ὅμορος. {Phot.

Ἀγχιτέρμων. ὁ γείτων.

Ἀγχόνη. [4] ὁ βρόχος. τὸ σχοινίον. παροξυτόνως. Ἀγχονὴ δὲ τὸ πρᾶγμα, ὀξυτόνως. ἡ ἐνέργεια.

Ἀγχονήσας. πνίξας.

Ἀγχότερος. ἐγγύτερος. Ἡρόδοτος· Στεινοτέρη ἐφαίνετο καὶ ἀγχοτέρη ἡ εἰσβολή.

Ἀγχοῦ. ἐγγύς. Ph.

Ἀγχοῦ. ἐγγύς.

Ἀγχούροις. πλησιοχώροις. παρὰ τὸ ἄγχι τοὺς ὅρους εἶναι.

Ἄγχουσα. εἶδος βοτάνης. ἧς ἡ ῥίζα ἐρυθρά, ᾗ ἐρυθραίνουσι τὰ πρόσωπα αἱ γυναῖκες. [4] Ἡ ἄγχουσ᾽ ὀδυνήσει καὶ τὸ σὸν ψιμμύθιον.

Ἀγχωμάλου. τῆς ἴσης. τῆς ἐγγὺς τοῦ ὁμαλοῦ. Ph.
Timaeus. p. 14.

Ἀγχώμαλον. καὶ Ἀγχωμάλου, ἴσης. ἐγγὺς τοῦ ὁμαλοῦ συμμίξαντος. Καὶ ἀγχώμαλα ἀγωνισάμενοι, καὶ μήτε ζωγρήσαντές τινα, μήτε ἐπὶ τὸ πλέον ἔτι προχωρήσαντες, διελύθησαν. καὶ αὖθις· Ἱππομαχία γίνεται καρτερὰ καὶ πλήθει τῶν ἀγωνιζομένων ἀγχώμαλος, καὶ ἀρεταῖς ἐμφερής.

Ἄγχων. περισφίγγων. θλίβων. Ὁ δὲ ἄγχων τὴν αὐτῆς δεξιὰν καὶ περιάγων, περιαιρεῖται τὸ ξίφος.

Ἄγχω. αἰτιατικῇ.

Ἀδαήμονες. ἄπειροι. Ὁ δὲ τὴν τῶν Αἰγυπτίων σοφίαν ἦν ἀδαημονέστερος. ὁ Ἀσκληπιόδοτος.

Ἀδαϊστί. ἀπείρως.

Ἄδακρυς πόλεμος. ἐπὶ τῶν ἔξω παντὸς κινδύ-

stophanes *Avibus: Notho non eſſe jus adeundæ hæreditatis.* Et Ἀγχιστεύω verbum, cum genitivo conſtruitur. 1. Ar. Av. 1660.

Ἀγχιστίνδην. Secundum jus propinquitatis. Dictum autem hoc eodem modo, quo ab ἄριστος, ἀριστίνδην, & a πλοῦτος, πλουτίνδην.

Ἀγχίστροφοι. Qui celeriter vertuntur. Procopius: *Et prælium acre fuit, & cominus committebatur, & utrique celeri converſione facta ſe mutuo perſequebantur.* Et rurſus: *Deinde, evolutis phalangibus, celeriter converſi, adverſa fronte occurrite hoſtibus, vos inſequentibus.* Et iterum: *Celeri mutatione fortunæ.* † Theramenes homo varius & mutabilis, inſerviebat temporibus, ad potentiores ſemper ſeſe applicans. 3. Ar. Ran. Sch. ad V. 546

Ἀγχιτέρμων. Vicinus.

Ἀγχόνη. Laqueus. Funis: cum acuto in antepenultima. Ἀγχονὴ vero, cum acuto in ultima, ſignificat ipſam actionem ſtrangulandi. 4. Schol. in Ar. Ach. V. 125.

Ἀγχονήσας. Qui ſtrangulavit.

Ἀγχότερος. Propinquior. Herodotus: *Anguſtior & propinquior aditus videbatur.*

Ἀγχοῦ. Prope.

Ἀγχούροις. Vicinis. Ita dicti, quod prope invicem habeant fines.

Ἄγχουσα. Anchuſa. Genus herbæ, cujus radix eſt rubra, qua mulieres faciem rubefaciunt. *Anchuſa te dolore afficiet, & tua ceruſſa.* 4. Ar. Eccl. V. 924.

Ἀγχώμαλον. Æquale: & Ἀγχωμάλου, æqualis. *Et cum æquo Marte pugnaſſent, neque quenquam vivum cepiſſent, nec longius proceſſiſſent, diſceſſerunt.* Et rurſus: *Equeſtre prælium acre committitur, & multitudine pugnantium, & virtute æquale.*

Ἄγχων. Angens. Stringens. Premens. *Ille vero ipſius dextram ſtringens & circumagens, ei gladium eripit.*

Ἄγχω. [Ango.] Gaudet accuſativo.

Ἀδαήμονες. Imperiti. *Ille vero Aegyptiorum ſapientiæ erat imperitior.* Aſclepiodotus ſcilicet.

Ἀδαϊστί. Imperite.

Ἄδακρυς πόλεμος. Bellum carens lacrymis.

---

[1] Νόθῳ μὴ εἶναι ἀγχιστείαν] Apud Ariſtophanem in *Avibus*, p. 429. integer locus ita ſcriptus legitur: V. 1659

Ἐρῶ δὲ δὴ καὶ τὸν Σόλωνός σοι νόμον.
Νόθῳ δὲ μὴ εἶναι ἀγχι-
στείαν, παίδων ὄντων γνη-
σίων. ἐὰν δὲ παῖδες
Μὴ ὦσι γνήσιοι, τοῖς
Ἐγγυτάτω τοῦ γένους,
Μετεῖναι τῶν χρημάτων.

Dicam vero jam etiam Solonis tibi legem. Notho ne ſit jus propinquitatis, liberis exiſtentibus legitimis. Si vero liberi non fuerint legitimi; illis, qui ſunt genere proximi, jus ſit participandorum bonorum. Demoſthenes ἐν τῷ πρὸς Μακάρτατον λόγῳ, pag. 242. hujus legis mentionem his verbis facit, ubi pluribus de hæreditatis jure diſſerit: Νόθῳ δέ, μηδὲ νόθῃ μὴ εἶναι ἀγχιστείαν. &c. Locus eſt obſervatu dignus. Legum ſtudioſi legant. *P.* † Vide Petit. *de LL. Attic.* lib. II. Tit. IV. p. 139.

[2] Προκόπιος] Lib. I. *de Bello Perſico*, cap. XV.

[3] Ὁ Θηραμένης] Ariſtophanes ἐν Βατράχοις, pag. 151. 152. hujus Theramenis levitatem & inconſtantiam egregie deſcribit his verbis: V. 537

Ταῦτα μὲν πρὸς ἀνδρός ἐστι
Νοῦν ἔχοντος, καὶ φρένας, καὶ
Πολλὰ περιπεπλευκότος,
Μετακυλινδεῖν αὐτὸν ἀεὶ
Πρὸς τὸν εὖ πράττοντα τοῖχον
Μᾶλλον, ἢ γεγραμμένην
Εἰκόν᾽ ἑστάναι λαβόνθ᾽ ἓν
Σχῆμα. τὸ δὲ μεταστρέφεσθαι
Πρὸς τὸ μαλθακώτερον,
Δεξιοῦ πρὸς ἀνδρός ἐστι, καὶ φύσει Θηραμένους.

Conſule Græca Scholia. Item Xenophontem τῶν Ἑλληνικῶν ſecundo, pag. 465. & 466. *P.* † Vide infra v. Δεξιός, v. Θηραμένης, & v. Εὐμεταβολώτερος.

[4] Ἀγχόνη] Ariſtophanes *Acharnenſ.* p. 376. † Ταῦτα δῆτ᾽ οὐκ ἀγχόνη; ubi Scholiaſta: Ἡ διαφορὰ τοῦ ὀνόματος ἐν τῷ τόνῳ. ὀξυτόνως μὲν γὰρ τὸ εἶδος τοῦ πάθους. βαρυτόνως δὲ τὸ σχοινίον καὶ ὁ βρόχος. Quæ pene eadem ſunt cum iis, quæ Suidas hic habet. +V. 125.

[4] Ἡ ἄγχουσα] Locus integer apud Ariſtophanem in *Concionatricibus*, pag. 586. ſic habet: V. 923.

Οὐ τοὐμὸν ὀδυνήσει σε γῆρας. Ἀλλὰ τί;
Ἡ γχουσα μᾶλλον, καὶ τὸ σὸν ψιμμύθιον.
Non mea dolore afficiet te ſenectus. Sed quid?
Anchuſa potius, & tua ceruſſa. P.

18,

ως, καὶ ῥᾷστα, καὶ παρ' ἐλπίδα [1] τὰ πράγματα κατορθούντων.

ʼΑδακρυτί. ἀκλαυστί.

ʼΑδαλίδης. ὄνομα κύριον.

[2] ʼΑδάμ. ὁ πρῶτος ἄνθρωπος, ὁ χειρὶ θεοῦ πλασθεὶς, καὶ κατὰ τὴν εἰκόνα καὶ ὁμοίωσιν μορφωθεὶς τοῦ δημιουργοῦ τε καὶ κτίσαντος· ὁ καὶ τιμηθεὶς τὴν εἰς Παράδεισον οἴκησιν. Οὗτος δικαίως ἂν πρῶτος καλοῖτο σοφὸς, ὡς πρωτόκτιστον ἄγαλμα, καὶ εἰκὼν οὖσα θεόγραφος· ὡς τῶν χαρίτων ὅλων ὑπάρχων ἀνάπλεως, καὶ πάντα καθαρὰ καὶ ἀκίβδηλα περιφέρων τὰ τῆς ψυχῆς τε καὶ σώματος αἰσθητήρια. μαρμαρυγαὶ γάρ τινες, ὡς εἰπεῖν, ἐκ τῆς ἐκείνου ψυχῆς ἀπαστράπτουσαι, καὶ θείων ἐννοιῶν τε καὶ ἐνεργειῶν πλήθουσαι κατὰ πᾶσαν εἰσέτρεχον φύσιν, [3] εὐστόχως καὶ ἀναμαρτήτως τὸ οἰκεῖον ἑκάστης πλεονέκτημα φθάνουσαι. ὃς οὐ παρὰ ἀνθρώπων ἐδοκιμάσθη τῶν τὰς κρίσεις πολλάκις ἐπισφαλῶς ποιουμένων, ἀλλὰ παρὰ τοῦ τῶν ὅλων θεοῦ τοῦ πᾶσαν γνῶσιν καὶ κρίσιν ὀρθῶς ποιουμένου, καὶ πρὸ τοῦ τὰς ἐννοίας κινηθῆναι παρὰ τῆς ὠδινούσης τὰ τοιαῦτα ψυχῆς, καὶ ἀποτικτούσης νοήματα. Καὶ ᾗ φησιν ἡ γραφὴ, Ἐποίησεν ὁ θεὸς πάντα τὰ κτήνη, καὶ τὰ θηρία, καὶ τὰ ἑρπετὰ, καὶ τὰ πετεινὰ, καὶ ἤγαγεν αὐτὰ πρὸς τὸν Ἀδὰμ, ἰδεῖν, τί καλέσει αὐτά. καὶ ὡς ἐκάλεσεν Ἀδὰμ, τοῦτο ὄνομα αὐτῷ. Τί τῆς φωνῆς ταύτης καὶ μαρτυρίας ἀριδηλότερον; τί τῆς σοφίας ταύτης καὶ διαγνώσεως ὑψηλότερον; Ἐκάλεσεν ὀνόματα, τὴν φύσιν αὐτὴν καὶ τὴν ὑπόστασιν ἑκάστου ζώου ὥσπερ ὑπογραφόμενος, οὐ μελετήσας, οὐ προσκεψάμενος, οὐδέν τι προπεπονθὼς τῶν ὅσα μεταμανθάνουσιν ἄνθρωποι. καὶ πολλῶν καὶ ἀναρίθμων γενεῶν παραδραμουσῶν, οὐκ ἴσχυσεν οὐδεὶς ὑπαλλάξαι κἂν τοῦ τυχόντος ζώου τὸ ὄνομα, οὐδὲ τῆς ἐκείνου δράξασθαι μεγαλονοίας καὶ διαγνώσεως. Μᾶλλον μὲν οὖν μένουσιν ἅπαντες κατὰ πᾶσαν ἐσπαρμένοι τὴν γῆν ἄνθρωποι τοῖς ἐκείνου στοιχοῦντες ἀμεταθέτοις θεσπίσμασι. Καὶ οὐδὲ μέχρι τούτων ἔστη τοῦ πρωτογόνου ἀνθρώπου τὸ ὑπερβάλλον ἐν πᾶσιν ἀξίωμα· ἀλλὰ καὶ σπερμάτων, καὶ φυτῶν διαφορὰς, ῥιζῶν τε καὶ βοτανῶν δυνάμεις, καὶ ὅσα εἰς ἀντίληψιν καὶ θεραπείαν ἡ φύσις ἑκάστῳ προσαρμόττει τῶν ζώων, διέκρινέ τε, καὶ διεσάφισεν. Οὗτος καὶ τὴν γυναῖκα πρῶτος ἰδὼν, οὐχ ὥσπερ ἐκ στόματος ἀνθρωπίνου περὶ ταύτης ἐφθέγξατο· ἀλλ' ὡς ἔκ τινος θείας ὀμφῆς ἐνηχούμενος, εὐστόχως τὸ πολυύμνητον ἐκεῖνον καὶ θαυμαστὸν ἀπεφοίβασε λόγιον· Τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστέων μου, καὶ σὰρξ

Dicitur de illis, qui extra omne periculum, & facillime, & præter ſpem res feliciter gerunt.

ʼΑδακρυτί. Sine lacrymis.

ʼΑδαλίδης. Adalides. Nomen proprium.

ʼΑδάμ. Adam primus homo, Dei manu effictus, & ad imaginem & ſimilitudinem opificis & conditoris formatus, & habitatione Paradiſi honoratus. Hic jure primus ſapiens appellari poteſt, ut primo conditum ſimulacrum, & imago divinitus picta : ut omnium gratiarum plenus, & omnes animi corporiſque ſenſus puros & incorruptos circumferens. Radii enim quidam (ut ita loquar) ex illius animo effulgentes, & divinarum cogitationum & actionum pleni, per omnem naturam penetrabant, ſagaciter & ſine errore proprium cujuſque & præcipuum bonum antevertentes. Qui non ab hominibus probatus fuit, qui in judiciis ſuis ſæpe labuntur : ſed a Deo univerſitatis auctore, qui de rebus omnibus recte judicat, etiam priuſquam cogitationes moveantur in anima noſtra, & in ea quaſi conceptæ & genitæ ſint. Nam (ut Scriptura dicit) *Deus fecit omnia jumenta, & feras, & ſerpentes, & volucres, & ipſa ad Adamum adduxit, ut videret, quo nomine ipſa eſſet nominaturus. Ut autem Adamus vocavit ea, ita nomen ipſis manſit.* Quid hac voce, & teſtimonio eſt evidentius? Quid hac ſapientia, & cognitione ſublimius? Nominibus enim impoſitis, naturam ipſam & vim cuique animanti inſitam veluti penicillo expreſſit, non præmeditatus nec præparatus, nec perpeſſus ſimile quid cæteris hominibus, qui cognito priori errore, alia deinceps probare ſolent. Quamvis autem multæ, atque adeo innumeræ ætates jam præterierint, nullus tamen vel minutiſſimi atque viliſſimi animalis nomen mutare, neque amplitudinem ingenii atque cognitionis, quæ in illo fuit, aſſequi potuit. Imo vero potius omnes homines per univerſum terrarum orbem diſperſi, immutabilia ejus Oracula conſtanter ſequuntur. Neque vero uſque ad hos terminos progreſſa ſtetit hominis primogeniti omnibus in rebus excellens dignitas. Sed & ſeminum, & plantarum diſcrimina, & radicum & herbarum vires, & quæcunque ad auxilium & medicinam unicuique animali Natura attribuit, diſtinxit & dilucide explicavit. Hic etiam uxore primum conſpecta, confeſtim de ipſa non ut ex ore humano loquutus eſt : ſed quaſi quadam divina voce in ipſo reſonante, felici conjectura rem aſſequutus, celeberrimum illud & admirabile oraculum protulit : *Hoc eſt os ex oſſibus meis, & caro ex carne mea : vocabiturque virago, quia ex viro ſumpta fuit.* Hic

---

[1] Τὰ πράγματα κατορθούντων] Hæc totidem verbis leguntur etiam apud Zenodotum. Diogenianus vero addit: χρησμὸς γὰρ ἐδόθη Λακεδαιμονίοις, ἄδακρυν μάχην νικῆσαι. ὅθεν οὐδὲ εἷς τηνικαῦτα τούτων ἀπέθανεν. i. e. interprete Andrea Schotto : *Datum enim Spartanis Oraculum, fore, ut pugna ſine lacrymis victores evaderent. Quo factum eſt, ut caderet ex ipſis nemo.*

[2] Ἀδάμ. ὁ πρῶτος ἄνθρ.] In hoc articulo nonnulla ſunt obſcura, nec ſatis inter ſe cohærentia; quibus lucem dare, & remedium adhibere non potui, quoniam auctorem, unde hæc ſumpta ſunt, ignoro, nec in MSS. hic quicquam præſidii eſt: de quo ideo lectorem moneo, ne quis forte putet, me hic dormitaſſe, vel difficultates hujus loci diſſimulare voluiſſe.

[3] Εὐστόχως καὶ ἀν. τ. οἰκ. ἑκ. πλ. φθ.] Si locus ſanus eſt, videant alii, quid auctor, ex quo Suidas hæc depromſit, ſibi velit. Ego enim iſta non ſatis capio.

ἐκ τῆς σαρκός μου. αὕτη κληθήσεται γυνὴ, ὅτι ἐκ τοῦ ἀνδρὸς αὐτῆς ἐλήφθη. Οὗτος τοίνυν ἐστὶν ὁ δοκιμάσας ἕκαστα, καὶ πᾶσιν κανόνας καὶ στάθμας ἀκριβεῖς, καὶ ὅρους ἀναντιῤῥήτους ἐναρμοσάμενος. Τούτου τέχναι, καὶ γράμματα. Τούτου ἐπιστῆμαι λογικαί τε, καὶ ἄλογοι. Τούτου προφητεῖαι, ἱερουργίαι, καὶ καθαρμοὶ, καὶ νόμοι γραπτοί τε καὶ ἄγραφοι. Τούτου πάντα εὑρήματα καὶ διδάγματα, καὶ ὅσαι κατὰ τὸν βίον ἀναγκαῖαι χρεῖαί τε καὶ δίαιται. Οὗτός ἐστιν ὁ πρῶτος ἀνδριὰς, τὸ θεόκλητον ἄγαλμα, ἀφ᾽ οὗπερ ἀπευθύνονται πᾶσαι ἀνθρώπων ἀγαλματουργίαι, κἂν πρὸς τὸ ἧττον μᾶλλον καὶ μᾶλλον ἐκπίπτωσιν ἐκείνου τοῦ μακαρίου καὶ θεοειδοῦς ἀπεικάσματος, μηδεμίαν ἔχοντος ἀφορμὴν, ἧς ἂν ἐπιλάβοιτο ὁ μετ᾽ ἐκεῖνον διαπλαττόμενος, ἢ ζωγραφούμενος. ἕως ὁ παλαμναῖος, καὶ ἀποστάτης καὶ πλάνος διάβολος, τοῦτον ἐξεκύλισεν τῆς οἰκείας ἱδρύσεώς τε καὶ στάσεως, καὶ κατὰ τοῦ πρανοῦς εἴασε φέρεσθαι, καὶ πρὸς βαραθρώδεις τινὰς καὶ ἀλαμπεῖς χώρους, μέχρι τῶν ἀμειδήτων τοῦ ᾅδου κευθμώνων ἐγγίζοντας. Κἀντεῦθεν ἤρξατο φύσις ἡ τῶν ἀνθρώπων παραχαράττεσθαι τοῖς τοῦ τυράννου μορφώμασί τε καὶ σχήμασιν. Ἐντεῦθεν ἡ νόθος σοφία τὰς ἀφορμὰς ἔλαβε, τῆς θείας δραπετευσάσης, καὶ πρὸς οὐρανὸν ἀναπτάσης, ὅθεν τὸ πρότερον ἦν ἀφορμήσασα. Ὅθεν ὁ πλάνος τὸ καὶ θεοῦ σφετερισάμενος ὄνομα, εἰς πολλὰ κατεμέρισε, Κρόνους τε, καὶ Ζῆνας, καὶ Ποσειδῶνας, ἑαυτὸν μετακαλῶν· καὶ τὸ δὴ πάντων ἀνοσιώτατον, εἰς ὀνόματα θήλεά τε καὶ ἄσεμνα τὴν μακαρίαν καὶ ἄῤῥητον συγκατασπάσαι φύσιν ὁ ἀλιτήριος κατετόλμησεν, εἴς τε τὰς Ῥέας ἐκείνας, καὶ Ἀφροδίτας, καὶ Ἀθηνᾶς, καὶ εἰς ἄλλας μυρίας καὶ ἀλλοκότους ἀλόγων ἰδέας τε καὶ μορφὰς, ἃς ὁ κακίας δημιουργὸς, καὶ τὴν ἀποστασίαν νοσήσας, ἐπέχρωσέ τε καὶ διεχάραξεν. Ἐντεῦθεν Αἰγυπτίων τὰ περὶ Ὄσιριν καὶ Τυφῶνα καὶ Ἶσιν μοχθηρὰ διηγήματα, καὶ Περσῶν μαγικὰ μαγγανεύματα, καὶ Βραχμάνων Γυμνοσοφισταὶ, καὶ ἄχαροι φαντασίαι, καὶ [1] ἡ θαυμαζομένη Σκυθῶν ῥῆσις, καὶ τὰ Θρᾳκῶν ὄργια, καὶ οἱ Φρυγῶν αὐλοὶ καὶ Κορύβαντες. Ἐντεῦθεν ἡ Χαλδαίων ἀστρονομία ἡ σφαλερά τε καὶ [2] πολυώδυνος. Ἐντεῦθεν ἡ τοῦ ψεύδους λοχεύτρια ποίησις, ἡ τῶν Ἑλληνικῶν ληρημάτων σεμνομυθία. Ἐντεῦθεν Ὀρφεύς τε καὶ Ὅμηρος, [3] καὶ ὁ τῶν ἀθεμίτων γονῶν ζωγράφος Ἡσίοδος. Ἐντεῦθεν ἡ Θάλητος δόξα, καὶ ὁ κλεινὸς Πυθαγόρας, καὶ ὁ σοφὸς Σωκράτης, καὶ Πλάτων, τὸ τῆς Ἀθηναίων Ἀκαδημίας πολυθρύλλητον

Σκυθῶν ῥῆσις. Athen. XII. p. 524 E.

Hic igitur eſt ille, qui probavit omnia, & omnibus regulas & amuſſes exquiſitas, & limites minime dubios aſſignavit. Hujus inventa ſunt artes & literæ. Hujus ſunt ſcientiæ, tam liberales, quam illiberales. Hujus ſunt prophetiæ, ſacrificia, luſtrationes, & leges, tam ſcriptæ, quam nullis ſcriptis mandatæ. Hujus ſunt omnia inventa, & diſciplinæ, & quidquid ad vitam degendam eſt utile & neceſſarium. Hæc eſt illa prima ſtatua, & ſimulacrum, cui divinitus nomen impoſitum eſt, a quo omnes humanæ ſimulacrorum fingendorum artes diriguntur: quamvis ab ea divina & beata imagine magis ac magis deflectentes, in pejus excidant, cum illa nullam habeat anſam, quam apprehendat is, qui poſt illum fingitur aut pingitur: donec ſceleſtus homicida, apoſtata, & impoſtor Diabolus eum de ſua ſede & ſtatu dejecit, & præcipitem deturbavit ad profunda quædam & obſcura, triſtibuſque Orci latebris vicina loca. Hinc autem cœpit hominum Natura depravari & adulterari, & hujus tyranni formis & figuris ſignari. Hinc autem initium duxit adulterina ſapientia, poſtquam illa divina ex terris aufugit, & in cœlum ſublimis avolavit, unde prius deſcenderat. Hinc impoſtor ille Dei nomen uſurpans, id in multas partes diviſit, Saturnos nimirum, Joves, & Neptunos; nomen ſuum varie mutans. Imo, quod omnium eſt maxime impium, ad nomina fœminea & inhoneſta beatam illam & ineffabilem Naturam ſceleratus ille detrahere auſus eſt; Rheas nimirum, Veneres & Minervas, & alias infinitas & monſtroſas brutorum ſpecies & formas, quas ille improbitatis opifex & apoſtata coloribus exornavit, & ſignis cœlavit. Hinc ortæ ſunt illæ Ægyptiorum de Oſiride & Typhone & Iſide improbæ narrationes, & Perſarum magicæ impoſturæ, & Brachmanum Gymnoſophiſtiæ & importunæ phantaſiæ, & dictum Scytharum, quod multi admirantur, & Thracum Orgia, & Phrygum tibiæ & Corybantes. Hinc manavit illa lubrica & cruciatus plena Chaldæorum aſtrologia. Hinc nata illa mendacii obſtetrix poeſis, & Græcanicarum nugarum fabuloſa pompa. Hinc etiam Orpheus, & Homerus, & qui impias Deorum generationes conſcripſit, Heſiodus. Hinc illa Thaletis gloria, & inclytus Pythagoras, & ſapiens Socrates, & Plato, quo Academia Athenienſium tantopere ſe jactat.

---

[1] Ἡ θαυμαζομένη Σκ.] Vide infra v. Ἡ ἀπὸ Σκυθῶν ῥῆσις.

[2] Πολυώδυνος] Auctorem hunc anonymum exiguo judicio præditum fuiſſe, & vere de eo dici poſſe proverbiale illud, Flumen verborum, & gutta mentis, ex tota hac de Adamo Ecloga ſatis apparet. Quare, licet ejuſmodi ſcriptores corrigere & emendare, velle res ſit lubrica & aleæ plena; quoniam ſæpe incertum eſt, utrum vox aliqua, quæ ineptam reddit ſententiam, ſit ingenii illorum, ἀλλοκότους non raro ſenſus parturientis, abortus, an vero librariorum σφάλμα: conabor tamen pro πολυώδυνος aliam vocem hic ſubſtituere, quam auctorem noſtrum potius, quam altera illa, uſum eſſe exiſtimo. Ea autem eſt πολυώνυμος i. e. nominibus abundans; quod epithetum Aſtronomiæ, propter multitudinem ſtellarum, variaſque earum appellationes, haud inepte tribui poteſt. Qui enim τὸ πολυώδυνος ei conveniat non video; niſi forte quis Aſtronomiam ſic appellare velit, quod multos homines dolore afficiat, ob triſtes rerum eventus, ex aſtrorum inſpectione prædictos: quod tamen coactum eſſe & longe petitum quivis facile videt.

[3] Καὶ ὁ τῶν ἀθεμ. γονῶν ζ.] Perſtringit his verbis auctor Anonymus *Theogoniam* Heſiodi.

σεμνολόγημα. Ἐντεῦθεν οἱ Παρμενίδαι, καὶ Πρωταγόραι, καὶ Ζήνωνες. Ἐντεῦθεν αἱ Στοαὶ, καὶ οἱ Ἄρειοι πάγοι, καὶ Ἐπικούρειοι. Ἐντεῦθεν οἱ Τραγῳδῶν θρῆνοι, καὶ κοπετοὶ, καὶ τὰ Κωμικῶν παίγνια, καὶ τωθάσματα. Ἐντεῦθεν τὰ δολερὰ τοῦ Λοξίου καὶ ψευδηγόρου θεσπίσματα, καὶ ἡ λοιπὴ τῶν Ἑλληνικῶν κομψευμάτων ἐρεσχελία καὶ τερατεία. Καὶ ἵνα μὴ μακρὸν ἀποτείνω τὸν λόγον, εἰς σαπρούς τε καὶ ὀδωδότας μύθους ἐναγχολούμενος, πᾶσαν εἰς ἑαυτὸν τὴν κτίσιν ὁ πλάνος ἐμφορησάμενος, καὶ λαβὼν ὑπὸ χεῖρα τὸν ἄνθρωπον ὡς ἀνδράποδον, καὶ διερχόμενος τὴν ὑπ᾽ οὐρανὸν, καὶ περιπατῶν τὴν γῆν, καὶ ὡς ᾠὸν πάντα κατέχων, ὡς αὐτός που φησὶν ἀλαζονευόμενος, ᾤετο δεῖν τὸν ἑαυτοῦ θρόνον θήσειν ἐπάνω τῶν νεφελῶν τοῦ οὐρανοῦ, καὶ ἔσεσθαι ὅμοιος τῷ Ὑψίστῳ. Ἀλλ᾽ ὁ τοῦ Θεοῦ μονογενὴς υἱὸς καὶ λόγος ὁ προαιώνιος, οἰκτείρας τὸν ἄνθρωπον ὡς ἠπατημένον ὑπὸ τοῦ Δράκοντος, ἐκ τῶν τοῦ πατρὸς κόλπων ἑαυτὸν ἐκένωσεν· καὶ σαρκωθεὶς ἐκ Πνεύματος Ἁγίου, καὶ ἐκ τῆς ἁγίας παρθένου καὶ Θεοτόκου Μαρίας, καὶ διὰ τοῦ τιμίου σταυροῦ καὶ τοῦ πάθους αὐτοῦ καταβαλὼν τὸν ἀντίπαλον, καὶ καταβὰς εἰς τὰ κατώτατα μέρη τῆς γῆς, ἐκεῖθεν εἵλκυσε τὸν παραπεσόντα Πρωτόπλαστον, ἀποδοὺς τῇ εἰκόνι τὸ πρῶτον κάλλος, καὶ τῇ φύσει τὸ ἀρχαῖον ἀξίωμα. Κἀντεῦθεν ἠφάνισται πᾶσα ἡ τοῦ τυράννου δυναστεία καὶ συμμορία, τοῦ τῆς εὐσεβείας φωτὸς διαυγάσαντος πάσῃ τῇ κτίσει τῶν ἡλιακῶν μαρμαρυγῶν τηλαυγέστερον. Ἐκ τούτου τοῦ φωτὸς ἡ κατὰ Θεὸν σοφία πάλιν διέλαμψε, καὶ γλώσσας ἁλιέων ἐστόμωσε, καὶ τῶν σοφῶν διδασκάλους τοὺς ἀσόφους εἰργάσατο. Ἐντεῦθεν ὁ τῆς βροντῆς γόνος, τὸ Ἐν ἀρχῇ ἦν ὁ λόγος, ἐξ οὐρανίων νεφελῶν ἀπαστράψας, ἐβρόντησε, καὶ πᾶσαν τὴν οἰκουμένην ἐλάμπρυνε. Κἀκ τούτου τοῦ φωτὸς Παῦλος εἰς τρίτον οὐρανὸν ἀναφέρεται, καὶ θεᾶται τὰ ἀθέατα, καὶ τῶν ἀρρήτων ὑπακούει λογίων, καὶ διατρέχει πᾶσαν τὴν γῆν ὡς πτηνὸς καὶ ἀέριος, τὸν Ἰησοῦν εὐαγγελιζόμενος. Ἐντεῦθεν ὁ Πέτρος τὸν Χριστὸν υἱὸν Θεοῦ τοῦ ζῶντος ὠνόμασε, καὶ τὰς κλεῖς τῆς τῶν οὐρανῶν πιστεύεται βασιλείας, ἵνα ἀνοίγῃ μὲν τοῖς πιστοῖς, ἀποκλείῃ δὲ τοῖς ἀπίστοις τῶν θείων ἀνακτόρων τὴν εἴσοδον. Ἐντεῦθεν ἀγέλαι μαρτύρων καταβάλλουσιν εἴδωλα, καὶ τρέχουσιν ἕτοιμοι πρὸς τὸν θάνατον, ὡς στεφάνους τὰς πληγὰς, καὶ ὡς πορφύρας τὰ ἑαυτῶν αἵματα περιφέροντες οἱ καλλίνικοι. † [1] Ἔστω γοῦν ὁ πρωτόπλαστος ἀρχηγὸς τοῦ γράμματος, κατά γε τὸν ἐμὸν ὅρον καὶ λόγον, ὡς ποταμὸς, πηγή τε καὶ θάλαττα, καὶ ῥίζα καὶ κλάδοι καὶ ὅρπηκες, καὶ πάσης ὑπάρχων τῆς ἀνθρωπίνης φύσεως ἀπαρχὴ καὶ πρωτόλειον. † [2] Ὅτι ἀπὸ Ἀδὰμ ἕως τοῦ κατακλυσμοῦ, ἔτη δισχίλια. σ.

Hinc Parmenidæ, & Protagoræ, & Zenones. Hinc Porticus, & Areo-pagi, & Epicurei. Hinc Tragœdorum lamentationes & planctus, & Comicorum joci atque riſus. Hinc doloſa Apollinis obliqui & falſidici Oracula, & reliquæ Græcorum pompoſæ & portentoſæ nugæ. Denique, ne longius producam orationem, putidis, fœtidiſque fabulis diutius immorans, omnes creaturas Impoſtor ille in humeros ſuos ſuſcepit, & hominem ut mancipium in ſuam poteſtatem redegit, viamque ad cœlum ingrediens, & terram obambulans, & tanquam ova, omnia continens, ut ipſe alicubi gloriatur, putabat ſuum ſolium ſupra cœli nubes eſſe collocandum, ſeque Altiſſimo fore ſimilem. Verum unigenitus Dei filius, & æternus Sermo, miſeratus hominem, ut a Dracone deceptum, ex Patris ſinu ſe ipſum demiſit, & aſſumpta carne ex Spiritu Sancto, & ſancta Virgine & Deipara Maria, per venerandam Crucem & ſupplicium ſuum, quod paſſus eſt, proſtrato adverſario, in infimas terræ partes deſcendit, & inde prolapſum illum primum hominem eduxit, prima pulchritudine imagini reſtituta, & Naturæ priſtina dignitate. Hinc autem abolitus eſt omnis hujus tyranni principatus, & ditio, poſtquam veræ religionis lux, ſolari ſplendore ſplendidior, omni creaturæ illuxit. Ex hac luce divina ſapientia rurſus reſplenduit, & linguas piſcatorum acuit, & inſipientes ſapientum doctores effecit. Hinc ille Tonitrus filius, *IN principio erat Sermo*, ex cœleſtibus nubibus fulguris inſtar emicans, intonuit, & omnem orbem terrarum illuſtravit. Ex hac etiam luce Paulus in tertium cœlum ſublimis tollitur, & non contemplanda mortalibus contemplatur, & ineffabilia audit Oracula, & omnem terram, ut volucer & aerius, percurrit, Jeſum euangelizans. Hinc Petrus Chriſtum Dei viventis filium vocavit, regnique cœleſtis claves fidei ſuæ commiſſas accepit, ut fidelibus quidem aperiret divini templi ingreſſum, infidelibus vero occluderet. Hinc greges Martyrum dejiciunt ſimulacra, & alacres ad mortem currunt, plagas ut coronas, & ſuum ſanguinem ut purpuram circumferentes; victores vere inclyti. † Eſto igitur primus ille homo princeps & caput literæ, ſecundum meam definitionem & orationem, ut fluvius, & fons, & mare, & radix, & rami, & ſurculi, & totius humanæ naturæ primitiæ. † Ab Adamo uſque ad diluvium ſunt anni 2242. A

---

[1] Ἔστω γοῦν ὁ πρωτόπλ.] Hæc a ſuperioribus diſtinguenda ſunt, quoniam ex alio auctore, & quidem Lexicographo quodam deſcripta eſſe apparet.

[2] Ὅτι ἀπὸ Ἀδάμ] Pearſonius ad marginem Suidæ ſui recte obſervaverat, locum hunc, qui varias annorum Epochas complectitur, deſcriptum eſſe ex Nicephori Patriarchæ CP. Chronographia Compendiaria, quæ in Corpore Hiſtoriæ Byzantinæ Georgio Syncello ſubjuncta eſt. In ea enim pag. 404. pauciſſimis verbis mutatis eadem leguntur, quæ Suidas uſque ad verba illa Ἀπὸ δὲ Μιχαὴλ ἕ. ͵P. hoc loco tradit.

τεσσαράκοντα δύο. ἀπὸ δὲ τοῦ κατακλυσμοῦ, ἕως τῆς πυργοποιίας, ἔτη φκε. [1] ἀπὸ δὲ τῆς πυργοποιίας, ἕως τοῦ Ἀβραάμ, ἔτη υκε. ἀπὸ δὲ τοῦ Ἀβραὰμ ἕως τῆς ἐξόδου τῶν υἱῶν Ἰσραὴλ ἐξ Αἰγύπτου, ἔτη υλ. ἀπὸ δὲ τῆς ἐξόδου ἕως τῆς οἰκοδομῆς τοῦ Σολομοντείου Ναοῦ, ἔτη ψνζ. ἀπὸ δὲ τῆς οἰκοδομῆς τοῦ Ναοῦ ἕως τῆς αἰχμαλωσίας τοῦ Ἰσραήλ, υκε. ὁμοῦ ἔτη τετρακισχίλια ω ὀγδοήκοντα. ἀπὸ δὲ τῆς αἰχμαλωσίας ἕως Ἀλεξάνδρου Μακεδόνος τοῦ βασιλέως τιη. ἀπὸ δὲ Ἀλεξάνδρου ἕως Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, τγ. ὁμοῦ [2] ἔτη εφ. ἀπὸ δὲ τοῦ Χριστοῦ [3] ἕως τοῦ μεγάλου Κωνσταντίνου, τιη. ἀπὸ δὲ Κωνσταντίνου μέχρι Μιχαὴλ υἱοῦ τοῦ Θεοφίλου φνε. ὁμοῦ τὰ πάντα ἔτη ϛτοε. ἀπὸ δὲ Μιχαὴλ ἕως Ῥωμανοῦ υἱοῦ Κωνσταντίνου τοῦ Πορφυρογεννήτου, [4] ἔτη εὕρηται ρκ. ἀπὸ δὲ τοῦ Πορφυρογεννήτου ἕως τῆς τελευτῆς Ἰωάννου τοῦ Τζιμισκῆ, [5] ἔτη κε. καὶ Ἀδαμιαῖος, ἀπὸ Ἀδάμ.

Ἀδάμας. ὁ λίθος. καὶ Ἀδαμάντινα, τὰ στερρά. Ὁ [6] δὲ Ἀπολλώνιος ὥσπερεὶ ἑαυτῷ διελέγετο, οἶδα, ἔλεγε· καὶ, δοκεῖ μοι· καὶ, ποῖ φέρεσθε· καὶ, χρὴ εἰδέναι. καὶ δόξαι βραχεῖαι, καὶ ἀδαμάντιναι.

Ἀδαμαστί. ἐπίρρημα.

Ἀδάμαστος παρθένος. ἄζυξ. [7] Σοφοκλῆς· Νῦν δ' ἡ Διὸς γοργῶπις παρθένος θεὰ ἔσφηλεν ἐμβαλοῦσα λυσσώδη νόσῳ.

Ἀδαμίθειος.

Ἀδαξῆσαι, τὸ κνῆσαι. οὐκ [8] ἐν τῷ ὀδαξῆσαι. καὶ Ἀδαχεῖν. τὸ κνήθειν. [9] Ἀδαχεῖ γὰρ αὐτοῦ τὴν ἀχῶρα ἐκλέγει τ' ἀεί. Ἀριστοφάνης.

Ἀδαξῆσαι. τὸ κ. οὐκ ἐν τῷ
ὀδαξῆσαι. καὶ Α. τὸ κ. Α. γὰρ
αὐτοῦ × τὸν ἀχῶρα ἐκλέγει τ'
ἀεὶ. Ἀριστοφάνης ἐν Ὁλκάσιν.
Photius.

10. Adæo. Scrib. [illegible]
Ep. 362.

Ἀδαῖον. ἄκαυστον. καὶ [10] Ἀδαῖος. ὄνομα κύριον.

Ἄδαιτον. ἀμέριστον.

Ἄδεν. ἤρεσκεν. ἐν Μύθοις.

Οὐδέ οἱ οὐδ' αἴθων ἅδε πάρδαλις, οὕνεκα θυμοῦ
Ἐμπλείη.

Ἀδεές. ἀσφαλές. οὐ φοβερόν. ὡς ἡ παροιμία. Ἀδεὲς

diluvio vero, uſque ad Turris ædificationem, anni 525. A Turris ædificatione, uſque ad Abrahamum, anni 425. Ab Abrahamo, uſque ad Exitum filiorum Iſrael ex Ægypto, anni 430. Ab Exitu, uſque ad Solomonii Templi ædificationem, anni 757. Ab ædificatione Templi, uſque ad captivitatem Iſraelitarum, anni 425. qui anni in unum ſummam collecti, ſunt 4880. A captivitate, uſque ad Alexandrum Macedonem Regem, 318. Ab Alexandro, uſque ad Chriſtum, Deum noſtrum, 303. Tota ſumma, 5500. A Chriſto, uſque ad Conſtantinum Magnum, 318. A Conſtantino, uſque ad Michaelem, Theophili filium, 555. Tota ſumma eſt annorum 6375. A Michaele, uſque ad Romanum, Conſtantini Porphyrogenneti filium, anni reperiuntur 120. A Porphyrogenneto, uſque ad obitum Johannis Tzimiſcæ, ſunt anni 25. Et Ἀδαμιαῖος, ab Adamo oriundus.

Ἀδάμας. Adamas. Lapis. Et Ἀδαμάντινα, dura. *Apollonius cum diſſereret, quaſi Oracula proferens, Novi, aiebat; &, Videtur mihi; &, Quo ferimini? &, Oportet ſcire: & ſententiæ ejus erant breves & quaſi adamantinæ.*

Philoſtr. I. c. 17. p. 21.

Ἀδαμαστί. [Indomite.] Adverbium.

Ἀδάμαστος. Virgo, nondum viro juncta. Sophocles: *Nunc vero illa Jovis filia, & terribilis aſpectu Dea me in errorem induxit, furore immiſſo.*

& Soph. Ajax 450

Ἀδαμίθειος. Adamithius.

Ἀδαξῆσαι. Scalpere. Fricare. Significat idem quod ὀδαξῆσαι. Et Ἀδαχεῖν, ſcalpere. *Scalpit enim ſemper ipſius caput, colligitque ex eo* [*ſordes*]. Ariſtophanes.

Ariſt. ἐν Ὁλκάσιν.
4. Br. fragm.
p. 261.

Ἀδαῖον. Non uſtum. & Adæus, nomen proprium.

Ἄδαιτον. Indiviſum.

Ἄδεν. Placuit. In Fabulis: *Nec illi ullo modo ardens placuit pardalis, quod iræ eſſet plena.*

Ἀδεές. Tutum. Non metuendum. Ut in

---

[1] Ἀπὸ δὲ τῆς πυργοποιίας, ἕως τοῦ Ἀβρ.] Hic omiſſa eſt Epocha annorum 76. quæ, ut ratio ſummæ conſtet, ex Nicephoro huic loco addenda eſt. Apud eum enim recte ſic legitur: Ἀπὸ δὲ τοῦ πύργου ἕως τῶν διχοτομημάτων Ἀβραάμ, ἔτη υκέ. Ἀπὸ δὲ τῶν διχοτομημάτων Ἀβραάμ, ἕως τοῦ τέλους Ἀβραάμ, ἔτη οϛ'. Si ad calculum revoces ſummas annorum hic percenſitas, iiſque Epocham modo dictam addas, videbis exacte inde confici ſummam annorum 4880, quantam Suidas paulo poſt colligit.

[2] Ἔτη εφ'] Lege ἔτη εφά, i. e. 5501. Tot enim anni ex præcedentibus colliguntur. Cauſa & origo mendi eſt τὸ ά in voce ἀπό: quod alterum ά proxime præcedens abſorpſit.

[3] Ἕως τοῦ μεγάλου Κωνσ.] Iohannes Maſſonius, vir eruditus, & judicii in Chronologicis perquam acuti, bene me monuit, verba hæc Suidæ, vel potius Nicephori, non eſſe intelligenda de obitu Conſtantini, quaſi a nato Chriſto ad id uſque tempus anni 318. tantum effluxiſſent; ſed de anno imperii ejus vigeſimo: quoniam in eum annus a nato Chriſto trecenteſimus duodevigeſimus incidit, ſecundum ſententiam ipſius Nicephori, qui pag. 401. tempus Concilii Nicæni in annum Chriſti 318; Conſtantini vero, vigeſimum confert.

Ἀφανές. Obſcurum. Et Ἀφανέστερα, obſcuriora. *Tunc autem, quamvis eſſet meridies, omnia erant nocte obſcuriora.* Ἀφανὴς οὐσία [ab Atticis] vocantur opes, quæ in pecunia numerata, mancipiis, & ſupellectile conſiſtunt. Φανερὰ vero, agri & fundi. Ita Lyſias.

Ἀφανίσαι. Non ſignificat inquinare & polluere; ſed omnino de medio tollere & delere.

Ἄφαντον φῶς. Ignis non apparens: ſive ignis, qui ex pyrite lapide excuditur. Sophocles *Philoctete: Sed ſaxa ſaxis collidens vix inde elicui latentem ignem, qui me huc uſque ſervavit. In domo enim, quam inhabito, beneficio ignis omnia abunde mihi ſuppetunt, præterquam ſanitas.*

---

[1] Καὶ ὅτι οὔτε αὐχήματος, ἐφ' οὗ νῦν εἰσιν, ἑκόντες——συνοίσειν] Hæc ſunt verba Dionyſii Halicarnaſſenſis lib. VIII. pag. 519. ſed apud quem pro οὔτε legitur τοῦτε, uti etiam hic apud Suidam ſcribendum eſt. Vide etiam infra v. Ὑποβήσονται, ubi idem fragmentum repetitur.

[2] Αὐχμεῖς αἰσχρῶς——σὺ δέ γ' εὖ πράττεις] Hæc ſunt verba Ariſtoph. *Nubibus* pag. 176. (106 Ed. Baſ. *P.*)

[3] Ἀριστοφάνης] In *Pluto* pag. 85. (42. Ed. Baſ. *P.*)

[4] Ἀντὶ τοῦ, ἀπώλεσέ με ὁ ὢν αὐχμὸς τῶν σκ. μετωνυμικῶς] Hæc ſunt verba Scholiaſtæ ad modo indicatum locum Ariſtophanis, ſed mutila, quæ integra hic deſcribam: Τὸ ἑξῆς, ἀπώλεσέ με ὁ ὢν αὐχμὸς τῶν σκευαρίων· ἢ τὸ ὢν ἀντὶ τοῦ δή. Ἀττικῶς δὲ εἶπεν ἀντὶ τοῦ ξηρὸς γενόμενος ὑπὸ πενίας ἀπώλεσε τὰ σκευάρια ἄλλως. Μετωνυμικῶς ἀπολέσαι με τὰ σκευάρια ἐποίησεν.

[5] Ἀποδῦναι] Scribendum eſt ἀποδῦσαι, vel, ut Porto videtur, ἀποδύναι, i. e. exuere. Heſychius, Ἀφαγνίσαι, ἀποδύσαι, ἢ συλῆσαι. Καὶ ἀφαγνίσαι (ſic enim locus ille ſupplendus eſt) καθιερώσαντας, ἀφοσιώσαντας.

[6] Ἀφάδιος] Vide etymologum.

[7] Ἄφακα] Eſt nomen urbis Phœniciæ, inter Heliopolim & Byblim olim ſitæ, ubi celebre erat templum Veneris, quod Conſtantinus M. evertit, ut refert Sozom. *Hiſtor. Eccleſ.* lib II. cap. V.

[8] Ἄφαλόν τε. τὸ ἄλοφον] Scribendum eſt, ἄφαλόν τε καὶ ἄλοφον. Reſpexit enim Suidas ad locum illum Homeri Il. K. 257. 258.

Ἀμφὶ δέ οἱ κυνέην κεφαλῆφιν ἔθηκε
Ταυρείην ἄφαλόν τε καὶ ἄλοφον.

Loquitur ibi Poeta de galea Diomedis.

[9] Ἀφανὴς οὐσία λέγεται, ἡ ἐν χρ.] Ex Harpocratione: ad quem vide Mauſſacum & Valeſium. Confer etiam Salmaſium *de Modo Uſur.* pag. 85.

[10] Ἡ ἔγγειος] Priores Edit. male habent ἡ εὔγειος, cujus loco ἔγγειος ex Harpocratione repoſui. Loquitur hic enim Suidas de poſſeſſionibus terreſtribus, ſive, ut Juriſconſultorum vocibus utar, bonis immobilibus, qualia ſunt, agri, fundi, & domus: quæ Græci ἔγγεια vocant.

[11] Σοφοκλῆς Φιλοκτήτῃ] Pag. 387. ut Portus obſervavit.

Ἀφάπτειν.[1] Ἀππιανός· Ἔστη δὲ προμάχους ξύλα παχέα ἔχοντας διπήχεα σεσιδηρωμένα, ἃ ἔμελλον ὡς καταπέλτας ἐκ χειρὸς ἐς τοὺς ἐλέφαντας ἀφάπτειν. τουτέστι, προσκολλᾷν.

Ἀφαρεύς, Ἀθηναῖος, ῥήτωρ, υἱὸς τοῦ σοφιστοῦ Ἱππίου καὶ Πλαθάνης,[2] πρόγονος δὲ Ἰσοκράτους τοῦ ῥήτορος, ἀκμάσας κατὰ τὴν ἐννενηκοστὴν πέμπτην Ὀλυμπιάδα, ὅτε καὶ Πλάτων ὁ φιλόσοφος.

Ἀφαρεί.[3] ἐσπουδασμένως καὶ ἀπερισκέπτως τι ποιεῖν.

Ἄφαρον.[4] τὴν λιπαρὰν γῆν· τὴν πολλὰ μήπω ἀροτριωθεῖσαν.

Ἀφαρόωσι. ἀντὶ τοῦ ἀροτριῶσιν.

Ἀφάρτεροι. ταχύτεροι. ἀπὸ τοῦ ἄφαρ, ὃ σημαίνει τὸ εὐθέως.

Ἵπποι δέ τοι ἔασιν ἀφάρτεροι, οἳ τὸ πάρος περ. Ὅμηρος.[5]

Ἀφασία. ἀφωνία.

Ἁφή. μία τῶν πέντε αἰσθήσεων. ἀπὸ τοῦ ἀφῶ ῥήματος δευτέρας συζυγίας· ἐξ οὗ παράγωγον γέγονε τὸ ἀφάσσω. ἡ δὲ ἁφὴ δασύνεται. δύναται δὲ καὶ ἀπὸ τοῦ ἀφῶ περισπωμένου γεγονέναι. καὶ ἀπὸ τοῦ ἄφω βαρυτόνου.

Ἁφὰς λύχνων.[6] Ἡρόδοτος λέγει.

Ἁφάσσων. ψηλαφῶν. Ἡρόδοτος.

Ἄφαλοι. μεγάλαι, ἢ καταπληκτικαί· ἐν[7] Ἐπιγράμματι·

Τρεῖς ἄφαλοι κεράεσσιν ὑπ' αἰθούσαις τοί, Ἄπολλον,
Ἄγκεινται κεφαλαὶ[8] Μαιναδίων ἐλάφων.

Ἀφαυανθήσομαι. ξηρανθήσομαι. καὶ Ἀφαύει.[9] Ἀριστοφάνης·

Τοὺς ἀλλοτρίους ἀμῶν στάχυς, τούτους
Ἐν ξύλῳ δήσας ἀφαύει, κἀποδόσθαι βούλεται.

τουτέστιν, ὁ Κλέων τοὺς ἀλλοτρίους καμάτους αὐτὸς γεωργῶν καὶ καρπούμενος.[10] αἰνίττεται δὲ πρὸς τὴν Πύλον, ὅτι τοῦ Δημοσθένους προπεπονηκότος, αὐτὸς τὴν νίκην ἐπιγράφεται περὶ τὴν ἐν Σφακτηρίᾳ.

Νῦν δὲ τοὺς στάχυς ἐκείνους, οὓς ἐκεῖθεν ἤγαγεν,
Ἐν ξύλῳ δήσας ἀφαύει, κἀποδόσθαι βούλεται.

ἐπὶ τῶν αἰχμαλώτων. ἀπὸ τοῦ ἀμητοῦ στάχυς εἶπεν,

Ἀφάπτειν. Appianus: *In prima acie collocavit milites, ſudibus bicubitalibus ferratiſque armatos, quas tanquam catapultas in elephantes cominus emiſſuri erant.*

Ἀφαρεύς. Aphareus, Athenienſis, orator, filius Hippiæ ſophiſtæ & Plathanes, & Iſocratis oratoris privignus: qui floruit Olympiade XCV. quo tempore & Plato Philoſophus.

Ἀφαρεί. Feſtinanter & inconſiderate aliquid agere.

Ἄφαρον. Agrum pinguem, nec dum ſæpe aratum.

Ἀφαρόωσιν. Arant.

Ἀφάρτεροι. Celeriores. Ab ἄφαρ, quod ſignificat celeriter, cito. Homerus: *Equi vero tui nunc ſunt celeriores, quam ante.*

Ἀφασία. Cum præ ſtupore loqui non poſſumus.

Ἁφή. Tactus. Unus ex quinque ſenſibus. A verbo ἀφῶ, quod eſt ſecundæ conjugationis: unde deductum eſt ἀφάσσω. Ἁφὴ autem cum ſpiritu aſpero ſcribitur: quod tam a circumflexo ἀφῶ, quam a barytono ἄφω deduci poteſt.

Ἁφὰς λύχνων. Sic Herodotus vocat tempus, quo lucernæ primum accenduntur.

Ἁφάσσων. Attrectans. Contrectans. Herodotus.

Ἄφαλοι. Magnæ, vel terribiles. In Epigrammate: *Tria ingentibus cornibus prædita Mænaliarum cervarum capita, tibi, Apollo, ſub porticu [templi tui] ſuſpenſa ſunt.*

Ἀφαυανθήσομαι. Siccabor. Areſcam. Et Ἀφαύει, ſiccat. Ariſtophanes: *Vir iſte alienam metens meſſem, ſpicas quas ligneis compedibus vinctas illinc adduxit, ſiccatas vendere vult.* Id eſt, Cleon alienorum laborum fructum ſibi vendicat. Alludit enim ad urbem Pylum, ubi cum Demoſthenes magnam belli partem ante confeciſſet, Cleon poſtea rei ibi bene geſtæ gloriam ſibi ſoli tribuit. [Verba autem Comici, paulo ante allegata,] de captivis intelligenda ſunt. Per tranſlationem enim, a meſſe ductam, ſpicas vocat captivos, quos vivos intra diem conſtitutum adduxit, οὓς ζῶντας ἄξειν καὶ ἐπαγγειλάμενος ὁ Κλέων, ἐμπροθέσμως ἤγαγε. Φησὶν οὖν· Ἐκείνους, οὓς δήσας ἤγαγεν, ἀπολῦσαι διανοεῖται. καὶ Ἀφαύειν, καίειν. [1] Ἀποξυρεῖν ταδὶ, τὰ κάτω δ' ἀφαύειν.

---

[1] Ἀφάπτειν. Ἀππιανός] Cum locum hunc excerperet Suidas, corrupto procul dubio codice uſus fuit, quoniam hodie apud Appianum in *Libyc.* pag. 35. pro ἀφάπτειν rectius ſcriptum eſt ἀφήσειν; quam lectionem in verſione ſecutus ſum.

[2] Πρόγονος δὲ Ἰσοκράτους τοῦ ῥήτορος] Aphareus hic non ſolum Iſocratis fuit privignus, ſed etiam filius adoptivus, ut nos docet Dionyſius Halicarnaſſæus *Iſocrate* pag. 102. ubi ſic inquit: Μηδεὶς δὲ ἀγνοεῖν ὑπολάβοι, μηδ' ὅτι Ἀφαρεὺς ὁ πρόγονός τε καὶ εἰσποίητος Ἰσοκράτει γενόμενος &c.

[3] Ἀφαρεί. ἐσπουδασμένως καὶ ἀπερισκ.] Etymologus v. Ἄφαρ: Ἴωνες καὶ οἱ Ἐφέσιοι ἀφαρεὶ λέγουσι τὸ ταχέως καὶ ἀσκόπως ποιεῖν τι ἢ φθέγξασθαι.

[4] Ἄφαρον. τὴν λιπ. γῆν· πολλὰ μήπω ἀροτρ.] Vide Etymologum v. Ἀφάροτος.

[5] Ὅμηρος] Locus, quem Suidas hic ex Homero citat, apud eum non exſtat, ſed alius ei ſimilis Il. Ψ. v. 311.

Τῶν δ' ἵπποι μὲν ἔασιν ἀφάρτεροι, οὐδὲ μὲν αὐτοὶ
Πλείονα ἴσασιν.

Hunc locum Grammaticum noſtrum in animo habuiſſe puto.

[6] Ἡρόδοτος] Lib. VII. pag. 288. ut Portus monuit.

[7] Ἐν Ἐπιγράμματι· Τρεῖς ἄφατοι κερ.] Diſtichum hoc decerptum eſt ex Epigrammate, quod ex Codice MS. Epigrammatum ineditorum integrum exhibemus alibi.

[8] Μαιναδίων] Scribendum eſt Μαιναλίων, ut recte legitur in Codice MS. Epigrammatum ineditorum.

[9] Ἀριστοφάνης] *Equit.* pag. 310. (211. Ed. Baſ. *P.*) ubi verba Comici, quæ Suidas minus fideliter repræſentat, ſic ſe habent:

Κἆτ' οὑνὴρ ἔδοξεν εἶναι, τἀλλότριον ἀμῶν θέρος.
Νῦν δὲ τοὺς στάχυς ἐκείνους, οὓς ἐκεῖθεν ἤγαγεν,
Ἐν ξύλῳ δήσας ἀφαύει &c.

[10] Αἰνίττεται δὲ πρὸς τὴν Πύλον, ὅτι τοῦ Δημοσθ.] Ad hunc locum illuſtrandum egregie faciunt ea, quæ notat Enarrator Comici ad verba illa *Nubibus* pag. 134.

Τοῖς ἐκ Πύλου ληφθεῖσι τοῖς Λακωνικοῖς.

Vide etiam Thucydidem lib. IV. qui res ad Sphacteriam duce Cleone geſtas prolixe narrat.

Ἀφαυροτέροις. ἀσθενεστέροις.

--- Οὐ γὰρ ἀφαυρὸς
Ἐκ Διὸς ἰθείης οἶδε τάλαντα δίκης.

καὶ Ἀφαυροῦ, ἀσθενοῦς.

Ἀφάψαι. προσκολλῆσαι.

Ἀφ' αἵματος. τουτέστι συγγενῶν. Ὁ δὲ συχνοὺς ἐφόνευσεν· ἐφείδετο δὲ οὐδὲ τῶν ἀφ' αἵματος.

Ἀφαίρεμα. ἀνάθημα, δῶρον, ἢ ξένιον. καὶ [2] Ἀφαίρεσις Ὑπερείδης ἰδίως τὴν εἰς ἐλευθερίαν λέγει.

Ἀφαιρεῖν κροκίδας. [3] ἐπὶ τῶν πάντα ποιούντων ἕνεκεν κολακείας. ἄλλοι τε χρῶνται καὶ [4] Ἀριστοφάνης· Εἴ τις κολακεύει παρὼν, καὶ τὰς κροκίδας ἀφαιρῶν. καὶ ἀφαιρεῖ ὠτὸς, ἢ ῥινός· Ἀττικὴ ἡ σύνταξις.

Ει τις (σε) κολακευει Π. est Iambic. tetram. catal. R. Porson. Praef. ad E. Hecub. p. 41.

Ἀφαιροῦμαι. γενικῇ. ἔστι [5] δὲ καὶ αἰτιατικῇ. Καὶ τὸ φρονεῖν ὑπὸ τῆς ἐξουσίας ἀφῃρημένος.

Ἀφαῖς. πληγαῖς, ἢ χερσίν.

Ἀφεδρείας. [6] Ὁ γοῦν Ἡραΐσκος, εἰ αἴσθοιτο φθεγγομένης γυναικὸς ἀκαθάρτου, ἤλγει παραχρῆμα τὴν κεφαλὴν, καὶ τοῦτο σημεῖον ἐποιεῖτο τῆς ἀφεδρείας.

Ἀφ' ἑδρῶν. ἀπὸ τῶν ἑδρῶν. Ἕδραι γὰρ λέγονται [7] αἱ σέλλαι, [8] σελλάρια, σωτήρια. ἔστι δὲ καὶ εὐθεῖα ὁ ἀφεδρὼν, καὶ σημαίνει τὸ μέρος τοῦ σώματος τὸ περὶ τὴν ἔξοδον. ὅτι ὁ ἀφεδρὼν καὶ λουτρὼν, βάρβαρα.

Ἀφεκτέον. γενικῇ.

Ἀφελές. [9] Ὁ δὲ ἐπιφθέγγεται βαρβαρικὸν μέν τι καὶ ἀφελὲς, ἐνεργὸν δὲ ὅμως καὶ χρήσιμον, ὡς δεῖ πρότερον ἀποσοβεῖν τὰς μελίττας, καὶ ἔπειτα τὸ μέλι σχολαίτερον ἀναιρεῖσθαι.

ut ſe facturum pollicitus fuerat. Senſus igitur eſt: Eos, quos vinctos adduxit, dimittere ſtatuit. Et Ἀφαύειν, cremare. *Hanc partem radam: inferiora vero uram.*

Ἀφαυροτέροις. Infirmioribus. Imbecillioribus.

--- *Haud enim infirmus*
Ex Jove rectæ novit lances juſtitiæ.

Et ἀφαυροῦ. Infirmi. Debilis.

Ἀφάψαι. Agglutinare. Adjungere.

Ἀφ' αἵματος. Conſanguinei. *Ille vero multos interfecit, & ne conſanguineis quidem pepercit.*

Ἀφαίρεμα. Donarium. Donum. Et Ἀφαίρεσιν Hyperides peculiariter vocat aſſertionem in libertatem.

Ἀφαιρεῖν κροκίδας. *Floccos ex veſtibus legere.* Dicitur de iis, qui omnia aſſentationis gratia faciunt. Proverbio hoc cum alii uſi ſunt, tum etiã Ariſtophanes. *Si quis aſſentatur præſens, & floccos ex veſtibus legit.* Et ἀφαιρεῖ ὠτὸς, ἢ ῥινὸς, (i. e. aufert aurem vel naſum) Attica eſt conſtructio.

Ἀφαιροῦμαι. Auferor. Et genitivo & accuſativo jungitur. *Et cum imperii licentia ſanam mentem ei ademiſſet.*

Ἀφαῖς. Ictibus. Plagis. Vel, manibus.

Ἀφεδρείας. *Heraiſcus igitur, ſi mulierem impuram audiviſſet loquentem, confeſtim capite dolebat, & hoc argumento cognoſcebat, illam laborare menſtruis.*

Ἀφ' ἑδρῶν. A ſellis. Ἕδραι enim dicuntur ſellæ, vel latrinæ & foricæ. Dicitur etiam in caſu recto ὁ ἀφεδρὼν, quod podicem ſignificat. Ἀφεδρὼν vero & λουτρὼν vocabula ſunt barbara.

Ἀφεκτέον. Abſtinendum eſt. Genitivo jungitur.

Ἀφελές. Simplex. *Ille vero proverbiale quoddam dictum, barbaricum illud quidem & ſimplex, efficax tamen & utile crebro in ore habebat, abigendas prius eſſe apes, & deinde mel per otium tollendum.*

---

[1] Ἀποξυρεῖν ταδὶ, τὰ κάτω δ' ἀφαύειν] Hæc ſunt verba Ariſtoph. *Theſmophor.* pag. 778. (517. Ed. Baſ. *P.*) ſed ubi pro ἀφαύειν legitur ἀφεύειν, quod magis placet.

[2] Καὶ ἀφαίρεσις Ὑπερείδης ἰδίως τὴν εἰς ἐλευθερίαν λέγει] Ex Harpocratione: ad quem vide Mauſſacum.

[3] Ἐπὶ τῶν πάντα ποιούντων ἕνεκεν κολακείας] Genus hoc adulationis Græci vocabant κροκυλεγμόν. Heſychius: Κροκυλεγμὸς, τὸ κολακευτικῶς τὰς κροκίδας ἀπολέγειν τῶν ἱματίων. Egregie huc facit locus apud Theophraſtum in *Characteribus* cap. περὶ κολακείας, ubi inter notas adulatoris etiam hæc memoratur, τὸ ἀφελεῖν κροκίδα ἀπὸ τοῦ ἱματίου. Vide ibi Caſaubonum.

[4] Ἀριστοφάνης· Εἴ τις κολ.] Locus hic Ariſtophanis hodie non exſtat.

[5] Ἔστι δὲ καὶ αἰτ.] Monente Porto legere præſtat, ἔστι δ' ὅτε καὶ αἰτ.

[6] Ὁ γοῦν Ἡραΐσκος, εἰ αἴσθοιτο φθεγγ.] Integrum locum Damaſcii, ex quo fragmentum hoc decerptum eſt, exhibet Photius Cod. CCXLII. pag. 1049. & Suidas infra v. Διαγνώμων & v. Ἡραΐσκος.

[7] Αἱ σέλλαι] Eſt vox Latina, ſignificans locum, ubi (ſit honos auribus) alvum exoneramus. Vide Caſaubonum ad *Charact.* Theoph. pag. 270.

[8] Σελλάρια, σωτήρια] Sic recte habent duo MSS. Pariſienſes. In prioribus vero Edit. non ſolum ſignum diſtinctionis, poſt σελλάρια ponendum, omiſſum eſt, ſed etiam pro σωτήρια, male legitur σωτηρία, accentu in penultimam tranſlato; quæ παραδιόρθωσις procul dubio profecta eſt ab illis, qui ignorabant, quid σωτήρια hic apud Suidam ſignificaret. Portum nihil hic vidiſſe verſio ejus oſtendit, quæ ita ſe habet: *Ἕδραι enim dicuntur ſellæ: unde dicta ſellaria ſalus.* Addit deinde: *Sic fortaſſe dicta ſalus, quam quis inſidens equo ſellam habenti adeptus eſt.* Sed hanc interpretationem & & conjecturam a veritate & mente Suidæ alieniſſimam eſſe jamdudum monuit Reineſius *Var. Lect.* lib. III. cap. VII. qui recte ibidem obſervat, σωτήρια hic apud Suidam ſignificare latrinam vel foricam. Ad hæc probandum adducit elegans Epigramma Agathiæ, in foricam urbis Smyrnæ compoſitum, quod exſtat Anthol. lib. IV. cap. XXVIII. pag. 510. cum hoc lemmate: Ἀγαθίου Σχολαστικοῦ εἰς σωτήρια ἐν Σμύρνῃ. Ipſum Epigramma tale eſt:

Πᾶν τὸ βροτῶν σπατάλημα, καὶ ἡ πολύολβος ἐδωδὴ
  Ἐνθάδε κρινομένη, τὴν πρὶν ὄλεσσε χάριν.
Οἱ γὰρ φασιανοί τε καὶ ἰχθύες, αἵ θ' ὑπὲρ ἴγδιν
  Τρίψιες, ἥ τε τόση βρώματος ἐξαπάτη,
Γίγνεται ἐνθάδε κόπρος. ἀποσεύει δ' ἄρα γαστὴρ
  Ὁππόσα πιναλέη δέξατο λαυκανίη.
Ὀψὲ δὲ γινώσκει τις, ὅτ' ἄφρονα μῆτιν ἀείρων,
  Χρυσοῦ ποσατίου τὴν κόνιν ἐπρίατο.

Id eſt, interprete Reineſio: *Omnis hominum luxus & caro emptus cibus hic ſecernitur, & priorem perdidit gratiam. Phaſiani enim, & piſces, & trita mortario* [*aromata,*] *& tanta ferculorum fraudes hic fiunt ſtercus. Expellit autem venter, quicquid famelica gula ſuſcepit. Sed ſero quis agnoſcit, quod ſtulto conſilio ſordes tanto auro emerit.* Satis manifeſtum eſt, in hoc Epigrammate de forica ſive cloaca agi. Cæterum, non tantum foricæ urbis Smyrnæ appellabantur σωτήρια, nec ad eas Suidas peculiariter hic reſpexit, ut idem Reineſius loco laudato exiſtimat; ſed appellatio iſta omnibus latrinis communis erat, ut ſatis patet ex loco illo Conſtantini Acropolitæ, quem citat Ducangius in Gloſſario Græco: Ὅλην τὴν λαύραν περιελθέτω, καὶ τὰ τῶν οἰκιδίων, ἃ δὴ καλοῦμεν σωτήρια, σαρωσάτω τὰ λύματα. i. e. *Totum monaſterium obeat, & latrinarum, quas σωτήρια vocamus, ſordes everrat.* Joannes Hieroſolymitanus ad illum locum: Πᾶσαν διελθεῖν τὴν τῆς λαύρας περιοχὴν, καὶ δι' ἑαυτοῦ ἐκκαθᾶραι τὰ ἐν ταῖς κέλλαις τῶν μοναχῶν τῶν ῥυπισμάτων οἰκίδια.

[9] Ὁ δὲ ἐπιφθέγγεται βαρβαρικὸν μέν τι καὶ ἀφ.] Apud Agathiam lib. III. pag. 78. unde locus iſte depromptus eſt, ſic legitur: Τοιγάρτοι ἐκεῖνος θαμὰ ἐπιφθέγγετο παροιμιῶδές τι βαρβαρικὸν μὲν καὶ ἀφελὲς &c. Vide etiam infra v. Σχολαίτερον, ubi fragmentum hoc repetitur, & pro ἐπιφθέγγετο rectius legitur ἀπεφθέγγετο.

Ἀφέλεια. [1] Δαμάσκιός φησιν, ὡς Ἰσίδωρος περὶ τῇ ἀφελείᾳ καὶ ἀψεύδειαν ἠγάπα διαφερόντως, καὶ ἀπεδέχετο· ὥστε καὶ εὐθύγλωττος εἶναι πέρα τοῦ δέοντος, καὶ οὐδ' ὁτιοῦν ἔχειν ἐν ἑαυτῷ προσποιούμενον. καὶ Ἀφελὴς, ἐπὶ τοῦ ὑγιὴς καὶ ὁλόκληρος, ἢ μέγας, καὶ ἀνεπικώλυτος. καὶ Ἀφελές ὁμοίως.

Μισῶ [2] τὴν ἀφελῆ, μισῶ τὴν σώφρονα λίαν.

ἐπὶ τῆς ἀπονήρου καὶ δοσιπύγου. Καὶ τὰ ἐπιστόλια ἀφελῶς γράφειν. καὶ Ἀφελῶν πεδίων. [3] Ἀριστοφάνης περὶ Κρατίνου·

--- Ὃς πολλῷ ῥεύσας πότ' ἐπαίνῳ

Ἐφόρει τὰς δρῦς, καὶ τὰς πλατάνους, καὶ τοὺς ἐχθροὺς προθελύμνους·
Καὶ, Τέκτονες εὐπαλάμων ὕμνων. οὕτως ἤνθησεν ἐκεῖνος.
Ἐκπιπτουσῶν τῶν ἠλέκτρων, καὶ τοῦ τόνου οὐκ ἔτ' ἐνόντος,
Ὥσπερ Κοννᾶς, στέφανον μὲν ἔχων αὖον, δίψῃ δ' ἀπολωλώς.

τουτέστιν, εὐδοκιμήσας πολλάκις. ὁ γὰρ Κρατῖνος ἑαυτὸν ἐπῄνεσεν ἐν Πιτύνῃ, λέγων·

Ἄναξ [5] Ἄπολλον τῶν ἐπῶν τοῦ ῥεύματος
Καναχοῦσι πηγαὶ, δωδεκάκρουνον στόμα.
Ἰλισσὸς ἐν τῇ Φαρυγγίᾳ, τί ἂν εἴποιμι;
Εἰ μήγε ἐπιβύσει αὐτοῦ τὸ στόμα,
Κατακλύσει τοῖς στόμασιν.

Ἀφελχθείη. κωλυθείη. Ξυμβουλεύειν ἐδόκει, εἴ πῃ ἀφελχθείη τῆς ὁρμῆς ταύτης.

Ἄφεμα. Ὧν καὶ τὸ ἄφεμα μετὰ ῥώμης ἦν.

Ἀφέμενον. γενικῇ. ἀναχωρήσαντα, ἀποστάντα, ἀντιλέγοντα.

Ἄφενος. [6] πλούσιος. τὸ ἄφενος οὐδετέρως.

Ἀφέντες [7] τὴν ὑπέραν τὸν πόδα διώκουσιν. ἐπὶ τῶν τὰ ἀναγκαῖα μὲν παραλιμπανόντων, τὰ περιττὰ δὲ προτιμωμένων. παρὰ Ὑπερείδῃ.

Ἀφέξει. ἀποκωλύσει. ἀποστήσει. καὶ Ἀφέξομαι, παύσομαι, ἀποστήσομαι.

Ἀφέωκα. Δωρικόν. Ἀφεῖκα δὲ, τὸ Ἀττικόν. κέχρηνται δὲ καὶ Ἴωνες, ὡς Ἡρόδοτος.

Ἀφέωνται [8] σοι αἱ ἁμαρτίαι σου. [9] αὐθυπότακτον.

Ἀφέλεια. Simplicitas. Damaſcius ait, *Iſidorum non ſolum ſimplicitatis, ſed etiam veracitatis admodum ſtudioſum fuiſſe, adeo, ut apertius & ſimplicius loqueretur, quam par eſſet, & nihil prorſus ſimulati in ſe haberet.* Et Ἀφελὴς, ſanus, integer; vel magnus, & quem nemo impedit. [In Epigrammate:] *Odi ſimplicem, odi etiam pudicam nimis.* Hic ἀφελὴς dicitur de muliere, quæ omni aſtutia caret, & facile ſui copiam cuilibet præbet. Et, Epiſtolas ſimplici ſtilo ſcribere. Et Ἀφελῶν πεδίων, planorum camporum. Ariſtophanes de Cratino inquit: *Qui multa olim fluens cum laude per planos campos manabat* &c.

Διὰ τῶν ἀφελῶν πεδίων ἔῤῥει, [καὶ [4] τῆς στάσεως παρασύρων,
Ἆισαι δ' οὐκ ἦν ἐν ξυμποσίῳ πλὴν, Δωροῖ συκοπέδιλε,
Νυνὶ δ' ὑμεῖς αὐτὸν ὁρῶντες παραληροῦντ' οὐκ ἐλεεῖτε,
Τῶν θ' ἁρμονιῶν διαχασκουσῶν. ἀλλὰ γέρων ὢν περιέῤῥει,
Ὃν χρῆν διὰ τὰς προτέρας νίκας πίνειν ἐν τῷ Πρυτανείῳ.]

Hoc eſt, qui ſæpe plauſum meruit. Cratinus enim ſe ipſe in *Pityne* laudavit dicens: *Rex Apollo, os meum perennis & uberrimi fontis inſtar copioſe & cum ſtrepitu carmina fundit. Iliſſus fluvius eſt in faucibus. Quid dicam tibi? Niſi enim quis obturaverit os ejus, omnia inundabit poematis.*

Ἀφελχθείη. Prohibeatur. Revocetur. *Conſulere ipſi viſum eſt, ſi forte ab hoc impetu revocari poſſet.*

Ἄφεμα. Emiſſio. Ejaculatio. *Quorum & ipſa ejaculatio violenta erat.*

Ἀφέμενον. Genitivo jungitur. Recedentem, abſcedentem, contradicentem.

Ἄφενος. Divitiæ. Dicitur etiam τὸ ἄφενος genere neutro.

Ἀφέντες τὴν ὑπ. *Omiſſo fune antennæ pedem veli ſectantur.* Dicitur apud Hyperidem de iis, qui neceſſaria omittunt, iiſque ſupervacanea præferunt.

Ἀφέξει. Prohibebit. Amovebit. Arcebit. Et ἀφέξομαι, abſtinebo, ceſſabo, abſcedam.

Ἀφέωκα. Doricum. Ἀφεῖκα vero, Atticum. Dimiſi. Hoc autem utuntur & Iones, ut Herodotus.

Ἀφέωνταί σοι αἱ ἁμ. *Remiſſa tibi ſunt peccata tua.* Eſt ſubjunctivus.

---

[1] Δαμάσκιός φησιν, ὡς Ἰσίδωρος περὶ τῇ ἀφελείᾳ κ. ἀψ.] Idem fragmentum Damaſcii legitur etiam in Collectaneis Photii pag. 1032. ut Pearſonius obſervavit.

[2] Μισῶ τὴν ἀφελῆ, μισῶ τὴν σώφρονα λίαν] Verba hæc leguntur Antholog. Epigr. lib. VII. pag. 631. (486. Edit. Henr. Steph. *P.*)

[3] Ἀριστοφάνης] *Equit.* pag. 319. (219. Ed. Baſ. *P.*)

[4] Καὶ τῆς στάσεως—— ἐν τῷ Πρυτανείῳ] Verba hæc, uncis incluſa, in verſione prætermiſi, quoniam nihil ad vocem ἀφελὴς faciunt, ſed prorſus ſupervacanea ſunt. & abſque judicio ex modo laudato loco Ariſtophanis huc tranſlata.

[5] Ἄναξ Ἄπολλον, τῶν ἐπῶν τοῦ ῥεύματος——τοῖς στόμασιν] Verſus hi apud Scholiaſtam Ariſtoph. ad *Equit.* pag. 319. (219. Ed. Baſ. *P.*) emendatius ſic leguntur:

Ἄναξ Ἄπολλον, τῶν ἐπῶν τῶν ῥευμάτων
Καναχῶσι (malim καναχοῦσι) πηγαὶ, δωδεκάκρουνον στόμα.
Ἰλισσὸς ἐν φάρυγι. τί ἂν εἴποιμί σοι;
Εἰ μὴ γὰρ ἐπιβύσει τις αὐτοῦ τὸ στόμα,
Ἅπαντα ταῦτα κατακλύσει ποιήμασιν.

Tres priores verſus citat etiam Tzetzes Chil. VIII. cap. CLXXXIV. Vide etiam infra v. Δωδεκάκρουνος.

[6] Πλούσιος] Legendum eſt πλοῦτος, ut Portus etiam monuit.

[7] Ἀφέντες τὴν ὑπέραν τὸν πόδα διώκουσιν] Vide paulo inferius v. Ἀφείς.

[8] Ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου] Matth. IX. 2.

[9] Αὐθυπότακτον] Imo potius ὁριστικὸς παρακείμενος. Vide Etymologum v. Ἀφέωκα.

Ἀφερπύσαι.[1] βαδίσαι. ἀπὸ μεταφορᾶς τῶν ἑρπετῶν. ἐν. τούτου δὲ τὴν ἥσυχον κλοπὴν τὴν ἐπὶ τὴν χύτραν δηλοῖ. Ἀριστοφάνης ἐν Πλούτῳ·

Ἐφ' ἣν ἐπεθύμουν δαιμονίως [2] ἀφερπύσαι.

Ἄφες[3] ἀπὸ βαλβίδων ἐμέ τε καὶ τοῦτον. τουτέστιν, ἀπὸ κανόνων. Βαλβὶς γὰρ ἡ ἄφεσις [4] τῶν δρόμων.

Ἀφέσθαι. ἀποσχέσθαι.

Ἀφ' Ἑστίας. ἀπὸ τῆς οἰκίας. [5] Ἀφ' Ἑστίας μυεῖσθαι. Ἀφ' Ἑστίας μυούμενος, Ἀθηναῖος ἦν.

Ἀφέται. τόπος Ἀθήνησιν, [6] ἔνθα ὁ στόλος Ξέρξου τὸ πρῶτον ἐδυστύχησε διὰ λιμένων ἀνεπιτηδειότητα. ὅθεν τὸν Βορέαν Ἀθηναίων σύμμαχον εἶναι νομίζουσιν. χρήσας δ' ἦν ὁ Θεὸς καὶ ἀνέμῳ συγγενεῖ θύειν. εἶναι [7] δὲ συγγενὴς λέγεται διὰ τὴν Ὠρείθυιαν.

Ἀφετηρία.[8] ἀρχή. θύρα τοῦ ἱπποδρόμου. Ἀφετήρια δὲ ὄργανα, τὰ πολιορκητικά. Τὰ δὲ ἀφετήρια ὄργανα διΐστησιν ἐπὶ τοῦ τείχους.

Ἄφευε [9] τῶν φασήλων, ὦ γύναι, τρεῖς χοίνικας.

Ἀφευθεὶς τὸν πρωκτόν. Ἀριστοφάνης· ἀντὶ τοῦ φλογισθείς.

Ἀφειδήσας. γενικῇ. ἀμελήσας. Καὶ τὸν τρόπον ἀφειδεστάτω ἤστην, καὶ φονικωτάτω. Καὶ Ἀφειδία, καρτερία. καὶ Ἀφειδῶς, ἀπρομηθεύτως, ἀβούλως. Ἀγαθίας· [10] Ὁ δὲ νεώτερος ὢν, καὶ οὔπω ἐντελῶς τὰς τῆς φύσεως ὁρμὰς ἐπέχειν καὶ ἐγκαθείργειν δυνάμενος, ἀλλὰ πλέον τοῦ προμηθοῦς καὶ βεβηκότος τῷ φιλοδοξοῦντι τοῦ τρόπου πέρα τοῦ μετρίου ἐγκείμενος, ἀφειδῶς ἐπῄει τοῖς πολεμίοις.

Ἀφεῖκα, τὸ Ἀττικόν. τὸ δὲ ἀφέωκα, Δώριον. κέχρηνται δὲ καὶ Ἴωνες, ὡς Ἡρόδοτος.

Ἀφείλετο.[11] αἰτιατικῇ. ἥρπασεν. ἀνέσπασε. λέγεται δὲ καὶ ἀφείλατο διὰ διφθόγγου.

Ἀφεῖνται. παρίενται. ἠμέληνται. Ποῖ φέρομαι; πάντη δὲ φρενῶν οἱ ἀφεῖνται.

Ἀφεὶς,[12] καὶ ἀπαλλάξας. τὸ μὲν ἀφεὶς ἐστὶν, ὅταν ἀπολύσῃ τίς τινα τῶν ἐγκλημάτων, ὧν ἐνεκάλει αὐτῷ. τὸ δὲ ἀπαλλάξας, ὅταν πείσῃ τὸν ἐγκαλοῦντα ἀποστῆναι, καὶ μηκέτι ἐγκαλεῖν. οὕτω Δημοσθέ-

Ἀφερπύσαι. [Suſpenſo gradu] ire. [Furtim accedere.] Per metaphoram a reptilibus ductam. Ariſtophanes *Pluto: Ad quam vehementer cupiebam adrepere.* Significat clandeſtinum furtum, quo [Carion] ollam ſurripere cupiebat.

Ἄφες ἀπὸ βαλβ. *Emitte ex carceribus & me & iſtum.* Βαλβὶς ſignificat locum, unde curſus initium fiebat.

Ἀφέσθαι. Abſtinuiſſe.

Ἀφ' Ἑστίας. A Veſta. A domo. Et ἀφ' Ἑστίας μυεῖσθαι, Veſtæ ſacris primum initiari. *Ille vero, qui Veſtæ ſacris primum initiabatur, Athenienſis erat.*

Ἀφέται. Aphetæ, locus Athenis, ubi claſſis Xerxis primam cladem accepit, propter portus minus commodos. Hinc Boreas Athenienſium in bellis ſocius fuiſſe creditur. Oraculum enim redditum fuerat Athenienſibus, ut ſacrificarent vento cognato, qui dicitur eſſe [Boreas;] propter Orithyam.

Ἀφετηρία. Initium. Carceres in Circo. Ἀφετήρια ὄργανα vero ſunt machinæ bellicæ, quibus in obſidionibus urbium utuntur. *Et machinas bellicas per muros diſpoſuit.*

Ἄφευε τῶν φασ. *Torre, mulier, phaſelorum tres chœnices.*

Ἀφευθεὶς τὸν πρωκτόν. Uſtus podicem. Ariſtophanes. Ἀφευθεὶς enim hic idem ſignificat, quod φλογισθείς.

Ἀφειδήσας. Genitivo jungitur. Qui nullam alicujus rationem habet. *Ingenio erant crudeliſſimo & cædium cupidiſſimo.* Et Ἀφειδία, tolerantia. Et Ἀφειδῶς, inconſulte, temere. Agathias: *Ille vero, cum eſſet juvenis, nec dum impetum animi penitus coercere & refrænare noſſet, ſed gloriæ cupiditati, cui ſupra modum addictus erat, magis obſequeretur, quam prudentiæ & conſilio, hoſtes audacter aggreſſus eſt.*

Ἀφεῖκα. Atticum. Ἀφέωκα vero, Doricum, quamvis & Iones eo uſi ſint; ut Herodotus.

Ἀφείλετο. Abſtulit. Avulſit. Dicitur & ἀφείλατο, cum diphthongo. Accuſativo jungitur.

Ἀφεῖνται. Produntur. Negliguntur. *Quo feror?* * * *

Ἀφεὶς & ἀπαλλάξας [differunt.] Illud enim dicitur, cum quis aliquem criminum, quæ ipſi objecerat, accuſare deſinit. Ἀπαλλάξας vero, cum quis accuſatori perſuadet, ut νης καὶ Ἰσαῖος. ἔστι δὲ καὶ οὕτως εἰπεῖν, ὡς ἀφίησι τὶς μόνον ἐκείνων, ὧν ἐγκαλεῖ· ἀπαλλάττει δὲ, ὅταν μηδὲ ἄλλον τινὰ ὑπολίπηται ἑαυτῷ λόγον πρὸς τὸν ἐγκαλούμενον. ἔστι δὲ καὶ τοῦτο παρὰ τῷ Δημοσθένει. Καὶ παροιμία· [1] Ἀφεὶς τὴν ὑπέραν, τὸν πόδα διώκεις. ἡ παροιμία παρὰ Ὑπερείδῃ. ἐπὶ τῶν παριέντων μὲν τὰ σπουδαιότερα, περὶ δὲ τὰ φαῦλα διατριβόντων. Ὑπέραι δ' εἰσὶν ναυτικαὶ σχοῖνοι, αἷς μετάγεται τὸ κέρας. καὶ Ἀφεῖσθαι παίζειν λέγεται ἐπὶ τῶν ἐν ταῖς ἑορταῖς ἀργούντων, καὶ πρὸς παιδιὰν ἀφειμένων· μάλιστα δὲ ἐπὶ παίδων ἀφειμένων παίζειν.

---

[1] Ἀφερπύσαι. βαδίσαι. ἀπὸ μεταφορᾶς τῶν ἑρπ.] Ex Enarratore Comici ad *Plutum* pag. 71. (36. Ed. Baſ. *P.*)

[2] Ἀφερπύσαι] Apud Ariſtophanem loco laudato rectius legitur ἐφερπύσαι.

[3] Ἄφες ἀπὸ βαλβίδων ἐμέ τε καὶ τοῦτον] Hæc ſunt verba Ariſtophanis *Equit.* pag. 354. ubi pro τοῦτον rectius legitur τουτονί.

[4] Τῶν δρόμων] Malim τῶν δρομέων, ut apud Etymologum v. βαλβίς.

[5] Ἀφ' Ἑστίας μυεῖσθαι] Vide Enarratorem Comici ad *Veſpas* p. 491.

[6] Ἔνθα ὁ στόλος Ξέρξου τὸ πρῶτον ἐδυς.] Hiſtoriam narrat Herodotus lib. VII. pag. 283. qui omnino cum hoc loco Suidæ conferendus eſt.

[7] Εἶναι δὲ συγγενὴς λέγεται διὰ τὴν Ὠρείθυιαν] Vide infra v. Γαμβρὸς Ἐρεχθέως.

[8] Ἀφετηρία. ἀρχή. θύρα τοῦ ἱπποδρ.] Vide omnino Salmaſium in *Plin. Exercit.* pag. 648. qui pro ἀρχὴ, θύρα hic apud Suidam ex Eudemo reponendum monet ἀρχίθυρα: quod interpretatur *limina & prima fores.*

[9] Ἄφευε τῶν φασήλων, ὦ γύναι, τρεῖς χ.] Hæc ſunt verba Ariſtoph. in *Pace* pag. 708. (477. Ed. Baſ. *P.*) ſed ubi pro ἄφευε legitur ἄφαυε.

[10] Ὁ δὲ νεώτερος ὢν, καὶ οὔπω ἐντελῶς τὰς τ. φ.] Hoc fragmentum legitur apud Agathiam lib. v. pag. 169.

[11] Ἀφείλετο. αἰτιατικῇ. ἥρπασε] Ut ταυτολογία loci hujus evitetur, legendum eſt, Ἀφείλετο. αἰτιατικῇ. ἥρπασεν. ἀνέσπασε. λέγεται δὲ καὶ ἀφέλετο, ἄνευ διφθόγγου. Vel, ut Porto placet, Ἀφέλετο. αἰτιατικῇ. ἥρπασεν. λέγεται δὲ καὶ ἀφείλετο διὰ διφθόγγου.

[12] Ἀφεὶς, καὶ ἀπαλλάξας. τὸ μὲν ἀφ.——πρὸς τὸν ἐγκαλούμενον] Ex Harpocratione.

Ἀφή. [2] χροιὰ λέπρας. λέγεται δὲ καὶ ἡ ψηλάφησις. καὶ αὐτὴ ἡ αἴσθησις. ἔστιν ἐν τῷ Αἴσθησις.

Ἀφηβηκότι. γηράσαντι. ὑπερβεβηκότι τὴν ἥβην, τουτέστι τὴν νεότητα.

Ἀφηλικέστερος. Ὁ δὲ Καῖσαρ τοὺς μὲν ἀφηλικεστέρους ἀφῆκε τῶν στρατιωτῶν· τοῖς δὲ τὴν στρατεύσιμον ἡλικίαν ἔχουσι θέατρον τέθεικεν. Ἀρριανός· Παιδὸς γὰρ ἐκείνου ἀφήλικος ἐπιτροπεύσειν τε αὐτοῖς μέλλον, καὶ ὑπὸ τῷ ἐκείνου προσχήματι πᾶν ὅ, τι περ καθ' ἡδονὴν σφίσι πράξειν ἐς τοὺς ὑπηκόους. Καὶ αὖθις· Τὸν μὲν νεανίαν, τὸν δὲ ἀφηλικέστερον. καὶ Ἀφήλικα, τὸν πρεσβύτην. τινὲς δὲ χρῶνται τῇ λέξει ἐπὶ τοῦ μηδέπω τῆς ἐννόμου ἡλικίας παιδός· ὅπερ δεῖ φυλάττεσθαι. ἐπὶ γὰρ τοῦ πρεσβύτου λέγεται.

Ἄφημος. [3] ἀπευθής.

Ἀφηνιαστής. ἀνυπότακτος. ὑπερήφανος. [4] Οἱ δὲ ἀφηνίασαν μὲν αὐτὸν τῆς φιλίας· ἐβουλήθησαν δὲ διαμαρτύρεσθαι τοῦτο τρόπον τινά. τὴν γοῦν εἰκόνα Φιλίππου, ὡς ἀνάθημα κειμένην, κατέσπασαν.

Ἀφήτορος. [5] οὐ κοινότερον, ἀλλὰ τοῦ Πυθίου· οἷον ὁμοφήτορος· διὰ τὸ οἷον εἰς λόγους ἔρχεσθαι τοῖς χρησμῳδουμένοις.

Ἀφιᾶσι. καταλιμπάνουσιν.

Ἀφῖγμαι. παραγέγονα. [6] Ἀφίξομαι ὑμῖν δύο ἡμερῶν ὕστερον· οὐδὲ ἐψεύσατο. Καὶ αὖθις Αἰλιανός· Ὁ δὲ ὄναρ εἶδε τοὺς ὀφθαλμοὺς ἐξορύττεσθαι, καὶ ἠντιβόλει δεόμενος τὴν πήρωσιν τῆς ὄψεως, λέγων, ἀφίξομαι ὑμῖν δύο ἡμερῶν ὕστερον. ἀνῃρέθη γοῦν μετὰ τοσαύτας ἡμέρας.

Ἀφιδρύματα. τὰ τῶν Θεῶν ἀγάλματα. Εὐθὺς οὖν ἱκετηρίαν ἐκόμιζον οἱ πρεσβύτατοι τὰ παλαιότατα τῶν κατὰ τὴν πόλιν ἀφιδρυμάτων.

Ἀφίεμαι. γενικῇ. ἐπὶ τῶν παθητικῶν. ἐπὶ δὲ τῶν ἐνεργητικῶν, δοτικῇ. Ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις.

ab accuſatione deſiſtat. Demoſthenes & Iſæus. Poteſt & ſic dici: Ἀφίησι quis ea tantum crimina, quorum alterum accuſat: ἀπαλλάττει vero, qui nullam prorſus criminationem adverſus reum ſibi relinquit. Eſt enim & hoc apud Demoſthenem. Et proverbium: *Omiſſo fune antennæ pedem veli ſectatur.* Apud Hyperidem. Dicitur hoc proverbium de illis, qui ſeria omittentes, rebus levibus & ſupervacaneis immorantur. Ὑπέραι autem vocantur funes nautici, quibus antennæ circumaguntur. Et ἀφεῖσθαι παίζειν dicitur de illis, qui diebus feſtis otiantur, & ludendo animum relaxant. Præcipue vero de pueris dicitur, quibus ludendi poteſtas facta eſt.

Ἀφή. Color lepræ. Sic etiam dicitur contrectatio, & ipſe ſenſus tactus. Vide in v. Αἴσθησις.

Ἀφηβηκότι. Illi, qui conſenuit, & pubertatem, ſive juventutem jam præteriit.

Ἀφηλικέστερος. Natu grandior. *Cæſar autem militibus natu grandioribus miſſionem dedit: illis vero, qui militari erant ætate, theatrum exſtruxit.* Arrianus: *Cum enim ipſis curæ eſſet, ut impuberis illius tutelam adminiſtrarent, & ſub illo prætextu quidvis pro libidine in ſubditos ſtatuerent.* Et iterum: *Alterum juniorem, & alterum ſeniorem.* Et Ἀφήλικα, ſeniorem. Quidam vero hac voce utuntur de puero, qui legitimam juſtamque ætatem nondum attigit: quod cavendum eſt. [Communiter] enim de ſene dicitur.

Dio Caſs. I. 720. 54-59.
Reimar in Dion. II. 1521.

Ἄφημος. Obſcurus. Ignobilis.

Ἀφηνιαστής. Qui imperium recuſat. Contumax. Superbus. *Illi vero amicitiam ejus excuſſerunt; & hoc aliquo modo teſtari volentes, ſtatuam Philippi, Deo cuidam conſecratam, everterunt.*

Ἀφήτορ. Non eſt vocabulum commune, ſed [epithetum] Apollinis; quaſi dicas ὁμοφήτορ, i. e. qui colloquitur cum iis, qui oraculum conſulunt.

Ἀφιᾶσι. Dimittunt. Relinquunt.

Ἀφῖγμαι. Veni. *Veniam ad vos duobus poſt diebus. Nec mentitus eſt.* Et Ælianus: *Ille vero in ſomnis oculos ſibi effodi videns, ſupplex orabat, ne oculis privaretur, dicens, ſe poſt duos dies ad ipſos venturum eſſe: poſt quod tempus interfectus eſt.*

Ἀφιδρύματα. Deorum ſimulacra. *Statim igitur ſeniores antiquiſſima Deorum ſimulacra, quæ in urbe erant, protulerunt, ut iis [hoſti] ſupplicarent.*

Ἀφίεμαι. In paſſivo genitivum adſciſcit. In activo vero, dativum. *Ut & nos remittimus debitoribus noſtris.*

---

[1] Ἀφεὶς τὴν ὑπέραν, τὸν π. —— μετάγεται τὸ κέρας] Ex Harpocratione.

[2] Ἀφή. χροιὰ λέπρας] Vox iſta eo ſenſu frequens eſt apud LXX Interpretes Levit. cap. XIII.

[3] Ἄφημος] In prioribus Edit. male legitur ἄφηβος: cujus loco ſcribendum eſſe ἄφημος non ſolum ex ſerie literarum patet, ſed etiam ex iis, quæ leguntur apud Suidam ſupra v. Ἀπευθής.

[4] Οἱ δὲ ἀφηνίασαν μὲν αὐτὸν τῆς φιλίας] Legendum potius eſt, οἱ δὲ ἀφηνίασαν μὲν αὐτοῦ τῆς φιλ.

[5] Ἀφήτορος] Eſt epithetum Apollinis apud Homerum Il. I. v. 404. ubi brevis Scholiaſta vocabulum hoc ſic exponit: Ἀφήτορος, τοῦ Ἀπόλλωνος. ἤτοι ὁμοφήτορος, ὁμοίως πᾶσι προφητεύοντος καὶ μαντευομένου τῷ τε πένητι, καὶ τῷ πλουσίῳ. Ἢ τοξικοῦ· ἀπὸ τῆς τῶν βελῶν ἀφέσεως.

[6] Ἀφίξομαι ὑμῖν δύο ἡμερῶν ὕστερον. οὐδὲ ἐψεύσατο] Verba hæc conjungenda ſunt cum fragmento, quod proxime ſequitur, quoniam non ſolum ex eodem auctore deprompta ſunt, ſed etiam de eadem omnino re concepta eſſe cuilibet facile patet.

Ἀφ' ἱερᾶς. παροιμία· Κινήσω τὸν ἀφ' ἱερᾶς. λέγεται δέ τις παρὰ τοῖς πεσσεύουσιν ἱερὰ γραμμή. οὕτως Ἐπίχαρμος. ζήτει ἐν τῷ, Κινήσω τὸν ἀφ' ἱερᾶς.

Ἀφιζάνει. ἀπανίσταται τῆς καθέδρας.

Ἀφίει. ἀπέπεμπεν.

Ἀφίημι. δοτικῇ. καὶ μετ' αἰτιατικῆς· Ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας.

Ἀφίκετο. ἐλήλυθεν. ἦλθεν. Ὁ δὲ στρατὸς ἀφίκετο τῆς Ἀττικῆς εἰς Οἰνόην, ᾗπερ ἔμελλον εἰσβαλεῖν. οὕτω φησὶ Θουκυδίδης τὴν σύνταξιν. καὶ Ἀφῖκται, παραγέγονε. καὶ ἀφῖκτο.

Ἀφιλότιμος. ταπεινός. παρὰ τὸ μὴ φιλεῖν τιμήν, ἢ ἡττᾶσθαι δόξης. ἢ ὁ πρὸς μηδὲν ἀξιόλογον ἐπεστραμμένος. καὶ ὁ φειδωλὸς παρ' ἐνίοις. [1] Οὐδεὶς ἦν ἀφιλότιμος οὕτως, ὡς Μωϋσῆν θεασάμενος μὴ ἐκπλαγείη τῆς εὐμορφίας.

Ἀφιματῶσαι. ἀποδῦσαι.

Ἄφιππα χωρία. ἐν οἷς ἂν μὴ ἔστιν ἱππάσασθαι. Ὁ δὲ ἐκκλίνει πρὸς τὰ δύσχωρά τε καὶ ἀνάντη καὶ ἄφιππα. καὶ Ἄφιπποι, χωρὶς ἵππων. Περιδεεῖς δὲ ἦσαν ὡς ἐν ἐρημίᾳ, τά τε ἄλλα, καὶ ἄφιπποι γενόμενοι. ἀντὶ τοῦ πεζοί.

Ἀφίστασθαι αὐτοῖς τῆς ἀρχῆς. γενικῇ σύνταξις. ἀποχωρίζεσθαι. ἀλλοτριοῦσθαι. Βουλομένοις ἦν τῶν Μακεδόνων ἀφίστασθαι.

Ἀφίστων. ἀπέτρεπον, ἀπεκώλυον. Τοὺς δὲ βαρβάρους τῆς πολιορκίας ἀφίστων οἱ Ῥωμαῖοι.

Ἀφθαρτοδοκητής.[2] ἀπὸ αἱρέσεώς τινος.

Ἀφθάς.[3] ὁ Διόνυσος. τὸ α ἐπιτατικόν· ὡς ἄσταχυς. καὶ παροιμία· Ὁ Ἀφθάς σοι λελάληκεν. ἦν δὲ χρησμολόγος.

Ἄφθιτον. ἄφθαρτον. [4] Ὅτι τὸ ἄφθιτος ἐπὶ ἀψύχων φιλόσοφοι τάττουσι· τὸ δὲ ἀθάνατος ἐπὶ ἐμψύχων.

Ἄφθονα. πολλά.

Ἀφθόνιος, σοφιστής, ἔγραψεν εἰς τὴν Ἑρμογένους τέχνην [5] προγυμνάσματα.

Ἄφλαστον.[6] τὸ ἄκρον τῆς πρύμνης. ἢ τὸ ἀκροστόλιον τῆς νηός. κατ' ἀντίφρασιν. [7] Εὔθλαστα γάρ. κατὰ μετάθεσιν τοῦ θ εἰς φ.

Ἀφλυσμός. ἀφρός.

Ἀφνειός. ὁ πλούσιος. καὶ [8] ὁ ἐξ ἑνὸς ἐνιαυτοῦ λέγεται ἄφενος· πλοῦτος δέ, ὁ ἐκ πολλῶν χρόνων. Ὅμηρος.

Ἀφ' ἱερᾶς. Proverbium: *A ſacra linea calculum movebo.* In luſu calculorum eſt quædam linea, quæ ſacra dicitur. Sic Epicharmus. Quære in v. Κινήσω τὸν ἀφ' ἱερᾶς.

Ἀφιζάνει. A ſede ſurgit.

Ἀφίει. Amandabat. Dimittebat.

Ἀφίημι. Dativo jungitur. Item accuſativo: *Si quorum peccata remiſeritis.*

Ἀφίκετο. Venit. *Exercitus autem ad Oenoen Atticæ venit, qua irruptionem facturi erant.* Thucydides iſta conſtructione utitur. Et Ἀφῖκται, venit.

Ἀφιλότιμος. Ab ambitione alienus. Modeſtus. Sic dictus, quod non amet honorem, nec gloriæ ſerviat. Vel, qui nullam rem memoratu dignam aggreditur. A quibuſdam etiam parcus ita vocatur. *Nemo erat adeo ab omni elegantiæ ſtudio & amore alienus, ut, cum Moſem videret, formæ ejus præſtantiam non admiraretur.*

Ἀφιματῶσαι. Exuere veſtes.

Ἄφιππα χωρία. Loca inequitabilia. *Ille vero ad loca aſpera & ardua & inequitabilia deflexit.* Et Ἄφιπποι, equis carentes. *Valde autem, ut in deſerto, ſibi metuebant, tum aliis de cauſis, tum etiam quod equis carerent.*

Ἀφίστασθαι αὐτοῖς τῆς ἀρχ. *Illis imperio cedere.* Verbum hoc cum genitivo conſtruitur, ſignificans, recedere, ſeparari, alienari. *A Macedonibus deficere volebant.*

Ἀφίστων. Avertebant. Prohibebant. Arcebant. *Romani vero barbaros ab obſidione prohibebant.*

Ἀφθαρτοδοκητής. Sic appellabantur hæretici quidam.

Ἀφθάς. Bacchus. Τὸ α hic habet vim intendendi, ut in ἄσταχυς. Et proverbium: *Aphthas tecum locutus eſt.* Is erat vates.

Ἄφθιτον. Incorruptum. Immortale. Philoſophi τὸ ἄφθιτον de inanimatis; ἀθάνατον vero de animatis dicunt.

Ἄφθονα. Multa. Copioſa.

Ἀφθόνιος. Aphthonius, Sophiſta, ſcripſit in Hermogenis Artem [Rhetoricam] *Progymnaſmata.*

Ἄφλαστον. Summa pars puppis. Vel acroſtolium navis. Dictum eſt autem ἄφλαστον per antiphraſin pro εὔθλαστον, (i. e. quod facile frangi poteſt) mutato θ in φ.

Ἀφλυσμός. Spuma.

Ἀφνειός. Dives. Ἄφενος autem vocatur unius anni proventus ac reditus: πλοῦτος vero, multorum annorum. Homerus: *Divitias*

---

[1] Οὐδεὶς ἦν ἀφιλότιμος οὕτως, ὡς Μωϋσῆν θεασ.] Hæc ſunt verba Joſephi *Antiq. Judaic.* lib. 11. cap. v. pag. 57.

[2] Ἀφθαρτοδοκητής] Ἀφθαρτοδοκηταί, vel potius Ἀφθαρτοδοκῆται, appellabantur illi, qui affirmabant, corpus Chriſti fuiſſe ἄφθαρτον & ἀθάνατον, i. e. immortale & nulli corruptioni obnoxium: de qua hæreſi multa paſſim leguntur apud ſcriptores Eccleſiaſticos.

[3] Ὁ Διόνυσος] Vulcanum, non vero Bacchum Ἀφθᾶς, vel potius Φθᾶς appellatum fuiſſe legimus. Vide infra v. Φθᾶς.

[4] Ὅτι τὸ ἄφθιτος ἐπὶ ἀψύχων φιλόσοφοι τάττουσι· τὸ δὲ ἀθάνατος ἐπὶ ἐμψύχων.] Ex Scholiaſta Homeri ad Il. Β. v. 186.

[5] Προγυμνάσματα] Hæc *Progymnaſmata* Aphthonii hodie adhuc exſtant, edita ab Aldo inter Rhetores veteres.

[6] Ἄφλαστον. τὸ ἄκρον τῆς πρύμνης. ἢ τὸ ἄκρον.] Ex Scholiaſta Homeri ad Il. Ο. v. 717. Vide etiam Heſych. v. Κόρυμβα.

[7] Εὔθλαστα γάρ] Scribe εὔθλαστον γάρ: ut apud Enarratorem Poetæ legitur.

[8] Καὶ ὁ ἐξ ἑνὸς ἐνιαυτοῦ λέγεται ἄφενος. πλοῦτος δέ, ὁ ἐκ πολ.] Ex Scholiaſta Homeri ad Il. Α. v. 171.

Ἄφενος καὶ πλοῦτον ἀφύξειν.
καὶ ἀλλαχοῦ φησιν ὁ αὐτός·
Οἷσίν[1] τ' εὖ ζώουσι, καὶ ἀφνειοὶ καλέονται.
ὡς μόνον αὐτῶν καλουμένων ἀφνειῶν, οὐκ ὄντων δὲ κατὰ ἀλήθειαν.

Ἀφοβόσπλαγχνος.[2] ὁ τολμηρός. καὶ Ἀφόβοις, τοῖς μὴ φόβον ἐμποιοῦσι. τουτέστι τοῖς προβάτοις.

Τὸν[3] ἐν δαΐοις ἄτρεστον μάχαις
Ἐν ἀφόβοις με θηρσὶ δεινὸν χέρας;

Ἀφοδεῦσαι. Πλάτων Ἀδώνισι. καὶ Ἄφοδος, ὁ ἀπόπατος. ἐξ οὗ καὶ ἀφοδεύειν. καὶ Ἄφοδον, ἀναχώρησιν. ὥσπερ καὶ ἔφοδον, τὴν ἐπέλευσιν.

Ἀφοπλίζεσθαι. τῶν ὅπλων ἀφαιρεῖσθαι. Αὐτὸν δὲ τρόπον τινὰ ἀφοπλίζειν τῶν ἀναγκαίων ἀνδρῶν[4] ὑπέβαλλον. καὶ Ἀφωπλίζοντο, ἀπετίθεντο τὰ ὅπλα.

Ἀφόρδιον.[5] ἡ ἀκαθαρσία, καὶ τὸ ἄξιον ἀπελασίας. παρὰ τὸ ἀφορίζω, ἀφορίζιον, καὶ ἀφορίδιον· καὶ κατὰ συγκοπὴν, ἀφόρδιον· τὸ ἀφορίζεσθαι ἄξιον.

Ἀφόρητον. ἀβάστακτον.

Ἀφορμή. ἀφ' ἧς ὁρμώμενός τις σώζεται. [6]ἰδίως δὲ παρὰ τοῖς Ἀττικοῖς, ὅταν τις ἀργύριον δώσῃ ἐνθήκην, ἀφορμὴ καλεῖται.

Ἀφορολόγητον. τὸ μὴ τελοῦν φόρον.

Ἀφοσιούμεθα. τὸ ὅσιον προσποιούμεθα δῆθεν. καὶ Ἀφοσιούμενος. πληροφορῶν, ποιήσας τὴν ὁσίαν. Ὁ δὲ [7]ἀφοσιούμενος τὴν ἐξόρκωσιν τοῦ Ἐπάρχου, ἐμηχανᾶτο τοιάδε. καὶ Ἀφοσιούμενοι, ἀντὶ τοῦ τιμῶντες· ἢ [8]τὸ ὅσιον ποιοῦντες, καὶ καθαρὸν, καὶ τὸ ὀφειλόμενον. διὰ τοῦτο καὶ τὴν ὁσίαν ἐπὶ τῶν ἀπελθόντων φαμέν· τουτέστιν, οὐδὲν ὀφείλομεν αὐτοῖς λοιπόν· οὐκ ἐσμὲν ὑπεύθυνοι. οὕτως ἡμῖν ἔθος λέγεσθαι, καὶ τὸ ἀφοσιώσασθαι, καὶ ὅσα τοιαῦτα, τουτέστιν, οὐκ εἰμὶ ὑπεύθυνος. καὶ [9]Ἀφοσιῶ, ἀντὶ τοῦ ἀποκαθαίρω, ἀφαγνίζω. Αἰσχίνης. Τὸ δὲ μὴ ἐντελῶς τι ποιῆσαι, ἀλλ' οἷον ἀπάρξασθαι, ἢ σχηματίσασθαι, Ἰσαῖος λέγει. καὶ Ἀφοσιώσας, καθάρας, ἢ ξενώσας· ἢ τὴν ὁσίαν ποιῶν, τουτέστι κηδείαν, ἢ τὴν ἐπὶ τῷ θανάτῳ μνήμην. καὶ Ἀφοσιῶσαι, καθαίρειν. καὶ Ἀφοσιώσεται, ἀπάρξεται. καὶ Ἀφοσιοῦσθαι, ἀποκαθαίρεσθαι ὁσίας· καὶ τὸ μὴ περιεργάζεσθαι, μηδὲ φιλοτιμεῖσθαι. Ὅσια δὲ λέγεται ἄλφιτα, δεδευμένα ἐλαίῳ καὶ οἴνῳ· καὶ [10]κύρια, καὶ δίκαια. καὶ Ἀφοσίωσις, ἀνάθεσις. καὶ Ἀφοσιωσάμενοι, δικαιωσάμενοι. καὶ Ἀφωσιωμένοι, τιμῶντες, ἢ ἀπαρχόμενοι. Ὡς δὲ ᾔσθετο σαφῶς ἀποσειόμενον, καὶ μόνον ἀφοσιούμενον τὸν Ἰσίδωρον, ᾤχετο ἀπιών, καὶ οὐκέτι προσῄει.

& opes [ex Troja] hauſturum eſſe. Idem alibi dicit: *Solique feliciter vivunt, & divites vocantur.* Quaſi qui divites tantum vocentur; at revera tales non ſint.

Ἀφοβόσπλαγχνος. Intrepidus. Audax. Et Ἀφόβοις προβάτοις, pecudibus placidis, vel imbellibus. [*Vides me*] *in præliis quondam fortem & intrepidum, nunc in imbellia pecora ſtrenue ſævire.*

Ἀφοδεῦσαι. Alvum exonerare. Plato *Adonidibus.* Et Ἄφοδος, alvi exoneratio. Et Ἄφοδον, ſeceſſum: ut ἔφοδον, adventum.

Ἀφοπλίζεσθαι. Armis ſpoliare. *Exiſtimarunt, ſe eum neceſſariis viris quodammodo ſpoliaturos eſſe.* Et Ἀφωπλίζοντο, arma deponebant.

Ἀφόρδιον. Excrementum. Vel, quod dignum eſt, quod ſecernatur. Ab ἀφορίζω fit ἀφορίζιον, & ἀφορίδιον, & per ſyncopen ἀφόρδιον: quod ſecernendum & ſeparandum eſt.

Ἀφόρητον. Intolerabile.

Ἀφορμή. Occaſio. Subſidium. Peculiariter vero apud Atticos ita vocatur pecunia, quæ ad uſus aliquos reponenda & aſſervanda datur.

Ἀφορολόγητον. A tributo immune.

Ἀφοσιούμεθα. Religione ſimulate defungimur. Et Ἀφοσιούμενος defungens, religioni ſatisfaciens. *Ille vero religione jurisjurandi, quo ab Etearcho obſtrictus erat, defunctus, talia machinatur.* Et Ἀφοσιούμενοι, debitum honorem præſtantes: vel facientes id, quod pietatis, religionis, & officii ratio a nobis exigit. Quare & ὁσίαν dicimus juſta, quæ mortuis debentur: quibus ſcilicet perſolutis, nihil ipſis amplius debemus, ſed omni erga eos religione ſoluti ſumus. Hinc & ἀφοσιώσασθαι, & quæ ſunt alia hujus generis, dicere ſolemus, cum ſignificare volumus, nos omni officio erga aliquem defunctos eſſe. Item Ἀφοσιῶ ſignificat luſtro, expio. Æſchines. Iſæus vero ſic appellat, non perfecte nec exacte, ſed quaſi more delibantis & in ſpeciem tantum aliquid agere. Et ἀφοσιώσας, qui luſtravit, vel hoſpitio excepit: item, qui mortuo juſta perſolvit, ejuſque memoriam celebrat. Et ἀφοσιῶσαι, expiare. Et ἀφοσιώσεται, primitias offeret. Et ἀφοσιοῦσθαι, expiari dicis cauſa. Item, non curioſe, nec magno ſtudio aliquid facere. Ὅσια vero dicitur farina oleo & vino macerata. Item, pura & juſta. Et ἀφοσίωσις, dedicatio. Et ἀφοσιωσάμενοι, qui juſta fecerunt. Item, qui debitum honorem præſtiterunt, & primitias obtulerunt. *Ut vero ſenſit Iſidorum initiatum & expiatum eſſe, abiit, nec amplius ad eum acceſſit.*

---

[1] Οἷσίν τ' εὖ ζώουσι, καὶ ἀφν.] Homer. *Odyſſ.* P. v. 423.

[2] Ἀφοβόσπλαγχνος] Hac voce uſus eſt Ariſtophanes *Ranis* pag. 235. (150. Ed. Baſ. P.)

[3] Τὸν ἐν δαΐοις ἄτρεστον μάχαις Ἐν ἀφ.] Hæc ſunt verba Sophoclis *Ajace* pag. 23. ut Portus obſervavit.

[4] Ὑπέβαλλον] Legere malim ὑπέλαβον.

[5] Ἀφόρδιον. ἡ ἀκαθαρσία, καὶ τὸ ἄξιον κτλ.] Eadem habet Etymologus.

[6] Ἰδίως δὲ παρὰ τοῖς Ἀττ.] Ex Harpocratione: ad quem vide Mauſſacum.

[7] Ὁ δὲ ἀφοσιούμενος τὴν ἐξόρκωσιν τοῦ Ἐπάρχου, ἐμηχ.] Apud Herodotum lib. IV. pag. 172. unde fragmentum hoc depromptum eſſe Portus recte obſervavit, ſic legitur: Ὁ δὲ ἀποσιεύμενος τὴν ἐξόρκωσιν τοῦ Ἐπάρχου, χοίνοισιν αὐτὴν κατῆκεν ἐς τὸ πέλαγος &c.

[8] Τὸ ὅσιον ποιοῦντες, καὶ καθαρὸν, καὶ τὸ ὀφειλ.——οὐκ εἰμὶ ὑπεύθυνος] Locus hic depromptus eſt ex Chryſoſt. Homil. XIV. in Epiſt. ad Epheſ. cap. IV. v. 24. ubi tamen nonnulla aliter leguntur. Verba ipſius Chryſoſtomi hæc ſunt: Τὸ ὅσιον τί ἐστι; τὸ καθαρὸν, τὸ ὀφειλόμενον. διὰ τοῦτο καὶ τὴν ὁσίαν ἐπὶ τῶν ἀπελθόντων φαμέν. τουτέστιν, οὐδὲν ὀφείλω αὐτοῖς λοιπὸν, οὐκ εἰμὶ ὑπεύθυνος. οὕτως ἔθος ἡμῖν λέγειν καὶ τὸ ἀφωσιωσάμην, καὶ ὅσα τοιαῦτα· τουτέστι τὸ μηδὲν ὀφείλειν.

[9] Ἀφοσιῶ. ἀντὶ τοῦ ἀποκαθ.——Ἰσαῖος λέγει] Ex Harpocratione.

[10] Κύρια] Reſcribo καθαρά: qua emendatione etiam indiget Heſychius, apud quem v. Ὅσια corrupte legitur καρδία.

Ἀφουσία. νῆσός τις, ἐν ᾗ ὑπερόριοι ἐγένοντο ὁ κύριος Θεοφάνης, ὁ ποιητὴς, καὶ ὁ ἀδελφὸς αὐτοῦ Θεόδωρος ὁ Γραπτός· ἀμφότεροι ὁμολογηταί.

Ἀφώρισται. πεπεράτωται. Ἐνταῦθά που τῆς συγγραφῆς ἀφώρισται τὸ πραχθέν.

Ἀφραδέως. ἀνοήτως. ἀπείρως.

Ἄφρακτος [1] φίλων. οὐ πεφραγμένος καὶ τετειχισμένος τοῖς φίλοις διὰ τὸ ἀπατηθέντας καταλιπεῖν σε.

Ἄφραστον. ἄῤῥητον.

Ἀφραστύες. ἀσυνεσίαι. Σχέτλιαι ἀνθρώπων ἀφραστύες.

Ἀφραίνει. παρανομεῖ. μωραίνει. παραφρονεῖ.

Ἀφρικανὸς,[2] ὁ Σέξτος χρηματίσας, φιλόσοφος Λίβυς, ὁ [3] τοὺς Κεστοὺς γεγραφὼς ἐν βιβλίοις κδʹ. [4] εἰσὶ δὲ οἱονεὶ φυσικὰ, ἔχοντα ἐκ λόγων τε καὶ ἐπαοιδῶν, καὶ γραπτῶν τινῶν χαρακτήρων ἰάσεις τε, [5] καὶ ἀλλοίων ἐνεργειῶν. [6] κατὰ τούτου ἔγραψεν Ὠριγένης, ἔνστασιν ποιησάμενος περὶ τοῦ τῆς Σωσάννης βιβλίου, τοῦ εἰς τὸν Δανιήλ.

Ἀφρικανός. Καρχηδὼν, ἡ καὶ Ἀφρικὴ καὶ Βύρσα λεγομένη, μετὰ τὸν πρῶτον ἀνοικισμὸν κρατήσασα ἔτη ψʹ τῶν περιοίκων Λιβύων, ἀνῄρητο. Σκιπίων δὲ τὴν αὐτὴν Σκιπίωνι τῷ Ἀφρικανῷ πάππῳ λαβὼν ἐπίκλησιν, Ἀφρικανὸς ἐντεῦθεν διά τε τὴν ἀρετὴν, καὶ τὸ τῶν κατορθωμάτων ὁμοιότροπον, ἐπωνομάσθη.

Ἀφρόεν. ἀφρῶδες.

Ἀφρόεν [7] κοναβηδὸν ἐπιπρίουσα γένειον.

Ἀφρῖτις. εἶδος ἀφύας. ἐν τῷ Ἀφύα.

Ἀφροδίσιον. ἔργον Ἀφροδίτης. λαμβάνεται δὲ ἐπὶ τῶν λάγνων, καὶ τῶν ἐρωτικῶς περὶ τὴν συνουσίαν καὶ σφοδρῶς διακειμένων. [8] καὶ Ἀφροδίσιον, ἰδίως τὸ τῆς Ἀφροδίτης ἕδος. Ὁ δὲ διῆλθε τῷ λόγῳ φιλοτίμως τε καὶ σὺν Ἀφροδίτῃ οὐ μάλα περιττῇ. Αἰλιανός. Καὶ παροιμία· [9] Ἀφροδίσιος ὅρκος οὐκ ἐμποίνιμος. ἐπὶ τῶν δι' ἔρωτα ὀμνυόντων πολλάκις, καὶ ἐπιορκούντων.

Ἀφροδίτη. [10] ταύτης τὸ ἄγαλμα πλάττουσι κτένα φέρον· ἐπειδὴ συνέβη ποτὲ ταῖς τῶν Ῥωμαίων γυναιξὶ κνῆφην λοιμώδη γενέσθαι, καὶ ξυρουμένων πασῶν γεγόνασιν αὐταῖς οἱ κτένες ἀχρεῖοι. εὐξαμένας δὲ τῇ Ἀφροδίτῃ ἀνατριχωθῆναι, τιμῆσαί τε αὐτὴν ἀγάλματι [11] κτένα φέρουσαν, [12] καὶ γένειον ἔχουσαν· διό-

Ἀφουσία. Aphuſia, inſula quædam, in qua exularunt D. Theophanes, poeta, & frater ejus Theodorus Graptus, uterque confeſſor.

Ἀφώρισται. Separatim poſitum eſt. *In hac parte hiſtoriæ res illa ſeparatim tractatur.*

Ἀφραδέως. Stulte. Imperite.

Ἄφρακτος φίλων. Non ſeptus, nec munitus amicis, quia decepti te deſeruerunt.

Ἄφραστον. Infandum.

Ἀφραστύες. Inconſiderantia. Imprudentia. *Miſera hominum imprudentia.*

Ἀφραίνει. Deſipit. Delirat. Inſanit. Injuſte facit.

Ἀφρικανός. Africanus, *Sextus* cognominatus, Philoſophus Afer, qui ſcripſit *Ceſtos* libris XXIV. Agitur autem in illis de remediis Phyſicis, quæ ex verbis, incantationibus, & ſcriptis quibuſdam characteribus conſtant, miroſque effectus habent. Contra hunc ſcripſit Origenes, reſpondens ad argumenta, contra hiſtoriam Suſannæ, quæ exſtat in Daniele, ab ipſo objecta.

Ἀφρικανός. Carthago, quæ & Africa & Burſa dicta fuit, poſtquam per ſeptingentos a prima ejus origine annos in finitimos Afros imperium obtinuiſſet, everſa eſt a Scipione, qui eodem cognomine inſignitus fuit, quo Scipio Africanus avus ejus, cum ob virtutem propriam, tum ob parem rerum geſtarum gloriam.

Ἀφρόεν. Spumoſum. [In Epigrammate:] *Ore ſpumans & cum ſonitu dentibus infrendens.*

Ἀφρῖτις. Genus apuæ. Vide in v. Ἀφύα.

Ἀφροδίσιον. Venereum. Veneris opus. Dicitur autem de libidinoſis, & qui in venerem præcipites ſunt. Et Ἀφροδίσιον peculiariter appellatur Veneris templum. *Ille vero oratione nec ambitioſa nec compta nimis rem expoſuit.* Et proverbium: *Jusjurandum Venereum eſt impunitum.* Dicitur de illis, qui amore impulſi ſæpe jurant & pejerant.

Ἀφροδίτη. Venus. Hujus ſimulacrum fingunt pectinem ferens. Olim enim mulieribus Romanis accidit, ut peſtilenti prurigine laborarent: cumque omnes raderentur, pectines ipſis nullo uſui fuerunt. Cum autem Veneri votum feciſſent, capilloſque recepiſſent, ſimulacro pectinem gerente eam honorarunt.

---

[1] Ἄφρακτος φίλων. οὐ πεφραγμένος καὶ τετειχ. τοῖς φ.] Ex Scholiaſta Sophoclis ad *Ajacem* pag. 54. ut Portus obſervavit.

[2] Ἀφρικανὸς, ὁ Σέξτος χρ.] De eo vide Voſſium & Cl. Cavium; itemque Valeſium ad Euſeb pag. 127.

[3] Ὁ τοὺς Κεστοὺς γεγραφὼς ἐν βιβλίοις κδʹ] Photius in *Bibliotheca* Cod. XXXIV. *Ceſtos* Africani quatuordecim tantum libris conſtitiſſe ſcribit. At Lambecius lib. VII. *Commentar. de Biblioth. Cæſ.* pag. 200. novem tantum ejus operis libros fuiſſe recte contendit; quem conſule. Cæterum, ex his Africani *Ceſtis* inſigne fragmentum legitur apud Mich. Pſellum in libello inedito περὶ παραδόξων ἀναγνωσμάτων, ſive *de Admirabilibus Lectionibus*, quod exhibet Lambecius loco laudato.

[4] Εἰσὶ δὲ οἱονεὶ φυσικὰ, ἔχοντα ἐκ λόγων τε καὶ ἐπ.] Vide Reineſ. *Var. Lect.* pag. 393.

[5] Καὶ ἀλλοίων ἐνεργειῶν] Legere malim, καὶ ἄλλας ἐνεργείας.

[6] Κατὰ τούτου ἔγραψεν Ὠριγένης, ἔνστασιν ποιησ.] Vide Rodolphū Wetſtenium in præfatione ad Origenis opuſcula, ab ipſo edita Baſil. 1674.

[7] Ἀφρόεν κοναβηδὸν ἐπιπρ.] Verba hæc ſunt pars Epigrammatis, quod ex Cod. MS. Epigrammatum ineditorum integrum exhibuimus ſupra v. Ἄρης.

[8] Ἀφροδίσιον, ἰδίως τὸ τῆς Ἀφροδίτης ἕδος] Ex Harpocratione.

[9] Ἀφροδίσιος ὅρκος οὐκ ἐμποίνιμος] Vide infra v. Ταχυδαίμονας ὅρκους; itemque Athen. lib. XII. pag. 511. Brodæum ad Antholog. Epigr. pag. 622. & Richard. Bentleium ad Epigr. Callim. XXVI.

[10] Ἀφροδίτη. ταύτης τὸ ἄγαλμα πλάττουσι κτ.] Hæc, & quæ ſequuntur uſque ad finem articuli, leguntur etiam apud Codinum *de Orig. CPol.* pag. 14. num. 28.

[11] Κτένα φέρουσαν] Scribendum potius eſt, κτένα φέροντι, ut referatur ad ἀγάλματι. Codinus habet, τιμῆσαί τε αὐτὴν ἀγάλματι κτένα φέρουσι.

[12] Καὶ γένειον ἔχουσαν] Supple ex Codino, πλάττουσι δὲ αὐτὴν καὶ γένειον ἔχουσαν.

π καὶ ἄῤῥενα καὶ θήλεα ἔχει ὄργανα. ταύτην γὰρ λέγουσιν ἔφορον γενέσεως πάσης, καὶ ἀπὸ τῆς ὀσφύος καὶ ἄνω λέγουσιν αὐτὴν ἄῤῥενα· τὰ δὲ κάτω, θήλειαν. πλάττουσι δὲ αὐτὴν καὶ ἔφιππον, ὅτι Αἰνείας ὁ υἱὸς αὐτῆς πλεύσας μέχρι τῆς δύσεως μετὰ τοῦτο ἵππῳ ἐπέβη, καὶ τὴν μητέρα ἐτίμησε τοιούτῳ ἀγάλματι.

Fingunt quoque eam barbatam, & maris atque fœminæ inſtrumenta genitalia habentem, quoniam univerſæ generationis eam dicunt eſſe præſidem, & a lumbo uſque ad ſuperiores corporis partes virum; inferius vero fœminam. Præterea fingunt eam equeſtrem, quia Æneas ejus filius, cum ad occaſum uſque navigaſſet, poſtea equum conſcendit, & matrem hujuſmodi ſimulacro honoravit.

Ἄφροι. ὄνομα ἔθνους· οἱ Καρχηδόνιοι. ἀπὸ Ἄφρου τοῦ τῆς Λιβύης βασιλεύσαντος, τοῦ υἱοῦ τοῦ Κρόνου, ἐκ Φιλύρας γεγονότος. † Πόθεν ὁ ἀφρὸς λευκὸς, ἐστὶν ἐν τῷ Χιών.

Ἄφροι. Afri. Nomen gentis. Carthaginienſes. Ab Afro, Libyæ Rege, filio Saturni, ex Philyra nato. Quare ſpuma ſit alba, docetur in v. Χιών.

Ἀφρουρήτους. [1] Θάσιοι εἶπον πρὸς Μητρόδωρον, τὸν Φιλίππου στρατηγὸν, παραδοῦναι τὴν πόλιν, εἰ διατηρήσει αὐτοὺς ἀφρουρήτους, ἀφορολογήτους, ἀνεπισταθμεύτους, νόμοις χρῆσθαι τοῖς ἰδίοις. ἐπισημηναμένων δὲ μετὰ κραυγῆς πάντα τὰ ῥηθέντα, παρήγαγον τὸν Φίλιππον εἰς τὴν πόλιν. ἀντὶ τοῦ βεβαιωσάντων.

Ἀφρουρήτους. A præſidiis immunes. *Thaſii ad Metrodorum ducem Philippi dixerunt, ſe urbem dedituros ea conditione, ut immunes ſint a præſidiis, tributis, & angariis, ſuiſque legibus vivant. Cum autem omnia dicta clamore confirmaſſent, Philippum in urbem introduxerunt.*

1. Polybius. XV. 24. Vol. III. 541. Schweigh. in Suid. Fascic. I. P. 33. Supr. V. Ἀνεπισταθμεύτους et V. ~~[illegible]~~ Ἀσταθμεύτους.

Ἄφρων καὶ ἄνους διαφέρει. Ἄφρων καὶ ἄνους. [2] Ἀνόητον φασὶ τὸν καλούμενον σοφὸν, ὡς συνιέναι τὸ δέον οὐκ ἐθελήσαντα. Ἀμαθῆ δὲ τὸν τῆς μὲν σοφίας ἀμύητον, κακίᾳ δὲ [3] ὁμοίως συζήσαντα. ὁ Δαβὶδ δὲ ἔφησεν· Ἐπὶ τὸ αὐτὸ ἄφρων καὶ ἄνους ἀπολοῦνται.

Ἄφρων & ἄνους. Amens & ſtultus. David: *Amens & ſtultus ſimul peribunt.* [Sic LXX Interpretes. Symmachus vero locum hunc ſic reddidit: Ὁμοῦ ἀνόητος καὶ ἀμαθὴς ἀπολοῦνται.] Ἀνόητον vocat eum, qui vulgo quidem ſapiens vocatur, at ea, quæ ſcire oportebat, intelligere noluit. Ἀμαθῆ vero eum, qui omnis ſapientiæ expers eſt, vitamque flagitioſam vivit.

Ἀφύαι. [4] ὀνόματα ἑταιρῶν ἀδελφῶν δύο παρὰ Ὑπερείδῃ.

Ἀφύαι. Aphyæ. Duarum ſororum meretricum nomina apud Hyperidem.

Ἀφύα [5] ἐς πῦρ. ἐπὶ τῶν τέλος ὀξὺ λαμβανόντων ἡ παροιμία· παρόσον καὶ τὴν ἀφύαν τάχιστα ἕψεσθαι συμβαίνει. ἑνικῶς δὲ [6] παρὰ Ἀριστοφάνει λέγεται ἐν Ταγηνισταῖς, ἀφύη· ἀλλ' ἀεὶ πληθυντικῶς τὰς ἀφύας. λέγεται δὲ καὶ ἀφρὸς, διὰ τὴν λευκότητα. ἔστι δὲ ἡ παρὰ πολλῶν λεγομένη ἔγγραυλις. καὶ ἀφύων τιμὴ, τὸ ἔλαιον· ἐπεὶ ἐν αὐτῷ ἕψονται. καὶ ἀφύας Φαληρικάς· τὰς μεγάλας. Φαληρεὺς δὲ λιμὴν Ἀττικῆς. πληθυντικῶς δὲ λέγεται. σπανιώτατα δὲ ἀφύην. Ἀριστοφάνης· [7]

> Εὗρε τὸ πᾶν διὰ τὰς λιπαρὰς, ἀφυῶν τιμὴν
> περιάψας.

Ἔστι [8] δὲ γένη πλείονα· ἡ μὲν, ἀφρῖτις λεγομένη, ἥτις οὐ γίνεται ἀπὸ γόνου, ἀλλ' ἐκ τοῦ ἐπιπολάζοντος τῇ θαλάττῃ ἀφροῦ. ἑτέρα δέ ἐστιν ἡ λεγομένη κωβῖτις, ἣ γίνεται ἐκ τῶν μικρῶν καὶ φαύλων τῶν ἐν τῇ ἄμμῳ φερομένων κωβιῶν. ἐξ αὐτῆς δὲ ἕτεραι, αἱ ἐγκρασίχολοι καλοῦνται. καὶ ἄλλη, ἥτις ἐστὶ [9] γένος μαινί-

Ἀφύα ἐς πῦρ. *Apua in ignem.* Proverbium de iis, quæ cito ad finem perducuntur. Apuæ enim breviſſimo tempore coquuntur. Apud Ariſtophanem *Tageniſtis* ſingulari numero dicitur ἀφύη. Apud alios vero ſemper numero multitudinis ἀφύαι. Dicitur etiam ἀφρὸς propter candorem: eſtque idem piſcis, qui vulgo appellatur ἔγγραυλις. Et *apuarum honor* dicitur oleum, quia in eo coquuntur. Et *apuas Phalericas*, i. e. magnas. Phalereus autem eſt portus Atticæ. Dicitur [plerumque] plurali numero [ἀφύαι:] rariſſime vero ſingulari. Ariſtophanes: *Quidvis impetrabit, ſi [Athenas] vocet* λιπαρὰς, *quo epitheto apuæ ornari ſolent.* Sunt autem plura apuarum genera. Alia enim vocatur ἀφρῖτις, quæ non naſcitur ex ſemine, ſed ex ſpuma, quæ mari innatat. Alia κωβῖτις, quæ naſcitur ex parvis vilibuſque gobiis, qui in arena victitant. Ex hac generantur aliæ, quas encraſicholos vocant. Eſt & aliud genus apuæ, fœtus mænidum: aliud, membradum ſoboles; itemque aliud, quod

---

[1] Θάσιοι εἶπον πρὸς Μητρόδωρον τὸν Φιλίππου στρατ.——εἰς τὴν πόλιν] Ex Polybio. Vide ſupra v. Ἀνεπισταθμεύτους.

Βαγαῖος. ὄνομα κύριον. [1] Παλλομένων δὲ, λαγχάνει ἐκ πάντων Βαγαῖος.

Βαγδαλονία.[2] μοῖρα Καππαδοκίας νοτιωτάτη.

Βαγεύει.[3] πλανητεύει.

Βάγιον. μέγα.

Βαγώας. ὄνομα κύριον· ὃς ἦν εὐνοῦχος.

Βάδην. περιπάτῳ ἐρχόμενος. Τοὺς μὲν προαπέστειλεν, αὐτὸς δὲ ἐν πλινθίῳ τὴν στρατιὰν ἐπαγόμενος, ἐχώρει βάδην. Καὶ αὖθις· Βάδην καὶ σχολαίως ἀκολουθῶν. [4] Ἀριστοφάνης· Μεγαρεῖς, ὅτ' ἐπείνων βάδην, Λακεδαιμονίων ἐδέοντο. ἀντὶ τοῦ ἐλίμωττον, ὑπὸ λιμοῦ διεφθείροντο. βάδην, ἀντὶ τοῦ κατὰ βραχὺ αὐξανομένου τοῦ λιμοῦ, καὶ ἐπίδοσιν λαμβάνοντος, προϊόντος ἐπὶ τὸ μεῖζον.

Βαδδίν.[5] στολὴ ἱερά. Δανιήλ· Ἦρα τοὺς ὀφθαλμούς μου, καὶ εἶδον, καὶ ἦν ἀνὴρ ἐνδεδυμένος βαδδίν.

Βάδιζε. καὶ βαδίζου, ἀντὶ τοῦ βάδιζε. Κρατῖνος.

Βαδιστέα.[6] ἀντὶ τοῦ πορευτέον. Ἐμοὶ βαδιστέα, οἷ ἂν σοφία καὶ δαίμων με ἄγει.

Βαδιστικοῦ. ὀξύποδος. [7] Ἀριστοφάνης· Ὡς ὄντος γε μὴ βαδιστικοῦ.

Βάδιλλος.

Βάδιος.[8] υἱός. σημαίνει δὲ καὶ ἵππου χροιάν.

Βάδος. ἡ βάδισις. [9] Ἀριστοφάνης Ὄρνισι·

Διὰ ταῦτα τόνδε τὸν βάδον βαδίζομεν.

ἐν παιδιᾷ παρεσχημάτισται. ὡς γὰρ ἀπὸ τοῦ πατεῖν πάτος (Ὅμηρος· Πάτον ἀνθρώπων ἀλεείνων) οὕτως ἀπὸ τοῦ βαδίζειν, βάδος.

Βαθάλη. ὄνομα κύριον.

Βαθεῖα κόμη. ἡ δασεῖα. Ἀπεκείραντο τὴν κόμην. ἦν δὲ πολλὴ, καὶ ξανθὴ, καὶ βαθεῖα. † Βαθείᾳ τριχὶ κομῶντα, καὶ γηραιὸν πολιᾷ. † Βαθύπλουτον εἶναι τὴν Λαφρίαν Ἄρτεμιν.

Βαθεῖαν[10] αὔλακα. ὅπερ ἐστὶ στίχος γῆς ὑπὸ ἀρότρου. [11] μεταφορικῶς ἀπὸ τούτου βαθείας φρένας καὶ κεκρυμμένας σημαίνει.

Βάθος. βάθος ἐστὶ φάλαγγος τὸ μετὰ τὸ μέτωπον ἅπαν. καὶ ὁ ἀπὸ λοχαγοῦ ἐπὶ οὐραγὸν στίχος κατὰ βάθος λέγεται.

ea jacenti ſibi ornamento eſſent. Atque nunc etiam, ut aiunt, hæc cum ipſo condita ſunt.

Βαβυλωνία κάμινος. Babylonia fornax: & Babylonii pueri.

Βαγαῖος. Bagæus. Nomen proprium. *Cum ſortirentur, Bagæo præ omnibus ſors contigit.*

Βαγδαλονία. Bagdalonia. Cappadociæ pars Auſtralis.

Βαγεύει. Vagatur. Errat.

Βάγιον. Magnum.

Βαγώας. Bagoas. Nomen proprium eunuchi.

Βάδην. Pedetentim. Lento gradu. *Illos quidem præmiſit; ipſe vero agmine quadrato exercitum ducens, pedetentim progreſſus eſt.* Et iterum: *Pedetentim & lento gradu ſequens.* Ariſtophanes: *Megarenſes, cum fame paulatim ingraveſcente premerentur, Lacedæmonios rogarunt* &c. Hic ἐπείνων idem ſignificat quod ἐλίμωττον i. e. fame laborabant, ſive fame peribant. Βάδην vero Comicus ideo dixit, ut ſignificaret, eos fame paulatim creſcente & ingraveſcente vexatos fuiſſe.

Βαδδίν. Sacra ſtola. Daniel: *Oculos meos ſuſtuli, & vidi virum, Baddin,* (i. e. ſtola ſacra) *indutum.*

Βάδιζε. Vade. Et βαδίζου pro βάδιζε. Cratinus.

Βαδιστέα. Eundum eſt. *Eundum mihi eſt, quo ſapientia & Deus me ducunt.*

Βαδιστικοῦ. Veloces pedes habentis. Ariſtophanes: *Quippe qui celeriter ingredi non poſſum.*

Βάδιλλος. Badillus.

Βάδιος. Filius. Significat autem & colorem equi.

Βάδος. Greſſus. Ariſtophanes *Avibus*: *Propterea hunc greſſum gradimur.* Hoc per jocum Comicus dixit. Ut enim a πατεῖν fit πάτος (Homerus: *Viam ab hominibus tritam fugiens*) ſic a βαδίζειν βάδος.

Βαθάλη. Bathale. Nomen proprium.

Βαθεῖα κόμη. Denſa coma. *Comam raſerunt, quæ erat denſa, flava, & promiſſa.* † *Denſa coma præditum, capilloſque canos habentem.* † *Laphriam Dianam opulentam eſſe* [*aiunt.*]

Βαθεῖαν αὔλακα. Profundum ſulcum. Αὖλαξ enim eſt ſulcus. Per tranſlationem vero ſignificat mentem profundam & occultam.

Βάθος. Profunditas phalangis appellatur, quicquid frontem excipit: & ſeries illa, quæ a manipuli ductore ad tergiductorē extenditur, ſecundum profunditatē diſpoſita eſſe dicitur.

---

[1] Παλλομένων δὲ, λαγχάνει ἐκ πάντων Βαγ.] Hoc fragmentum repetitur infra v. Πάλος.

[2] Βαγδαλονία. μοῖρα Καππαδοκίας νοτ.] Ex Stephano Byzantio: ſed apud quem legitur Βαγδαονία.

[3] Βαγεύει] Eſt vox Græco barbara. Vide Ducangium in Gloſſario Græco.

[4] Ἀριστοφάνης] *Acharnenſibus* pag. 396. (283. Ed. Baſ. P.)

[5] Βαδδίν] Eſt vox Chaldaica, qua uſus eſt Daniel cap. x. v. 5.

[6] Βαδιστέα, ἀντὶ τοῦ πορ.] Vide Enarratorem Comici ad *Acharnenſes* pag. 391.

[7] Ἀριστοφάνης] *Ranis* pag. 217. (135. Ed. Baſ. *P.*)

[8] Βάδιος. υἱός] Heſychius rectius Βάδις.

[9] Ἀριστοφάνης Ὄρνισι] Pag. 544. (370. Ed. Baſ. *P.*)

[10] Βαθεῖαν αὔλακα. ὅπερ ἐστὶ στίχος γ.] Eadem habet Etymologus.

[11] Μεταφορικῶς ἀπὸ τούτου βαθείας φρ.] Reſpexit Suidas ad notiſſimam illam ῥῆσιν Æſchyli in *Septem contra Theb.*

Βαθεῖαν ἄλοκα διὰ φρενὸς καρπούμενος,
Ἐξ ἧς τὰ κεδνὰ βλαστάνει βουλεύματα:

ut Portus etiam obſervavit.

Βάθρα. [1] Χθὲς μὲν καὶ πρώην διδρακότες τοῦ καπηλείου, καὶ τοῦ τὰ βάθρα καλλύνειν, καὶ τοὔδαφος κορεῖν· ἄρτι δὲ χλαμύδας τὰς εὐπαρύφους ἐνδεδυκότες, καὶ περόναις χρυσαῖς διαπεπερονημένοι, καὶ σφραγῖσι χρυσοδέτοις διεσφιγμένοι. καὶ Βάθρον, θεμέλιον. καὶ Βάθρα, ἀγάλματα. Ἀπολυομένου δὲ αὐτοῦ τοὺς βλαυτίους, καὶ πρὸς βάθρον προσηρεικότος τὸν ἕτερον πόδα, προσδραμών τις τῶν στρατιωτῶν μετ' ἐγχειριδίου τοῦτον ἀπέτεμεν. Καὶ [2] Σοφοκλῆς· Σαλαμῖνος ἔχων βάθρον ἀγχιάλου. τουτέστι, τὸ θεμέλιον, τὸ ἕδρασμα, δι' ὃν ἵσταται ἡ Σαλαμίς. Βάθρον, καὶ ἐφ' οὗ κάθηνται ἐν τοῖς συλλόγοις.

Βαθυγνώμων [3] ἄνθρωπος, καὶ κρυψίνους. Ῥουφῖνος καὶ Στελίχων ἐπίτροποι Θεοδοσίου τοῦ βασιλέως.

Βαθύγλωσσοι. ἐλλόγιμοι. εὔγλωττοι.

Βαθυδίνης. ἐν βάθει ἔχων τὰ ῥεύματα.

Βαθυκαμπῆ. ἐπιπολὺ καμπτόμενον. Καὶ βαθυκαμπῆ κλεῖδα συῶν.

Βαθυλήϊον. [4] σιτοφόρον πεδίον.

Βαθυπέπλων. μεγάλων. ἐκ τοῦ παρακολουθοῦντος.

Βαθύπλουτος. πολὺν πλοῦτον ἔχουσα. Εὐδαίμονα καὶ βαθύπλουτον εἶναι τὴν Λαφρίαν Ἄρτεμιν.

Βαθυῤῥείτης. ὁ βαθέα ῥεύματα ἔχων.

Βαθύς. ἀντὶ τοῦ πονηρός. οὕτω Μένανδρος.

Βαθύστρωτος κοίτη. Τὸν δὲ τῆς βαθυστρώτου καταβᾶσα κοίτη ἐπεδίωκεν ἡ νύμφη. ἀντὶ τοῦ πολυτελοῦς.

Βαθύσχοινον. ὑψηλὰς σχοίνους φέροντα.

Βαθύτατα. παχέα. Αἰλιανός· Αἰθρίας γὰρ οὔσης, καὶ πανηλίῳ ἡμέρᾳ, ἄφνω καὶ ἀδοκήτως νέφη συνδραμεῖν, οἷα δή που βαθύτατα, καὶ καταῤῥῆξαι πάμπολυν ὑετόν.

Βακάντης. [5] ὁ [6] σχετλαιστής.

Βακάντιβος. σχολαστής. μὴ παραμένων τῷ πράγματι αὐτοῦ.

Βακχαῖοι. ὥσπερ Ἐσσαῖοι. ἔστι δὲ ἔθνος Ἰβηρικόν.

Βάκηλος. μέγας μὲν, ἀνόητος δὲ καὶ γυναικώδης. Βάκηλος, εὐνοῦχος, ἀπόκοπος. καὶ παροιμία· [7] Βάκηλος εἶ. κατὰ τῶν ἐκλύτων καὶ ἀνάνδρων. τοιοῦτοι γὰρ οἱ ἀπόκοποι.

Βάκις. ἐπίθετον Πεισιστράτου. [8] Ἦν δὲ χρησμολόγος. Φιλητᾶς δὲ ὁ Ἐφέσιος φησὶ τρεῖς Βάκιδας· ὁ μὲν, ἐξ Ἐλεῶνος τῆς Βοιωτίας· ὁ δὲ, Ἀθηναῖος· ὁ

Βάθρα. Scamna. Subſellia. *Qui heri & nuper ex caupona aufugerunt, ubi ſcamna mundaverant, & pavimentum ſcopis verrerant: nunc autem chlamydes pulchre prætextas, fibuliſque aureis adſtrictas geſtant, & annulos aureos digitis circundant.* Et Βάθρον, fundamentum. Et Βάθρα, ſimulacra. *Cum autem calceos ſolveret, alterumque pedem ſimulacro applicaret, quidam miles, cum pugione accurrens, eum amputavit.* Et Sophocles: *Qui Salaminis maritimæ es dominus.* Βάθρον hic proprie ſignificat fundamentum & firmamentũ: quaſi dicas, per quem Salamis ſtat. Βάθρον etiam vocatur ordo ſubſelliorũ, in quibus in conventibus ſedetur.

Βαθυγνώμων. Homo conſilia ſua alto pectore premens, mentemque occultans. Talis erat Rufinus, qui cum Stilicone Imperatoris Theodoſii tutelam geſſit.

Βαθύγλωσσοι. Eloquentes. Facundi.

Βαθυδίνης. Profundos vortices habens.

Βαθυκαμπῆ. Valde curvum. *Et valde curvam clavem ſuum.*

Βαθυλήϊον πεδ. Ager denſam habens ſegetem.

Βαθυπέπλων. Prolixos peplos habentium. Vel, magnarum: a conſequenti.

Βαθύπλουτος. Valde dives. *Beatam & valde divitem eſſe Dianam Laphriam.*

Βαθυῤῥείτης. [Fluvius,] profundum habens alveum.

Βαθύς. Malus. Improbus. Sic Menander.

Βαθύστρωτος κοίτη. Lectus pretioſus & molliter ſtratus. *Illum vero ſponſa, cum de molli lecto deſcendiſſet, perſecuta eſt.*

Βαθύσχοινον. Altos juncos ferentem.

Βαθύτατα. Spiſſiſſima. Ælianus: *Cœlo ſereno, & die maxime ſudo, ſpiſſiſſimas nubes repente coactas ingentem pluviam effudiſſe* [*ajunt.*]

Βακάντης. Vacans a negotiis. Otioſus.

Βακάντιβος. Otio deditus. Qui in negotiis incœptis non conſtanter perſeverat.

Βακχαῖοι. Baccæi. Eodem modo dicitur ut Eſſæi. Eſt autem gens Iberica.

Βάκηλος. Sic appellatur homo magna quidem ſtatura præditus, ſed excors & effœminatus. Item βάκηλος, eunuchus, ſive caſtratus. Et proverbium: *Eunuchus es.* De mollibus & effœminatis dicitur. Tales enim ſunt eunuchi.

Βάκις. Bacis. Epithetum Piſiſtrati. Bacis autem vates fuit. Philetas Epheſius tres Bacidas fuiſſe dicit: unum ex Eleone Bœotiæ;

---

[1] Χθὲς μὲν καὶ πρώην διδρακότες τοῦ καπηλ.——διεσφιγμένοι] Integrum locum auctoris, ex quo fragmentum hoc decerptum eſt, exhibet Suidas infra v. Ῥουφῖνος. Vide etiam v. Καλλιωύναι.

[2] Σοφοκλῆς] *Ajace* pag. 9. ut Portus obſervavit.

[3] Βαθυγνώμων ἄνθρ. καὶ κρυψ.] Vide infra v. Ῥουφῖνος; ubi pro Γλίχων, ut hoc loco habent MSS. Pariſ. & Editt. Mediol. & Aldina, rectius legitur Σπλίχων; ut Pearſonius etiam obſervavit.

[4] Βαθυλήϊον] Homerus Il. Σ. v. 550.

[5] Βακάντης] A vocabulo Latino *vacans*; uti & vox ſequens βακάντιβος. Vide Ducangium in Gloſſario Græco.

[6] Σχετλιαστής] Sic habent MSS. Pariſ. itemque Editt. Mediol. & Aldina. Sed legendum eſt σχολαστής, ut exhibent Editt. Baſileenſis & Genevenſis.

[7] Βάκηλος εἶ. κατὰ τῶν ἐκλ.] Ex Zenobio.

[8] Ἦν δὲ χρησμολ. Φιλητᾶς δὲ ὁ Ἐφ.] Hæc, & quæ ſequuntur uſque ad finem articuli, ſunt verba Scholiaſtæ Ariſtoph. ad *Pacem* pag. 703. & ad *Aves* pag. 588. Confer eundem Enarratorem ad *Equites* pag. 294. ubi hæc ejus ſunt verba: Τρεῖς Βάκιδες ἐγένοντο. οὗτος μὲν Ἀττικὸς καὶ μάντις· ὁ δὲ Λοκρός· ὁ δὲ Βοιωτός. Sed pro Λοκρὸς legendum eſſe Ἀρκὰς recte monuit eruditiſſimus Perizonius ad Ælian. *V. H.* lib. XII. cap. XXXV. quem vide.

δὲ, Ἀρκὰς, ἐκ πόλεως Καφύης· ὃς καὶ Κύδας ἐκαλεῖτο καὶ Ἀλήτης. [1] Θεόπομπος δὲ ἐν τῇ θ' τῶν Φιλιππικῶν ἄλλα τε πολλὰ περὶ τούτου τοῦ Βάκιδος ἱστορεῖ παράδοξα, καὶ ὅτι ποτὲ τῶν Λακεδαιμονίων τὰς γυναῖκας μανείσας ἐκάθηρεν, Ἀπόλλωνος τούτοις τοῦτον καθαρτὴν δόντος.

Βακτηρεύειν. στηρίζεσθαι.

Βακτηρία [2] καὶ σύμβολον. οἱ λαχόντες δικάζειν ἐλάμβανον παρὰ τῶν δημοσίων ὑπηρετῶν [3] σύμβολον καὶ βακτηρίαν, καὶ οὕτως ἐδίκαζον. τὴν χρόαν δὲ ὁμοίαν εἶχε τῇ βακτηρίᾳ τὸ δικαστήριον. τὸ μέντοι σύμβολον μετὰ τὴν κρίσιν ἀποδιδόντες, ἐκομίζοντο [4] τριώβολον· ὅπερ καὶ δικαστικὸν γέγονεν.

Βάκτρον. ῥάβδος.

--- [5] Γηραλέον νῦν
Ἀντὶ πανοπλίης βάκτρον ἀμειψάμενος.

λέγεται καὶ σκηπάνιον.

--- [6] Ἀντὶ δὲ πλήκτρου,
Σκηπανίῳ τρομερὰς χεῖρας ἐρεισόμεθα.

Βακύλιον. κύμβαλον.

Βάκχαι, καὶ Σάτυροι, καὶ Πᾶνες, καὶ Σιληνοὶ, ὀπαδοὶ Διονύσου.

Βακχέβακχον [7] ᾆσαι. ἀντὶ τοῦ εὐφημῆσαι Διόνυσον. Βάκχος γὰρ ὁ Διόνυσος.

Βακχεύσας σὺν τῷ μέλει τῷ βακχείῳ τε καὶ ἐνθέῳ.

Βακχεύων. μαινόμενος. καὶ Κατεβακχεύοντο, τουτέστιν ἐνεθουσίων, ἐπιπνοίας τινὸς πληρωθέντες. [8] Ἐπ' αὐτήν που τὴν τελεσιουργὸν κατεβακχεύοντο πρᾶξιν χωρεῖν, σώφρονι μανίᾳ ἐς συμπλοκὴν ἐξοιστρούμενοι.

Βακχεία ποιμαντική. καὶ Βακχεῖος.

Βάκχης τρόπον. ἐπὶ τῶν ἀεὶ στυγνῶν καὶ σιωπηλῶν· παρόσον αἱ Βάκχαι σιγῶσιν.

Βάκχος. [9] οὕτως οὐ μόνον τὸν Διόνυσον ἐκάλουν, ἀλλὰ καὶ πάντας τοὺς τελοῦντας τὰ ὄργια· οὐ μὴν καὶ τοὺς κλάδους, οὓς οἱ μύσται φέρουσιν. ἔστι δὲ καὶ στεφάνου εἶδος.

Βάκχοισιν κεφαλὰς πολυανθέσιν ἐστέψαντο.

καὶ Πισίδης·

Πολλοὺς δὲ Βάκχους ἦν ὁρᾷν ἀκουσίως
Τὴν ἐσχάτην ὄρχησιν ἐξορχουμένους.

Βακχίδης. ὁ τοῦ Διονύσου υἱός.

Βακχυλίδης, Κεῖος, ἀπὸ Κέω τῆς νήσου, πόλεως δὲ Ἰουλίδος (ἔχει γὰρ πόλεις τέσσαρας, Ἰουλίδα, Καρ-

alterum, Athenienſem, & tertium, Arcadem, ex urbe Caphya, qui & Cydas & Aletes vocatus fuit. Theopompus libro IX. rerum Philippicarum, cum alia multa de hoc Bacide mirabilia narrat, tum etiam, Lacedæmoniorum olim uxores inſanientes ex Apollinis oraculo ab eo luſtratas fuiſſe.

Βακτηρεύειν. Baculo niti.

Βακτηρία καὶ σύμβολον. Baculus & ſymbolum. Qui in Judicum numerum adſciti erant, a publicis miniſtris ſymbolo & baculo acceptis jus dicebant. Dicaſterium autem, [quod ſingulis aſſignabatur,] baculo erat concolor. Peracto deinde judicio ſymbolum reddentes accipiebant triobolũ, quæ erat judicum merces.

Βάκτρον. Baculus. *Senilem nunc pro armis baculum gerens.* Dicitur & σκηπάνιον. *Loco vero plectri ſcipione tremulas fulciamus manus.*

Βακύλιον. Cymbalum.

Βάκχαι. Bacchæ, & Satyri, & Panes, & Sileni, ſunt Bacchi comites.

Βακχέβακχον ᾆσαι. Bacchum carminibus celebrare.

Βακχεύσας. Cum carmine Bacchico & divini afflatus pleno orgia celebrantes.

Βακχεύων. Bacchans. Inſaniens. Et κατεβακχεύοντο, bacchabantur, ſive numine divino afflati Baccharum inſtar inſaniebant. *Velut numinis afflatu impulſi, rem ipſam aggrediebantur, in qua totius negotii cardo ſitus erat, ſana inſania ad prælium committendum velut œſtro quodam incitati.*

Βακχεία ποιμαντική. Debacchatio paſtoralis. Et Βακχεῖος, Bacchius, [pes metricus.]

Βάκχης τρόπον. *Bacchæ in morem.* Dicitur de tetricis & taciturnis; quia Bacchæ tacere ſolent.

Βάκχος. Sic non ſolum ipſum Bacchum vocabant, ſed & omnes, qui orgia ejus celebrabant. Item ramos, quos myſtæ ferebant. Eodem etiam nomine coronæ quoddam genus appellabatur. *Coronis Bacchicis, ex variis floribus contextis, capita ornarunt.* Et Piſides: *Multos autem Bacchos videre erat invitos extremam ſaltationem ſaltantes.*

Βακχίδης. Bacchi filius.

Βακχυλίδης. Bacchylides, Cejus, ex inſula Ceo, & urbe Julide, (habet enim Ceos in-

---

[1] Θεόπομπος δὲ ἐν τῇ θ' τῶν Φιλιππ.] Hæc, & quæ ſequuntur, repetuntur infra v. Καθάρσις γυναικῶν.

[2] Βακτηρία καὶ σύμβολον. οἱ λαχόντες δικάζειν ἐλ.] Eandem rem fuſius & clarius exponit Enarrator Comici ad *Plutum* pag. 30. (16. Ed. Baſ. *P.*) quem vide.

[3] Σύμβολον καὶ βακτηρίαν] Legerim potius σύμβολον τὴν βακτηρίαν. Ipſe enim baculus, qui judicibus dabatur, ſymbolum erat muneris δικαστικοῦ, ut clare docet Scholiaſta Ariſtophanis loco laudato.

[4] Ἐκομίζοντο τριώβολον· ὅπερ καὶ δικ.] Hujus trioboli δικαστικοῦ frequens eſt mentio apud Ariſtophanem.

[5] Γηραλέον νῦν ἀντὶ πανοπλ.] Verba hæc ſunt pars Epigrammatis, quod legitur Anthol. lib. VI. cap. XXV. Epigr. V.

[6] Ἀντὶ δὲ πλήκτρου σκηπ.] Verba hæc decerpta ſunt ex Epigrammate, quod exſtat Anthol. lib. VI. cap. XVI.

[7] Βακχέβακχον ᾆσαι. ἀντὶ τοῦ εὐφημ.] Ex Enarratore Comici ad *Equit.* p. 311. (212. Ed. Baſ. *P.*)

[8] Ἐπ' αὐτήν που τὴν τελεσιουργ.] Idem fragmentum repetitur infra v. Τελεσιουργήσαις.

[9] Βάκχος. οὕτως οὐ μόνον τὸν Διόνυσ.——ἐστέψαντο] Ex Scholiaſta Ariſtophanis ad *Equit.* pag. 311. (212. Ed. Baſ. *P.*)

θίαν, [1] Κορεσσίαν, Ποιήεσσαν) Μέδωνος υἱὸς, τοῦ Βακχυλίδου τοῦ ἀθλητοῦ παιδός· [2] συγγενὴς Σιμωνίδου τοῦ Λυρικοῦ, καὶ αὐτὸς Λυρικός.

Βάκχυρις.[3] ἐπὶ τῶν δικαιοτάτων. τοιοῦτος γὰρ οὗτος βασιλεὺς Αἰγύπτου.

Βαλανάγρα.[4] ἡ κλείς. παρὰ τὸ ἀγρεύειν τὴν βάλανον. [5] Βάλανος δέ ἐστι τὸ εἰς τὸν μοχλὸν σιδήρειον, ὃ καλοῦμεν μάγγανον. καὶ βάλανοι, τὰ μάγγανα τῆς κλειδώσεως. καὶ [6] βεβαλάνωται, ἀντὶ τοῦ κεκλείδωται.

Βαλανεώτης.[7] βαλανεύς. ἐπὶ τοῦ πολυπράγμονος καὶ περιέργου.

Βαλανεύσω. διακονήσω. [8] Ἐμαυτῷ βαλανεύσω.

Βαλανειομφάλους.[9] τὰς φιάλας οἱ κωμικοὶ καλοῦσι. Βαλανεῖον δὲ ἐκλήθη, διότι τὰς βαλάνους ἐσθίοντες τὰ κελύφη ἔκαιον. λέγουσι δὲ ὅτι οἱ πολλοὶ ἐλαττοῦσι τὸν ἀέρα τῷ λουτρῷ, εἰς ἑαυτοὺς αὐτὸν ἕλκοντες. καὶ Βαλανείτης, ὁ παρὰ τοῖς πολλοῖς καλούμενος παραχύτης. [10] ἔστι δὲ τὸ βαλανεῖον ὁδὸς ἐπὶ τρυφήν. † [11] Ὅτι τὸ κατ᾽ ἀρχὰς, μὴ ὄντων βαλανείων, ἐν ταῖς σκάφαις καὶ πυέλοις οἱ ἀρχαῖοι ἐλούοντο.

Βαλανίς. ἡ τοῦ βαλανέως γυνή.

Βάλανος. τὸ αἰδοῖον, καὶ τὸ ψέλλιον. καὶ βάλανοι φοινίκων. οἶνον ἔπινον ἀπὸ τῆς βαλάνου τῆς ἀπὸ τοῦ φοίνικος. καὶ αὖθις· [12] Αἱ βάλανοι τῶν φοινίκων, οἵας μὲν ἐν τοῖς Ἕλλησιν ἔστιν ἰδεῖν, τοῖς οἰκέταις ἀπέκειντο· αἱ δὲ τοῖς δεσπόταις ἀποκείμεναι, ἦσαν ἀπόλεκτοι.

Βαλάντιον. μάρσιππος. Εὐνάπιος· Εἴτε φιλοχρήματος εἴη, καὶ δοῦλος τῶν βαλαντίων. καὶ ταῦτα σαφῶς ἐκπυνθανόμενοι, πρὸς ταῦτα διεστρατήγουν τὸν πόλεμον.

Βαλαντιοτόμος. κλέπτης. καὶ βαλαντιοτόμοι. [13] Χρημάτων τε μεγάλων ἐωνημένοι ἤγοντο μοιχοί, πόρνοι, τοιχωρύχοι, βαλαντιοτόμοι, ἀνδραποδισταί, καὶ τὰ τοιαῦτα ἔθνη. Βαλαντιοτόμοι δὲ, οἱ τὰ [14] ἀρχόντων βαλάντια τέμνοντες. ἤτοι κλέπτοντες.

Βαλβὶς, βαλβῖδος. βάσις ταπεινή. ἡ ἀφετηρία, καὶ ὁ καμπτήρ. Ὥσπερ ἐκ βαλβῖδός τινος οἱ τὰ τέ-

ſula quatuor urbes, Julidem, Carthiam, Coreſſiam, Pœeeſſam) Medonis filius, Bacchylidis athletæ nepos, cognatus Simonidis Lyrici, & ipſe Lyricus.

Βάκχυρις. Bacchyris. De hominibus valde juſtis dicitur. Talis enim fuit hic Ægypti Rex.

Βαλανάγρα. Clavis. Sic dicta, quod peſſulum quaſi venetur. Βάλανος enim eſt ferrum, quod in ſeram immittitur, quod μάγγανον vocamus. Et βάλανοι, idem quod μάγγανα, i. e. obices, vel peſſuli. Et βεβαλάνωται, peſſulo clauſum eſt.

Βαλανεώτης. Idem quod βαλανεὺς, i. e. balneator. Dicitur etiam de homine inepte curioſo.

Βαλανεύσω. Miniſtrabo. [Et proverbium:] Ἐμαυτῷ βαλ. Mihi ipſe miniſtrabo.

Βαλανειομφάλους. Sic Comici vocant phialas. Balneum vero vocabant βαλανεῖον, quia glandibus olim veſcentes earum putamina urebant. Dicunt autem, vulgus [balneatorum] aerem lavationibus minuere, dum eum ad ſe trahunt. Et βαλανείτης eſt is, qui vulgo παραχύτης appellatur. Balneum autem eſt via ad luxum. † Ante inventum balneorum uſum in ſcaphis & ſoliis antiqui ſe lavabant.

Βαλανίς. Balneatoris uxor.

Βάλανος. Membrum genitale. Item armilla. Et glandes palmarum. Vinum olim bibebant ex glandibus palmarum expreſſum. Et [Xenophon:] *Glandes palmarum, quales apud Græcos videre eſt, ſervis reponebantur. Quæ vero dominis ſervabantur, erant eximiæ.*

Βαλάντιον. Crumena. Marſupium. Eunapius: [*Item quæſiverunt,*] *an pecuniæ eſſet avidus, & crumenæ ſervus. De qua re cum ipſis certo conſtaret, præcipuam ejus rationem in bello gerendo habere ipſis viſum eſt.*

Βαλαντιοτόμος. [Crumenarum ſector.] Fur. Et βαλαντιοτόμοι, crumenarum ſectores. *Adducebantur eo ingenti pretio empti adulteri, ſcortatores, effractores, crumenarum inciſores, plagiarii, & alii hujus generis homines.* Βαλαντιοτόμοι etiam vocantur, qui magiſtratuum crumenas incidunt.

Βαλβὶς, βαλβῖδος. Baſis humilis. Carceres, unde curſores emittuntur, & curſus ini-

---

[1] Κορεσσίων] Apud Stephanum Byzantium v. Κορησσὸς urbs hæc vocatur Κορησσία.

[2] Συγγενὴς Σιμωνίδου] Fuit enim ejus ἀδελφιδοῦς, ſive ex fratre nepos, ut teſtatur Stephanus Byzantius v. Ἰουλίς.

[3] Βάκχυρις. ἐπὶ τῶν δικαιοτ.] Plenius Zenobius: Βάκχυρις. Οὗτος Αἰγύπτιος ὢν ἐπὶ δικαιοσύνῃ καὶ ἐπινοίᾳ κρίσεων ἀπομνημονεύεται. εἴρηται δὲ ἡ παροιμία ἐπὶ τῶν δικαιότατα καὶ παρευρημένως κρινόντων. Ejuſdem Bacchyridis meminit etiam Plutarchus in *Demetrio* pag. 901. ſed qui eum Βόκχορις vocat.

[4] Βαλανάγρα. ἡ κλείς. παρὰ τὸ ἀγρ.] Hæc, & quæ ſequuntur, ſunt verba Scholiaſtæ Ariſtoph. ad *Veſpas* pag. 440.

[5] Βάλανος δέ ἐστι τὸ εἰς τὸν μοχλ.] De ſeris, peſſulis, & obicibus, quibus veteres portas & januas ſuas claudere ſolebant, dilucide agit Caſaubonus ad Æneam Tacticum; quem conſule. Vide etiam Salmaſium ad Solinum, pag. 649. 650.

[6] Καὶ βεβαλάνωται. ἀντὶ τοῦ κεκλ.] Hæc nota referenda eſt ad locum illum Comici *Avibus* pag. 596.

Καὶ βεβαλάνωται, καὶ φυλάττεται κύκλῳ.

Ubi Scholiaſta: Καὶ βεβαλάνωται. ὡσεὶ εἶπε κεκλείδωται. ὅτι βάλανοι λέγονται τὰ μάγγανα τῆς κλειδώσεως.

[7] Βαλανεώτης. βαλανεύς. ἐπὶ τοῦ πολ.] Locum hunc ſic diſtinguendum puto: Βαλανεώτης. † Βαλανεύς. ἐπὶ τοῦ πολυπρ. Diogenianus: Βαλανεύς. ἐπὶ τῶν πολυπραγμόνων. οὗτοι γὰρ σχολὴν ἄγοντες πολυπραγμονοῦσι. Heſychius: Βαλανεύς, πολυπράγμων, περίεργος.

[8] Ἐμαυτῷ βαλανεύσω] Reſpexit Suidas ad locum illum Comici *Avibus* pag. 705. (476. Ed. Baſ. *P.*)

Ἀλλ᾽ εἰ ταῦτα δοκεῖ, κἀγὼ ᾽μαυτῷ βαλανεύσω.

Vide etiam infra v. Ἐμαυτῷ βαλανεύσω.

[9] Βαλανειομφάλους. τὰς φιάλας οἱ κωμικοὶ καλ.] Vide omnino Athenæum lib. XI. pag. 501. qui appellationis hujus rationem ibi reddit.

[10] Ἔστι δὲ τὸ βαλανεῖον ὁδὸς ἐπὶ τρυφήν] Hæc ſunt verba Artemidori lib. I. cap. LXVI. ſed ex quo pro τρυφὴν hic reſcribendum eſt τροφήν. Adi ipſum Artemidorum.

[11] Ὅτι τὸ κατ᾽ ἀρχὰς, μὴ ὄντων βαλανείων, ἐν ταῖς σκ.] Vide ſupra v. Ἀσάμινθος.

[12] Αἱ βάλανοι τῶν φοινίκων —— ἀπόλεκτοι] Hoc fragmentum excerptum eſt ex Xenophonte, quod etiam legitur ſupra v. Ἀπέκειντο: ubi vide quæ notavimus.

[13] Χρημάτων τε μεγάλων ἐωνημένοι ἤγοντο μοιχοί —— τοιαῦτα ἔθνη] Hæc ſunt verba Philoſtrati lib. IV. *de Vita Apoll.* pag. 179. eademque repetuntur infra v. Ἔθνος.

[14] Τὰ ἀρχόντων] Sic habet unus MS. Pariſ. In prioribus vero Editt. minus recte legitur τὰς ἀρχάς.

θριππα ἀφιέντες, ἀναπεταθείσης τῆς πύλης. καὶ Βαλβίσιν, ἀντὶ τοῦ ταῖς ἀρχαῖς. εἴρηται δὲ ἀπὸ τῶν δρομέων. [1] ἡ γὰρ ὑπὸ τὴν ὕσπληγγα γινομένη γραμμὴ, διὰ τὸ ἐπ' αὐτῆς βεβηκέναι τοὺς δρομέας, βαλβὶς καλεῖται. ἀπὸ τοῦ ἅλλομαι ἁλμὶς, ἁλβὶς, καὶ ὑπερβιβασμῷ βαλβίς. ἢ ἀπὸ τοῦ βαίνω.

Βάλε.[2] βάλε, τὸ τρίτον. εἴη. ἀντὶ τοῦ εἴθε μοι.

Βάλλ'[3] ἐς κόρακας. τουτέστιν, ἄπιθι ἐς ἀπώλειαν καὶ φθόρον. ἀπὸ ἱστορίας ἐν ταῖς παροιμίαις κειμένης.

Βαλεντινιανός. βασιλεὺς Ῥωμαίων. οἱ δὲ, Οὐαλεντινιανός. καὶ ἐν τῷ Σαλούστιος.

Βαλεριανός. βασιλεὺς Ῥωμαίων.

Βάλλ'[4] ἐς Μακαρίαν. οἷον εἰς ᾅδου. ἐπὶ τῶν ἑαυτοὺς εἰς κίνδυνον κατ' ἀρετὴν διδόντων. Μακαρία γὰρ, ἡ Ἡρακλέους, ὁπηνίκα ἐπεστράτευσεν ὁ Εὐρυσθεὺς ταῖς Ἀθήναις, ἑαυτὴν ἐπέδωκε σφάγιον ὑπὲρ τῆς τῶν λοιπῶν σωτηρίας. τὸ δ' αὐτὸ τοῦτο καὶ οὕτω λέγουσιν, εἰς Μακαρηρίαν, καὶ εἰς Μακαρίαν.

Βάλλεται. πλήττεται. πυρπολεῖται. Βάλλεται δὲ ἡ ναῦς σκηπτῷ, καὶ ἦν δέος ἐξαφθῆναί τε καὶ καταδῦναι τὸ σκάφος.

Βαλεῖν. τὸ πόῤῥωθεν πέμψαι. οὐτάσαι δὲ, καὶ νύξαι, καὶ τύψαι, τὸ ἐκ χειρὸς τρῶσαι. Βάλλειν παρ' Ὁμήρῳ καὶ ἐπὶ τοῦ ἐπιτυγχάνειν. [5] Βάλεν ἄγρια πάντα.

Βάλλειν μήλοις. ἐπὶ τῶν τυγχανόντων, ὧν ἐρῶσι. καὶ Βάλλω, αἰτιατικῇ. Τοὺς πόῤῥωθεν βάλλων τοξεύμασι τοῖς ἐκ μέλανος.

Τοῦτον[6] δ' οὐ δύναμαι βάλλειν κύνα λυσσητῆρα.

Βάλλ' εἰς ἔχοντα τὴν ἐπιστήμην. ἐπὶ τῶν λοιδορούντων τοὺς ὁμοτέχνους.

Βάλλ'[7] εἰς ὕδωρ. καταπόντισον.

Βακτηρία[8] καὶ σχῆμα καὶ τριβώνιον, ἢ τριώβολον. τοῦτο ἐπὶ τῶν σκωπτόντων τοὺς δικαστὰς Ἀθήνησιν.

Βαλίαν. τὴν [9] ἔλαφον τὴν καλάστικτον. καὶ Βαλίων ἀνέμων. [10] Λήγετε πνοιαὶ βαλίων ἀνέμων. τουτέστι σφοδρῶς πνεόντων. παρὰ Συνεσίῳ τῷ Κυρηναίῳ. Καὶ αὖθις·

Θηρεύων [11] βαλίους συνομήλικας ἐν νομῷ ὕλης.

tium fit. Item meta, circa quam curſus flectitur. *Ut illi, qui ex carceribus aperto oſtio quadrigas emittunt.* Et βαλβίσιν, in principio. Ducta eſt tranſlatio a curſoribus. Linea enim, quæ carceribus prædueta erat, vocabatur βαλβὶς, quod curſores ad eam ſubſiſterent. Formatur autem ab ἅλλομαι; unde fit ἁλμὶς, ἁλβὶς, & per literarum tranſpoſitionem βαλβίς. Vel a verbo βαίνω.

Βάλε. Pro ἔβαλε, jecit. Significat etiam *utinã*.

Βάλλ' ἐς κόρακας. *Abi ad corvos.* Id eſt, abi ad malam rem. Sive, male pereas. [Ductum eſt proverbium hoc] ab hiſtoria, quæ in proverbiis exſtat.

Βαλεντινιανός. Valentinianus, Romanorum Imperator. Alii vero ſcribunt Οὐαλεντινιανός. Quære in voce Σαλούστιος.

Βαλεριανός. Valerianus, Romanorũ Imperat.

Βάλλ' ἐς Μακαρίαν. *Abi ad Macariam.* Idem eſt ac ſi dicas, ad Orcum. De iis dicitur, qui fortiter & generoſe periculis ſe ipſi offerunt. Macaria enim, Herculis filia, cum Euryſtheus bellum Athenienſibus inferret, ſe pro cæterorum ſalute victimam præbuit. Dicitur autem εἰς Μακαρηρίαν, & εἰς Μακαρίαν.

Βάλλεται. Petitur. Feritur. Igne incenditur. *Periculum autem erat, ne navis fulmine icta incenderetur & ſubmergeretur.*

Βαλεῖν. Eminus telum mittere. Οὐτάσαι vero, & νύξαι, & τύψαι, cominus vulnerare ſignificat. Τὸ βάλλειν apud Homerum etiam ſignificat telo ferire. *Omnis generis feras telo percuſſit.*

Βάλλειν μήλοις. Malis petere. De iis dicitur, qui amatis potiuntur. Βάλλω, accuſativo jungitur. *Procul ſtantes ſagittis atramento tinctis feriens.* [Et Homerus:] *Illum autem rabioſum canem ferire non poſſum.*

Βάλλ' εἰς ἔχοντα τὴν ἐπιστ. *Feri illum, qui artis peritus eſt.* Dicitur de iis, qui ejuſdem artis peritos convitiis laceſſunt.

Βάλλ' εἰς ὕδωρ. Demerge. Submerge.

Βακτηρία καὶ σχ. Baculus, & habitus, & palliolum, ſive triobolum. Hoc per deriſionem in Judices Athenienſes dicebatur.

Βαλίαν ἔλαφον. Cervam maculis diſtinctã. Et βαλίων ἀνέμων, ventorum vehementer ſpirantium. *Ceſſate flatus ventorum vehementer ſpirantium.* Apud Syneſium Cyrenæum. Et [in Epigrammate: *Non amplius, perdix, vocem in ſylvis emittes,*] *venans æquales tuos, ma-*

---

[1] Ἡ γὰρ ὑπὸ τὴν ὕσπληγγα γιν.——ἀπὸ τοῦ βαίνω] Ex Enarratore Comici ad *Equit.* pag. 355. (250. Ed. Baſ. *P.*) Vide etiam Harpocrationem, apud quem eadem αὐτολεξεὶ pene leguntur.

[2] Βάλε. βάλε, τὸ τρ.] Locum hunc ſic legendum puto: Βάλε. ἀντὶ τοῦ ἔβαλε, τὸ τρίτον πρόσωπον. καὶ ἀντὶ τοῦ εἴη, εἴθε μοι. Vide ſupra v. Ἀβάλε.

[3] Βάλλ' ἐς κόρακας] Proverbium hoc fuſe exponit Enarrator Comici ad *Nubes* pag. 131. quem vide.

[4] Βάλλ' ἐς Μακαρίαν] De proverbio hoc præter parœmiographos vide Scholiaſtam Ariſtophanis ad *Equit.* pag. 354. Cæterum, non arridet ſententia eorum, qui in proverbio hoc alludi putant ad Macariam, Herculis filiam: quod frigidum eſt & longe petitum. Verius eſt, τὸ βάλλ' ἐς μακαρίαν, vel παρ' ὑπόνοιαν, vel κατ' εὐφημισμὸν dictum eſſe pro βάλλ' εἰς ὄλεθρον, quoniam mortui a Græcis μακαρῖται dici ſolent. Vide Scholiaſtam Ariſtophanis loco laudato, & infra v. Μακαρία.

[5] Βάλεν ἄγρια πάντα] Apud Homerum Il. Ε. v. 51. 52. (ad quem locum Suidas reſpexit) ſic legitur:

——Δίδαξε γὰρ Ἄρτεμις αὐτὴ
Βάλλειν ἄγρια πάντα, τά τε τρέφει οὔρεσιν ὕλη.

[6] Τοῦτον δ' οὐ δύναμαι βάλλειν κύνα λυσσ.] Hæc ſunt verba Homeri Il. Θ. v. 299.

[7] Βάλλ' εἰς ὕδωρ. καταπόντισον] Plenius Zenobius Centur. II. Adag. LXXII. Βάλλ' εἰς ὕδωρ. ἐπὶ τῶν ὀλέθρου ἀξίων. οἷον καταπόντισον.

[8] Βακτηρία καὶ σχῆμα καὶ τριβ.] Hæc loco mota ſunt, & reponi debent poſt v. Βακτηρεύειν. Vide ſupra v. Βακτηρία, & infra v. Τριώβολον.

[9] Τὴν ἔλαφον] Vel legendum eſt, Βαλίαν ἔλαφον. τὴν κατάστικτον: vel, Βαλίαν. τὴν ἐλαφράν. τὴν ταχεῖαν. Vide Heſych. v. Βαλίαν.

[10] Λήγετε πνοιαὶ βαλίων ἀνέμων] Hæc in prioribus Edit. deſunt, quæ ex duobus MSS. Pariſ. revocavi.

[11] Θηρεύων βαλίους συνομήλικας ἐν ν.] Verba hæc decerpta ſunt

Ὤιχετο [1] γὰρ πυμάτην εἰς Ἀχέροντος ὁδόν.

Βαλιαρίδων νήσων σφενδονῆται εὔστοχοι.

Conſil. Laod. Canon. 93.

Βαλλίζειν. τὸ κύμβαλα κτυπεῖν, καὶ πρὸς τὸν ἐκείνων ἦχον ὀρχεῖσθαι.

Βαλίος. [2] ἵππος.

Βαλμός. στῆθος.

Βάλλων [3] Σωκράτην καὶ Ζήνωνα τοῖς ἐκ Διονυσίων σκώμμασι, καὶ [4] τοὺς ὑπ᾽ αὐτῶν ἀξιῶν πάσης ἐλαύνεσθαι γῆς καὶ θαλάττης, ὡς ὄντας κῆρας πόλεών τε καὶ πολιτείας· νῦν δὲ στεφανῶν αὐτοὺς, καὶ παράδειγμα τιθέμενος βίου γενναίου καὶ σώφρονος.

Βαλὼν [5] φεύξεσθαι οἴεις; πρὸς τοὺς κακόν τι δράσαντας, καὶ οἰομένους ἐκφυγεῖν.

Βαλτάσαρ. οὕτως ἐπεκλήθη ὁ Δανιὴλ εἰς τιμὴν τῆς τῶν ἀπορρήτων σαφηνείας.

Βάμμα [6] Κυζικηνόν. τὴν ἀκάθαρτον ἀσχημοσύνην Ἀττικοὶ λέγουσι. καὶ ἑτέρα παροιμία· [7] Βάμμα Σαρδιανικόν. ἀντὶ τοῦ, μή σε ἐρυθρὸν ποιήσω· οἷον, ἵνα μή σε φοινίξω. Νῆσος γάρ ἐστι μεγίστη ἡ Σαρδὼ πρὸς τῇ Ἰταλίᾳ, ἐν ᾗ γίνονται πορφύραι διάφοροι καὶ ὀξύταται. βούλεται οὖν δηλοῦν, ἵνα μή σοι πληγὰς ἐντρίψω.

Βάμβαξ, [8] ἢ πάμβαξ, καὶ παμβακίς. τὸ παρὰ πολλοῖς λεγόμενον βαμβάκιον. ἐν Ἐπιγράμματι·

Καὶ [9] τὴν τρυτοδόκην κοιτίδα παμβακίδων.

Homer. Il. K. 375.

Βαμβαίνει. διστάζει, τρέμει τοῖς ποσὶ, καὶ τῇ γλώττῃ ἀσήμως φθέγγεται.

Βάναυσος. πᾶς τεχνίτης διὰ πυρὸς ἐργαζόμενος. Βαῦνος γὰρ ἡ κάμινος. [10] Καὶ τοῖς ἐκ τῆς ἀγορᾶς βαναύσοις φέρειν προσέταξε βέλη, καὶ παραβάλλειν ἔξω παρὰ τὸν θεμέλιον τοῦ τείχους.

Βάναυσος. [11] Ἐπὶ τούτοις σεμνύνεται κατὰ τὴν πολιτείαν, ἐφ᾽ οἷς ἂν καὶ τελώνης σεμνυνθείη βάναυσος. ἐπὶ γὰρ τῷ πολλὰ καὶ λυσιτελῶς πωλεῖσθαι κατὰ τὴν πόλιν, καὶ δαψιλῆ τὰ πρὸς τὸν βίον ὑπάρχειν πᾶσιν, ἐπὶ τούτοις μεγαλαυχεῖ.

culis diſtinctos, in paſcuis ſylvæ. Supremam enim ad Acherontem iviſti viam.

Βαλιαρίδων νήσ. Balearidum inſularum funditores certo ictu deſtinata ferire norant.

Βαλλίζειν. Cymbala pulſare, & ad eorum ſonum ſaltare.

Βαλίος. Balius. Nomen proprium equi.

Βαλμός. Pectus.

Βάλλων Σωκρ. *Modo Socratem & Zenonem Bacchanalium convitiis inſectans, eorumque ſequaces, tanquam civitatum & rerumpubl. peſtes, terra marique exterminandos eſſe dictitans: modo eoſdem coronans, & tanquam præclaræ temperantiſque vitæ exemplum aliis proponens.*

Βαλὼν φεύξ. *Telo miſſo fugiturum te putas?* In eos, qui malo aliquo facinore perpetrato effugituros ſe ſperant.

Βαλτάσαρ. Baltaſar. Sic honoris cauſa vocatus eſt Daniel, quod res abſtruſas & arcanas interpretari noſſet.

Βάμμα Κυζικηνόν. *Tinctura Cyzicena.* Sic Attici obſcœnam libidinem vocabant. Et aliud proverbium : *Ne te tingam tinctura Sardianica.* Id eſt, ne te rubro colore inficiam, vel cruentem. Sardinia enim eſt inſula maxima, Italiæ vicina, in qua excellentes & intenſi coloris purpuræ naſcuntur. Senſus igitur eſt, ne te verberibus cædam.

Βάμβαξ, vel πάμβαξ, & παμβακίς. Idem eſt, quod vulgo βαμβάκιον dicitur, i. e. goſſipium. In Epigrammate : *Et thecam trutinæ, lanugine goſſipii intus obductam.*

Βαμβαίνει. Dubitat, pedibus tremit, & lingua balbutit.

Βάναυσος. Quilibet opifex, qui igne utitur ad opus faciendum. Βαῦνος enim fornacem ſignificat. *Et opificibus ſellulariis, qui in foro officinas habebant, præcepit, ut tela ferrent, & ad imam mœnium partem instructi ſtarent.*

Βάναυσος. Vilis opifex. *Iis in adminiſtratione Reip. gloriatur, propter quas publicanus aliquis aut vilis opifex ſeſe efferant. Nam quod multa in urbe vili pretio veneant, quodque res ad victum neceſſariæ omnibus abunde ſuppetant, eo maxime gloriatur.*

---

ex Epigrammate in perdicem, quod exſtat Anthol. lib. III. cap. XXIV. Epigr. XIX. Notandum autem eſt pro βαλίους, cujus vocis gratia locum iſtum huc attulit Suidas, in Anthologia Epigrammatum hodie legi ἀργίους; cui lectioni tamen alteram prætulerim.

[1] Ὤιχετο] Scribe ᾤχεο, ut in Anthologia Epigrammatum.

[2] Βαλίος. ἵππος] Apud Homerum Il. Π. v. 149. equus Achillis vocatur Βαλίος: ad quem locum Suidas hic reſpexit.

[3] Βάλλων Σωκράτην & Ζήνωνα τοῖς ἐκ Διονυσ. σκ.] Hæc, & quæ ſequuntur, ſunt verba ſuaviſſimi Syneſii in *Dione* pag. 38.

[4] Τοὺς ὑπ᾽ αὐτῶν] Apud Syneſium loco laudato rectius legitur τοὺς ἀπ᾽ αὐτῶν, id eſt, ſectatores illorum.

[5] Βαλὼν φεύξεσθαι οἴει;] Ex Zenobio.

[6] Βάμμα Κυζικηνόν. τὴν ἀκάθαρτον ἀσχ.] Hæc referenda ſunt ad locum illum Ariſtoph. *Pace* pag. 711.

Τηλικαῦτ᾽ αὐτοῖς βέβαπται βάμμα Κυζικηνικόν.

Vide ibi Scholiaſtam; itemque Heſych. v. Βάμμα Κυζικηνόν.

[7] Βάμμα Σαρδιανικόν] Lege & ſupple:

Ἵνα μή σε βάψω βάμμα Σαρδιανικόν.

Sic enim legitur apud Ariſtoph. *Acharnenſ.* pag. 376. (266. Ed. Baſ. P.) ad quem locum nota hæc Suidæ referenda eſt. Eſt autem βάμμα Σαρδιανικὸν color puniceus, ſive coccineus, ſic dictus a Sardibus, urbe Lydiæ, cujus κτητικὸν eſt Σαρδιανικὸς, ut docet Stephanus Byzantius. Inſigniter ergo errant Scholiaſta ad modo indicatum locum Ariſtophanis, & qui eum hic exſcripſit Suidas, exiſtimantes, colorem illum ita dictum eſſe ab inſula Σαρδὼ, ſive Sardinia; quoniam ab ea Σαρδωνικὸς, non vero Σαρδιανικὸς deduci conſtat. Obiter hic moneo, apud Ariſtophanē loco ante laudato hodie legi Σαρδινιακὸν, non vero Σαρδιανικόν: ſed ſcripturam illam mendo laborare, oſtendi poteſt ex ipſo Ariſtophane, apud quem in *Pace* pag. 710. idem color βάμμα Σαρδιανικὸν recte appellatur Vide etiam quæ monemus infra v. Ἵνα μή σε βάψω.

[8] Βάμβαξ, ἢ πάμβαξ, ἢ παμβ.] Vide Salmaſium ad Solinum pag. 209.

[9] Καὶ τὴν τρυτοδόκην κοιτίδα παμβ.] Verba hæc ſunt pars Epigrammatis, quod ex Cod. MS. Anthologiæ ineditæ integrum exhibemus infra v. Θέριστρον. Cæterum, ne quid diſſimulem, pentameter hic valde eſt obſcurus, quem ita interpretatus ſum, ut mihi ipſe non ſatisfaciam, quoniam de ſenſu ejus mihi certo non conſtare fateor.

[10] Καὶ τοῖς ἐκ τῆς ἀγορᾶς βαναύσοις φέρειν προσέτ.] Hæc, & quæ ſequuntur, ſunt verba Polybii lib. 1. cap. XL.

[11] Ἐπὶ τούτοις σεμνύνεται κατὰ τὴν πολιτ. ἐφ᾽ οἷς ἂν καὶ πλ.] Hæc itidem ſunt verba Polybii, quæ leguntur in Collectaneis Conſtantini a Valeſio editis, pag. 53. unde ea Suidas deſcripſit.

Βάνδον. [1] οὕτω καλοῦσι Ῥωμαῖοι τὸ σημεῖον τὸ ἐν πολέμῳ.

Βάξιν. Φήμην. [2] Σοφοκλῆς·

— Εἰ γὰρ ἐν ταῖς ξυμφοραῖς
Ταῖς νῦν νομίζει πρός γ' ἐμοῦ πεπονθέναι
Λόγοισιν εἴτ' ἔργοισιν εἰς βλάβην φέρον,
Οὔτοι βίου μοι τοῦ μακραίωνος πόθος
Φέροντι τήνδε βάξιν. ——

ἀντὶ τοῦ, οὐ βούλομαι ζῆν ἐπὶ ταύτῃ τῇ φήμῃ.

Βαπτά. [3] βαπτὰ ἱμάτια ἐφόρουν οἱ νυμφίοι πρὸς τὸ φαίνεσθαι τεκμήριον τῆς [4] φθορᾶς. Ἀριστοφάνης Πλούτῳ.

Οὔθ' ἱματίων βαπτῶν δαπάναις κοσμῆσαι ποικιλομόρφων.

ἀντὶ τοῦ ἑτεροχρόων.

Βάπτουσι. πλύνουσιν. [5] Ἀριστοφάνης·

————Πρῶτα μιλάρια
Βάπτουσι θερμῷ κατὰ τὸν ἀρχαῖον νόμον.

ἀντὶ τοῦ, οὐδὲν καινοτομοῦσι.

Βάραθρον. [6] χάσμα τι φρεατῶδες καὶ σκοτεινὸν ἐν τῇ Ἀττικῇ· ἐν [7] ᾧ τοὺς κακούργους ἔβαλλον. ἐν δὲ τῷ χάσματι τούτῳ ὑπῆρχον ὄγκινοι, οἱ μὲν ἄνω, οἱ δὲ κάτω. [8] ἐνταῦθα τὸν Φρύγα τὸν τῆς μητρὸς τῶν Θεῶν ἐνέβαλον, ὡς μεμηνότα, ἐπειδὴ προέλεγεν, ὅτι ἔρχεται ἡ μήτηρ εἰς ἐπιζήτησιν τῆς κόρης. ἡ δὲ Θεὸς ὀργισθεῖσα ἀκαρπίαν ἔπεμψε τῇ χώρᾳ· καὶ γνόντες τὴν αἰτίαν διὰ χρησμοῦ, τὸ μὲν χάσμα κατέχωσαν, τὴν δὲ Θεὸν θυσίαις ἵλαον ἐποίησαν.

Βάραθρον. τόπος βαθὺς, ὅπου οἱ κακοῦργοι ἐμβάλλονται Ἀθήνησι, καὶ οἱ ἐπὶ θανάτῳ· ὥσπερ εἰς τὸν Κεάδαν οἱ Λακεδαιμόνιοι.

Βάραθρον. [9] ὄρυγμά ἐστιν, εἰς ὃ ὁ τῆς Ἱπποθοωντίδος δῆμος τοὺς ἐπὶ θανάτῳ κατακρίτους ἐνέβαλλεν. ἐν δὲ Φιλιππικοῖς ὁ Δημοσθένης τὴν λέξιν οὐ κυρίως εἶπεν, ἀλλ' ἐκ μεταφορᾶς, οἷον ἐν τῷ ὀλέθρῳ.

Βαραχνίς. ἡ ἄκανθα.

Βαράμης.

Βάρ. ὁ υἱός. ὡς τὸ Βὰρ Ἰωνᾶ.

Βαρβαρίζει. ἀντὶ τοῦ, τὰ τῶν βαρβάρων φρονεῖ. οὕτω Πλάτων. [10] Ἔστι δὲ βαρβαρισμὸς ἐκ τῶν κακιῶν λέξις παρὰ τὸ ἔθος τῶν εὐδοκιμούντων Ἑλλήνων. Σολοικισμὸς δέ ἐστι λόγος ἀκαταλλήλως συντεταγμένος· ὡς τὸ, ἐγὼ περιπατῶν ὁ τοῖχος ἔπεσεν.

Βαρβάρους. [11] ἀντὶ τοῦ ἀφώνους, ἢ ἀνηκόους ἀνθρώπων, καὶ μὴ εἰδότας αὐτῶν τὴν φωνήν. Ἀριστοφάνης Ὄρνισιν·

Βάνδον. Bandum. Ita Romani vexillum bellicum appellant.

Βάξιν. Rumorem. Famam. Sophocles: *Si enim in præſentibus calamitatibus exiſtimat, vel a verbis vel factis meis aliquam ipſi ortam eſſe injuriam, tædet me vitæ longioris, ſi ejus famæ opprobrium ferendum mihi ſit.*

Βαπτά. Sponſi verſicolores geſtabant veſtes, ut tincturæ eſſent indicium. Ariſtophanes *Pluto*: *Neque verſicoloribus & pictis magnoque pretio emptis veſtibus ornare vos poteritis.* Hic βαπτῶν poſitum eſt pro ἑτεροχρόων, i. e. verſicolorum.

Βάπτουσι. Lavant. Ariſtophanes: *Primum enim lanas aqua calida priſco more lavant.* Id eſt, nihil ex veteri conſuetudine mutant.

Βάραθρον. Sic appellabatur hiatus quidam, ſive locus profundus & obſcurus in Attica, in quem malefici conjiciebantur. In eo autem erant unci, alii ſuperne, & alii inferne. In hunc hiatum Phrygem aliquem, matris Deum [ſacerdotem,] ut inſanientem præcipitarunt, quod prædixiſſet, Cererem venturam filiæ [Proſerpinæ] quærendæ gratia. Quamobrem Dea irata ſterilitatem Atticæ immiſit. Athenienſes vero, cum ex oraculo cauſam mali intellexiſſent, hiatum illum terra ingeſta repleverunt, Deamque ſacrificiis placarunt.

Βάραθρον. Barathrum, ſive locus profundus, in quem malefici & capite damnati Athenis præcipitabantur: ut in Ceadam apud Lacedæmonios.

Βάραθρον. Eſt locus profundus, in quem Hippothoontiæ tribus populus capitis damnatos præcipitabat. At in *Philippicis* Demoſthenes voce hac non eſt uſus proprie, ſed metaphorice, pro, in exitium ſeu pernitiem.

Βαραχνίς. Spina.

Βαράμης. Barames.

Βάρ. [Hebraice,] filius. Ut Βὰρ Ἰωνᾶ, filius Ionæ.

Βαρβαρίζει. Barbarorum partibus favet. Ita Plato. Barbariſmus autem eſt dictio ex vitioſis vocabulis conſtans, & ab uſu probatorum Græciæ ſcriptorum abhorrens. Solœciſmus vero eſt oratio, cujus conſtructio conſequentia caret: ut, *Ego ambulans murus cecidit.*

Βαρβάρους. [Sic Ariſtophanes aves vocat:] id eſt, voce carentes, vel, quæ non audiunt homines, nec illorum vocem intelligunt.

---

[1] Βάνδον. οὕτω καλοῦσι Ῥωμ. τὸ σημ.] Aliam huic voci ſignificationem tribuit Stephanus Byzantius v. Ἀλάβανδα; quem vide.

[2] Σοφοκλῆς] *Oedip. Tyran.* pag. 173. ut Portus obſervavit.

[3] Βαπτά. Βαπτὰ ἱμάτια ἐφόρουν οἱ νυμφ.] Ex Scholiaſta Ariſtoph. ad *Plutum* pag. 55. (27 Ed. Baſ. *P.*)

[4] Τῆς φθορᾶς] Apud Enarratorem Comici rectius legitur τῆς βαφῆς; quam lectionem in verſione ſecutus ſum.

[5] Ἀριστοφάνης] *Eccleſiaz.* pag. 730. ſed ubi legitur πρῶτα μὲν γὰρ τἄρια, ut & hic apud Suidam legendum eſt.

[6] Βάραθρον. χάσμα τι φρεατ.] Hæc, & quæ ſequuntur, deprompta ſunt ex Scholiaſta Ariſtoph. ad *Plutum* pag. 46.

[7] Ἐν ᾧ τοὺς κακούργους ἔβαλλον] Similis locus erat apud Lacedæmonios, Καιάδας appellatus; & alius apud Corinthios, cui nomen erat Κῶς: de quo vide Stephanum Byzantium v. Κῶς.

[8] Ἐνταῦθα τὸν Φρύγα, τὸν τῆς μητρὸς τῶν Θεῶν ἐνέβ.] Hiſtoria hæc fuſius narratur infra v. Μητραγύρτης; qui locus cum hoc conferendus eſt.

[9] Βάραθρον. ὄρυγμά ἐστιν, εἰς ὃ ὁ τῆς Ἱπποθ.] Ex Harpocratione.

[10] Ἔστι δὲ βαρβαρισμὸς ἐκ τῶν κακ.] Hæc, & quæ ſequuntur, ſunt verba Laertii lib. VII. Segm. LIX.

[11] Βαρβάρους. ἀντὶ τοῦ ἀφώνους, ἢ ἀνηκόους ἀνθρ.] Ex Scholiaſta Ariſtoph. ad *Aves* pag. 550. (375. Ed. Baſ. *P.*)

Ἐγὼ γὰρ αὐτοὺς βαρβάρους ὄντας πρὸ τοῦ,
Ἐδίδαξα τὴν φωνήν, συνὼν πολὺν χρόνον.

περὶ τῶν ὀρνέων λέγει ὁ ἔποψ.

Βαρδίνης.[1] ποταμός. παρὰ τὸ βαρείας καὶ ἐπαχθεῖς δίνας ἔχειν· βαρυδίνης τὶς ὤν.

Βαρδίσαλος.[2] ὁ τὰς γυναῖκας βιαζόμενος.

Βάρβιτος. εἶδος ὀργάνου μουσικοῦ.

Βάρδιστοι. βαρδύτατοι.

Βάρβιος[3] Φιλιππικός. οὗτος ἐπὶ [4] τῶν τριῶν τυράννων ἦρχε. [5] θέραψ δὲ ἦν τὸν τρόπον καὶ κολακικός, καὶ μέντοι καὶ τῷ περὶ τὸν Ἀντώνιον θιάσῳ κατείλεκτο· καὶ ταύτην γε τὴν ἀρχὴν ἦρχε τὴν ἐκείνου χάριν. τοῦτόν τε οὖν τὸν τότε σοβαρόν, καὶ πορφυροῦν τῇ τιμῇ, καὶ ἐν ἀγορᾷ τῇ Ῥωμαίων ὑψηλὸν διάγοντα, καὶ δικάζοντα, ὁ δεσπότης ἀνέγνω ἐλθών, πρότερον μὲν ἀποδράντα, ἐν ἐκείνῳ δ' οὖν τοῦ καιροῦ πομπεύοντα ἁβρὸν καὶ κυδρούμενον, καὶ σὺν τῇ ἀρχῇ θρυπτόμενον. καὶ προσελθὼν ἡσυχῇ κατόπιν θοιματίου λαβόμενος, χαῖρε, εἶπε, τὸ ὄνομα προσθεὶς τὸ ἀρχαῖόν τε καὶ δοῦλον. καὶ ἐκεῖνος ἐκπλήττεται ῥᾳδίως τὸν δεσπότην γνωρίσας, καὶ δεῖται σιωπᾶν, καὶ εἰς τὰ οἰκεῖα ἄγει, καὶ καταβαλὼν πάμπλειστα, εἶτα μέντοι ἑαυτὸν ἐλύσατο. καὶ αἰδοῖ Ἀντωνίου τῇ κηλῖδι τῇδε σιγῇ κατεχύθη ἀργυρώνητος. ἐκεῖνα δὴ καὶ ταύτην τῆς τύχης μὴ σιγῆσαι τὴν παιδιάν.

Βάρβιτον. ψαλτήριον. κιθάρα. εἶδος ὀργάνου μουσικοῦ. Ὦ τὸ φίλτρον στέρξας, φίλε, βάρβιτον. περὶ Ἀνακρέοντος ὁ λόγος. παροιμία ἐπὶ τῶν ἀνομοίων. Ἀριστοφάνης·[6]

--- Τίς ἡ στολή;
Τίς ἡ τάραξις τοῦ βίου; τί βάρβιτος
Λαλεῖ κροκωτῷ; τί δὲ λύρα κεκρυφάλῳ;
Τί λήκυθος, καὶ στρόφιον; ὡς ἀξύμφορον.
Τίς δαὶ κατόπτρου καὶ ξίφους κοινωνία;

Βαργαδώθ. υἱὸς λύπης.

Βαρέων. βασταγμάτων.

Βαρεῖα χείρ. ἡ δυνατή. Συνέστη δὲ πλῆθος ἱκανόν, καὶ βαρεῖα χείρ, καὶ παράδοξος.

Βάρεις. πλοῖα. τείχη. στοαί. αὐλαί. πύργοι. σφαῖραι. [7] Ὁ δὲ ἐπεμέλετο [8] βαρῶν. τουτέστι τειχῶν.

Δέξαι[9] μ', εἰ καὶ σοὶ μέγα βρίθεται ὀκρυόεσσα
Βᾶρις ἀποφθιμένων, τὸν κύνα Διογένην.

Βάρεις[10] ἐλεφάντιναι. αἱ πανταχοῦ τῆς γῆς Ἐκ-

Aristophanes *Avibus*: *Ego enim eas, antea barbaras, loqui docui, diu cum illis verſatus.* De avibus hæc dicit epops.

Βαρδίνης. Bardines, fluvius, ſic dictus, quod graves & rapidos habeat vortices: quaſi dicas, Βαρυδίνης.

Βαρδίσαλος. Qui mulieres violat.

Βάρβιτος. Barbitus. Inſtrumentum Muſicū.

Βάρδιστοι. Tardiſſimi.

Βάρβιος. Barbius Philippicus. Hic ſub Triumviris præturam geſſit, &, cum eſſet homo ſervili & adulatorio ingenio, in cœtum ſcurrarum, quibus Antonius familiariter utebatur, allectus fuit; ad cujus etiam arbitrium magiſtratum ante dictum geſſit. Hunc igitur eo tempore faſtu elatum, & ob dignitatem purpura indutum, & in foro Romano e ſublimi loco jus dicentem herus accedens agnovit: qui cum ante ſervus fugitivus fuiſſet, tunc temporis magno cum faſtu & pompa incedebat, & dignitatis faſtigio magnifice ſe efferebat. Cum igitur tacite ad eum acceſſiſſet, veſte a tergo prehenſa, Salve inquit; priſtino & ſervili nomine eum compellans. At ille re ſubita perculſus dominum agnovit, rogatumque ut taceat domum ſecum duxit, magnaque pecuniæ ſumma ei numerata ſic tandem ſe redemit. Et propter reverentiam quidem erga Antonium macula illa ſervitutis ſilentio tecta fuit. Hunc autem fortunæ ludum non cenſui ſilentio eſſe prætereundum.

Βάρβιτον. Barbitum. Cithara. Inſtrumenti muſici genus. *O amice, qui dilexiſti barbitum, amoribus aptum.* De Anacreonte hæc dicuntur. Et proverbium de rebus diſſimilibus apud Ariſtophanem: *Quænam hæc eſt ſtola? Quæ vitæ confuſio? Quid barbitum crocotulæ jungitur? Quid lyræ cum vitta? Quid lecythus & ſtrophium? Quam parum hæc ſibi congruunt. Quænam ſpeculi & gladii poteſt eſſe ſocietas?*

Βαργαδώθ. [Hebraice,] filius doloris.

Βαρέων. Onerum.

Βαρεῖα χείρ. Manus potens. *Conflata eſt autem multitudo ingens, manuſque potens & incredibilis.*

Βάρεις. Naves, muri, porticus, aulæ, turres, ſphæræ. *Ille vero curam gerebat murorum.* Et [in Epigrammate:] *Suſcipe me, canem Diogenem, quamvis triſtis tua cymba mortuis onuſta ſit.*

Βάρεις ἐλεφάντιναι. Domus eburneæ. [Sic apud κλησίαι, μιᾷ δὲ τῇ πίστει, ἐν αἷς γεραίρεται ὁ Θεός. καὶ Βάρεων, ἡ γενικὴ τῶν πληθυντικῶν. Βᾶρις δὲ, στοὰ καὶ πόλις.

---

[1] Βαρδίνης. ποταμός. παρὰ τὸ βαρείας καὶ ἐπαχθ.] Eadem αὐτολεξεὶ leguntur apud Etymologum.

[2] Βαρδίσαγνος. ὁ τὰς γυν. βιαζ.] Vide Heſych. v. Βαρδῆν.

[3] Βάρβιος Φιλιππικός] Hujus Barbii Philippici meminit Ulpianus l. 3. D. *de Offic. Prat.* ſed qui eum Barbarium Philippum vocat; ut monuerunt Turnebus *Adverſar.* lib. VII.. cap. VII. & Reineſius *Var. Lect.* lib. III. pag. 476. quos vide.

[4] Ἐπὶ τῶν τριῶν τυράννων] Id eſt, ſub M. Lepido, M. Antonio, & Octavio Cæſare, quorum Triumviratus celebris eſt in hiſtoria Romana.

[5] Θέραψ δὲ ἦν τὸν τρόπον καὶ κολακικός, καὶ μέντοι καὶ τῷ περὶ τὸν Ἀντ. θιάσῳ κατ.] Hæc repetuntur infra v. Θεόληπτος.

[6] Ἀριστοφάνης] *Theſmophor.* pag. 773. (515. Ed. Baſ. *P.*)

[7] Ὁ δὲ ἐπεμέλετο βαρῶν] Hæc ſunt verba Juliani Imperatoris de Muſonio Philoſopho, ut diſcimus ex Suida infra v. Μουσώνιος.

[8] Βαρῶν] Scribe βάρεων; a βᾶρις: ut a πόλις, πόλεων. Βαρῶν vero eſt a neutro βάρος, onus.

[9] Δέξαι μ', εἰ καὶ σοὶ μέγα βρ.] Diſtichum hoc eſt pars Epigrammatis in Diogenem, quod exſtat Anthol. lib. III. cap. XXXIII. Epigr. XVI. pag. 420. (284. Ed. Henr. Steph. *P.*)

[10] Βάρεις ἐλεφάντιναι. αἱ πανταχοῦ τῆς γῆς Ἐκκλησ.] Hæc Suidas deſcripſit ex commentatore aliquo ad verba illa Davidis Pſalm. XLIV. v. 9. Ἀπὸ βάρεων ἐλεφαντίνων, ἐξ ὧν εὔφρανάν σε. Theodoretus ad illum locum: Βάρεις ἐλεφαντίνας, ἢ, κατὰ τὸν Σύμμαχον καὶ τὸν Ἀκύλαν, ναοὺς ἐλεφαντίνους, τοὺς περικαλλεῖς καὶ λαμπροὺς Ἐκκλησίας καλεῖ· ἃς οἱ ἄρχοντες καὶ βασιλεῖς πανταχοῦ γῆς καὶ θαλάσσης ἐδείμαντο i. e. Βάρεις ἐλεφαντίνας, *vel, ſecundum Symmachum & Aquilam,* ναοὺς ἐλεφαντίνους, *vocat pulchra & ſplendida Chriſtianorum templa, a Principibus & Regibus ubique terrarum & in Inſulis maris exſtructa.*

Βαρθολομαῖος. ὄνομα κύριον.

Βαρκαίοις.[1] Λιβυκοῖς. Βάρκη γὰρ πόλις Λιβύης, ἡ νῦν Πτολεμαῒς καλουμένη.

Βαρκάζειν. τὸ βαρβαρίζειν.

Βάρνη. υἱὸς ἀλλόμενος.

Βάρος. ἐπὶ τῶν μεγίστων πόλεων. [2]Ἡ δὲ Καπύη μεταθεμένη πρὸς τοὺς Καρχηδονίους, τῷ βάρει συνεπεσπάσατο καὶ τὰς ἄλλας πόλεις.

Βάρος. περὶ Πολέμωνος· Ἦν [3] δὲ καὶ τὸ βάρος οἱονεὶ Δώριός τις οἰκονομία. †* Προορώμενος δὲ καὶ καταῤῥωδῶν τὸ βάρος καὶ τὸ φιλόνεικον τῶν ἀνθρώπων. Ἀντὶ τοῦ τὸ πλῆθος, τὴν ἰσχύν. Πολύβιός φησι. † Καὶ αὖθις· Ἐπισημηνάμενος δὲ τοῦ Σικυῶνος τὴν ὀχυρότητα, καὶ τὸ βάρος τῆς τῶν Ἀργείων πόλεως, ἦλθεν εἰς Ἐπίδαυρον. Καὶ αὖθις· [4]Ἐπολυπραγμόνησαν ἀκριβῶς τῆς πόλεως τὴν θέσιν καὶ τὸ βάρος.

Βάρος [5] γὰρ ἡμᾶς οὐδὲν ἐκ τούτων ἔχει.
Οὐ γὰρ λόγοισι τὸν βίον σπουδάζομεν
Λαμπρὸν ποιεῖσθαι μᾶλλον, ἢ τοῖς δρωμένοις.

Βάρος. ὄνομα κύριον. ἦν δὲ ἱερεύς. καὶ ζήτει τὴν περὶ τούτου ἱστορίαν [6] ἐν τῷ Ἔμβαρός εἰμι.

Βάῤῥων. ἱστορικός. ἐπιτομὴν τῶν κατ' Ἀλέξανδρον τὸν Μακεδόνα.

Βαρῶν.[7] τειχῶν.

Βαρσύμης Πέτρος. ἔστιν ἐν τῷ Δεξιός.

Βαρύβρομος. βαρύηχος.

Καὶ πόντον κελάδοντα βαρύβρομον.

διὰ τὸν τῶν κυμάτων ψόφον.

Βαρυδαίμων. ἀτυχής. [8]Ὁ γὰρ Κρὴς ὑπάρχων, καὶ φύσει ποικίλος, πᾶν ἐβάσταζε πρᾶγμα, καὶ πᾶσαν ἐπίνοιαν ἐψηλάφα. ἀντὶ τοῦ διεσκέπτετο.

Βαρυηχέος. [9] τοῦ μέγα ἠχοῦντος. οἱ γὰρ βαρεῖς ποταμοὶ ῥέοντες μέγαν ἦχον ἀπεργάζονται. Ἀριστοφάνης Νεφέλαις·

Πατρὸς ἀπ' Ὠκεανοῦ βαρυηχέος.

Βαρύμηνις. μνησίκακος.

Βαρυνόμενος. καταπονούμενος. Πολύβιος· Ὁ δὲ ἐξαναστὰς προῆγε, τὰ μὲν ὑπὸ τῆς ἀῤῥωστίας, τὰ δὲ ὑπὸ τῆς ἡλικίας βαρυνόμενος. εἶχε γὰρ ἑβδομηκοστὸν ἔτος.

Βαρύνω. αἰτιατικῇ.

Davidem appellantur] Eccleſiæ, per totum terrarum orbem diſperſæ, unius ejuſdemque omnes fidei, in quibus [verus] Deus colitur. Et Βάρεων, genitivus pluralis. Et Βᾶρις, porticus, urbs.

Βαρθολομαῖος. Bartholomæus. Nomen proprium.

Βαρκαίοις. Libycis. Barce enim eſt urbs Libyæ, quæ nunc Ptolemais vocatur.

supra v. Ἀλίζωες Ζευγῖται. Hesych. v. Βάρκη. Markland Ep. Crit. 164.

Βαρκάζειν. Barbare loqui.

Βάρνη. Filius ſaltans.

Βάρος. Onus. Pondus. De maximis urbibus dicitur. *Capua vero, cum ad Carthaginenſes defeciſſet, pondere ſuo & alias urbes ſecum traxit.*

Βάρος. [Laertius] de Polemone ait: *Erat autem, quod ad gravitatem attinet, velut Dorius quidam modus.* † *Proſpiciens vero & formidans hominum potentiam & ingenium contentioſum.* Polybius. Βάρος hic ſignificat multitudinem, vel potentiam. Et iterum: *Cum autem ſignificaſſet, quam munita eſſet Sicyon, & quam potens urbs Argivorum, Epidaurum adiit.* Et iterum: *Curioſe & accurate urbis ſitum ejuſque potentiam & munimenta conſiderarunt.* [Et Sophocles:] *Minime iſta ægre ferimus. Non enim tam verbis quam factis vitam illuſtrem reddere ſtudemus.*

* Polybius. Fr. Gram. 30. Vol. V. p. 81.

† Polybius. XXX. 15. Vol. IV. p. 482.

4.

5.

Βάρος. Barus. Nomen proprium ſacerdotis: de quo vide quæ narrantur infra v. Ἔμβαρός εἰμι.

Βάῤῥων. Varro, hiſtoricus. Scripſit epitomen rerum ab Alexandro Macedone geſtarum.

Βαρῶν. Murorum.

Βαρσύμης Πέτρος. Barſymes Petrus. Vide in v. Δεξιός.

Βαρύβρομος. Graviter fremens, vel ſtrepens. *Et mare reſonans, graviterque ſtrepens.* Propter fluctuum ſtrepitum.

Βαρυδαίμων. Infelix. *Ille enim, cum eſſet Cretenſis & ingenio vario, unamquamque rem in animo ſecum verſabat, & omnes conſiliorum vias expendebat.*

Βαρυηχέος. Gravem ſtrepitum edentis. Fluvii enim ingentes magno cum aquarum ſtrepitu fluunt. Ariſtophanes: *A patre Oceano graviſtrepo.*

Βαρύμηνις. Graviter iraſcens. Injuriarum acceptarum diu memor.

Βαρυνόμενος. Gravatus. Polybius: *Ille vero, cum ſurrexiſſet, præceſſit, partim quidem morbo, partim vero ætate gravatus. Septuageſimum enim ætatis annum agebat.*

Polybius. Fr. Gram. 31. Vol. V. p. 82.

Βαρύνω. Accuſativo gaudet. Gravo. Premo.

---

[1] Βαρκαίοις. Λιβυκοῖς. Βάρκη γὰρ πόλις Λιβ.] Ex Scholiaſta Sophoclis ad *Electram*, ut Portus obſervavit. Vide etiam Heſychium v. Βαρκαίοις.

[2] Ἡ δὲ Καπύη μεταθεμένη πρὸς τοὺς Καρχ.] Hoc fragmentum repetitur infra v. Καπύη.

[3] Ἦν δὲ καὶ τὸ βάρος οἱονεὶ Δώριός τις οἰκον.] Verba hæc excerpta ſunt ex Laertii lib. IV. Segm. XIX. ut Pearſonius etiam obſervavit.

[4] Ἐπολυπραγμόνησαν ἀκριβῶς τῆς πόλεως τὴν θ.] Hæc ſunt verba Diodori in *Excerpt. Legat.* cap. XXXII. ut Pearſonius recte obſervavit.

[5] Βάρος γὰρ ἡμᾶς οὐδὲν ἐκ τούτων ἔχει. Οὐ γὰρ λ.] Hæc ſunt verba Sophoclis *Oedip. Colon.* pag. 308. ut Portus monuit.

[6] Ἐν τῷ Ἔμβαρος] Sed ibi Bari nulla fit mentio, ſed tantum Embari.

[7] Βαρῶν. τειχῶν] Vide paulo ante v. Βάρεις.

[8] Ὁ γὰρ Κρὴς ὑπάρχων, καὶ φύσει ποικ. πᾶν ἐβ.] Hæc ſunt verba Polybii lib. VII. cap. XIII. ſed male huc tranſlata, quoniam pertinent ad vocem Βαστάζω.

[9] Βαρυηχέος. τοῦ μέγα ἠχοῦντος. οἱ γὰρ βαρεῖς ποτ.] Ex Enarratore Comici ad *Nubes* pag. 140.

Βαρυτήμων. ἄθλιος. [1] βεβαρημένος. κακός.

Βαρυπρεπής. πολυτελής. Καὶ τὸ μέσον τῆς ἡμέρας εὐωχία περιεκέχυτο βαρυπρεπὴς τῷ Λέοντι, καὶ πρὸς αὐτὴν ἐκάλει.

Βαρυσυμφορώτατος. δυστυχής. Νομίζων ἑαυτὸν βαρυσυμφορώτατον γεγονέναι πάντων ἀνθρώπων.

Βασάν. αἰσχύνη. [2] Εἶπε Κύριος, ἐκ Βασὰν ἐπιστρέψω. ὁ Δαβὶδ φησι.

Βασανίζειν. οὐ τὸ αἰκίζεσθαι καὶ τιμωρεῖσθαι καὶ μαστιγοῦν σημαίνει παρὰ τοῖς Ἀττικοῖς, ἀλλὰ τὸ χωρὶς πληγῶν ἀνακρίνειν καὶ ἐλέγχειν τἀληθὲς διὰ λόγων· ἀπὸ τῆς βασάνου τῆς χρυσοχοϊκῆς λίθου μεταφορικῶς. καὶ Πολύβιος· Τότε νομίσας τὴν ἐκ πυρὸς ἔχειν βάσανον, ἀπελύθη τῆς ὑποψίας. καὶ Βασανίσας ἀντὶ τοῦ δοκιμάσας κέχρηνται ἅπαντες οἱ ἀξιόλογοι. ὁ δὲ [3] Ἀριστοφάνης οὕτω. Βασάνιζε τουτονὶ λαβών. κἄν ποθ' ἕλῃς ἀδικοῦντα, ἀπόκτεινόν μ' ἄγων. καὶ πῶς βασανίζω; πάντα τρόπον. ἐν πίνακι δήσας, κρεμάσας, ὑστριχίδι μαστιγῶν, δαίρων, στρεβλῶν· ἔτι δ' εἰς τὰς ῥῖνας ὄξος ἐγχέων, πλίνθους ἐπιτιθεὶς, πάντα τἆλλα· πλὴν πράσῳ μὴ τύπτε τοῦτον, μηδὲ γηθείῳ νέῳ. Ἐπειδὴ οἱ ἐλεύθεροι περὶ τούτου ἐδαίροντο πράσοις καὶ σκορόδοις. Βασάνιζε αὐτὸν πανταχῶς, μὴ ἐν παιδιᾷ, μηδὲ ὡς τοὺς ἐλευθέρους παῖδας τῷ ἐκκαυλήματι τοῦ πράσου, ἢ τοῦ γηθείου· τουτέστιν, ἀμπελοπράσου· ἢ, ὥς τινες, πράσου φύλλῳ.

Βασανῖτις. χώρα.

Βάσανος. [4] λίθος ἐστὶν, ἡ τὸ χρυσίον παρατριβόμενον δοκιμάζουσα. οὕτως Ἀντιφῶν, καὶ Πίνδαρος, καὶ Σοφοκλῆς. Ὑπερείδης δὲ τὰ ἐν ταῖς βασάνοις εἰρημένα ὑπὸ τῶν βασανιζομένων καὶ [5] ἀναγραφομένων, βασάνους ὠνόμασε. καὶ παροιμία· Βάσανος λίθος. ἐπὶ ἐξεταζόντων ἐν λόγοις ἢ ἔργοις· παρόσον ἡ Λυδία λίθος τὸν χρυσὸν δοκιμάζει. † Ὅτι [6] οἱ ἔξω φασίν· Ἡ ἀμφισβήτησις κρίσει ἀναρτάσθω· ἡ δὲ κρίσις τοὺς ἐλέγχους βασανιζέτω· ἡ δὲ βάσανος τὸ δέον ὁριζέτω· ὁ δὲ ὅρος γεγράφθω· τὰ γεγραμμένα κυρούσθω· τὰ δὲ κυρωθέντα βεβαιούσθω τοῖς ἔργοις, καὶ πᾶσα ἀψιμαχία οἰχέσθω, καὶ πάλιν φιλία χορευέτω. οὐ δεῖ ἀπερισκέπτως ποιεῖσθαι τὰς κρίσεις.

Βασσαρικὰ, [7] ἤτοι Διονυσιακὰ ἔγραψε Σωτήριχος, γεγονὼς ἐπὶ Διοκλητιανοῦ. καὶ Βασσαρικοῦ. ἐν Ἐπιγράμματι·

Στρεπτὸν [8] Βασσαρικοῦ ῥόμβον θιάσοιο μύωπα.

τουτέστι, [9] πορνικοῦ.

Βαρυτήμων. Miſer. Malis gravatus.

Βαρυπρεπής. Sumptuoſus. Splendidus. *Et circa meridiem Leoni ſumptuoſum convivium apparatum erat, ad quod [amicos] invitabat.*

Βαρυσυμφορώτατος. Infeliciſſimus. Miſerrimus. *Se omnium hominum infeliciſſimum eſſe putans.*

Βασάν. Dedecus. Ignominia. *Dixit Dominus, ex Baſan [eos] reducam.* Sic David inquit.

[4] Ξενοφῶν] *De Expedit. Cyri* lib. II. pag. 279. ut Portus monuit. Vide etiam infra v. Ἐπιτήδειος, ubi idem fragmentum repetitur.

[5] Ὑπεροψία] Huc ſpectant verba Scholiaſtæ Ariſtoph. ad *Plutum* pag. 36. Καὶ βλακεία, ἡ μεθ' ὑπεροψίας ὁμιλία.

[6] Οἱ στράτορες τριώβολον ἐλ.] Portus legendum putabat, οἱ φράτορες: quæ conjectura temere damnanda non eſt. Triobolum enim apud Athenienſes merces erat Judicum, qui ideo ab Ariſtophane *Equit.* pag. 301. φράτορες τριωβόλου vocantur: quod tamen a Porto obſervatum non fuerat. Cæterum, cum fragmentum hoc breve ſit, nec de ſenſu auctoris ex quo Suidas iſta deſcripſit, certo conſtet, rem totam in medio relinquo.

[7] Ὡς βλακικῶς διακονεῖς] Hæc ſunt verba Ariſtophanis *Avibus* pag. 557. (418. Ed. Baſ. *P.*)

[8] Μόλις δὲ τῶν Καρχηδ. ἀπὸ τῆς καταπλ.] Hæc ſunt verba Diodori in *Excerpt. Legat.* cap. XXVII. quæ etiam leguntur ſupra v. Ἀναλεξάμενος, ut Pearſonius recte obſervavit. Cæterum in *Excerptis Legat* pro ἀναλεξαμένων, ut Suidas hic habet, hodie legitur ἀναψυξαμένων. Sed lectionem Suidæ præferendam eſſe monuimus etiam ſupra v. Ἀναλεξάμενος.

[9] Σοφοκλῆς] *Oedip. Colon.* pag. 301. ut Portus obſervavit. Suidas autem, veterem Scholiaſtam ſecutus, locum hunc Sophoclis male interpretatur. Rectius Triclinius: Σπεύδειν ἀπὸ ῥυτῆρος. ἤγουν ἀπὸ μιᾶς ὁρμῆς. ἀντὶ τοῦ ὡς ἔχει ἕκαστος χήματος. εἴρηται δὲ ἐκ μεταφορᾶς τῶν διωκόντων τινὰς στρατιωτῶν, καὶ πάσας ἡνίας χαλώντων, ὥστε ταχύτερον φέρεσθαι. Ῥυτῆρας γὰρ τοὺς χαλινούς φασιν, οὐ τὰ ὑποδήματα, ὡς τὰ Σχόλια λέγει.

[10] Ὁ σκίπων, καὶ ταῦτα τὰ βλ.] Diſtichum hoc eſt pars Epigram-

Ἄγει-

Βλαυτίοις. σανδαλίοις. [1] Ἀριστοφάνης·

Ὅπερ πίνων ἀνὴρ πέπονθ', ὅταν χεσείῃ,
Τοῖς τρόποισι τοῖς σοῖσιν ὥσπερ βλαυτίοις χρήσομαι.

ἐπειδὴ εἰώθασιν οἱ πίνοντες τοῖς τῶν ἄλλων ὑποδήμασι χρῆσθαι, εἰ ἐπείγοιντο πρὸς λάσανον. [2] λάσανα δὲ οἱ χυτρόποδες, τὰ μαγειρεῖα, ἔνθα τῇ βουλῇ σκευάζεται μετὰ τὰς θυσίας τὰ κρέα.

Βλαῖσος. ὄνομα κύριον. Ὑπάτω δὲ ἤστην Ἰούνιος Βλαῖσος καὶ Λεύκιος. καὶ ἔστιν ἐν τῷ Ἀπίκιος Μάρκος.

Βλαισός. παραλυτικός. διαφέρει βλαισὸς καὶ ῥαιβός. ὁ μὲν ἀπὸ τῶν γονάτων διεστραμμένος τοὺς πόδας· ὁ δὲ αὐτὰς τὰς κνήμας.

Πολλάκις [3] ἐν θυμέλῃσι καὶ ἐν σκηνῇσι τεθηλὼς
Βλαισὸς [4] Ἀχαρνείτης κισσὸς ἔρεψε κόμην.

καὶ βλαισοπόδης. βάτραχος.

Βλέμμυες. ἔθνος Λιβυκόν.

Βλεπεδαίμων. ὁ διεστραμμένος τὰς ὄψεις, καὶ οἷον ὑπὸ δαίμονος πληγείς.

Βλέπειν [5] γὰρ ἄντικρυς δόξεις μ' Ἄρη. ἐπὶ τῶν ὑπισχνουμένων παντὶ σθένει πράττειν καὶ συναίρεσθαι πρὸς βοήθειαν. Δόξεις με, φησὶν, Ἄρεα ὁρᾷν κατορθωτικὸν καὶ πρακτικόν.

Βλέποντες. ἀντὶ τοῦ ζῶντες. οὕτω [6] Σοφοκλῆς·

Οἱ δ' οὖν γελώντων, κἀπιχαιρόντων κακοῖς
Τοῖς τοῦδ'. ἴσως τοι, κεἰ βλέποντα μὴ 'πόθουν,
Θανόντ' ἂν οἰμώξειαν ἐν χρείᾳ δορός.

Βλέπος. [7] Ἀριστοφάνης Νεφέλαις·

Ἐπὶ τοῦ προσώπου τ' ἔστιν Ἀττικὸν βλέπος.

ἀντὶ τοῦ [8] κακοῦργον βλέμμα καὶ δραστικόν. οἱ γὰρ Ἀττικοὶ ἐπὶ ἀναιδείᾳ διεβάλλοντο.

Βλέπος. ἀντὶ τοῦ βλέμμα. οὕτως Ἀριστοφάνης.

Βλεῖο. εὐκτικῶς. καὶ ζήτει τὸν κανόνα ἐν τῷ Ἐμπλείμην.

Βλήδας. [9] ὄνομα Σκύθου.

Βλήτυρι. οὕτω λέγουσι καὶ σκινδαψόν. [10] εἰσὶ δὲ παραπλήρωμα λόγων μὴ ἐχόντων λόγον. [11] Ἰόβας δὲ τὸν σκινδαψὸν ὄργανον μουσικὸν ἀποδίδωσι. τὸ δὲ βλήτυρι χορδῆς μίμημα.

Βλαυτίοις. Sandaliis. Ariſtophanes : *Quod bibenti viro accidere ſolet, cum cacaturit : moribus tuis ut calceis utor.* Hoc ideo dictum, quia, qui bibunt, aliorum calceis uti ſolent, quando ventre urgente ad ſellas properant. Λάσανα enim [ſunt ſellæ familiaricæ. Item] ollæ & vaſa, in quibus Senatui carnes poſt ſacrificia parantur.

Βλαῖσος. Blæſus. Nomen proprium. *Conſules autem erant Junius Blæſus & Lucius.* Vide reliqua in v. Ἀπίκιος Μάρκος.

Βλαισός. Paralyticus. Differt βλαισὸς & ῥαιβός. Βλαισὸς enim eſt, cujus ſuræ ita ſunt diſtortæ, ut extrorſum promineant ; ſive valgus. Ῥαιβὸς vero, cujus ſuræ introrſum actæ ſunt, ſive varus. † *Sæpe in ſcenis viridis & oblique ſerpens hedera Acharnenſis comam tuam texit.* Et βλαισοπόδης, rana.

Βλέμμυες. Blemmyes, gens Libyca.

Βλεπεδαίμων. Qui diſtortos habet oculos, & a dæmone quaſi percuſſus eſt.

Βλέπειν γὰρ ἀντ. *Me enim videns Martem ipſum cernere tibi videberis.* Dicitur de iis, qui pollicentur ſe totis viribus aliquid facturos & opem alicui laturos eſſe. Exiſtimabis, inquit, cum me videbis, te videre Martem ipſum, in rebus gerendis ſtrenuum & promptum.

Βλέποντες. Viventes. Ita Sophocles:

Illi igitur rideant, & inſultent malis
Hujus. Fortaſſe enim, etſi viventem non deſiderarunt,
Mortuum deplorabunt, cum bellum eos urgebit.

Βλέπος. Aſpectus. Intuitus. Ariſtophanes *Nubibus : Et vultui ejus ineſt Atticus aſpectus.* Id eſt, callidus & impudens. Attici enim ob impudentiam male audiebant.

Βλέπος. Idem quod βλέμμα, aſpectus. Sic Ariſtophanes.

Βλεῖο. Eſt optativi modi. Quære regulam in v. Ἐμπλείμην.

Βλήδας. Bledas. Nomen Scythæ.

Βλήτυρι. Sic & ſcindapſum appellant. Item verba nihil ſignificantia, quæ tantum complendæ orationis gratia adhibentur. Jobas vero ſcindapſum interpretatur inſtrumentum Muſicum. Eſt item βλήτυρι vox, qua ſonum chordæ imitamur.

---

matis nondum, ut puto, a quoquam ante editi, quod ex Cod. MS. integrum hic cum Lectore communicabo. Λεωνίδου.

Ὁ σκίπων, καὶ ταῦτα τὰ βλαυτία, πότνια Κύπρι,
Ἄγκειται Κυνικοῦ σκῦλα Ποσωχαρέος.
Ὄλπη τε ῥυπόεσσα, πολυτρήτοιό τε πήρας
Λείψανον, ἀρχαίης πληθόμενον σοφίης.
Οὐδὲ Ῥόδων ὁ καλὸς, τὸν πάνσοφον ἡνίκα πρέσβυν
Ἤγρευσεν, στρεπτοῖς θῆκέ τ' ἐπὶ προθύροις.

In hoc Epigrammate philoſophus quidam Cynicus, formoſi adoleſcentis amore captus, philoſophia valere juſſa, baculum & peram reliquaque vitæ prioris inſignia adoleſcenti tradit Veneri conſecranda. Epigramma eſt ſatis planum & facile: cui proinde diutius non immorabor.

[1] Ἀριστοφάνης] *Equit.* pag. 342. (239. Ed. Baſ. *P.*) ubi verſus ultimus rectius ſic legitur:

Τοῖς τρόποις τοῖς σοῖσιν ὥσπερ βλαυτίοισι χρῶμαι.

[2] *Λάσανα δὲ οἱ χυτρόποδες, τὰ μαγ.*] Hæc ſunt verba Scholiaſtæ Ariſtoph. ad *Pacem* pag. 690. ſed quæ nihil ad hunc locum faciunt.

[3] Πολλάκις ἐν θυμέλῃσι καὶ ἐν σκ.] Unde diſtichum hoc depromptum ſit monuimus ſupra ad v. Ἀχαρνείτης.

[4] Βλαισὸς] Hanc lectionem ſupra v. Ἀχαρνείτης ſollicitavi, exiſtimans, ejus loco legendum eſſe βλαστὸς. Sed nunc aliter videtur, & τὸ βλαισὸς retinendum cenſeo, quoniam vox iſta ederæ optime convenit, ſi eam ita interpreteris, ut in verſione interpretati ſumus. Vide etiam infra v. Θυμέλη, ubi idem diſtichum repetitur, at pro βλαισὸς legitur βλαστός.

[5] Βλέπειν γὰρ ἄντικρυς δόξεις μ' Ἄρη] Hæc ſunt verba Ariſtoph. *Pluto* pag. 37. (20. Ed. Baſ. *P.*) ubi vide Scholiaſtam, cujus verba Suidas hic deſcripſit.

[6] Σοφοκλῆς] *Ajace* pag. 56. ut Portus obſervavit.

[7] Ἀριστοφάνης Νεφέλαις] Pag. 189. (116. Ed. Baſ. *P.*)

[8] Κακοῦργον] Apud Scholiaſtam Ariſtophanis rectius legitur πανοῦργον.

[9] Βλήδας. ὄνομα Σκύθου] Hujus mentio fit infra v. *Ζέρκων.*

[10] Εἰσὶ δὲ παραπλ.] Lege, ἔστι δὲ καὶ παραπλ.

[11] Ἰόβας δὲ τὸν σκινδ. —— μίμημα] Eadem habet Heſychius v. Βλιτύριον, & Etymologus v. Βλίτυρι.

Βληρόν.[1] τὸ δέλεαρ.

Βλῆτρον.[2] τὸ σύμβαλμα.

Βληχὴ, καὶ Βληχήματα. Φωναὶ προβάτων. καὶ Βληχώμενοι παρὰ[3] Ἀριστοφάνει ἐν Πλούτῳ· τουτέστι, ποιᾷ φωνῇ χρώμενοι. καὶ Βληχᾶσθαι γοῦν, τὸ τὰ πρόβατα ποιᾷ κεχρῆσθαι φωνῇ. Καὶ αὖθις.[4] Βληχὴ τὰ τέκνα καὶ οὐδαμῶς τοῦ τρόπου.

Βληχώδης. προβάτοις τὸν νοῦν ὅμοιος. Μωρὸς δὲ ποιμὴν καὶ τὰ πάντα βληχώδης πέμπειν ἔμελλεν.

Βλήχων. ὁ γλήχων. οὕτω λέγεται παρὰ Ἀττικοῖς. ἔστι δὲ εἶδος βοτάνης.[5] καὶ τὸ ἐφήβαιον Ἀριστοφάνης οὕτως ὀνομάζει.

Βληχωνία.[6] Ἀριστοφάνης·

Ἆρ' ἂν βλαβείην διὰ χρόνου τί σοι δοκῶ,
Ὦ δέσποθ' Ἑρμῆ, τὴν Ὀπώραν κατελάσας;
Οὐκ· εἴγε[7] κυκεῶνος ἐπιπίοις βληχωνίαν.

Καὶ[8] γὰρ οἱ διὰ χρόνου ἐσθίοντες ὀπώραν πολλὴν, βλάπτονται. καὶ οἱ συνουσιάζοντες συνεχῶς. ἐπεὶ οὖν ἐδόκει καὶ ἡ ὀπώρα πόρνη, πρὸς ἀμφότερα ἔπαιξε. (διὰ τοῦ β βληχωνίαν.) οἱ δὲ πολλὴν ὀπώραν ἐσθίοντες, ἐὰν βληχωνίαν πίνωσιν, οὐ βλάπτονται, διὰ τὸ ὑπὸ τοῦ ὀποῦ[9] κατεσθίεσθαι τὴν καρδίαν. ἵνα οὖν ἡ δριμύτης[10] ἀποστυφῇ, ὀπὸν βλήχωνος ἐλάμβανον. καὶ Βληχωνίας, κυκεών.

gii ſumebant. Et βληχωνίας, potio ex pulegio

Βληχρόν.[11] ἀσθενὲς παρὰ Ὁμήρῳ καὶ Ἀλκαίῳ. Πίνδαρος δὲ ἀντὶ τοῦ ἰσχυροῦ αὐτὸ λέγει.

Βλίκαρος.[12] ὁ βάτραχος.

Βλιμάζειν.[13] κυρίως τὸ τοῦ ὑπογαστρίου καὶ τοῦ στήθους ἅπτεσθαι· ὅπερ ἐποίουν οἱ τὰς ὄρνιθας ὠνούμενοι. οἱονεὶ θλιμάζειν. οἱ δὲ Βλιμάζοντες, ἀντὶ τοῦ κακοῦντες. Ἀποτίλλουσιν δὲ καὶ κατεσθίουσι. Βλιμάζειν, τὸ ταῖς χερσὶ διαθλίβειν. καὶ τὸ τὰ κηρία θλίψαι βλίσαι λέγεται. καὶ Βλιμάζων, ἀποστάζων τὸ μέλι τοῦ κηρίου.[14] καὶ Βλιμάττομεν, ψηλαφῶμεν, ἐπιθυμοῦμεν.

Βληρόν. Eſca.

Βλῆτρον. Circuls ferreus, qui duo ligna conſtringit.

Βληχὴ, & βληχήματα. Balatus ovium. Et βληχώμενοι apud Ariſtophanem *Pluto* ſignificat, balatum ovium imitantes. Βληχᾶσθαι enim dicitur de ovibus, cum balatum edunt. Et iterum: *Filii bardi & ſtupidi, & moribus hujus temporis minime accommodati.*

Βληχώδης. Ovillo ingenio præditus. [Id eſt, fatuus, ſtupidus.] *Stultus vero paſtor, & ovillo ingenio omnino præditus, miſſurus erat.*

Βλήχων. Idem ac γλήχων. Sic autem apud Atticos dicitur pulegium, quod eſt herbæ genus. Ariſtophanes etiam pubem ſic vocat.

Βληχωνία. Potio ex pulegio parata. Ariſtophanes: *An putas male mihi fore, Domine Mercuri, ſi poſt tantum temporis intervallum Oporam ſubigam? Non, ſi potionem pulegii ſumpſeris.* Qui enim poſt longum temporis intervallum multa poma edunt, damnum valetudini ſuæ contrahunt; itemque qui crebro coitu Venereo utuntur. Quoniam igitur Opora & meretricis nomen erat, ad utrumque alluſit propter vocem βληχωνίαν. Eſus enim pomorum valetudini non nocet, ſi pulegium bibatur, quoniam a ſucco ejus poma conſumuntur. Ut igitur acrimonia aliqua [poma comeſta] adſtringerentur, ſuccum pulegii confecta.

Βληχρόν. Apud Homerum & Alcæum ſignificat infirmum & debile: apud Pindarum vero, robuſtum & forte.

Βλίκαρος. Rana.

Βλιμάζειν. Proprie ſignificat imum ventrem & pectus attrectare: quod faciebant illi, qui aves emebant. Dictum quaſi θλιμάζειν, i. e. manu premere. Alii vero βλιμάζοντες interpretantur, lædentes. Aves enim vulſis plumis comedunt. [Proprie vero] βλιμάζειν ſignificat, manibus premere. Et favos exprimere βλίσαι dicitur. Et βλιμάζων, mel ex favo exprimens. Et βλιμάττομεν, attrectamus, concupiſcimus.

---

[1] Βληρόν. τὸ δέλεαρ] Heſychius & Etymologus, Βλῆρ. τὸ δέλεαρ.

[2] Βλῆτρον] Eſt vox Homerica Il. O. v. 678. ad quem locum Poetæ vide veterem Scholiaſtam & Euſtathium.

[3] Παρὰ Ἀριστοφάνει ἐν Πλούτῳ] Pag. 33. (17. Ed. Baſ. *P.*)

[4] Βληχὴ τὰ τέκνα καὶ οὐδ.] Corruptus hic locus diu me exercitum habuit, de cujus vero ſenſu inveſtigando utique deſperaſſem, niſi in tantis tenebris facem mihi prætuliſſet Scholiaſta Ariſtoph. ad *Nubes* pag. 180. qui idem fragmentum auctius & emendatius exhibet, & ſimul nos docet, Eupolidem ἐν Δήμοις verbis iſtis perſtrinxiſſe filios Hippocratis, (non magni illius Medici, ſed alterius cujuſdam, qui tempore Ariſtophanis Athenis vivebat) qui tanquam bardi & ſtupidi a Comicis notari ſolebant. Verba Scholiaſtæ hæc ſunt: Τοῖς Ἱπποκράτους υἱέσιν. Οὗτοί εἰσι Τελέσιππος, Δημοφῶν, Περικλῆς, διαβαλλόμενοι εἰς ὑωδίαν. καὶ Εὔπολίς φησιν ἐν Δήμοις·

Ἱπποκράτους τε παῖδες ἐμβόλιμοί τινες,
Βληχητὰ τέκνα, καὶ οὐδαμῶς τοῦ τρόπου.

Poſterior verſus non eſt ἀρτίπους, quem ſic legendum & ſupplendum putem:

Βληχητὰ τέκνα, κοὐδαμῶς τοῦ νῦν τρόπου.

Id eſt, *Filii Hippocratis ſunt ſubdititii, & ovibus ſtupidis ſimiles, & a moribus hujus temporis prorſus abhorrentes.* Sic enim legendum eſſe ſenſus ſuadet. Βληχητὰ autem proprie vocantur animalia balantia, ut oves: quod vocabulum, a Stephano in Theſauro Græcæ Linguæ omiſſum, in fragmento Æliani legitur etiam ſupra v. Ἀναπολεῖν.

[5] Καὶ τὸ ἐφήβαιον Ἀριστοφάνης οὕτως ὀνομάζει] Reſpexit Suidas ad locum illum Comici *Lyſiſtr.* pag. 840.

Κομψόταται τὴν βληχώ γε παρατετιλμένη.

Dicitur enim & βλήχων & βληχώ.

[6] Ἀριστοφάνης] *Pace* pag. 674. (460. Ed. Baſ. *P.*)

[7] Κυκεῶνος] Scribendum κυκεῶνα, ut apud Ariſtophanem.

[8] Καὶ γὰρ οἱ διὰ χρόνου ἐσθ.] Hæc, & quæ ſequuntur, ſunt verba Scholiaſtæ ad modo indicatum locum Ariſtophanis.

[9] Κατεσθίεσθαι τὴν καρδίαν] Sic etiam legitur apud Enarratorem Comici: ſed male. Senſus enim potius requirit, ut ſcribatur κατεσθίεσθαι τὴν ὀπώραν.

[10] Ἀποστυφῇ] Rectius Scholiaſta Comici ἀποστύφῃ.

[11] Βληχρόν. ἀσθενὲς παρὰ Ὁμήρῳ] Imo ἀβληχρὸν non vero βληχρὸν apud Homerum legitur, ut Pearſonius etiam obſervavit.

[12] Βλικαρος] Heſychius, Βλίκανον, βάτραχον. Idem alibi: Βλίτυχος, βάτραχος. Etymologus quoque Βλίκανον interpretatur βάτραχον.

[13] Βλιμάζειν. κυρίως τὸ τοῦ ὑπογαστρ.] Hæc, & quæ ſequuntur, deſcripta ſunt ex Schol. Ariſtoph. ad *Aves* pag. 566. (389. Ed. Baſ. *P.*)

[14] Καὶ βλιμάττομεν, ψηλαφ.] Sic locum hunc in duobus MSS. Pariſ. exaratum reperi, qui in prioribus Editt. ſic legitur: καὶ βλιμάτωμεν, ψηλαφῶμεν, ἐπιθυμοῦμεν. Nota autem hæc Suidæ referenda eſt ad locum illum Ariſtoph. *Lyſiſtr.* p. 907. (567. Ed. Baſ. *P.*)

Ὥσπερ πάλαι δεόμεθα καὶ βλιμάττομες.

Βλίνος. εἶδος ἰχθύος.

Βλιτάδας οἱ παλαιοὶ τὰς [1] εὐτελεῖς γυναῖκας ἔλεγον.

Βλίαρ. [2] Φύλλον συκῆς. ὅθεν καὶ βλίφυλλον, ἀντὶ τοῦ σύκινον.

Βλίττειν. [3] ἀφαιρεῖν τὸ μέλι ἀπὸ τῶν κηρίων, πειράζειν, καὶ τὸ ψηλαφᾷν, καὶ τὸ ἐκπιέζειν τὰ κηρία τῶν μελισσῶν, ἢ θλίβειν. Ἀλλὰ καθείρξας αὐτὸν βλίττεις. οὕτως Ἀριστοφάνης.

Βλιττομάμμας. [4] Καί σε καλοῦμεν βλιττομάμμαν. τουτέστι μωρόν. καὶ γὰρ τὸ βλίττον μωρόν ἐστι λάχανον.

Βλίττος. εἶδος βοτάνης.

Βλίτυρι. [5] χορδῆς μίμημα.

Βλοσυρός. ἀξιωματικός. καταπληκτικός. φοβερός. σεμνός.

Βλωθρή. χλωρά. ἁπαλή. [6] εὐαξής.

Οὐκέτι [7] συρίγγων νόμιον μέλος ἄγχοθι ταύτας
Ἁρμόσει [8] βλωθρᾶς, Θηρίμαχε, πλατάνου.

Βλωμός. τὸ κλάσμα τοῦ ἄρτου. [9] Ἡσίοδος.
Ἄρτον δειπνήσας τετράτρυφον ὀκτάβλωμον.

Βλύδιον. ὑγρόν.

Βοαδρόμος. ὁ βοηθός.

Ὧδ' [10] ὑπὲρ Ἀμβρακίας ὁ βοαδρόμος ἀσπίδ' ἀείρας
Τεθνάμεν [11] ἢ φεύγειν ἤθελεν.

Βοανεργεῖς. [12] υἱοὶ βροντῆς.

Βόας [13] θεωρεῖν εἰς κακὴν πρᾶξιν φέρει.
Νεκροὶ βόες δηλοῦσι τοὺς λιμοῦ χρόνους.

Βοάσομαι [14] τὰν [15] ὑπέρτονον βοάν. Ἀριστοφάνης. Εἰ οὕτω, φησὶ Στρεψιάδης, ὁ παῖς ἐκπεπαίδευται, μέγιστον ὑπὸ τῆς χαρᾶς βοήσομαι.

Βόεια. μεγάλα. Ῥήματ' ἂν βόεια δώδεκ' εἶπεν. Ἀριστοφάνης [16] Βατράχοις.

Βοείας. βύρσας.

Βοηδρομεῖν. μετὰ σπουδῆς παραγίνεσθαι. Κᾶρες δὲ ἀντὶ τοῦ βοηθεῖν. Καὶ βοηδρομούντων ἐπὶ τούτῳ τῶν δημοτῶν, ἄλλος τις παρὼν βάρβαρος ἔτρωσε τὸν ἕτερον ἐπιόντα, καὶ διεκέκριτο οὐδέν.

Βοηδρομία. Βοηδρομεῖν μὲν τὸ βοηθεῖν ὠνομάζετο.

Βλίνος. Blinus. Genus piſcis.

Βλιτάδας. Sic veteres viles mulieres vocabant.

Βλίαρ. Folium ficus. Unde & βλίφυλλον dicitur pro σύκινον, i. e. ficulneum.

Βλίττειν. Mel ex favis eximere. Item, tentare, attrectare, & favos apum comprimere. *Sed eum concluſum premis & emulges.* Sic Ariſtophanes.

Βλιττομάμμας. Stultus. Fatuus. [Ariſtophanes:] *Et te vocamus fatuum.* Blittum enim eſt olus inſipidum.

Βλίττος. Eſt genus herbæ.

Βλίτυρι. Eſt vox, qua ſonũ chordæ imitamur.

Βλοσυρός. Auctoritate præditus. Formidabilis. Gravis.

Βλωθρή. Viridis. Tenera. Procera. [In Epigrammate:] *Non amplius, Therimache, prope altam iſtam platanum paſtorale carmen fiſtulis canes.*

Βλωμός. Fruſtum panis. Heſiodus: *Qui panem edit quatuor quadrarũ & octo buccellarum.*

Βλύδιον. Humidum.

Βοαδρόμος. Auxiliator. [Bellator. In Epigrammate:] *Sic in Ambraciæ oppidi defenſione fortis bellator clypeum elatum tenens mori quam fugere maluit.*

Βοανεργεῖς. Filii tonitru.

Βόας θεωρεῖν εἰς κακ. *Boves in ſomnis videre malũ portendit. Mortui boves famem ſignificant.*

Βοάσομαι τὰν ὑπέρτ. *Maximum clamorem edam.* Ariſtophanes. Si ita, Strepſiades inquit, filius meus inſtitutus eſt, maximum præ lætitia clamorem edam.

Βόεια. Magna. *Duodecim grandia verba proloqui ſolebat.* Ariſtophanes *Ranis.*

Βοείας. Pelles bubulas.

Βοηδρομεῖν. Feſtino curſu accedere. Apud Cares vero ſignificat opem ferre. *Cum populares ea re exciti ad opem ferendam concurrerent, alius quidam barbarus, qui tunc aderat, alterum invadentem vulneravit, nec ullum inter eos diſcrimen ſtatui potuit.*

Βοηδρομία. [Auxilium.] Βοηδρομεῖν ſignificat τουτέστιν, ἐπὶ μάχην δραμεῖν. ἔστι δὲ ἡ [1] Βοηδρομία ἑορτή τις Ἀθήνησι καλουμένη, καθ' ἣν ἡμέραν ἐβοήθησεν ὁ [2] Ξοῦθος πολλῇ σπουδῇ πολεμουμένοις Ἀθηναίοις ὑπὸ Εὐμόλπου τοῦ Ποσειδῶνος. Ἐρεχθεὺς τότε Ἀθηνῶν ἐβασίλευσεν.

---

[1] Εὐτελεῖς] Malim εὐήθεις, ut habet Heſychius.

[2] Βλίαρ] Vide Heſychium v. Βλικάς.

[3] Βλίττειν. ἀφαιρεῖν τὸ μέλι ἀπὸ τῶν κηρ.] Ex Scholiaſta Ariſtoph. ad *Equit.* pag. 336. (234. Ed. Baſ. *P.*)

[4] Καί σε καλοῦμεν βλιττομάμμαν] Apud Ariſtoph. *Nubibus* pag. 180. (109. Ed. Baſ. *P.*) unde hæc deſcripſit Suidas, rectius ſic legitur:

——Καί σε καλοῦσι βλιτομάμμαν.

[5] Βλίτυρι. χορδῆς μίμημα] Vide ſupra v. Βλήτυρι.

[6] Εὐαξής] Sic etiam habet Heſychius, ſed male. Scribendum enim eſt εὐαυξής. Enarrator Homeri ad Il. N. v. 390. Βλωθρή. μακρά. παρὰ τὸ βλώσκειν, ὅ ἐστι βαίνειν. εὐαυξὴς γάρ.

[7] Οὐκέτι συρίγγων νόμιον μέλος ἄγχοθι τ.] Diſtichum hoc legitur Epigrammatum lib. III. cap. XXVI. Epigr. 2. ut Portus etiam obſervavit.

[8] Ἁρμόσει] In Anthologia loco laudato legitur ἁρμόζῃ, uti etiam hic metri & ſenſus gratia ſcribendum eſt.

[9] Ἡσίοδος] *Oper. & Dier.* lib. II. v. 60.

[10] Ὧδ' ὑπὲρ Ἀμβρακίας ὁ βοαδρόμος ἀσπ.] Verba hæc decerpta ſunt ex Epigrammate, quod legitur Anthol. lib. III. cap. V. Epigr. XIII.

[11] Τεθνάμεν ἢ φεύγειν ἤθελεν] Scribe & ſupple,
Τεθνάμεν ἢ φεύγειν εἵλετ' Ἀρισταγόρας.
Sic enim recte legitur in Anthologia Epigrammatum.

[12] Βοανεργεῖς. υἱοὶ βρ.] Sic apud Marcum cap. III. v. 17. Jacobus & Joannes Apoſtoli a Servatore noſtro vocantur, ubi ſcriptum eſt Βοανεργές, ut Portus etiam monuit.

[13] Βόας θεωρεῖν εἰς κακὴν πρ.] Duo hi verſus, ad ſomniorum interpretationem pertinentes, in antiquiſſimo MS. Pariſ. deſunt, & in altero ad marginem ſcripti leguntur, additis his verbis: Λύσις ὀνείρου. Νικηφόρος Πατριάρχης. Ἰαμβικοί. Cæterum, prior verſus tantum apud Nicephorum hodie legitur, non etiam poſterior. Aſtrampſychus vero utrumque habet.

[14] Βοάσομαι τὰν ὑπέρτονον βοάν] Hæc ſunt verba Ariſtoph. *Nubibus* pag. 188.

[15] Ὑπέρτονον] MSS. Pariſ. habent ὑπέρτατον. Sed in omnibus Editt. præcedentibus, uti & apud Ariſtophanem legitur ὑπέρτονον, quam proinde lectionem in hac Editione quoque retinendam cenſui.

[16] Ἀριστοφάνης Βατράχοις] Pag. 255. (166. Ed. Baſ. *P.*)

Βοήθεον. ἀντὶ τοῦ ἐν μάχῃ ἔτρεχον. ἀλλ' οὐχὶ τὸ ἐβοήθουν, τουτέστι συνεμάχουν. καὶ Βοηθεῖ, δοτικῇ, ἀντὶ τοῦ μάχεται. [3] Ἑσμὸς γυναικῶν οὑτοσὶ θύρασι βοηθεῖ.

Βόθυνος. εἶδος ἀστέρος. ζήτει ἐν τῷ Κομήτης.

Βολβός. [4] Ἀριστοφάνης· Καταφαγὼν βολβῶν χύτραν. ἐπὶ τῶν λαγνιστάτων. ἐπιτήδειοι γὰρ εἰς συνουσίαν οἱ βολβοί. ἔστι δὲ εἶδος ὀσπρίου, ἢ καὶ κρομμύου. καὶ Βολβὸς, τὸ ὕδνον.

Βολεῶνας. [5] οὕτως οἱ Ἀττικοὶ καλοῦσιν, οὗ ἡ κόπρος τῶν βοῶν καὶ ὑποζυγίων καὶ τῶν προβάτων βάλλεται.

Βοήν. μάχην. καὶ μεγάλην φωνήν.

Βόθυνος. [6] τόπος τις ἰδίως οὕτω καλούμενος ἐν τῇ ἱερᾷ ὁδῷ· οὗ μνήμην Ἰσαῖος καὶ Καλλισθένης ποιεῖται.

Βολίς. βέλος, ἀκόντιον, λογχάριον. καὶ Βόλος, τὸ βαλλόμενον εἰς ἄγραν ἰχθύων. [7] ἐν Ἐπιγράμματι·

Πίγρης μὲν πτανοῖσιν ἐφεὶς βόλον· ἐν δ' ἁλίοισι
Κλίτωρ· ἐν θηρσὶν Δᾶμις ἐρημονόμοις.

καὶ αὖθις·

Εὐστιβὲς [8] αἰθυίαις ἰχθυβόλοισι λέπας.

καὶ βόλος, ἐν [9] Ἐπιγράμματι·

Καὶ φελλὸν κρυφίων σῆμα λαχόντα βόλων.

Βόλιτος. [10] Ἀττικοὶ οὕτω λέγουσι χωρὶς τοῦ β, ὅπερ ἡμεῖς βόλβιτον. Ἀριστοφάνης· Ἐτρεφέτην ἐν πᾶσι βολίτοις. τουτέστιν, ἐν πάσῃ τρυφῇ, καὶ πᾶσιν ἀγαθοῖς. Βολίτοις δὲ, ὅτι περὶ βοῶν ὁ λόγος. οὕτω δὲ λέγονται οἱ σπέλεθοι τῶν βοῶν.

Βολίτου [11] δίκην. πρὸς τοὺς ἐπὶ μικροῖς δίκας ὑπέχοντας. ὁ γὰρ Σόλωνος νόμος καὶ τοὺς βόλιτον ὑφελομένους κολάζει.

Βόλος. ἡ δρόσος.

Βόλος ὁ κυβευτικὸς ἀγύρτης λέγεται. ἔστιν ἐν τῷ Ἀγύρτης.

Βομβάζειν. [12] φθέγμα ἐπὶ τῷ διασύρειν καὶ τωθάζειν λεγόμενον.

Βομβαύλιοι. [13] ἀντὶ τοῦ αὐληταί. τὸ δὲ βομβύ-

opem ferre, vel ad prælium accurrere. Eſt autem Boedromia feſtum Athenis, inde ita vocatum, quod [Ion] Xuthi filius celeriter opem tuliſſet Athenienſibus, cum ab Eumolpo Neptuni filio bello premerentur, regnante Athenis Erechtheo.

Βοήθεον. Ad prælium accurrebant: non autem, bellum gerentibus opem ferebant. Et βοηθεῖ, cum dativo, pugnat. [Ariſtophanes:] *Multitudo hæc fœminarum foris opem nobis latura eſt.*

Βόθυνος. Stellæ genus. Quære in v. Κομήτης.

Βολβός. Bulbus. Ariſtophanes: *Devorata bulborum olla.* Dicitur de hominibus admodum libidinoſis & laſcivis. Bulbi enim ad coitum Venereum faciunt. Eſt autem genus leguminis, vel etiam cepæ. Et βολβὸς, tuber.

Βολεῶνας. Sic Attici vocant loca, in quæ boum & jumentorum & ovium ſtercus conjicitur. Sterquilinia.

Βοήν. Pugnam. Item, ingentem clamorem.

Βόθυνος. Locus quidam proprie ſic dictus in Sacra Via, cujus mentionem facit Iſæus & Calliſthenes.

Βολίς. Telum, jaculum, parva lancea. Et βόλος, rete piſcatorium. In Epigrammate: [*Tres venatores hæc Pani dona dedicarunt:*] *Pigres, qui volucres; Clitor, qui piſces; & Damis, qui feras ſylveſtres reti capere ſolebat.* Et iterum: *Promontorium mergorum piſces capientium apta ſedes.* Et βόλος, jactus retis. In Epigrammate: *Et ſuber retium ſub aqua latentium indicium.*

Βόλιτος. Sic Attici ſine β dicunt, quod nos vocamus βόλβιτον. Stercus boum. Ariſtophanes: *Me omni ſtercorum genere aluerunt.* Quaſi diceret, omni deliciarum & bonorum genere. Βολίτοις vero dixit, quia de bobus loquitur. Sic autem ſtercus bubulum appellatur.

Βολίτου δίκην. Judicium fimi. Solonis enim lex etiam illos puniebat, qui fimum furati eſſent.

Βόλος. Ros.

Βόλος ὁ κυβ. Eſt quidam jactus talorum, qui ἀγύρτης dicitur. Vide in v. Ἀγύρτης.

Βομβάζειν. Vox, qua aliquem deridemus.

Βομβαύλιοι. Tibicines. Pro βομβύλιος [Ariλιος, ἐν παραθήκῃ τοῦ α εἶπε βομβαύλιος, παίζων παρὰ τὸν αὐλόν.

---

[1] Βοηδρομία, ἑορτή τις Ἀθήνησι καλ.] Hæc, & quæ ſequuntur, deſcripta ſunt ex Harpocratione. Βοηδρομία autem, cum pro feſto accipitur, ſcribendum potius eſt προπαροξυτόνως Βοηδρόμια, ut Λήναια, Διονύσια, Θεσμοφόρια, & reliqua feſtorum nomina.

[2] Ὁ Ξοῦθος] Imo, Ἴων ὁ Ξούθου, ut recte legitur apud Harpocrationem.

[3] Ἑσμὸς γυναικῶν οὑτ.] Verſus hic apud Ariſtoph. *Lyſiſtr.* pag. 858. (549. Ed. Baſ. *P.*) rectius ſic legitur:
Ἑσμὸς γυναικῶν οὑτοσὶ θύρασιν αὖ βοηθεῖ.

[4] Ἀριστοφάνης] *Eccleſiaz.* pag. 756. (509. Ed. Baſ. *P.*)

[5] Βολεῶνας. οὕτως οἱ Ἀττικοὶ καλ.] Ex Harpocratione.

[6] Βόθυνος. τόπος τις ἰδίως οὕτω καλ.] Ex Harpocratione.

[7] Ἐν Ἐπιγράμματι] Antholog. lib. vi. cap. xv. Epigr. xii. ut Portus monuit.

[8] Εὐστιβὲς αἰθυίαις ἰχθ.] Integrum Epigramma, ex quo Pentameter hic decerptus eſt, exſtat Anthol. lib. vi. cap. iii. Epigr. iii. ut Portus etiam monuit.

[9] Ἐν Ἐπιγράμματι] Anthol. lib. vi. cap. iii. Epigr. iv. ut itidem Portus obſervavit.

[10] Βόλιτος. Ἀττικοὶ οὕτω λέγουσι χωρ.] Ex Scholiaſta Ariſtoph. ad *Acharnenſ.* pag. 420. (301. Ed. Baſ. *P.*)

[11] Βολίτου δίκην. πρὸς τοὺς ἐπὶ μικρ.] Ex Scholiaſta Ariſtoph. ad *Equit.* pag. 328. (227. Ed. Baſ. *P.*)

[12] Βομβάζειν] Formatum a βόμβαξ, qua voce uſus eſt Ariſtoph. *Theſmophor.* pag. 767.

[13] Βομβαύλιοι] Voce hac uſus eſt Ariſtoph. *Acharnenſ.* pag. 412. (295. Ed. Baſ. *P.*) ubi vide veterem Enarratorem, cujus verba Suidas hic deſcripſit.

Βομβεῖ. καὶ περιβομβεῖ. [1] Σιμοκάτης· Ὡς δὲ τὸ Περσικὸν περιεβόμβει τρανέστερον, παρεδριμύττετο τὸν πολέμιον. Βόμβος δὲ, ὁ ἦχος τῶν μελισσῶν. Βόμβος, ψόφος τίς.

Βόμβησεν. ἐψόφησέ πως.

Βομβοῦσιν αἱ μέλισσαι, ὅταν τις προσίῃ μύρου ὄζων. Πολιτείας θ'. † Καὶ [2] οἱ περὶ τὴν Διονυσίου βομβοῦντες τράπεζαν, καὶ περὶ τὴν Ἀλεξάνδρου μεμηνότες δαῖτα καὶ χεῖρα, καὶ ἄλλοι, οὓς εἶπον, Ὀρέστης, Μαρψίας, Καλλίου τοῦ Ἀθηναίου κόλακες [3] σὺν ἑτέροις, καὶ ὅδε παρὰ Ῥωμαίοις Ἄλβιος ὄνομα.

Βομβυλιός. ζῶον, ἢ τὸ βησίον λεγόμενον. [4] καὶ εἶδος μελίσσης, παρὰ τὸ βομβεῖν, ἐκ πηλοῦ τὰ κηρία πλαττούσης. Βομβυλιὸς ζῶόν ἐστι παραπλήσιον μελίττῃ, ὠνομασμένον ἀπὸ τοῦ βόμβου, ὃν ἐκεῖνο βομβεῖ.

Βομβυλιός. εἶδος μελίσσης. καὶ εἴρηται παρὰ τὸ βομβεῖν. καὶ παροιμία· Βομβυλιὸς ἄνθρωπος. ἐπὶ τοῦ ἀκάρπου· παρόσον μὲν βομβυλιός ἐστι μελίσσης εἶδος, ἐκ πηλοῦ πλαττούσης τὰ κηρία.

Βομβύλον. [5] σκεῦος στρογγυλοειδές.

Βονιφάτιος. ὄνομα κύριον.

Βοοβοσκός.

Βοοθύτης. ὁ τοὺς βόας βάλλων πελέκει.

Βοὸς κέρας. [6] Ὅμηρος·

Ἥτε κατ' ἀγραύλοιο βοὸς κέρας ἐμβεβαυῖα.

κατεσκεύαζον γὰρ σύριγγα ἐκ κέρατος βοείου, ἣν περιετίθεσαν τῇ ὁρμιᾷ, ἵνα μὴ οἱ ἰχθύες ἀποτρώγωσι τὸν λίνον.

Βοῶμεν. ὀμόσωμεν. καὶ Βοώμενον, ἐπικαλούμενον.

Βοώνης. [7] οὗτος παρὰ τῆς πόλεως ᾑρεῖτο, ἵνα βοῦς αὐτῇ πρίηται πρὸς τὰς θυσίας. ἦν δὲ λαμπρὸν τὸ βοώνην γενέσθαι, ἐπειδὴ στρατηγοὺς φασὶ βοώνας μάλιστα χειροτονεῖσθαι.

Βοῶπις. μεγαλόφθαλμος. [8] εὐόφθαλμος.

Βοώτης. ἄστρον πλησίον τῶν Ἄρκτων. ὁ δ' αὐτὸς καὶ Ἀρκτοφύλαξ καλεῖται. ἐν τῷ Ἄρκτος.

Βοώτης. αἱ [9] μέγισται ἀρχαὶ παρὰ Ἀθηναίοις ἀπὸ τούτων ἐχειροτονοῦντο.

Βοωτίαις. [10] Καί τινων βοωτίαις ἐφεστώτων, τῶν δὲ ἄλλων τῶν περὶ βασιλέα τοῖς ἐρύμασιν ἐνεμημένων. Κρίτων [11] ἐν τοῖς Γετικοῖς.

ſtophanes] addito α [Comice] dixit βομβαύλιος, alludens ad vocem αὐλὸς, quæ tibiam ſignificat.

Βομβεῖ. Bombum edit. Et περιβομβεῖ, circumſonat. Simocatta: *Cum vero exercitum Perſicum* [*rumor ille*] *clarius circumſonaret, hoſtis dolore affici cœpit.* Eſt autem βόμβος ſonus apum. Item, ſtrepitus quivis.

Βόμβησεν. Bombum & ſtrepitum edidit.

Βομβοῦσιν αἱ μέλ. Apes bombum edunt, cum quis unguentum olens ad eas accedit. [Plato] lib. IX. *de Republ.* † *Et illi, qui Dionyſii menſam circumſtrepunt, & Alexandri epulis avide inhiant, manumque ejus adulatorio more oſculantur, & illi, quos dixi, Oreſtes, Marpſias, & Calliæ aſſentatores cum ſociis; itemque Albius ille Romanus.*

Βομβυλιός. Bombylius, animal; quod etiam βησίον vocatur. Item genus apis, quæ favos ex luto fingit. A verbo βομβεῖν, bombum edere. [Aliter.] Βομβυλιὸς animal eſt api ſimile, dictum a bombo, quem edit.

Βομβυλιός. Apis genus, quod dictum eſt a bombo, quem edit. Et proverbium: *Homo bombylius.* Id eſt, inutilis. Bombylius enim eſt genus apis, favos ex luto fingentis.

Βομβύλον. Vas quoddam rotundum.

Βονιφάτιος. Bonifacius. Nomen proprium.

Βοοβοσκός. Boum paſtor.

Βοοθύτης. Qui boves ſecuri mactat.

Βοὸς κέρας. Bovis cornu. Homerus: [*Plumbum,*] *quod cornui bubulo* [*in hamo*] *aptatum eſt.* Fiſtulam enim ex cornu bubulo conficiebant, qua funiculum piſcatorium circundabant, ne piſces eum arroderent.

Βοῶμεν. Juremus. Et Βοώμενον, invocatum.

Βοώνης. Boum emptor. Hic a civibus eligebatur, ut boves ad ſacrificia emeret. Erat autem munus iſtud valde honorificum, quoniam Boonæ exercitus duces plerumque creari ſolebant.

Βοῶπις. Magnos oculos habens. Pulchris oculis prædita.

Βοώτης. Bootes, aſtrum urſis vicinum, quod etiam Ἀρκτοφύλαξ vocatur. Vide in v. Ἄρκτος.

Βοώτης. [Imo Βοώνης.] Ex horum ordine Athenis ſummi Magiſtratus creabantur.

Βοωτίαις. [Arationibus.] *Cum alii agriculturæ præfecti eſſent, alii vero caſtellorum curam gererent.* Criton in *Geticis.*

---

[1] Σιμοκάτης· Ὡς δὲ τὸ Περσ.] Apud Simocattam lib. II. cap. II. locus hic ita legitur: Ὡς δὲ τὰ τοῦ λόγου τὸ Περσικὸν περιεβόμβου τρανέστερον &c. Sed pro περιεβόμβου potius ſcribendum eſt περιεβόμβει, ut Suidas hic habet.

[2] Καὶ οἱ περὶ τὴν Διονυσίου βομβ.] Fragmentum hoc Æliano tribuit Kuhnius. Vide etiam infra v. Διώνυμος & Κλείσοφος.

[3] Σὺν ἑτέροις] Scribendum puto σὺν ἑταίροις, i. e. cum ſociis.

[4] Καὶ εἶδος μελίσσης] Vide Enarratorem Comici ad *Acharnenſ.* pag. 413. & ad *Veſpas* pag. 438.

[5] Βομβύλον. σκεῦος στρογ.] Heſychius & Etymologus vas iſtud rectius vocant βομβυλιοὺς, quos vide. Scholiaſta Apollonii Rhodii ad lib. II. v. 571. βομβύλην vocat. Vide etiam Caſaub. ad Athen. lib. VI. cap. XVIII.

[6] Ὅμηρος] Il. Ω. v. 81. ubi vide Scholiaſtam. Heſychius: Βοοσκέρας (lege Βοὸς κέρας) τὸ περιτιθέμενον τῇ ὁρμιᾷ κέρας κατὰ τὸ ἄγκιστρον: quæ nota itidem ad modo laudatum locum Homeri referenda eſt.

[7] Βοώνης. οὗτος παρὰ τῆς πόλ.] Vide Harpocrationem.

[8] Εὐόφθαλμος] Hæc vox in prioribus Editt. deeſt, quam ex MSS. revocavi.

[9] Αἱ μέγισται ἀρχαὶ παρὰ Ἀθηναίοις ἀπὸ τούτων ἐχειρ.] Hæc ad vocem Βοώνης pertinent, ex Harpocratione deſumpta, & in locum alienum tranſlata, ut Pearſonius recte obſervavit.

[10] Βοωτίαις] Vide Heſychium v. Βοωτεῖν.

[11] Κρίτων] In prioribus Editt. male legitur Κρότων, cujus loco in uno codice Pariſ. recte ſcriptum reperi Κρίτων.

Βοπόρευς.[1] παρὰ Ἡροδότῳ ὀβολοὺς μεγάλους.

Βορᾶς. βρώσεως, ἢ τροφῆς. Βοῤῥᾶς δὲ, ὁ ἄνεμος. καὶ κλίνεται Βοῤῥᾶ. ἡ εὐθεῖα τῶν πληθυντικῶν, Βοῤῥαῖ. Σκληροὶ Βοῤῥαῖ ἐπιπνεύσαντες. καὶ Βορέας, Βορέου. καὶ Βοῤῥαίη. [2] Λαίλαπι Βοῤῥαίῃ κλασθὲν ἐπέληκε.

λ. Kuster in Append. Eustath. 862.45. 1329.33.

Βορβόροπιν. κῆπον. σημαίνει δὲ τὸ μόριον. λ

Βορβοροτάραξις. [3] Ἀριστοφάνης. ἀντὶ τοῦ ταραχωδέστατε ταράττων ἡμῶν τὴν πόλιν, καὶ θορυβῶν ὥσπερ βόρβορον· θορύβου πληρώσας τὴν πόλιν καὶ βορβόρου. καὶ παροιμία·

——————Βορβόρῳ ὕδωρ
Λαμπρὸν μιαίνων, οὔποθ' εὑρήσεις ποτόν.

ἐπὶ τῶν τὰ κάλλιστα μιγνύντων αἰσχίστοις.

Ἔκδηλος[4] ἐστὶ βόρβορος ψυχῆς ῥύπος.
Ἰλὺν πεπλευκὼς, τοῦ νοὸς νόει βλάβην.

Aeschyl. Eumen. 697. Zenob. II.70. Diogenian. III.55. M. Apostol. V.83. Proverb metric. Troch.

Βορβορυγμός. ὁ ἦχος τοῦ ὕδατος ἐπιφερόμενος. Ἡ φάρυγξ ἐκελάρυζε, καὶ πολὺς ἐν τῷ στόματι ἦν βορβορυγμός.

Toup. Praef. ad III. 7.

Βορβορυγμός.[5] ἦχος ἐκ τοῦ στόματος. σύνθημα δέ ἐστι τοῖς καμήλοις τοῦ καθέζεσθαι ὁ τοιοῦτος ἦχος.

Polybius. Fragm. Hist. LXX. Vol. V. p.74 ubi conf. Schweighaeus. qui de hoc loc. docuit in Fasciculo Imo. in Suidam p.22. notatque posteriorem fragm. partem adhibitam esse infr. V. Ἐπιβολή.

Βορίανθος. Οἱ βάρβαροί τινες κλείνουσι Βορίανθον τυραννήσαντα, ταύτῃ προσάγεσθαι τὸν τῶν Ῥωμαίων στρατηγὸν ἡγούμενοι ἐς εὔνοιαν. καὶ δὴ ἀφικόμενοι τῶν τοῦ Βοριάνθου αὐθεντῶν τινες, ἆθλα τῶν περὶ τὸν ἄνδρα πεπραγμένων ἠξίουν παρὰ Σκιπίωνος κομίζεσθαι. ὁ δὲ [6] Σκιπίων ἀποκρίνεται, μηδαμῶς εἶναι Ῥωμαίοις ἔννομον, ἐν ἐπαίνῳ ποιεῖσθαι τὰς κατὰ τῶν στρατηγῶν τοῖς ἀρχομένοις ἐπιχειρουμένας ἐπιβουλάς.

Βορόν. βρωτικόν. ὀξυτόνως. [7] Ἀριστοφάνης· Μιαρὸν τὸ χρῆμα, κάκοσμον, καὶ βορόν.

Βόσιν.[8] τροφήν.

Βοσκήσομεν. θρέψομεν. καὶ Βόσκουσαν. τρέφουσαν. Σοφοκλῆς[9] περὶ Οἰδίποδος·

Ἀλλ' εἰ τὰ θνητῶν μὴ καταισχύνεσθ' ἔτι
Γένεθλα, τὴν γοῦν πάντα βόσκουσαν φλόγα
Αἰδεῖσθ' ἄνακτος ἡλίου, τοιόνδ' ἄγος
Ἀκάλυπτον οὕτω δεικνύναι, τὸ μήτε γῆ,
Μήτ' ὄμβρος ἱερὸς, μήτε φῶς προσδέξεται.

Βοσόρ. τὸ ἱμάτιον τὸ ἀπὸ κόκκου βεβαμμένον κατὰ Ἑβραΐδα διάλεκτον.

Βόσπορος.[10] πόλις περὶ τὸν Ἑλλήσποντον, ἣν Βωχάνος ὁ Τοῦρκος ἐπὶ Ἰουστινιανοῦ βασιλέως ἐπόρθησε.

Βοπόρευς ὀβελούς. Sic Herodotus magna verua vocat.

Βορᾶς. Pabuli. Cibi. Βοῤῥᾶς vero, Boreas ventus. Declinatur Βοῤῥᾶ, Boreæ. Et rectus pluralis Βοῤῥαῖ. *Cum aſperi & vehementes Boreæ flarent.* Et Βοῤῥαίη, [adjectivum a Βοῤῥᾶς.] *Vehementi vento Boreali antennam fractam vidit.*

Βορβόροπιν. Partem obſcœnam. Pudendum.

Βορβοροτάραξις. Apud Ariſtophanem ſignificat turbulentiſſime, vel, urbem noſtram turbans ut cœnum: urbem noſtram tumultu & cœno replens. Et proverbium: *Limpidam aquam, quam cœno inquinaveris, nunquam invenies potui aptam.* Dicitur de iis, qui res pulcherrimas cum fœdiſſimis miſcent.

Lutum manifeſtas animæ ſordes ſignificat.
Si lutum naviges, menti tuæ malum aliquod portendi ſcito.

Βορβορυγμός. Sonus aquæ. *Fauces ſonabant, & magnus ore edebatur ſtrepitus.*

Βορβορυγμός. Sonus, qui ore editur. Hujuſmodi vero ſono camelis ſignum datur, ut conſideant.

Βορίανθος. Borianthus. Barbari quidam Borianthum tyrannum interfecerunt, hac ratione putantes ſe ducis Romanorum benevolentiam ſibi conciliaturos eſſe. Quidam igitur percuſſorum Scipionem adeuntes cædis perpetratæ præmia ab eo poſtularunt. Quibus Scipio reſpondit, non ſolere Romanos probare inſidias, quas milites contra duces ſuos moliti eſſent.

Βορόν. Voracem. Cum acuto ſcribitur. Ariſtophanes: *Animal impurum, fœtidum, & vorax.*

Βόσιν. Cibum. Alimentum.

Βοσκήσομεν. Paſcemus. Alemus. Et βόσκουσαν, paſcentem, alentem. Sophocles de Oedipode: *At, ſi homines non veremini, almum ſaltem & clariſſimum ſidus Solis verentes, piaculum ejuſmodi manifeſtare erubeſcite, quod neque tellus, neque mare ſacrum, neque lux admittat.*

Βοσόρ. Sic Hebraice vocatur veſtis cocco tincta.

Βόσπορος. Boſporus, urbs ad Helleſpontum ſita, quam Bochanus Turcus ſub Juſtiniano Imperatore vaſtavit.

---

[1] Βοπόρευς. παρὰ Ἡροδότῳ ὀβ.] Scribe, Βοπόρευς ὀβελούς. παρὰ Ἡροδότῳ τοὺς μεγάλους. Locus autem Herodoti, ad quem Suidas reſpexit, exſtat. lib. II. pag. 90. ut Portus monuit.

[2] Λαίλαπι Βοῤῥαίῃ κλασθὲν ἐπ] Scribe & ſupple, Λαίλαπι Βοῤῥαίῃ κλασθὲν ἐπεῖδε κέρας. Sic enim recte legitur infra v. Λαῖλαψ. Pentameter autem hic decerptus eſt ex Epigrammate, quod ex codice MS. Epigrammatum ineditorum integrum exhibuimus ſupra v. Ἀήτης.

[3] Ἀριστοφάνης] *Equitibus* pag. 304. (206. Ed. Baſ. *P.*)

[4] Ἔκδηλος ἐστι βόρβορος ψυχῆς ῥύπος. Ἰλὺν πεπλ.] Duo hi verſus onirocritici (qui leguntur apud Aſtrampſychum) deſunt in MS. Pariſ. **A**. iidemque in MS. B. ad marginem leguntur.

[5] Βορβορυγμός. ἦχος ἐκ τοῦ στόμ.] Sic habent MSS. Pariſ. In prioribus vero Editt. vox βορβορυγμὸς deſideratur, & quæ ſequuntur præcedenti articulo annexa leguntur.

[6] Ὁ δὲ Σκιπίων ἀποκρίνεται, μηδαμῶς εἶναι Ῥωμ.] Hæc repetuntur infra v. Ἐπιβουλή.

[7] Ἀριστοφάνης· Μιαρὸν τὸ χρ.] Apud Ariſtophanem in *Pace* pag. 626. (435. Ed. Baſ. *P.*) locus hic rectius ita legitur:

Μιαρὸν τὸ χρῆμα, καὶ κάκοσμον, καὶ βορόν.

De ſcarabæo Comicus ibi loquitur.

[8] Βόσιν] Ab inuſitato verbo βόω: unde βόσκω, paſco.

[9] Σοφοκλῆς] *Oedip. Tyran.* pag. 206. ut Portus monuit.

[10] Βόσπορος. πόλις περὶ τὸν Ἑλλ.] Vide Procop. *de Bello Perſ.* lib. I. cap. XII.

‡

Βόσποροι¹ δύο· ὁ μὲν κατὰ τὴν Προποντίδα· ὁ δὲ Θρακικὸς, ὥς φησι Φιλαίας.

Βόστρυχος. πλέγμα τριχῶν γυναικείων. ² ἐν Ἐπιγράμματι·

Εἰπὲ, τίνι πλέξεις ἔτι βόστρυχον;

Ἀριστοφάνης· ³

Πάνυ γάρ τις ἔρως με δονεῖ
Τῶν σῶν βοστρύχων.

Ἐναλείφειν ⁴ τὰς τρίχας, καὶ διαπλεθέναι κατὰ βοστρύχους, εὐθὺς ἅπασι πρόχειρον, ὅτι ἄνθρωπος οὗτος τῇ Χίων Θεῷ καὶ τοῖς Ἰθυφάλλοις ὠργίακεν.

Βοτά. βοσκήματα. καὶ Βολάνη, ὁ χόρτος. Καδμείων τινὲς ἱπποβοσκοὶ περὶ βολάνης πρός τινας τῶν Μινυῶν ἤριζον. † Τοὺς πλησίον ὑπερβάλλοντας λόφους, μεστὸν εὑρήσουσι τὸ πεδίον παντοίων βοτῶν.

Βοτηρικὰ κύπελλα. ἐν ⁵ Ἐπιγράμματι. καὶ Βοτῆρες, ποιμένες.

Βοτὴρ, καὶ δοτήρ. Δώτωρ δὲ καὶ βώτωρ.

Βοτός. τροφὴ, ἢ βοσκή. καὶ βροτὸς, ὁ ἄνθρωπος.

Βοτρυδόν. ⁶ ἐπαλλήλας. ⁷ ἡ ἑτέρα τῆς ἑτέρας ἐχομένη, ὡς ῥᾶγες τῶν βοτρύων.

Βότρυν. τὴν ὀπώραν· οὐχὶ τὴν σταφυλὴν μόνον. καὶ μήποτε ⁸ τὴν ⁹ βοτρυΐαν ὀπώραν.

Βότρυν κατέσθειν, ὀμβρικὴν δηλοῖ ¹⁰ λύσιν.

Βοτρυόδωρος. ἡ εἰρήνη. ἐπεὶ αἱ ἄμπελοι ἐν εἰρήνῃ φύονται. ¹¹ Ἀριστοφάνης· Ὦ πότνια βοτρυόδωρε. καὶ παροιμία· Βότρυς πρὸς βότρυν πεπαίνεται. ἐπὶ τῶν ἐξισοῦσθαι φιλονεικούντων.

Βοτρυοσταγῆ ¹² ἔρνη. Ὑπερβεβηκέναι δὲ τοῖς ἐπιτηδεύμασι τὰ Βότρυος ὑπομνήματα, καὶ τὰ Φιλαινίδος, καὶ τῶν ἄλλων ἀναισχυντογράφων.

Βούβοτον ¹³ Ὀρβηλοῖο παρὰ σφυρόν. καὶ Βούβοτος, ἡ πολλὴν τροφὴν ἔχουσα.

Βόσποροι δύο. Boſpori duo ſunt: alter prope Propontidem, qui Thracicus dicitur: [alter vero Cimmerius appellatus,] ut ait Philæas.

Βόστρυχος. Cincinnus muliebris. In Epigrammate: *Dic, cui nectas adhuc cincinnum.* Ariſtophanes: *Vehemens enim me cincinnorum tuorum amor inquietat.* † [*Si aliquis*] *capillos inungat, & in cincinnos colligat, illico in promptu cuivis eſt dicere, hominem eum Chiorum Deæ & Ityphallorum orgia celebraſſe.*

Βοτά. Pecudes. Et βοτάνη, herba. *Quidam paſtores equorum inter Cadmeos cum quibuſdam Minyarum de herba contendebant.* † *Vicinis collibus ſuperatis, planitiem omnigenis pecudibus refertam invenient.*

Βοτηρικὰ κύπελλα. Paſtoralia pocula. In Epigrammate. Et βοτῆρες, paſtores.

Βοτὴρ, & δοτὴρ, [per ο ſcribuntur.] Δώτωρ vero & βώτωρ [per ω.]

Βοτός. Cibus, vel pabulum. At βροτός, mortalis.

Βοτρυδόν. Denſe inſtar racemi. Vel ita, ut alter alteri adhæreat, tanquam acini racemorum.

Βότρυν. Non ſolum uvam, ſed etiam omnis generis fructus arboreos, vel poma, significat. Forte tamen ſolum tantum fructum vitis ſignificat.

Βότρυν κατέσθειν, ὀμβρ. *Uvas comedere, inundationem imbris ſignificat.*

Βοτρυόδωρος. Uvarum donatrix. Epithetum pacis. Tempore pacis enim vites naſcuntur. Ariſtophanes: *O veneranda pax, uvarum* [*altrix &*] *donatrix.* Et proverbium: *Uva juxta uvam matureſcit.* Dicitur de iis, inter quos mutua eſt æmulatio.

Βοτρυοσταγῆ ἔρνη. Vites. † *Eum Botryis, ac Philænidis, aliorumque hujuſmodi laſciviæ ſcriptorum commentarios obſcœnitate ſua ſuperaſſe.*

Βούβοτον. Paſcuis & pabulo abundantem. *Ad imam montis Orbeli partem paſcuis abundantem.*

---

[1] Βόσποροι δύο· ὁ μὲν κατὰ τὴν Προπ.] Locus hic mutilus videtur; quem proinde ſic legerim & ſuppleverim: Βόσποροι δύο. ὁ μὲν κατὰ τὴν Προποντίδα, ὁ Θρακικὸς καλούμενος· ὁ δὲ Κιμμέριος. Haud enim perſuadere mihi poſſum, noſtrum Geographiæ adeo imperiſtum fuiſſe, ut Boſporum Thracicum diverſum ſtatueret ab eo Boſporo, qui Propontidi vicinus erat, cum Geographiæ vel leviter gnari haud ignorent, Boſporum Thracicum inter Propontidem & Pontum Euxinum interjectum eſſe.

[2] Ἐν Ἐπιγράμματι] Epigramma integrum, ex quo locus hic decerptus eſt, legitur Anthol. lib. VII. pag. 590.

[3] Ἀριστοφάνης] *Eccleſiaz.* pag 752. (506. Ed. Baſ. *P.*)

[4] Ἐναλείφειν τὰς τρίχας, καὶ διαπλ.] Locus hic eſt mutilus, qui ex Syneſii *Encom. Calvit.* pag. 85. unde eum Suidas deſcripſit, ſic ſupplendus eſt: Ἀλλ᾽ εἰ μόνον ἐν τοῦτο φανείη, περὶ πλείστου τὰς τρίχας ποιούμενος, ὡς ἐναλείφειν τε αὐτὰς καὶ διαπλεχθῆναι κατὰ βοστρύχους, εὐθὺς ἅπασι πρόχειρον λέγειν, ὅτι ἄνθρωπος οὗτος &c. Verba ultima fragmenti hujus leguntur etiam infra v. Ὄργια.

[5] Ἐν Ἐπιγράμματι] Epigramma integrum, ad quod Suidas hic reſpexit, ex codice MS. Anthologiæ ineditæ integrum exhibuimus ſupra v. Ἀμφιλαφῆ.

[6] Βοτρυδόν] Voce hac uſus eſt Homerus Il. Β. v. 89. ad quem locum Suidas reſpexit. Confer Heſychium.

[7] Ἐπαλλήλας] Scribe ἐπαλλήλως.

[8] Καὶ μήποτε τὴν βοτρ.] Recte & caute hæc adduntur. Falſum enim exiſtimo, βότρυν interdum generali ſignificatione omnem ὀπώραν comprehendere, cum vocem illam nuſquam eo ſenſu mihi lectam meminerim.

[9] Βοτρυΐαν ὀπώραν] Malim βοτρυΐνην ὀπώραν.

[10] Λύσιν] Lege κλύσιν, ut apud Aſtrampſychum, ex quo verſus hic onirocriticus depromptus eſt.

[11] Ἀριστοφάνης] *Pace* pag. 660. (452. Ed. Baſ. *P.*)

[12] Βοτρυοσταγῆ ἔρνη. Ὑπερβεβηκέναι δὲ τοῖς ἐπιτηδ.] Locus hic ita ſupplendus & diſtinguendus eſt: Βοτρυοσταγῆ ἔρνη. † Βότρυς. ὄνομα κύριον. Ὑπερβεβηκέναι &c. Manifeſtum enim eſt, duos diverſos articulos hic in unum confuſos eſſe, & ante ὑπερβεβηκέναι excidiſſe vocem Βότρυς, ad quam, tanquam caput ſuum, ea quæ ſequuntur referri debent. Cæterum verba illa priora, βοτρυοσταγῆ ἔρνη, ſunt fragmentum verſus Archeſtrati apud Athen. lib. I. pag. 29. Quæ vero ſequuntur, ſunt verba Polybii, quæ leguntur in Collectaneis Conſtantini a Valeſio editis pag. 53. unde ea Suidas depromſit.

[13] Βούβοτον Ὀρβηλοῖο παρὰ σφ.] Verba hæc decerpta ſunt ex Epigrammate, quod exſtat Anthol. lib. VI. cap. XV. Epigr. XXII. ut a Porto etiam obſervatum fuit.

Βουβών. τὸ πάθος. Βουβὼν ἐπήρθη τῷ γέροντι. εἴρηται ἀπὸ τοῦ ἐπαίρεσθαι καὶ μεγάλως βαίνειν εἰς οἴδημα.

Βουβωνιῶ. Φλεγμαίνω τοὺς βουβῶνας.

Ἐγὼ[1] μὲν οὖν εἰς τὸ βαλανεῖον βούλομαι· (λείπει ἀπελθεῖν.)
Βουβωνιῶ γὰρ τὼ νεφρὼ ὑπὸ τοῦ κόπου.

Βούβρωστις. ὁ μέγας λιμός. εἴρηται δὲ, ὅτι βοῦς λυμαίνεται, καὶ τὰς βοῦς βρῶσιν ποιεῖ.

Βουγάϊος.[2] τὸ βοῦ κατ' ἐπίτασιν· ὡς ἐν τῷ βουπεῖνα, ἡ μεγάλη πεῖνα· καὶ βούγλωσσοι.

Βουδόρῳ νόμῳ. ἐπὶ τῶν ἀξίων οὕτω δέρεσθαι, ὡς οἱ βόες.

Βουζύγης.[3] ὁ Ἡρακλῆς.

Βουθία. πόλις Ἰωνίας. ὁ πολίτης Βουθαῖος.

Βοῦθος[4] περιφοιτᾷ. ἐπὶ τῶν ἀσυνέτων καὶ παχυφρόνων εἴρεται. καὶ [5] Βουθοίνας ὁ Ἡρακλῆς. Ὕλλου γὰρ τοῦ υἱοῦ αὐτοῦ πεινάσαντος, ἕνα τῶν ἀροτήρων βοῶν Θεοδάμαντος θοινήσας ἔφαγεν.

Βουθυτεῖ.[6] Ἀριστοφάνης Πλούτῳ· Ὁ δεσπότης ἔνδον βουθυτεῖ. καταχρηστικῶς εἴρηται ἡ βουθυσία, δηλοῦσα τόν τε ὄγκον τοῦ μεγέθους, καὶ τὸ ἐντελὲς τῆς θυσίας,[7] ἣν ἑκατόμβην καλοῦσι, καὶ τριττύν.

Βούκαια. πόλις Φωκίδος.

Βουκελλάριοι. οἱ Ἑλληνογαλάται ὀνομάζονται. καὶ ἡ τῶν Βουκελλαρίων χώρα Γαλλογραικία.

Βουκολήσας. ἀπατήσας. Βουκόλημα,[8] τὸ θέλγητρον. Καὶ ὅπως ἔχῃ τι [9] βουκόλημα τῆς λύπης, ἀνέθηκε τοῖς τοίχοις ποικίλας γραφὰς ζώων.

Βουκάρας. ποταμός. Πολύβιος· Κατὰ τὴν εἰς θάλασσαν ἐκβολὴν τοῦ Βουκάρα ποταμοῦ.

Βουκόρυζαν. τὴν μεγάλην κόρυζαν. καὶ Κορυζᾶν, τὸν ἰσχυρῶς [10] κορύζοντα. Μένανδρος.

Βούλγαροι. Ὅτι οἱ Βούλγαροι ἠρέσθησαν εἰς τὴν στολὴν τῶν Ἀβάρων, καὶ μετημφιάσαντο αὐτήν, καὶ ἕως νῦν περιβέβληνται. Ὅτι ἐπὶ Ἰουστινιανοῦ τοῦ Ῥινοτμήτου ἤκμαζεν ὁ Τέρβελις, ὁ Βουλγάρων ἀρχηγός· καὶ ὁ αὐτὸς Ἰουστινιανὸς, καὶ Κωνσταντῖνος ὁ Ἡρακλείου υἱὸς, ὑπόφοροι τούτῳ ἦσαν. τὴν γὰρ ἀσπίδα, ἣν εἶχεν ἐν πολέμῳ, ὑπτίαν ἔθηκε, καὶ τὴν ἑαυτοῦ μάστιγα, ᾗ ἐχρῆτο ἐπὶ τοῦ ἵππου, καὶ ἕως οὗ ἐσκέπασεν ἀμφότερα, χρήματα ἐνετίθει. καὶ τὸ δόρυ ἐν τῇ γῇ παρακλίνας, μέχρι τῶν περάτων καὶ ἐς ὕψος πολὺ σηρικὴν ἐσθῆτα

Βουβών. Tumor inguinis. *Seni inguen tumere cœpit.* Dictus eſt autem morbus βουβὼν inde, quod [inguen] infletur & valde tumeſcat.

Βουβωνιῶ. Inguinis tumore laboro. [Ariſtophanes:] *Ego quidem balneum adire volo. Renum enim dolore & tumore laboro.*

Βούβρωστις. Magna fames: quæ inde dicta eſt, quod bobus pernitiem afferat, efficiatque, ut ab hominibus conſumantur.

Βουγάϊος. [Qui valde gloriatur]. Syllaba βου enim hic intenſionem ſignificat, ut in voce βούπεινα, magna fames, & βούγλωσσοι.

Βουδόρῳ νόμῳ. Dicitur de iis, qui digni ſunt, qui ſic excorientur, ut boves.

Βουζύγης. Epithetum Herculis.

Βουθία. Urbs Ioniæ, cujus civis vocatur Buthæus.

Βοῦθος περιφοιτᾷ. *Buthus obambulat.* Dicitur de inſipientibus & ſtupidis. Et, Βουθοίνας Ἡρακλῆς, Hercules bovem devorans. Cum enim Hyllus filius ejus eſuriret, unum ex bobus aratoribus Theodamantis mactatum devoravit.

Βουθυτεῖ. [Mactat. Immolat.] Ariſtophanes *Pluto: Dominus intus immolat [ſuem, hircum, & arietem.]* Abuſive hic [de immolatione ſuis, hirci, & arietis] dicitur βουθυσία, quæ vox proprie de ſacrificio ſplendido, ſumptuoſo, & perfecto, quale eſt hecatombe, dicitur. [Sacrificium autem ſuis, hirci, & arietis, vocabant] τριττύν.

Βούκαια. Bucæa. Urbs Phocidis.

Βουκελλάριοι. Sic Gallogræci vocantur. Et Bucellariorum regio Gallogræcia appellatur.

Βουκολήσας. Qui decepit. Et βουκόλημα, lenimen, ſolatium. *Et ut aliquod doloris ſolatium haberet, variis animalium picturis parietes ornavit.*

Βουκάρας. Bucaras. Fluvius. Polybius: *Ad Bucaræ fluvii oſtium.*

Βουκόρυζαν. Magnam capitis gravedinem. Et κορυζᾶν, hominem gravedine valde laborantem. Menander.

Βούλγαροι. Bulgari. Hi Abarum habitum, quo valde delectabantur, ſuo mutarunt, eoque ad hoc uſque tempus utuntur. † Sub Juſtiniano Rhinotmeto Terbelis Bulgarorum dux floruit, cui & ipſe Juſtinianus & Conſtantinus Heraclii filius tributarii fuerunt. Scutum enim, quo in bello utebatur, ſupinum poſuit, nec non equi ſui flagellum; pecuniamque, dum utrumque tegeretur, ingeſſit. Haſta etiam in terra extenſa, totum ſpatium, quod longitudo ejus occupabat, ad inſignem altitudinē ſericis veſtibus replevit, arculaſque auro & argento ple-

---

[1] Ἐγὼ μὲν οὖν εἰς τὸ βαλανεῖον βούλ.] Duo hi ſenarii leguntur apud Ariſtoph. *Ranis* pag. 272. (179. Ed. Baſ. *P.*)

[2] Βουγάϊος] Homerus Il. N. v. 824.

[3] Βουζύγης. ὁ Ἡρακλῆς] Quare Hercules ſic dictus ſit docet Lactantius lib. I. cap. XXI. quem vide.

[4] Βοῦς περιφοιτᾷ. ἐπὶ τῶν ἀσυν.] Confer Zenobium Centur. II. Adag. LXVI.

[5] Βουθοίνας ὁ Ἡρακλῆς. Ὕλλου γὰρ τοῦ υἱοῦ αὐτοῦ πειν.] Hæc repetuntur infra v. Ὕλλος.

[6] Ἀριστοφάνης Πλούτῳ] Pag. 82. (41. Ed. Baſ. *P.*)

[7] Ἣν ἑκατόμβην καλοῦσι, καὶ τριττύν] Locus hic ex Enarratore Comici ſic ſupplendus eſt: Ἣν ἑκατόμβην καλοῦσιν. Ἐντελὴς δὲ θυσία ἡ ἐξ ὑὸς, καὶ τράγου, καὶ κριοῦ, ἣν καλοῦσι τριττύν.

[8] Βουκόλημα. τὸ θέλγητρον] Hæc, & quæ ſequuntur, deſcripta ſunt ex Scholiaſta Ariſtophanis ad *Pacem* pag. 634.

[9] Βουκόλημα τῆς λύπης] Infra v. Αἰώρα habes, βουκολοῦσα τὴν λύπην.

[10] Κορύζοντα] Malim κορυζῶντα. Vide infra v. Κόρυζα.

ἐτίθει, καὶ κιβώτια πλήσας χρυσοῦ καὶ ἀργύρου, τοῖς στρατιώταις ἐδίδου, τὴν μὲν δεξιὰν χρυσίου πληρῶν, τὴν δὲ λαιὰν ἀργυρίου. [1] Ὅτι τοὺς Ἀβάρεις κατακράτος ἄρδην ἠφάνισαν οἱ αὐτοὶ Βούλγαροι. ἠρώτησε δὲ Κρέμ τοὺς τῶν Ἀβάρων αἰχμαλώτους, πόθεν συνίετε, ὅτι ἀπώλετο ὁ ἄρχων ὑμῶν καὶ τὸ ἔθνος ὅλον. καὶ ἀπεκρίθησαν, ὅτι ἐπλήθυναν αἱ κατ' ἀλλήλων κατηγορίαι, καὶ ἀπώλεσαν τοὺς ἀνδρειοτέρους καὶ φρονιμωτέρους. εἶτα οἱ ἄδικοι καὶ οἱ κλέπται κοινωνοὶ τοῖς κριταῖς ἐγένοντο. εἶτα ἡ μέθη. πληθυνθέντος γὰρ τοῦ οἴνου πάντες ἐγένοντο μέθυσοι. εἶτα ἡ δωροδοκία. εἶτα ἡ πραγματεία. πάντες γὰρ ἐγένοντο ἔμποροι, καὶ ἀλλήλους δολιευόμενοι. καὶ ἡ ἀπώλεια ἡμῶν ἦλθεν ἐκ τούτων. Ὁ δὲ ταῦτα ἀκούσας συνεκαλέσατο τοὺς Βουλγάρους πάντας, καὶ διετάξατο νομοθετῶν· Ἐάν τις κατηγορήσῃ τινός, μὴ ἀκουέσθω πρότερον, ἢ δεθεὶς ἐξετασθῇ. καὶ εἴγε συκοφαντῶν εὑρεθήσεται, καὶ ψευδόμενος, ἀναιρείσθω. μηδὲ ἐξέστω τινὶ κλέπτοντι μεταδοῦναι τροφῆς· ἢ τάχα τοῦτο τολμῶν τις δημευέσθω. καὶ τοῦ κλέπτου μὲν συγκλᾷν τὰ σκέλη. τοὺς δὲ ἀμπελῶνας πάντας ἐκριζῶσαι ἐκέλευσε. τῷ δὲ αἰτοῦντι παντὶ μὴ ἁπλῶς διδόναι, ἀλλὰ τὴν αὐτάρκειαν αὐτοῦ, ὡς μὴ καὶ αὖθις αὐτὸν δέεσθαι· ἢ τάχα δημευέσθω ὁ μὴ οὕτω ποιῶν. τοὺς δὲ Ἀβάρεις πάντας, ὡς λέλεκται, ἄρδην ἠφάνισαν.

Βουλαία.[2] Δείναρχος· Μαρτύρομαι τὴν Ἑστίαν τὴν Βουλαίαν. οἷον, τὴν ἐν τῇ βουλῇ ἱδρυμένην.

Βούλευμα.[3] τὸ ἴδιον. Βούλημα δὲ, τὸ δημόσιον. Ἀριστοφάνης[4] Πλούτῳ·

Τοῦτ' οὖν ἡμεῖς ἐπιθυμοῦντες, μόλις εὕρομεν, ὥστε γενέσθαι
Βούλημα καλὸν, καὶ γενναῖον, καὶ χρήσιμον εἰς ἅπαν ἔργον.

Βουλεύοντι. ἀντὶ τοῦ συμβουλεύοντι. Θουκυδίδης.

Βουλεύσας. ἀντὶ τοῦ [5] βουληθείς. Βουλεύσας δὲ, ὅπως τὴν βασιλέως διάνοιαν πολλῷ ἔτι μᾶλλον ἐξελεῖν δύνηται.

Βουλεύσεως.[6] ἐγκλήματός ἐστιν ὄνομα, ἐπὶ δυοῖν πραγμάτοιν ταττόμενον. τὸ μὲν γάρ ἐστιν, ὅταν ἐξ ἐπιβουλῆς τίς τινι κατασκευάσῃ θάνατον, ἐάν τε ἀποθάνῃ ὁ ἐπιβουλευθεὶς, ἐάν τε καὶ μή. τὸ δὲ ἕτερον, [7] ὅταν τις ἐγγεγραμμένος ὡς ὀφείλων τῷ δημοσίῳ, δικάζηταί τινι, ὡς οὐ δικαίως αὐτὸν γεγραφότι. καὶ Ἰσαῖος μὲν ἐπὶ Παλλαδίῳ λέγει εἰσάγεσθαι τῶν δύο τὸ πρῶτον ἔγκλημα. ὡσαύτως καὶ Ἀριστοτέλης. Δείναρχος δὲ ἐν Ἀρείῳ πάγῳ. περὶ δὲ τοῦ ἑτέρου ἐγ-

nas militibus dedit, dextram auro, ſiniſtram vero argento implens. † Bulgari Abares bello victos funditus deleverunt. Horum captivos Cremus interrogavit, quam cauſam eſſe putarent, quare dux illorum & tota gens periiſſet. Illi reſponderunt, has fuiſſe cauſas: quod mutuis ſeſe criminationibus identidem inſectati fuiſſent, & ea ratione fortiſſimos quoſque & prudentiſſimos viros perdidiſſent. Deinde, quod homines injuſti & fures cum Judicibus ſocietatem iniiſſent. Præterea ebrietatem; quod, cum vino abundarent, omnes temulentiæ indulſiſſent. Porro, quod muneribus & donis corrumpi ſeſe ſiviſſent. Denique, negotiationem; quod, cum mercaturam omnes exercerent, alii alios decepiſſent. Has interitus ſui cauſas eſſe dixerunt. Ille vero his auditis Bulgaros omnes convocavit, legeſque hujuſmodi ſanxit. Si quis alterum accuſarit, non audiatur prius, quam vinctum Judices examinaverint: idemque, ſi calumniæ ac mendacii convictus fuerit, occidatur. Nemini liceat furi cibum impertiri: qui vero id auſus fuerit, ejus bona ſtatim publicentur. Adhæc, furi crura confringi, omneſque vineas excindi juſſit. Omni autem petenti non ſimpliciter dari juſſit, ſed quantum ei ſatis eſſet, ne denuo egeret. Qui ſecus fecerit, publicus eſto. Abares igitur, ut dictum eſt, [a Bulgaris] omnes funditus deleti ſunt.

Βουλαία. Dinarchus: *Teſtor Veſtam Bulæam.* Quaſi dicas, in Senatu collocatam.

Βούλευμα. Conſilium privatum. Βούλημα vero, conſilium publicum. Ariſtophanes *Pluto: Hoc igitur, quod diu optavimus, vix conſecuti ſumus, ut conſilium caperemus honeſtum, & generoſum, & ad quidvis utile.*

Βουλεύοντι. Pro συμβουλεύοντι, conſulenti. Conſilium danti. Thucydides.

Βουλεύσας. Qui conſultavit. Qui deliberavit. *Cum autem deliberaſſet, quomodo ſententiam iſtam Regi adhuc magis eximere poſſet.*

Βουλεύσεως. Eſt nomen actionis, quæ in duobus criminibus locum habebat. Unum eſt, cum quis vitæ alicujus inſidiatus eſſet, ſive moreretur is, qui inſidiis appetitus erat, ſive non. Alterum eſt, cum quis in tabulis publicis ut ærarii debitor inſcriptus, actionem contra aliquem inſtitueret, contendens, nomē ſuum in tabulis debitorum injuſte ab eo inſcriptum fuiſſe. Et Iſæus quidem dicit, de priore horum criminum judicatum fuiſſe in foro, cui a Pallade nomen erat: quod etiam teſtatur

---

[1] Ὅτι τοὺς Ἀβάρεις κατὰ κράτος ἄρδην ἠφ.] Vide ſupra v. Ἄβαρις.

[2] Βουλαία. Δείναρχος· Μαρτύρομαι τὴν Ἑσ.] Ex Harpocratione: ad quem vide Mauſſacum.

[3] Βούλευμα. τὸ ἴδιον. Βούλημα δὲ, τὸ δημ.] Ex Enarratore Comici ad *Plutum* pag. 52. (26. Ed. Baſ. *P.*)

[4] Ἀριστοφάνης Πλούτῳ] Paginam, ubi locus hic Ariſtophanis exſtat, in nota præcedente indicavimus.

[5] Βουληθείς] Exiſtimo legendum eſſe βουλευθείς.

[6] Βουλεύσεως. ἐγκλήματός ἐστιν ὄνομα] Totum hunc locum ex Harpocratione deſcripſit Suidas. Vide etiam infra v. Ἡγεμονία δικαστηρίου, & v. Παράστασις.

[7] Ὅταν τις ἐγγεγραμμένος ὡς ὀφείλων τῷ δημ.] Hujuſmodi actionem contra Ariſtonem olim inſtituit Ariſtogiton, contra quem Demoſthenes duas ſcripſit orationes, quæ hodie adhuc exſtant. Libanius in argumento orationis primæ contra Ariſtogitonem: Πρὸς τοῦτο Ἀριστογείτων ἀνθιστάμενος φησὶν ἀδίκως ἐγγεγράφθαι, καὶ διὰ τοῦτο δίκην λαχεῖν Ἀρίστωνι τῷ ἐγγράψαντι. Hic τὸ ἐγγράφειν ſignificat, nomen alicujus inſcribere in tabulis ærariorum, ſive eorum, qui ærario aliquid debent. Vide etiam ſupra v. Ἀγραφίου.

κλήματος Δημοσθένης ἐν τῷ κατ' Ἀριστογείτονος πρώτῳ λέγει. ὁ μέντοι Ὑπερείδης ἰδίως τὸ τῆς βουλεύσεως ὄνομα ἐπὶ ἐνέδρας καὶ ἐπιβουλῆς τῆς εἰς τὰ χρήματα λαμβάνει.

Βουλευτικός. τόπος οὗτος τοῦ θεάτρου ἀνειμένος τοῖς βουλευταῖς· ὡς καὶ τοῖς ἐφήβοις ἐφηβικός. [1] Ἀρριανός· Οἱ γράψαντες οὐ μόνον τὰ ἔργα Τραϊανοῦ, ἀλλὰ καὶ τὰ βουλεύματα. Καὶ αὖθις· Τοῦτο δὲ γέγονε βουλήσει κρείττονι, καὶ ἀνθρωπίνῃ γνώμῃ οὐδαμῶς συμβλητῇ.

Βουλεία. [2] τὰ [3] χρηματίζοντά τινα τῆς βουλῆς πράττειν, ἃ τοῖς βουλευταῖς προσήκει. οὕτω Δείναρχος καὶ [4] Ἀριστοφάνης. Βουλείαν τὸ βουλεύειν καὶ οἱ δικανικοὶ καλοῦσι συνήθως. καὶ Ἀριστοφάνης φησί· Τίς βουλευτής ἐστι, παραδοὺς ἑτέρῳ τὴν βουλείαν; † Τὸ βουλεῦσαι βουλείαν ἔλεγον οἱ παλαιοί

Βούλει [5] διαμάχεσθαι Γηρυόνι τετραπίλῳ. τουτέστι τετρακεφάλῳ. τρεῖς γὰρ λόφους εἶχεν ἐν τῇ περικεφαλαίᾳ, καὶ πολὺν ἀγῶνα παρέχε τῷ Ἡρακλεῖ.

Βουλή. τάξις παρὰ Ῥωμαίοις. [6] Ἀντώνιος Σατουρνῖνος ἐπίρρητος καὶ βδελυρὸς παρὰ Οὐεσπεσιανοῦ ἐς τὴν βουλὴν ἐνεγράφη, Οὐεσπεσιανοῦ σοφισαμένου γελοιότατα τοῦτο. ἀξιώσει γὰρ αὐτὸν περιέβαλε, κακίας δοὺς ἀκερδὲς μέν, σεμνὸν δὲ ὅμως τόδε ἆθλον.

Βουλὴ ἁγίων. τῶν ἁγίων ὁ σύλλογος.

Βουλής. βουλῆτος κλίνεται παρὰ [7] Θουκυδίδῃ. σημαίνει δὲ τὸν βουλευτήν.

Βουλήσεται [8] κἂν ἐν Αἰγύπτῳ τυχεῖν ὢν μᾶλλον, ἢ κρῖναι κακῶς. ὡς ἐπὶ κατάρας· ἐπεὶ ὡς ληστευομένη διεβάλλετο ἡ Αἴγυπτος. ἢ βούλεται ὅτι πορρωτάτω εἶναι, ὅπου αὐτὸν οὐδὲν βλάψει ὑετός· ἐπεὶ ἐν Αἰγύπτῳ δοκεῖ μὴ ὕειν. ὡς [9] Ἡρόδοτος. Ὕσθησαν γὰρ τότε Θῆβαι, οὐδαμῇ πρότερον ὑσθεῖσαι.

Βούλησις. [10] ὅτι πρακτικαὶ δυνάμεις εἰσὶ τῆς ψυχῆς, βούλησις καὶ προαίρεσις. καὶ ἡ μὲν βούλησις αὐτὴ καθ' ἑαυτήν ἐστι τῆς λογικῆς ψυχῆς. ἡ δὲ προαίρεσις τῆς συμπεπλεγμένης τῇ ἀλογίᾳ. ὅτε μὲν γὰρ ἔστιν ἔξω τῆς γενέσεως ἡ ψυχή, κατὰ βούλησιν μόνην ἐνεργεῖ. ἐν μόνῳ γὰρ ἐστὶ τῷ ἀγαθῷ. ὅταν δὲ γένηται ἐν τῇ γενέσει, ἐπειδὴ συμπλέκονται αὐτῇ αἱ ἄλογοι δυ-

Ariſtoteles. Dinarchus vero in Areopago. Alterius criminis meminit Demoſthenes in oratione prima contra Ariſtogitonem. Hyperides vero nomen βουλεύσεως peculiariter uſurpavit de inſidiis pecuniæ alicujus ſtructis.

Βουλευτικὸς τόπος. Locus in Theatro, qui Senatoribus aſſignatus erat: uti locus ephebis aſſignatus appellabatur ἐφηβικός. Arrianus: *Qui non ſolum res geſtas Trajani, ſed etiam conſilia memoriæ prodiderunt.* Et iterum: *Hoc autem præſtantiore quodam conſilio factum eſt, & quod humana ſapientia nullo modo aſſequi poſſit.*

Βουλεία. Functio muneris ſenatorii. Sic Dinarchus & Ariſtophanes. Βουλεία apud cauſidicos etiam ſignificat ſenatorem eſſe, vel munere ſenatorio fungi. Et Ariſtophanes inquit: [*Eubule*] *quis eſt ſenator* [*præſtantior,*] *qui munere ſenatorio alteri ceſſerit?* Veteres βουλείαν vocabant muneris ſenatorii functionem.

Βούλει διαμάχεσθαι. *Vis pugnare cum Geryone, quatuor pinnis criſtato?* Id eſt, quadricipiti. Tres enim criſtas habebat in galea, & multum negotii Herculi faceſſivit.

Βουλή. Ordo [Senatorius] apud Romanos. *Antonius Saturninus homo fuit flagitiis infamis & impurus: quem Veſpaſianus ridiculo commento ordini Senatorum adſcripſit. Dignitate enim eum ornavit, flagitiis præmium tribuens, quod lucri quidem nihil afferret, at venerabile tamen eſſet & honorificum.*

Βουλὴ ἁγίων. Sanctorum concilium.

Βουλής. Declinatur βουλῆτος apud Thucydidem, ſignificatque ſenatorem.

Βουλήσεται κἂν ἐν Αἰγ. *Vel in Ægypto eſſe malet, quam male judicare.* Hæc imprecationis loco [a Comico dicuntur.] Ægyptus enim ob latrocinia infamis erat. Vel, quam longiſſime abeſſe cupit, ne pluvia ipſum lædat. Ægyptus enim pluvia carere vulgo credebatur. Quo facit illud Herodoti: *Tunc enim Thebis pluit, cum nunquam ante ibi pluiſſet.*

Βούλησις. Voluntas & conſilium ſunt practicæ facultates animæ. Ac voluntas quidem animæ ratione præditæ, quatenus talis eſt, per ſeſe ineſt. Conſilium vero eidem ineſt, quatenus cum parte bruta conjuncta eſt. Anima enim extra corpus conſtituta per ſolam tantum voluntatem agit. In ſolo enim bono verſatur. Cum vero in corpus deſcen-

---

[1] Ἀρριανός· Οἱ γράψαντες οὐ μ.] Hoc & ſequens exemplum nihil facit ad vocem βουλευτικός, ſed prius quidem pertinet ad vocem βούλευμα; poſterius vero ad vocem βούλησις.

[2] Βουλεία. τὰ χρηματίζοντά τινα —— προσήκει] Eadem αὐτολεξεὶ pene habet Harpocratio, cujus veſtigia Suidas hic ſecutus eſt.

[3] Τὰ χρηματίζοντά τινα τῆς βουλῆς πρ.] Locum hunc merito ſuſpectum habeo, quem ſic potius legendum putem: τὸ χρήματά τινα τῆς βουλῆς ὄντα πράττειν.

[4] Ἀριστοφάνης] *Theſmophor.* pag. 809. (530. Ed. Baſ. *P.*) ubi locus integer ſic legitur:

Ἀλλ' Εὔβουλος τῶν πέρυσιν τίς βουλευτής ἐστιν ἀμείνων,
Παραδοὺς ἑτέρῳ τὴν βουλείαν &c.

[5] Βούλει διαμάχεσθαι Γηρυόνι τετρ.] Senarius hic apud Ariſtoph. *Acharnenſ.* pag. 422. (303. Ed. Baſ. *P.*) rectius ita legitur:

Βούλει μάχεσθαι Γηρυόνῃ τετραπτίλῳ.

Vide ad eum locum veterem Scholiaſtam, cujus verba Suidas hic mutila exhibet.

[6] Ἀντώνιος Σατουρνῖνος ἐπίρρ.] Fragmentum hoc legitur etiam ſupra v. Ἀντώνιος Σατουρνῖνος, itemque pars ejus ultima v. Ἀξιώσει, ubi vide, quæ de Antonio hoc Saturnino notavimus.

[7] Παρὰ Θουκυδίδῃ] Locus Thucydidis, ad quem Suidas reſpicit, exſtat libro III. cap. LXX.

[8] Βουλήσεται κἂν ἐν Αἰγύπτῳ τυχεῖν ὢν μᾶλλον, ἢ κρῖναι κ.] Ex Ariſtoph. *Nubib.* pag. 186. (114. Ed. Baſ. *P.*)

[9] Ἡρόδοτος] Lib. III. pag. 104. ut Portus monuit. Vide etiam infra v. Ὕσθης.

[10] Ὅτι πρακτικαὶ δυνάμεις εἰσὶ τῆς ψυχῆς, βούλησις καὶ πρ.] Hæc, & quæ ſequuntur uſque ad finem articuli, ſunt verba Philoponi in librum I. Ariſtot. *de Anima*, A. II. ut Pearſonius obſervavit.

νάμεις, τότε τῇ ἐπιπλοκῇ τοῦ ἀλόγου ἴσχει τὴν προαίρεσιν, διότι [1] ποτὲ μὲν περὶ τῆς ἀλογίας, ποτὲ δὲ περὶ τοῦ λόγου γίνεται καὶ αἱρεῖται τόδε πρὸ τοῦδε. αὗται αἱ ἄλογοι τῆς ψυχῆς δυνάμεις.

Βουληφόρος. πρόβουλος, ἀρχίβουλος.

Βουλιμιᾷ.[2] λιμώττει. πεινῇ λίαν. ἀπὸ τοῦ βου ἐπίῤῥημα, ὅπερ ἐπιτάσεώς ἐστι δηλωτικόν· ὡς καὶ ἐν τῷ βούπεινα, ἡ μεγάλη πεῖνα· καὶ βουγάϊος, καὶ βούγλωσσοι. τινὲς δὲ εἶδος νόσου φασὶν, ἐν ᾗ πολλὰ ἐσθίοντες οὐ πληροῦνται.

Βουλιμιᾶν. τὸ παρ' ἡμῖν λιμώττειν. Ξενοφῶν δὲ βουλιμιᾶν λέγει τὸ τὸν στόμαχον ἐπιδάκνεσθαι ὑπὸ λιμοῦ. [3] Ὁ δὲ παριὼν ἐπὶ τὰ ὑποζύγια, εἴ τι που ὁρῴη βρωτὸν, ἐδίδου τοῖς βουλιμιῶσι.

Βούλιμος. ἀρσενικῶς. ἡ ἐπιτεταμένη λιμός. Ἐπὶ δὲ τῆς ὁδοῦ πολλοὶ ἔπεσον ὑπὸ τοῦ βουλίμου, καὶ χεῖρας καὶ πόδας ἀπεκαύθησαν. Συμπίπτει τε τὸ τῆς βουλιμιάσεως πάθος, χιόνος οὔσης, πονοῦσι καὶ κτήνεσι καὶ ἀνθρώποις, εἴτε τοῦ θερμοῦ διὰ περίψυξιν καὶ πύκνωσιν, ὅταν ἐντὸς ἅπαν καθειρχθῇ, τὴν τροφὴν ἀθρόως ἀναλίσκοντος· εἴτε δριμεῖα καὶ λεπτὴ τῆς χιόνος διαδιδομένης οὖσα πνοὴ τέμνει τὸ σῶμα, καὶ διαφθείρει τὸ θερμὸν ἔξω αὖθις διαδιδόμενον.

Βουλιμώττει. πεινῇ λίαν. παρὰ τὸ βου ἐπιτατικὸν μόριον, καὶ τὸ λιμώττω.

Βουλίνη. πόλις περὶ Ἰλλυρίαν. τὸ ἐθνικὸν Βουλίνος.

Βοῦλις καὶ Σπέρχις, [4] Ἀθηναῖοι, οἱ αὐθαίρετοι ἐς Πέρσας ἀνῆλθον, δώσοντες δίκας ὑπὲρ τῶν κηρύκων Ξέρξου.

Βουλομένῳ. γλιχομένῳ. ἐπιθυμοῦντι. Ὁ δὲ ἔφη θαυμάζων, ἐθελήσεις τί μοι μαντεύσασθαι; πάνυ γε ἔφην, εἴ σοι βουλομένῳ ἐστί. Ἀριστοφάνης· Βούλομαι δ', ἄναξ, καλῶς δρῶν ἐξαμαρτεῖν μᾶλλον, ἢ νικᾶν κακῶς.

Βουλυτός. ἡ δειλινὴ ὀψία, ὅτε οἱ βόες ἀπολύονται τῶν ἔργων. Ἀῤῥιανός· Γίνεται μάχη καρτερὰ ἐπὶ βουλυτὸν ἀγχώμαλος. Καὶ αὖθις Αἰλιανός· Καὶ ὁ μὲν ἔδρασε τὸ προσταχθέν. ὁ δὲ ὄρνις πρὸ βουλυτοῦ ἐπ' ἀμφοῖν βαδίζων, καὶ τὼ πτέρυγε κρούων, καὶ βαίνων μακρὰ, καὶ αἴρων τὸν τράχηλον, καὶ τὸν λόφον ἐπισείων, οἷον ὁπλίτης γαῦρος, τὴν ἐς τὰ ἄλογα προμήθειαν ἀπεδείκνυτο.

Βουμολγός. ὁ τὰς βοῦς ἀμέλγων. [5] Κέρας βουμολγὸς ταύρου κλάσσεν ἀπιμαγέλου.

Βοῦν ἐν γνάθοις φέρει. ἐπὶ τῶν πολυφάγων.

dit, facultates brutæ ei admiſcentur, & propter illam partis brutæ conjunctionem conſilio utitur, quoniam nunc quidem brutum impetum, nunc vero rationem ſequens mox hoc mox illud eligit. Et hæ ſunt facultates animæ rationis expertes.

Βουληφόρος. Conſiliarus. Conſilii princeps vel auctor.

Βουλιμιᾷ. Valde eſurit. Fame valde premitur. [Vox compoſita eſt] ex adverbio βου, quod ſignificationis intendendæ vim habet, ut in voce βούπεινα, magna fames, & βουγάϊος, & βούγλωσσοι. Quidam vero genus morbi eſſe tradunt, quo qui laborant, licet multum edant, non tamen ſatiantur.

Βουλιμιᾶν. Eſt idem quod apud nos λιμώττειν dicitur. Xenophon vero τὸ βουλιμιᾶν dicit de ſtomacho, qui a fame mordetur. *Ille vero ad jumenta pergens, ſi quod edulium videret, id fame laborantibus dabat.*

Xenoph. Anab. Δ. 307. et Suid. infr. V. Βρωτόν.
Porson. Not. Brev. in [illegible]
Xenoph. Anab. Δ. 292

Βούλιμος. Genere maſculino vocatur intenſa fames. *In itinere vero multi morbo, qui βούλιμος vocatur, confecti conciderunt, manibus pedibuſque aduſtis. Accidit autem morbus iſte jumentis & hominibus per nivem ingredientibus & defatigatis, ſive quia calor, corpore frigore conſtricto & condenſato intus concluſus, alimentum omne prorſus conſumit; ſive quia acris & tenuis exſpiratio nivis, per aerem diſperſa, corpus incidit, & calorem foras rurſus ſe diſpergentem corrumpit.*

Βουλιμώττει. Valde eſurit. Vox compoſita eſt ex particula βου, quæ intendendi vim habet, & λιμώττω, eſurio.

Βουλίνη. Buline, urbs circa Illyrium, cujus civis vocatur Βουλίνος.

Βοῦλις. Bulis & Sperchis, Athenienſes, qui ſponte ſua ad Perſas iverunt, pœnas daturi ob [violatos] Xerxis legatos.

Βουλομένῳ. Volenti. Cupienti. *Ille vero admirans dixit, viſne futura quædam mihi prædicere? Cui, omnino, reſpondi, ſi id cupias.* Ariſtophanes: *Malo vero, Rex, bene faciens voto meo excidere, quam male vincere.*

Βουλυτός. Tempus veſpertinum, quum boves ab opere ſolvuntur. Arrianus: *Ad veſperam uſque æquo Marte, idque acriter, pugnatum eſt.* Et iterum Ælianus: *Et ille quidem imperata fecit. Gallus vero ante veſperam utroque pede ambulans, & alas concutiens, & greſſu incedens elato, & collum erigens, criſtamque quatiens, ut ſolet alacris & ferox miles, providentiam divinam brutorum etiam curam gerere declaravit.*

Βουμολγός. Qui vaccas mulget. [Bubulcus.] *Bubulcus cornu fregit tauri armentũ deſerentis.*

Βοῦν ἐν γν. *Bovem in maxillis fert.* Dicitur de voracibus.

---

[1] Διότι ποτὲ μὲν περὶ τῆς ἀλογίας, ποτὲ δὲ περὶ τοῦ λόγου] Apud Philoponum rectius legitur, διότι ποτὲ μὲν πρὸς τῆς ἀλογίας, ποτὲ δὲ πρὸς τοῦ λόγου &c.

[2] Βουλιμιᾷ. λιμώττει. πεινῇ λ.] Totum hunc locum deſcripſit Suidas ex Enarratore Comici ad *Plutum* pag. 87. (43. Ed. Baſ. *P.*)

[3] Ὁ δὲ παριὼν ἐπὶ τὰ ὑποζ.] Fragmentum hoc legitur apud Xenophontem *de Expedit. Cyri* lib. IV. pag. 330. ut Portus monuit.

[4] Ἀθηναῖοι] Imo Σπαρτιᾶται, ſive Lacedæmonii, ut conſtat ex Herodoto lib. VII. pag. 269. quem vide.

[5] Κέρας βουμολγὸς ταύρου κλ.] Verba hæc decerpta ſunt ex Epigrammate, quod ex Codice MS. Anthologiæ ineditæ integrum exhibemus infra v. Ἰξύν.

Βουνιτῆσι. τοῖς βουκόλοις. τοῖς βοηλαύναις. [1] Βούνομοι ἐπιστροφαί. ἤγουν ὑπὸ βοῶν κατανεμόμεναι.

Βουνόμον. τὴν βοῶν θρεπτικήν. [2] Βουνόμον ἔχων ἀκτάν.

Βουλοῦσκοι. ἔθνος. οὗτοι πόλεμον κατὰ Ῥωμαίων ἐξήγειραν, καὶ πολλοῖς ζημιοῦνται σώμασι, καὶ πόλεις ἐπιφανεστάτας τοῦ σφετέρου γένους ἀποβάλλουσι, Μαρκίου νέου παρὰ Ῥωμαίοις ἐπιφανοῦς ὠσαμένου ἐς μέσους τοὺς πολεμίους, συνεισπεσόντος δὲ πυλῶν ἐντὸς τοῖς φεύγουσι, καὶ ἀναπετάσαντος τοῖς οἰκείοις τὴν εἴσοδον. ἐφ᾽ οἷς πολλοῖς μὲν χρήμασι, πολλοῖς δὲ σώμασιν αἰχμαλώτοις πρὸς τοῦ μονάρχου τιμώμενος, τὰ μὲν ἄλλα διωθήσατο, ἠρκέσθη δὲ στεφάνῳ τε ἀριστείῳ, καὶ ἵππῳ πολεμιστηρίῳ καὶ τῶν αἰχμαλώτων ἕνα τῶν αὐτοῦ φίλων αἰτήσας, ἀφῆκεν ἐλεύθερον.

Βούπαλος. ὄνος. [3] Ἀριστοφάνης·

Εἰ νὴ Δία τὶς τὰς γνάθους τούτων δὶς ἢ τρὶς
Ἔκοψεν ὥσπερ βουπάλου, φωνὴν ἂν οὐκ ἂν εἶχον.

Παρὰ τῷ Ἱππώνακτι· Λάβετέ μου θοιμάτιον, κόψω βουπάλου τὸν ὀφθαλμόν.

Βούπαις. [4] ὁ νέος. ἔφηλιξ. βουκόλος. καὶ αἱ μέλισσαι, ὅτι βοηγενεῖς εἰσιν.

Αἰεί [5] τοι βούπαισι περιστάζοιτο μελίσσαις
Τύμβος, Ὑμηττείῳ λειβόμενος μέλιτι.
Ἵπποι [6] γὰρ σφηκῶν γένεσις, ταῦροι δὲ μελισσῶν.

Βούπεινα. ἡ μεγάλη πεῖνα.

Βουπλήξ. πέλεκυς. μάστιξ. βούκεντρον. καὶ αὖθις·
Καὶ [7] κέντρ᾽ ὀπισθονυγῆ, καὶ βούστροφα δεσμὰ τενόντων.

Βουργαών. [8] ὄρος περὶ τὴν ἑσπέραν, ἔνθα Βελισάριος διαφόρους πολέμους διήνεγκεν.

Βοῦς ἕβδομος. ἐπὶ τῶν ἀναισθήτων. οἱ γὰρ πένητες ἔμψυχον μὴ ἔχοντες θῦσαι, ἔπλαττον ἐξ ἀλεύρου. θυομένων δὲ τῶν ἓξ ἐμψύχων, προβάτου, ὑός, αἰγός, βοός, ὄρνιθος, χηνός, ἐθύετο ἕβδομος ὁ ἐξ ἀλεύρου· καὶ διὰ τὸ εἶναι αὐτὸν ἄψυχον, ἐξεδόθη εἰς παροιμίαν. Ἐπίγραμμα εἰς βοῦν καὶ τράγον, ἐπὶ πίνακος ἀργυροῦ ἐγκεκολαμμένους·

Πῶς βοῦς ὑπάρχων, αὔλακας γῆς οὐ τέμνεις;
Ἀλλ᾽ ὡς πάροινος ἀγρότης ἀνεκλίθης;
Πῶς οὐχὶ καὶ σὺ πρὸς νομὰς ἀποτρέχεις,
Ἀλλ᾽ ἀργυροῦν εἴδωλον ἕστηκας τράγε;
Ἕστηκα τὴν σὴν ἐξελέγχων ἀργίαν.

Βοῦς [9] ἕβδομος. πέμματα κέρατα ἔχοντα, κατὰ μί-

Βουνιτῆσι. Bubulcis. Et βούνομοι ἐπιστροφαὶ loca, in quibus boves paſcuntur.

Βουνόμον. Boum paſcua habentem. *Littus incolens boum paſcuis abundans.*

Βουλοῦσκοι. Volſci, gens [Italiæ.] Hi bello Romanis illato, & milites multos & urbes ſuæ gentis clariſſimas amiſerunt, Marcio illuſtri apud Romanos juvene in medios hoſtes impetum faciente, & cum fugientibus in urbem irrumpente, ſuiſque portas aperiente: qui propterea & multa pecunia multiſque captivis a Dictatore donatus, cætera repudiavit, corona fortitudinis præmio & equo bellico contentus. Adhæc unum ex captivis, qui amicus ipſius erat, a Dictatore petiit, eumque liberum dimiſit.

Βούπαλος. Aſinus. Ariſtophanes: *Profecto, ſi quis his maxillas bis aut ter percutiat, ut aſinis fieri ſolet, vox ipſis deſit.* Apud Hipponactem: *Accipite pallium meum: aſini enim oculum elidam.*

Βούπαις. Adoleſcens. Qui pubertatem attigit. Bubulcus. Item apes ſic vocantur, quod ex bobus gignantur. [In Epigrammate:] *Sepulcrum tuum Hymettio melle apum ex bobus genitarum ſemper ſtillet.* Et alibi: *Ex equis enim veſpæ, & ex bobus apes generantur.*

Βούπεινα. Magna fames.

Βουπλήξ. Securis. Flagellum. Stimulus bovis. [In Epigrammate:] *Stimulique a tergo pungentes, & lora, quæ boum cervicibus injiciuntur, ut iis regantur.*

Βουργαών. Burgaon, mons in occidentali parte [Africæ,] ubi Belliſarius diverſa bella geſſit.

Βοῦς ἕβδομος. Septimus bos. De ſtupidis dicitur. Pauperes enim, quia vivum [bovem] immolare non poterant, [ei ſimilem] ex farina fingebant. Sex autem animalibus vivis immolatis, ove, ſue, capra, bove, gallina, & anſere, ſeptimus immolabatur bos ex farina confectus: qui quoniam erat inanimus, in proverbium abiit. † Epigramma in bovem & hircum, in argentea tabula cælatos. *Qui fit, quod, cum bos ſis, terram non ſulces, ſed ut ebrius ruſticus humi recubes? Cur & tu ad paſcua non decurris, hirce, ſed in argento cælatus ſtas? Sto tuam redarguens deſidiam.*

Βοῦς ἕβδομος. Bos ſeptimus. Eſt genus plaμησιν τῆς ' πρωτοφαοῦς σελήνης. ἐκάλουν δὲ αὐτὸν βοῦν, παρακληθέντες καὶ τὸ ἕβδομον, ὅτι ἐπὶ ταῖς ἓξ σελήναις ἐπεθύετο οὗτος ἕβδομος, ὡς Εὐθυκλῆς ἐν Ἀταλάντῃ. ὁμοίως δὲ καὶ αἱ σελῆναι πέμματα πλατέα κυκλοτερῆ, ἃ καὶ οὕτως ἐκάλουν. ἔστι δὲ παρὰ Εὐριπίδῃ ἐν Ἐρεχθεῖ, καὶ παρ' Ἀχαιῷ ἐν Ἴριδι. τάττεται δὲ ἡ παροιμία ἐπὶ τῶν ἄγαν ἀναισθήτων. καὶ, Βοῦς ἐν αὐλίῳ· ἐπὶ τῶν μηδὲν χρησιμευόντων.

---

[1] Βούνομοι ἐπιστροφαί] Ex Scholiaſta Ariſtoph. ad *Ranas* pag. 277. (183. Ed. Baſ. *P.*)

[2] Βουνόμον ἔχων ἀκτάν] Hæc ſunt verba Sophoclis *Electra* pag. 89. ut Portus monuit.

[3] Ἀριστοφάνης] *Lyſiſtrata* pag. 858. (549. Ed. Baſ. *P.*)

[4] Βούπαις. ὁ νέος, ἔφ.] Ex Scholiaſta Ariſtoph. ad *Veſpas* pag. 517.

[5] Αἰεί τοι βούπαισι περιστάζοιτο μελ.] Diſtichum hoc eſt pars Epigrammatis in Sophoclem, quod exſtat Anthol. lib. III. cap. XXV. pag. 396 (274. Ed. Henr. Steph. *P.*)

[6] Ἵπποι γὰρ σφηκῶν γένεσις, ταῦροι δὲ μελ.] Eſt verſus Nicandri in *Theriacis*, qui legitur etiam Anthol. lib. I. pag. 126.

[7] Καὶ κέντρ᾽ ὀπισθονυγῆ, καὶ β.] Anthol. lib. VI. cap. VII. Epigr. IX. verſus hic rectius ita legitur:

Κέντρα τ᾽ ὀπισθονυγῆ, καὶ βούστροφα δεσμὰ τενόντων.

Pro βούστροφα autem ſcribendum potius exiſtimo βουστρόφα, cum accentu in penultima; id eſt, lora, quæ boves flectunt & regunt.

[8] Βουργαών. ὄρος περὶ τὴν ἑσπέραν, ἔνθα Βελισάριος διαφ.] In prioribus Editt. locus hic ita legitur: Βουργαών. ὄρος περὶ τὴν ἑσπέραν. † Βουρδιγάλα. πόλις Κελτογαλατίας, ἔνθα Βελισάριος διαφόρους &c. Sed cum verba iſta, Βουρδιγάλα, πόλις Κελτογαλατίας, in MSS. Pariſ. deſint, apparet, Editores illa ex margine in textum recepiſſe, ſed judicio tam exiguo, ut verba, quæ ad Βουργαών pertinebant, violenter inde avulſa, ad vocem Βουρδιγάλα transferrent. Cæterum de monte Burgaone vide Procopium *de Bello Vandal.* lib. II. cap. XII.

[9] Βοῦς ἕβδομος. πέμμ.] Vide ſupra v. Ἀνάστατοι.

centæ, cornua habens ad imitationem lunæ cum primum apparere incipit. Vocabant autem [illud placentæ genus] bovem, addentes ſeptimum quod poſt ſex Lunas immolaretur, ut [teſtatur] Euthycles in *Atalanta*. Similiter etiam Lunæ erant placentæ latæ & rotundæ, ſic dictæ, [quod ſpeciem Lunæ referrent.] Reperitur autem nomen hoc apud Euripidem in *Erechtheo*, & Achæum in *Iride*. Dicitur proverbium illud in homines valde ſtupidos. Et, *Bos in ſtabulo*. Dicitur in eos, qui ad nullam rem utiles ſunt.

Βοῦς[2] ἐν αὐλίῳ κάθῃ. παροιμία ἐπὶ τῶν ἀχρήστων.

Βοῦς ἐν αὐλίῳ κάθῃ. *Bos in ſtabulo ſedes.* Proverbium in eos, qui ad nullam rem ſunt utiles.

Βοῦς ἐπὶ γλώττης. ἐπὶ τῶν μὴ δυναμένων παρρησιάζεσθαι· ἢ διὰ τὴν ἰσχὺν τοῦ ζώου· ἢ διὰ τὸ τῶν Ἀθηναίων νόμισμα βοῦν ἔχειν ἐγκεχαραγμένον, ὅπερ ἐκτίνειν ἔδει τοὺς παρρησιαζομένους.

Βοῦς ἐπὶ γλώττης. *Bos in lingua.* De iis, qui libere loqui non audent: vel ob animalis hujus robur, vel quod Athenienſium nomiſma bovis imagine ſignatum eſſet, quod eos, qui liberius loquebantur, pendere oportebat.

Βοῦς ἐπὶ σωρῷ. ἐπὶ τῶν ἡδυπαθούντων. ἢ ἐπὶ τῶν ἀλοώντων, καὶ διὰ φιμοῦ ἐσθίειν κωλυομένων. καὶ Βοῦς εἰς ἄμητον. ἐπὶ τῶν μετ' ὠφελείας καμνόντων.

Βοῦς ἐπὶ σωρῷ. *Bos apud acervum.* De iis, qui delicate & molliter vivunt. Vel de triturantibus dicitur, & quorum os camo obligatum eſt, ne comedant. Et, *Bos in meſſem.* De iis, qui cum fructu laborant.

Βοῦς Κύπριος. ἐπὶ τοῦ χυδαίου καὶ ἀναισθήτου. φασὶ γὰρ τοὺς Κυπρίους βόας κοπροφαγεῖν.

Βοῦς Κύπριος. Bos Cyprius. Dicitur de homine plebeii & ſtupidi ingenii. Ajunt enim boves Cyprios ſtercore veſci.

Βοῦς[3] ὁ Μολοττῶν. ἐπὶ τῶν εἰς πολλὰ διαιρουμένων καὶ κατακοπτομένων πράγματα. οἱ γὰρ Μολοττοὶ ἐν τοῖς ὁρκωμοσίοις κατακόπτοντες εἰς μικρὰ τὰς βοῦς, τὰς συνθήκας ἐποιοῦντο.

Βοῦς ὁ Μολοττῶν. *Bos Moloſſorum.* Dicitur de rebus, quæ in multa fruſta dividuntur & conciduntur. Moloſſi enim in fœderibus pangendis bovem in minuta fruſta diſſecare ſolebant.

Βοῦς[4] ὑπὸ ζυγόν. ἐπὶ τῶν ἀεὶ μοχθούντων.

Βοῦς ὑπὸ ζυγόν. *Bos ſub jugum.* De iis, qui ſemper laborant.

Βούσιρις. ὁ τῆς Αἰγύπτου βασιλεὺς, ἀφ' οὗ καὶ ἡ πόλις καλεῖται.

Βούσιρις. Buſiris, Ægypti Rex, a quo & urbs nomen accepit.

Βούσταθμον, καὶ βουστάδιον. τὸ βοοστάσιον.

Βούσταθμον & βουστάδιον. Boum ſtabulum.

Βουτάδης.[5] δῆμός ἐστι τῆς Οἰνηΐδος Βουτία· ἀφ' ἧς Βουτάδαι οἱ δημόται.

Βουτάδης. Butades. Butia eſt populus tribus Oeneidis; cujus populares dicuntur Butadæ.

Βούτης.[6] οὗτος τὴν ἱερωσύνην ἔσχε, καὶ οἱ ἀπ' αὐτοῦ Βουτάδαι ἐκλήθησαν. καλοῦνται δὲ καὶ Ἐτεοβουτάδαι οἱ ἀπόγονοι τοῦ Βούτου. τὸ γὰρ ἐτεὸν ἀληθὲς δηλοῖ.

Βούτης. Butes. Hic ſacerdotium habuit, ejuſque poſteri vocati ſunt Butadæ, vel Eteobutadæ, [quaſi dicas veri Butadæ.] Ἐτεὸν enim verum ſignificat.

Βουταλίων καὶ Κόροιβος καὶ Μελιτίδης ἐπὶ μωρίᾳ διεβέβληντο. [7] Ἀριστοφάνης·

Τέως δ' ἀβελτερώτατοι
Κεχηνότες[8] Μαμμάκουθοι,
Μελιτίδαι κάθηνται.

Βουταλίων. Butalion & Corœbus & Melitides ob ſtultitiam [a Comicis] perſtringebantur. Ariſtophanes: *Interea ut ſtupidi & hiantes Mammacuthi & Melitidæ ſedent.*

Βούτης. βοονόμος. [9] Αὐτὰρ ὁ βούτης ἀντίος ἐκ πλαγίων ἴεθ'· ὁ δὲ ῥοπάλῳ γυρὸν ἀπεκράνιζε βοὸς κέρας.

Βούτης. Bubulcus. [In Epigrammate:] *At [taurus] in bubulcum ex adverſo irruit. Ille vero clava curvum cornu a capite bovis decuſſit.*

Βούτομον.[10] φυτάριον παραπλήσιον καλάμῳ, ὅπερ ἐσθίουσιν οἱ βόες.

Βούτομον. Parva planta, ſimilis arundini, quam boves edunt.

---

[1] Πρωτοφαοῦς] Supra v. Ἀνάστατοι minus recte legitur πρωτοφυοῦς.

[2] Βοῦς ἐν αὐλίῳ κάθῃ] Vide Henr. Steph. in Animadverſ. ad Adag. Eraſmi pag. 12.

[3] Βοῦς ὁ Μολοττῶν, ἐπὶ τῶν εἰς πολλὰ διαιρ.] Ex Zenobio.

[4] Βοῦς ὑπὸ ζυγόν] Sic habent 2 MSS. Pariſ. At in prioribus Editt. excuſum eſt Βοῦς ἐπὶ ζυγόν, quod minus placet.

[5] Βουτάδης. δῆμός ἐστι τῆς Οἰνηΐδος Βουτ.] Ex Harpocratione.

[6] Βούτης. οὗτος τὴν ἱερωσ.] Et hunc articulum ex Harpocratione deſcripſit Suidas.

[7] Ἀριστοφάνης] *Ranis* pag. 258. (169. Ed. Baſ. *P.*)

[8] Μαμμάκουθοι] Sic etiam legitur apud Ariſtophanem. Sed metri gratia ſcribendum eſt Μαμμάκυθοι, quoniam ſyllabam penultimam oportet eſſe brevem. Heſychius: Μαμμάκυθος, μωρός τις, ubi recte ſyllaba penultima per υ ſcribitur. Vide etiam ſupra v. Ἀβελτερώτατος.

[9] Αὐτὰρ ὁ βούτης ἀντ.] Locus hic in codice MS. Epigrammatum ineditorum ſic diſtinguitur:

——Αὐτὰρ ὁ βούτης
Ἀντίος ἐκ πλαγίων ἴεθ'· ὁ δὲ ῥοπάλῳ
Γυρὸν ἀπικράνιζε βοὸς κέρας.

Vide infra v. Ἴξων, ubi Epigramma, ex quo verba hæc decerpta ſunt, integrum exhibemus.

[10] Βούτομον. φυτάριον παραπλ. καλάμῳ, ὅπερ ἐσθίουσι οἱ β.] Ex Scholiaſta Ariſtoph. ad *Aves* pag. 572.

Βουτόροις. τοῖς πλήττουσι τοὺς βόας. Μαυρούσιοι ἔχουσι δόρατα [1] βουτόροις ὀβελοῖς ἴσα.

Βουτεῖσα. ὄνομα ὄφεως.

Βουτύπος. βουθύτης. ὁ τοὺς βόας βάλλων πελέκει.

Βουφάγος.

Simonides. Brunck. I. 147. CXII. 3.

Ὑετὸν [2] ἄρτι κόμης ἀπεμόρξατο. τοῦ δὲ κατ' ἴχνος
Βουφάγος εἰς κοίλην ἀτραπὸν ἦλθε λέων.

Βουφόνια. [3] ἑορτὴ παρὰ Ἀθηναίοις πάνυ ἀρχαία. ἐν γὰρ τοῖς Διϊπολίοις φασὶ τὸν βοῦν τὸ πόπανον φαγεῖν τὸ παρεσκευασμένον εἰς θυσίαν. Θαύλωνα δέ τινα, ὡς εἶχε, τῷ πελέκει ἀποκτεῖναι τὸν βοῦν, ὡς Ἀνδροτίων φησί.

Βουφόνια. ἑορτὴ παλαιά, ἥν φασιν ἄγεσθαι μετὰ τὰ μυστήρια· ὅτε καὶ τὸν βοῦν ἔθυον εἰς ὑπόμνησιν τοῦ πρώτου φονευθέντος ἐν ἀκροπόλει βοός, ἁψαμένου τοῦ πελάνου ἐν τῇ θυσίᾳ τῶν Διϊπολίων.

Βουφόρτων. πολυφόρτων.

— Μέγα [4] πλευρὸν ἀνῆψαν
Δαίμοσι βουφόρτων κοίρανοι εἰκοσόρων.

Βουχανδής. βοῦν χωρῶν. ἐν Ἐπιγράμμασι·

Βουχανδὴς [5] ὁ λέβης· ὁ δὲ θεὶς Ἐριασπίδα υἱὸς
Κλεύβολος.

Βούχετα. [6] πόλις ἐστὶ τῆς Ἠπείρου, οὐδετέρως καὶ πληθυντικῶς [7] λεγομένη· ἥν φησι Φιλόχορος ὀνομάσθαι διὰ τὸ τὴν Θέμιν ἐπὶ βοὸς ὀχουμένην ἐλθεῖν ἐκεῖ κατὰ τὸν Δευκαλίωνος κατακλυσμόν.

Βουχίλου. ὄνομα τόπου. ἡ εὐθεῖα Βούχιλον.

Πᾶνες [8] βουχίλου κράντορες Ἀρκαδίης.

τουτέστιν εὐτρόφου.

Βῶλις. ὄνομα κύριον. Πολύβιος· Ὁ δὲ Ἀχαιὸς προσδεξάμενος ἐκτενῶς καὶ φιλανθρώπως [9] τὸν Βῶλιν, ἀνέκρινε διὰ πλειόνων ὑπὲρ ἑκάστου τῶν κατὰ μέρος.

Βῶλος, [10] Δημοκρίτειος, φιλόσοφος. ἱστορίαν καὶ τέχνην ἰατρικήν. ἔχει δὲ [11] ἰάσεις φυσικὰς ἀπό τινων βοηθημάτων τῆς φύσεως.

Βῶλος [12] Μενδήσιος, Πυθαγόρειος. Περὶ [13] τῶν ἐκ τῆς ἀναγνώσεως τῶν ἱστοριῶν εἰς ἐπίστασιν ἡμᾶς ἀγαγόντων. Περὶ θαυμασίων. Φυσικὰ δυναμερά. ἔχει [14] δὲ περὶ συμπαθειῶν καὶ ἀντιπαθειῶν λίθων κατὰ

Βουτόροις. Boves pungentibus. *Mauruſii habent haſtas, ſimiles verubus, quibus boves figuntur.*

Βουτεῖσα. Nomen ſerpentis.

Βουτύπος. Qui boves mactat. Qui boves ſecuri ferit.

Βουφάγος. [Qui boves vorat. Vel, valde vorax.] *Vix comas abſterſa pluvia ſiccaverat, cum leo bobus infeſtus veſtigia ejus ſecutus in cavum ſpecu venit.*

Βουφόνια. Feſtum apud Athenienſes valde antiquum, [quod a cæde bovis nomen accepit.] In feſto enim Diipoliorum ferunt bovem placentam ſacrificio deſtinatam devoraſſe; quem Thaulon quidam confeſtim ſecuri interfecit, ut ait Androtio.

Βουφόνια. Feſtum antiquum, quod poſt Myſteria celebrari ſolitum fuiſſe tradunt: quo tempore & bos immolabatur, in memoriam primi bovis in arce occiſi, qui placentam devoraverat, cum Diipoliis [Jovi] ſacrificium fieret.

Βουφόρτων. Magnum onus geſtantium. *Ingens hoc latus Domini navium onerariarum, quæ viginti remis inſtructæ ſunt, Diis ſuſpenderunt.*

Βουχανδής. Bovem capiens. In Epigrammate: *Lebetem hunc, qui bovem capit* [*Diis*] *dedicavit Cleobotus, Eriaſpidæ filius.*,

Βούχετα. Bucheta. Urbs eſt Epiri, generis neutrius & pluralis numeri: quam Philochorus ait ſic dictam fuiſſe, quod Themis tempore diluvii Deucalionei bove vecta illuc acceſſerit.

Βουχίλου. Buchili, nomen loci, cujus caſus rectus eſt Βούχιλον. [Item βούχιλος, fertilis, vel paſcuis abundans. In Epigrammate:] *Panes, qui fertilis Arcadiæ regnum tenetis.*

Βῶλις. Bolis. Nomen proprium. Polybius: *Achæus vero, cum prompto ſtudio & humaniter Bolin excepiſſet, de ſingulis eum accurate percontatus eſt.*

Βῶλος. Bolus, Democriteus, Philoſophus, [ſcripſit] hiſtoriam & artem medicam, in qua agitur de ſanationibus morborum, quæ ab occulta naturæ vi proficiſcuntur.

Βῶλος. Bolus Mendeſius, Pythagoreus. Scripſit de utilitate, quam ex lectione hiſtoriarum capimus. De rebus mirabilibus. De remediis Phyſicis. Præterea de ſympathiis & anστοιχεῖον. Περὶ σημείων τῶν ἐξ ἡλίου, καὶ σελήνης, καὶ ἄρκτου, καὶ λύχνου, καὶ ἴριδος.

---

[1] Βουτόροις ὀβελοῖς] Simili ſenſu Herodotus in *Euterpe* pag. 90. dixit βουπόρους ὀβελούς: quod Suidas ſupra v. Βουπόρους interpretatur μεγάλους ὀβελούς.

[2] Ὑετὸν ἄρτι κόμης ἀπεμόρξατο. τοῦ δὲ κατ' ἴχν.] Diſtichum hoc eſt pars Epigrammatis, quod ex codice MS. Anthologiæ ineditæ integrum exhibemus infra v. Ἤρασον.

[3] Βουφόνια. ἑορτὴ παρὰ Ἀθ.] Vide infra v. Θαύλων.

[4] Μεγὰ πλευρὸν ἀνῆψαν Δαίμ.] Verba hæc decerpta ſunt ex Epigrammate inedito in ſcolopendram, quod alibi cum Lectore communicabimus.

[5] Βουχανδὴς ὁ λέβης· ὁ δὲ θεὶς Ἐριασπ.] Locum hunc ex codice MS. Epigrammatum ineditorum emendavi, qui in prioribus Editt. corruptiſſime ſic legitur: Βουχανδὴς ὁ λέβης· ὁ δὲ θεὶς Ἐραπτίδαυλος, κίνδοτος. Integrum autem Epigramma, ex quo verba hæc decerpta ſunt, edidit Lucas Holſtenius ad Stephanum Byzantium v. Τέγεα.

[6] Βούχετα. πόλις ἐστὶ τῆς Ἠπείρου, οὐδετ.] Ex Harpocratione. Vide etiam infra v. Θέμιν, ubi eadem αὐτολεξεὶ repetuntur.

[7] Πληθυντικῶς] Sic recte ſcriptum eſt in MSS. Pariſ. itemque infra v. Θέμιν. At priores Editt. male habent πολλαχῶς.

[8] Πᾶνες βουχίλου κράντορες Ἀρκαδίης] Pentameter hic eſt pars Epigrammatis inediti, quod infra v. Κράντορες integrum cum Lectore communicabimus.

[9] Τὸν Βῶλιν] Scribendum eſt τὸν Βῶλον, ut legitur infra v. Ἐκτενῶς, ubi fragmentum hoc repetitur.

[10] Βῶλος, Δημοκρίτειος, φιλ.] Hunc Bolum laudat Stephanus Byzantius v. Ἄψυνθος: ejuſdemque meminit Scholiaſta Nicandri ad *Theriaca* pag. 35. ſed ubi corrupte hodie legitur Ῥῶλος.

[11] Ἰάσεις φυσικάς] Quænam a Græcis appellentur Ἰάσεις φυσικαὶ docet Reineſ. *Var. Lect.* pag. 392. quem vide.

[12] Βῶλος Μενδήσιος] Nomen hoc reſtituendum eſt Columellæ, apud quem lib. VII. cap. V. hodie Dolus Mendeſius minus recte legitur, ut obſervavit Reineſius *Var. Lect.* lib. I. cap. ult.

[13] Περὶ τῶν ἐκ τῆς ἀναγνώσεως τῶν ἱστοριῶν εἰς ἐπίστασιν ἡμᾶς ἀγ.] Verba hæc obſcura ſunt, ex quibus vix ſenſum aliquem elicere potui.

[14] Ἔχει δὲ περὶ συμπαθ. καὶ ἀντιπ. λίθων] Emendo & ſuppleo:

Βῶλος [1] ἄρουρα. ἐπὶ τῶν τοῖς μεγάλοις τὰ μικρὰ προσφιλοτιμουμένων. ὁμοία τῇ, Θαλάττῃ ἐκ χαράδρας ὕδωρ. Βόλος δὲ, ἡ δρόσος.

Βωμακεύματα. βωμολοχεύματα.

Βώμαξ. βωμολόχος. ὁ ἀπὸ τῶν βωμῶν, πρὶν καρπωθῆναι, αἴρων. τάσσεται δὲ καὶ ἐπὶ τῶν μαλακιζομένων.

Βωμολοχεύεσθαι. [2] Βωμολόχοι κυρίως ἐλέγοντο οἱ ἐπὶ τῶν θυσιῶν ὑπὸ τοὺς βωμοὺς καθίζοντες, καὶ μετὰ κολακείας προσαιτοῦντες. ἔτι δὲ οἱ παραλαμβανόμενοι ταῖς θυσίαις αὐληταὶ καὶ μάντεις. ἐκ μεταφορᾶς δὲ τούτων ἐλέγοντο βωμολόχοι καί τινες εὔκολοι καὶ ταπεινοὶ ἄνθρωποι, καὶ πᾶν ὁτιοῦν ὑπομένοντες ἐπὶ κέρδει, διὰ τοῦ παίζειν τε καὶ σκώπτειν. ὥστε τοὔνομα τρία σημαίνει.

Βωμολοχεύμασι. πανουργεύμασι.

Βωμολοχεύσαιτο. ἀντὶ τοῦ ἀγοραῖόν τι εἴποι, ἢ εὐτελές. [3] Ἀριστοφάνης Νεφέλαις [4] περὶ διαφθορᾶς ἁρμονικῶν·

Ἐντειναμένους τὴν ἁρμονίαν, ἣν οἱ πατέρες παρέδωκαν.
Εἰ δέ τις αὐτῶν βωμολοχεύσαιτο, ἢ κάμψειέν τινα καμπὴν,
(οἱονεὶ κεκλασμένην τῇ φωνῇ τὴν ᾠδὴν προενέγκοιτο,)
Οἵας οἱ νῦν τὰς [5] κατὰ Φρύνιν, ταύτας τὰς δυσκολοκάμπτους,
Ἐπετρίβετο τυπτόμενος πολλὰς, ὡς τὰς Μούσας ἀφανίζων.

Καὶ αὖθις· Πολλὰ μὲν οὖν καὶ ἄλλα τῆς τούτων βωμολοχίας τε καὶ αἱμυλίας μαρτύρια διαφέρει· ἐν δὲ τοῖς ἄρα καὶ ἐκεῖνο.

Βωμολόχος. ὁ περὶ τοὺς βωμοὺς λοχῶν, ὑπὲρ τοῦ λαβεῖν τι παρὰ τῶν θυόντων. μεταφορικῶς δὲ καὶ ὁ παραπλησίως τούτῳ ὠφελείας ἕνεκά τινος κολακεύων. καὶ βωμακεύματα καὶ βωμολοχεύματα. [6] Ἀπολλόδωρος Κυρηναῖος, ὁ εὐτράπελος καὶ γελωτοποιός. τινὲς δὲ τὸν μετά τινος εὐτραπελίας κόλακα. καὶ τὸν πανοῦργον δὲ καὶ συκοφάντην. καὶ [7] Βωμολόχος, ὁ κακοῦργος, ἀσεβής. παρὰ τοὺς λοχῶντας τὰ ἐν τοῖς βωμοῖς ἐπιτιθέμενα θύματα, ἢ τοὺς θύοντας, ἵνα αἰτήσαντες λάβωσί τι. ἢ [8] Βωμολόχοις ἔπεσι, τοῖς πρὸς χάριν καὶ ἀπὸ κολακείας. ἀπὸ δὲ τῶν λοχώντων περὶ τοὺς βωμοὺς καὶ βουλομένων τι λαβεῖν μετήνεκται ἡ λέξις. οὗτοι γὰρ ἐπὶ τῶν βωμῶν πολλὰ ἐλιπάρουν κολα-

tipathiis. De lapidibus ſecundum ordinem alphabeticũ. De ſignis, quæ ex inſpectione Solis, Lunæ, urſæ, lucernæ, & Iridis, obſervantur.

Βῶλος ἄρουρα. *Gleba arvum.* De iis, qui parvis magna augere ſtudent. [Proverbium hoc] ſimile eſt illi, *Mari aquam torrentis* [*addis.*] Βόλος vero, per ο, eſt ros.

Βωμακεύματα. Dicta vel facta ſcurrilia.

Βώμαξ. Scurra. [Proprie,] qui ex ara aliquid aufert, antequam ſacrificium Diis oblatum ſit. Dicitur etiam de hominibus mollibus & effœminatis.

Βωμολοχεύεσθαι. [Scurrari.] Βωμολόχοι proprie appellabantur, qui, cum ſacrificia fierent, juxta altaria ſedentes, adulando aliquid petebant: itemque tibicines, & vates, qui ad ſacrificia adhibebantur. Per metaphoram vero ab his ductam βωμολόχοι appellabantur ſcurræ & humilis animi homines, lucri gratia quidvis perferentes, & jocando cavillandoque [riſum captantes.] Quare vocabulum hoc tria ſignificat.

Βωμολοχεύμασι. Fraudibus & dolis.

Βωμολοχεύσαιτο. Scurrile & triviale quid dicat. Ariſtophanes *Nubibus* de corruptione veteris muſicæ loquens ait: *Intendentes harmoniam, a majoribus traditam. Quod ſi quis ipſorum verbum aliquod ſcurrile protuliſſet, aut in cantando vocem varie inflexiſſet, ſecundum eam modulandi rationem, quam Phrynis introduxit, admodum ſane difficilem; multis illico verberibus cædebatur, ut qui artem muſicam corrumperet.* Et iterum: *Scurrilitatis igitur & aſſentationis illorum multa alia circumferuntur teſtimonia: inter quæ & hoc eſt.*

Βωμολόχος. Qui aris aſſidet ut aliquid accipiat ab illis, qui ſacrificant. Per metaphoram vero inde ductam ſic vocatur & ille, qui utilitatis ſuæ cauſa alicui aſſentatur. Et βωμακεύματα, dicta vel facta ſcurrilia. Apollodorus Cyrenæus [βωμολόχον vocat hominem] facetum & ridiculum. Quidam vero, adulatorem facetum & urbanum. Item, fraudulentum & calumniatorem. Et βωμολόχος, improbus & impius: per metaphoram ductam ab illis, qui inſidiantur victimis, quæ aris imponuntur; vel etiam ſacrificantibus, ut precibus aliquid ab illis impetrent. Et βωμολόχοις ἔπεσι, verbis blandis & adulatoriis: quæ ſignificatio ducta eſt ab illis, qui aris aſſidentes ſibi dari aliquid petunt. Hi enim

---

Ἔτι δὲ περὶ συμπαθειῶν καὶ ἀντιπαθειῶν. Περὶ λίθων. Hanc lectionem in verſione ſecutus ſum. Cæterum Boli hujus opus περὶ συμπαθειῶν καὶ ἀντιπαθειῶν laudat Scholiaſta Nicandri ad *Theriaca* pag. 35.

[1] Βῶλος ἄρουρα] Zenobius habet, Βῶλος ἄρουραν, quod magis placet, quoniam ſubintelligi videtur verbum ὠφελεῖ, vel ſimile quid.

[2] Βωμολοχεύεσθαι. Βωμολόχοι κυρίως ἐλέγοντο οἱ ἐπὶ τῶν θυσ.] Ex Harpocratione. Vide etiam Enarratorem Comici ad *Nubes* pag. 176. Obiter hic emendo Heſychium, apud quem hodie in ſerie ſua ſic legitur: Προσβολοχεῖ, προσχαίρειν λέγει. Scribe Προσβωμολοχεῖ, πρὸς χάριν λέγει. Scholiaſta enim Ariſtophanis ad *Ranas* pag. 229. τὸ βωμολόχοις interpretatur τοῖς πρὸς χάριν λέγουσι, quod emendationem hanc egregie confirmat.

[3] Ἀριστοφάνης Νεφέλαις] Pag. 178. (108. Ed. Baſ. *P.*)

[4] Περὶ διαφθορᾶς] Hanc lectionem ex 2 MSS. Pariſ. revocavi. In prioribus enim Editt. male excuſum eſt περὶ διαφορᾶς.

[5] Κατὰ Φρύνιν] Huc faciunt verba illa Heſychii v. Λέσβιος ᾠδός· Οἱ δὲ Φρύνιν, ὃ καὶ μᾶλλον. ὑπὸ πολλῶν γὰρ κεκωμῴδηται οὗτος, ὡς διαφθείρων τὴν μουσικὴν, καὶ πρὸς τὸ βωμολοχεύειν τρέπων. Reſpexit ibi Heſychius ad locum illum Ariſtophanis, quem Suidas hic adducit.

[6] Ἀπολλόδωρος Κυρηναῖος, ὁ εὐτράπελος καὶ γελ.] Rectius Etymologus: Ἀπολλόδωρος δὲ ὁ Κυρηναῖος τὸν εὐτράπελον καὶ γελωτοποιόν: ſubintellige, οὕτως καλεῖ.

[7] Βωμολόχος, ὁ κακοῦργος, ἀσεβ.———λάβωσί τι] Ex Scholiaſta Ariſtoph. ad *Nubes* pag. 176.

[8] Βωμολόχοις ἔπεσι, τοῖς πρὸς χ.———λαβεῖν τι παρὰ τῶν θυόντων] Ex Scholiaſta Ariſtoph. ad *Ranas* pag. 229. (145. Ed. Baſ. *P.*)

κεύοντες λαβεῖν τι παρὰ τῶν θυόντων. † ¹Ἀγαθίας· Οὐ γὰρ σύνηθες ὁ Ναρσῆς ἔμοιγε, ἔφη, βωμολοχίαις τε καὶ γλισχραῖς ἐλπίσιν ἐγκαλλωπίζεσθαι. Καὶ περὶ Ἰσιδώρου Δαμάσκιος· Ὁ δὲ ἐπίχαρις ἦν, εὐτραπελίας μὲν καὶ βωμολοχίας ὅτι πορρωτάτω.

Βωμόν. ²σταπίδα Λάκωνες.

Βωμός. τέμενος· καὶ τόπος ἀνάβασιν ἔχων πρὸς τὸ λέγειν ³ἐπήκοα· ἐφ᾽ ὃν Κράτης ἀναβάς, ⁴Κράτης ἀπολύει τὰ Κράτητος, εἴρηκε. Καὶ ⁵Ἀριστοφάνης· Ὁ γὰρ βωμὸς θύρασι καὶ δή. ἀντὶ τοῦ, ἐξ ἑτοίμου ἐστὶ παρεσκευασμένος.

Βωμοί. οὕτω λέγονται αἱ βάσεις, στιβάδες.

Βῶν. ⁶ἀσπίδα Ἀργεῖοι. ἀντὶ τοῦ βοῦν, ἤτοι βύρσαν.

Βῶνος, στρατηγὸς τῆς Μυσίας, τῆς παρὰ τῷ Ἴστρῳ ποταμῷ παρατεταμένης, ἀνὴρ συνέσεως ἐς ἄκρον ἥκων καὶ λίαν ἀγαθὸς τά τε πολιτικὰ καὶ πολέμια. ἦν ἐπὶ Ἰουστινιανοῦ.

Βώνυσοι. ⁷ἄποικοι. βουκόλοι.

Βῶρος. ὄνομα κύριον.

Βῶροι. ὀφθαλμοί.

Βῶς. βύρσα. ἀσπίς.

Βωσόμεθα. καλέσομεν. μαρτυρούμεθα.

Βῶσον. ⁸βοήθησον. Κρατῖνος.

Βωστρεῖν. καλεῖν. βοᾶν. ⁹Ἀριστοφάνης· Ποιήσω τοὺς δημότας βωστρεῖν σ᾽ ἐγὼ πεκτούμενον.

Βώπιον. τόπος.

Βωπεῖν. ¹⁰ἀροῦν. Λάκωνες.

Βωτιάνειρα. ἡ βόσκουσα τοὺς ἄνδρας.

Βώτορες. βοήτορες. νομεῖς. ἐν ¹¹Ἐπιγράμματι·

Τὸν νομίην καὶ ἔπαυλα βοῶν καὶ βώτορας ἄνδρας
Σινόμενον, κλαγγάν τ᾽ οὐχὶ τρέσαντα κυνῶν,
Πέφνε, καὶ ἐκ ταύτης ἐκρέμασεν πίτυος.

Βώχανος. ὄνομα κύριον. ἦν δὲ Τούρκων ἀρχηγός· ὃς ἐπὶ Ἰουστινιανοῦ τὸν Βόσπορον ἐπόρθησε. ζήτει ἐν τῷ Βόσπορος.

Βραβεύει. δοτικῇ. ἐπιψηφίζεται. διανέμει. Καλῶς γὰρ σφίσι τοῦ δαιμονίου βραβεύσαντος τὰ κατὰ τὸν πλοῦν.

Βραβευτής. διοικητής. κριτής. ὁριστής. καὶ Βραβεῖον, ἐπινίκιος ἀμοιβή.

precibus blandis rogabant ſacrificantes, ut de victimis, quæ immolabantur, ſibi aliquid impertirentur. † Agathias: *Non enim, inquit Narſes, moris mei eſt, aliis aſſentari, & blandis pollicitationibus uti.* Et Damaſcius de Iſidoro inquit: *Ille vero feſtivus erat & comis; at a dicacitate & ſcurrilitate alieniſſimus.*

Βωμόν. Aram. Lacones ϛιβάδα ſic vocant.

Βωμός. Ara. Item locus excelſus, vel ſuggeſtus, unde dicentes exaudiri poſſunt. In talem locum cum adſcendiſſet Crates dixit: *Crates dimittit ea, quæ ſunt Cratetis.* Et Ariſtophanes: *Ara enim foris parata eſt.*

Βωμοί. Sic etiam vocantur gradus, & lecti ex foliis frondibuſque arborum exſtructi.

Βῶν. Argivi clypeum ita vocant. Dictum eſt autem pro βοῦν, i. e. [bovem,] vel pellem bubulam.

Βῶνος. Bonus, dux Myſiæ Iſtro fluvio adjacentis, vir acutiſſimus & prudentiſſimus, & rerum tam civilium quam militarium peritiſſimus. Vixit ſub Juſtiniano.

Βώνυσοι. Coloni. Bubulci.

Βῶρος. Borus. Nomen proprium.

Βῶροι. Oculi.

Βῶς. Pellis bubula. Clypeus.

Βωσόμεθα. Vocabimus. Teſtabimur.

Βῶσον. Pro βόησον. Clama. Cratinus.

Βωστρεῖν. Vocare. Clamare. Ariſtophanes: *Efficiam, ut verberibus egregie depexus popularium opem implores.*

Βώλιον. Locus quidam.

Βωλεῖν. Arare. Lacones.

Βωτιάνειρα. [Epithetum terræ.] Viros paſcens vel alens.

Βώτορες. Pro βοήτορες. Paſtores. In Epigrammate: *Paſcua & ſtabula boum & paſtores lædentem, nec latratum canum formidantem* [*Eualces*] *occidit, & ex hac pinu ſuſpendit.*

Βώχανος. Bochanus. Nomen proprium. Hic Turcorum dux fuit, qui ſub Juſtiniano Boſporum vaſtavit. Quære in v. Βόσπορος.

Βραβεύει. Dativo jungitur. Decernit. Diſpenſat. *Cum navigatio, Deo annuente, ex voto ipſis ſucceſſiſſet.*

Βραβευτής. Moderator. Judex. Diſpenſator. Et βραβεῖον, præmium victoriæ.

---

1 Ἀγαθίας] Lib. 1. pag. 24.

2 Σπαπίδα] Puto legendum στιβάδα. Vide paulo poſt v. Βωμοί.

3 Ἐπήκοα] Priores Editt. habent ἐπήκοος. At in MSS. Pariſ. exaratum eſt ἐπήκοα, quam lectionem vulgatæ prætuli. Significat autem ἐπήκοα λέγειν, talia dicere, quæ procul a circumſtantibus exaudiri poſſunt.

4 Κράτης ἀπολύει τὰ Κράτητος] Idem de Cratete refert Nonnus in Expoſitione Hiſtoriarum, quarum meminit Gregorius in priori Invectiva contra Julianum Imperatorem. Verba ejus hæc ſunt: Οὗτος φιλοσοφῆσαι θέλων τὴν Κυνικὴν φιλοσοφίαν, λαβὼν τὰ ὑπάρχοντα αὐτοῦ, ἔρριψε τῷ δήμῳ, κηρύξας οὕτω· Κράτης ἀπολύει τὰ Κράτητος, ἵνα μὴ τὰ Κράτητος κρατήσῃ τὸν Κράτητα.

5 Ἀριστοφάνης] In *Pace* pag. 694. (471. Ed. Baſ. *P.*) Vide etiam intra v. Θύρασιν.

6 Βῶν. ἀσπίδα] Vide Scholiaſtam Homeri ad Il. Μ. v. 105. & 137.

7 Βώνυσοι. ἄποικοι. βουκ.] Vide Etymologum v. Βωνίτης.

8 Βοήθησον] Lege Βόησον.

9 Ἀριστοφάνης] *Lyſiſtrata* pag. 881. (556. Ed. Baſ. *P.*)

10 Βωπεῖν] Vide Heſychium v. Βοωπεῖν.

11 Ἐν Ἐπιγράμματι· Τὸν νομίην καὶ ἔπ.] Locus hic decerptus eſt ex Epigrammate inedito, quod ex cod. MS. integrum hic cum Lectore communicabo. Λεωνίδα.

Τὸν νομίην καὶ ἔπαυλα βοῶν καὶ βώτορας ἄνδρας
Σινόμενον, κλαγγάν τ᾽ οὐχὶ τρέσαντα κυνῶν,
Εὐάλκης ὁ Κρής, ἐπινύκτια μῆλα νομεύων,
Πέφνε, καὶ ἐκ ταύτης ἐκρέμασεν πίτυος.

Βραβεῖς. οἱ ἐν τοῖς ἀγῶσι κήρυκες. [1] Σοφοκλῆς· Ὅσον γὰρ εἰσεκήρυξαν βραβεῖς δρόμον διαύλων πένταθλ', ἃ νομίζεται.

Βράβυλα.[2] τὰ καλούμενα Δαμασκηνά. Θεόκριτος· Ὄρπακες βραβύλοισι καταβρίθοντες ἔραζε. Ἀθήναιος δὲ ἐν τῷ δευτέρῳ τῶν Δειπνοσοφιστῶν φησι, Σέλευκον ὀνομάζειν κοκκύμηλα καὶ βράβυλα καὶ μάδρυα. εἴρηται δὲ βράβυλά τινα ὄντα, τὰ τὴν βορὰν ἐκβάλλοντα. ἐστι δὲ μαλακτικὰ τῆς γαστρός. εἴρηται δὲ καὶ μάδρυα, οἱονεὶ μαλόδρυά τινα ὄντα. Δαμασκηνὰ δὲ λέγεται κατ' ἐξοχὴν, διὰ τὸ ἐν Δαμασκῷ τῇ πόλει γεωργούμενα εὐθαλέστερα καὶ καλλίονα εἶναι.

Βραγχίδαι.[3] Οἱ ἐν Διδύμοις τῆς Μιλησίας οἰκοῦντες Ξέρξῃ χαριζόμενοι τὸν νεὼν τοῦ ἐπιχωρίου Ἀπόλλωνος τοῖς βαρβάροις προὔδοσαν· καὶ ἐσυλήθη τὰ ἀναθήματα πάμπλειστα ὄντα. δεδιότες οὖν οἱ προδόται τὴν ἐκ τῶν νόμων καὶ τὴν ἐν ἄστει τιμωρίαν, δέονται Ξέρξου μισθὸν λαβεῖν τῆς κακίστης ἐκείνης προδοσίας, μετοικισθῆναι ἐν χώρᾳ τινὶ Ἀσιανῇ. ὁ δὲ πείθεται, καὶ ἀνθ' ὧν εἶχε κακῶς καὶ ἀσεβῶς, ἔδωκεν αὐτοῖς οἰκεῖν ἔνθεν οὐκ ἔμελλον ἐπιβήσεσθαι τῆς Ἑλλάδος ἔτι, ἀλλ' ἔξω τοῦ δέους ἔσεσθαι τοῦ κατειληφότος αὐτούς τε καὶ τὸ ἐκείνων γένος. κᾆτα λαχόντες τὸν χῶρον, ἐν οἰωνοῖς οὐδαμῇ χρηστοῖς πόλιν ἐγείρουσι, καὶ τίθενται Βραγχίδας ὄνομα αὐτῇ, καὶ ᾤοντο μὴ μόνους ἀποδρᾶναι Μιλησίους, ἀλλὰ καὶ τὴν δίκην αὐτήν. οὐ μὴν ἐκάθευδεν ἡ τοῦ Θεοῦ πρόνοια. Ἀλέξανδρος γὰρ, ὅτε τὸν Δαρεῖον νικήσας τῆς Περσῶν ἀρχῆς ἐγκρατὴς ἐγένετο, ἀκούσας τὰ τολμηθέντα, καὶ μισήσας αὐτῶν τὴν τοῦ γένους διαδοχὴν, ἀπέκτεινε πάντας, κακοὺς εἶναι κρίνων τοὺς τῶν κακῶν ἐκγόνους, καὶ τὴν ψευδώνυμον πόλιν κατέσκαψε καὶ ἠφάνισε.

Βράγχη. πάθος περὶ τὰς ὗς γινόμενον. καὶ ζήτει ἐν τῷ Διάῤῥοια.

Βραδύς. ὁ μὴ ἀγχίνους. Κἀπιλήσμων καὶ βραδύς. [4] Ἀριστοφάνης Νεφέλαις. οὐ γὰρ ἐπὶ τῆς τοῦ σώματος κινήσεως παρείληπται νῦν, ἀλλὰ τὸ μὴ ἀγχίνουν καὶ νωθὲς τῆς διανοίας θέλει δηλοῦν.

Βράκανα. ἄγρια καὶ δύσπλυτα λάχανα.

Βράσσει. ζέει. ἀναβάλλει.

Βρασίδας,[5] ὁ Τέλλιδος, Λακεδαιμόνιος στρατηγὸς, Μεθώνην ἀποστᾶσαν πρὸς Ἀθηναίους πολεμήσας ἀνεκαλέσατο. ἠρίστευσε δὲ καὶ περὶ Πύλον στρατηγῶν, πρῶτος τῆς νηὸς ἐκπηδήσας· οὗ καὶ ἐτρώθη, καὶ [6] τὴν ἀσπίδα ἀπώλεσεν. ἐπὶ τούτοις σπονδαὶ ἐ-

Βραβεῖς. Certaminum & ludorum moderatores. Sophocles: *Ex omnibus enim certaminibus, quæ ludorum moderatores per præcones ſolito more indixerant,* [*victor diſceſſit.*]

Βράβυλα. Pruna, quæ vocantur Damaſcena. Theocritus: *Rami pondere brabylorum terram verſus curvati.* Athenæus vero libro ſecundo Dipnoſophiſtarum ait, Seleucum tradere, brabyla etiam vocari κοκκύμηλα & μάδρυα. Βράβυλα autem vocantur quaſi τὴν βορὰν ἐκβάλλοντα, i. e. alvum evacuantia. Ventrem enim laxant. Μάδρυα vero dicuntur, quaſi μαλόδρυα. Damaſcena denique appellantur per excellentiam, quod ea, quæ Damaſcus fert, reliquis ſint præſtantiora & pulchriora.

Βραγχίδαι. Branchidæ. Qui in Didymis Mileſiorum habitabant, Xerxi gratificantes, templum Apollinis, qui iſtic colebatur, Barbaris prodiderunt, quod tunc donariis quam plurimis ſpoliatum eſt. Proditores itaque leges civiumque ſuorum ultionem veriti, hanc peſſimæ proditionis mercedem a Xerxe petunt, ut in quendam Aſiæ locum transportentur. Ille annuit, & pro ſacrilegiis dedit ſedes inhabitandas, unde nunquam in Græciam redituri eſſent, ſed a timore, quo tenebantur, & ipſi ipſorumque poſteri immunes degerent. Regione itaque per ſortem diviſa, urbem malis avibus condunt & Branchidas vocant. Et jam non Mileſios tantum, ſed & ipſam Nemeſin ſe effugiſſe putabant. Verum Dei providentia neque hic dormivit. Alexander enim, devicto Dario, Perſarum potitus imperio, & inaudiens perpetratum facinus, odioque habens poſteros illorum, omnes interemit, exiſtimans etiam malos eſſe, qui ex malis ſint orti, & falſi nominis urbem evertit & ſolo æquavit.

Βράγχη. Morbus quidam ſuum. Quære in v. Διάῤῥοια.

Βραδύς. Hebes. Bardus: [*Cum ſenex ſim*] *oblivioſus & hebes.* Ariſtophanes *Nubibus.* Non enim de motu corporis vocabulum hoc nunc dicitur, ſed ingenium hebes & ſtupidum ſignificat.

Βράκανα. Olera agreſtia, & quæ non facile lavari poſſunt.

Βράσσει. Fervet. Effervеſcit. Ejicit.

Βρασίδας. Braſidas, Tellidis filius, dux Lacedæmoniorum, Methonem, quæ ad Athenienſes defecerat, bello recuperavit, & dux ad Pylum ſtrenue & fortiter rem geſſit, cum primus ex navi in terram deſiliiſſet; ubi & vulneratus eſt, & clypeum amiſit. Poſt hæc fœ-

---

[1] Σοφοκλῆς· Ὅσον γὰρ εἰσεκ.] Locus hic apud Sophoclem *Electra* pag. 112. ſic diſtinguitur & legitur:

——Ὅσων γὰρ εἰσεκήρυξαν βραβεῖς
Δρόμων διαύλων πεντάεθλ', ἃ νομίζεται.

Vide ibi Triclinium.

[2] Βράβυλα. τὰ καλούμενα Δαμασκ.] Confer cum hoc loco Athenæum lib. 11. pag. 49. 50. cujus veſtigia noſter ſecutus eſt.

[3] Βραγχίδαι. οἱ ἐν Διδύμοις τῆς Μιλ.] Totum hunc articulum de Branchidis ex libro Æliani *de Providentia*, qui hodie intercidit, depromptum eſſe exiſtimo; eademque eſt ſententia Kuhnii, qui locum hunc inter fragmenta Æliani retulit.

[4] Ἀριστοφάνης Νεφέλαις] Pag. 130. (66. Ed. Baſ. *P.*)

[5] Βρασίδας, ὁ Τέλλ.] De hoc, ejuſque rebus geſtis, legendus eſt Thucydides.

[6] Καὶ τὴν ἀσπίδα ἀπώλεσεν] Vide Tzetzem Chil. XII. cap. CDVIII.

γένοντο ἐνιαύσιοι, ἃς Ἀθηναῖοι λύειν ἤρξαντο. τὴν[1] δὲ Ἀμφίπολιν καὶ Θρᾴκην εὐδοκιμοῦντα αὐτὸν οἰκιστὴν ἀντὶ Ἄγνωνος ἐπεγράψαντο. ὁ δὲ πόλεμος ὁ μέχρι τῆς Βρασίδου καὶ Κλέωνος τελευτῆς ἔτη ἐπέσχε δέκα. [2]ἐκλήθη δὲ Ἀρχιδάμιος. † Αἰτίας δὲ περὶ αὐτοῦ προστιθέντες, ὡς φρονεῖ τὰ Βρασίδα. [3]ἀντὶ τῶν Λακεδαιμονίων.

Βρασμὸς γῆς. ὅταν καχλάζῃ μετὰ κινήματος. Ἐκτιναγμὸς δὲ, ὅταν ἀναρρίπτηται.

Βραυρών. τόπος τῆς Ἀττικῆς, ἐν ᾧ τὰ Διονύσια ἤγοντο, καὶ μεθύοντες πολλὰς πόρνας ἥρπαζον. [4]Καὶ Ἀριστοφάνης· Ὦ δέσποτα, ὅσην ἔχεις τὴν πρωκτετηρίδα. εἴρηται δὲ, διὰ τὸ διὰ πενταετηροῦς χρόνου ἄγεσθαι τὰς θεωρίας τῶν Διονυσίων. ἐστὶν ἐν τῷ Ἄρκτος.

Βραχιόλια. ὅτι τὰ παρ' ἡμῖν βραχιόλια χλιδῶνες ὀνομάζονται.

Βραχίων. [5] τροπικῶς ἡ δύναμις, ἐπειδὴ δι' αὐτοῦ ἐργάζεσθαι πεφύκασιν οἱ ἄνθρωποι. Δαβίδ· Ὅτι βραχίονες ἁμαρτωλῶν συντριβήσονται.

Βραχμάν. βασιλεὺς, ὁ καὶ τῇ χώρᾳ δοὺς τὴν προσηγορίαν. ἔγραψε νόμους Βραχμάνων, καὶ πολιτείαν τοῦ αὐτοῦ ἔθνους ἰδίᾳ διαλέκτῳ.

Βραχμᾶνες. [6] ἔθνος ἐστὶν εὐσεβέστατον, καὶ βίον ἀκτήμονα σφόδρα κεκτημένον, ἐς νῆσον τοῦ ὠκεανοῦ κατοικοῦν, καὶ [7] τὸν κλῆρον τοῦτον ἐκ τῶν τοῦ Θεοῦ κριμάτων κληρωσάμενον. ἐν ᾧ τόπῳ παραγενόμενος Ἀλέξανδρος ὁ Μακεδὼν, καὶ στήσας στήλην, ἐπέγραψεν· Ἐγὼ μέγας Ἀλέξανδρος ὁ βασιλεὺς ἔφθασα μέχρι τούτου. ἐν ᾗ νήσῳ κατοικοῦσιν οἱ μακρόβιοι. ζῶσι γὰρ ρν' ἔτη διὰ τὴν πολλὴν καθαρότητα καὶ εὐκρασίαν τοῦ ἀέρος. [8] παρ' οἷς οὐδὲν τετράποδόν ἐστιν, οὐ γεώργιον, οὐ σίδηρος, οὐκ οἰκοδομὴ, οὐ χρυσὸς, οὐκ ἄργυρος, οὐκ ἄρτος, οὐκ οἶνος, οὐ κρεωφαγία· ἀλλὰ ἔχοντες τὸν ὑγρὸν καὶ γλυκὺν καὶ εὔκρατον ἀέρα, καὶ πάσης ἀρρωστίας καὶ φθορᾶς ἀπηλλαγμένον, καὶ μικρᾶς ὀπώρας καὶ διειδεστάτου ὕδατος ἀπολαύοντες, σέβονται γνησίως Θεὸν, καὶ ἀδιαλείπτως προσεύχονται. καὶ [9] οἱ μὲν ἄνδρες πρὸς τὸ μέρος τοῦ ὠκεανοῦ προσπαροικοῦσιν· αἱ δὲ γυναῖκες ἐντεῦθέν εἰσι τοῦ Γάγγου, παραρρέοντος εἰς τὸν ὠκεανὸν ἐπὶ τὸ μέρος τῆς Ἰνδίας. οἱ οὖν ἄνδρες περῶσι πρὸς τὰς γυναῖκας Ἰουλίῳ καὶ Αὐγούστῳ μηνί· παρ' οἷς ὑπάρχουσι ψυχρότεροι, τοῦ

dus annuum ictum eſt, quod Athenienſes violare cœperunt. Amphipolitæ vero Thraciæ vicini, gloria viri permoti, loco Agnonis conditorem urbis eum adſciverunt. Bellum autem illud, uſque Braſidæ & Cleonis obitum geſtum, decem annos duravit, & Archidamium appellatum fuit. † *Cauſas addentes, eum Braſidæ favere.* Id eſt, Lacedæmoniis.

Βρασμὸς γῆς. Terræ motus, quo terra ita quatitur, ut aquæ efferveſcentis inſtar ſubſultet. Ἐκτιναγμὸς vero, cum terra in altum jactatur.

Βραυρών. Brauron, locus Atticæ, in quo Dionyſia celebrabantur, & homines ebrii multa ſcorta rapiebant. Ariſtophanes: *O Domine, quantam habes proctopenteterida.* Hoc autem ideo dictum, quod Dionyſiorum ſpectacula quinto quoque anno celebrarentur. Vide in v. Ἄρκτος.

Βραχιόλια. Brachiorum ornamenta, alias χλιδῶνες dicta.

Βραχίων. Brachium. Sic tropice potentia vocatur, quoniam brachio homines opus peragere ſolent. David: *Peccatorum brachia conterentur.*

Βραχμάν. Brachman, Rex, qui etiam regioni nomen dedit. Scripſit leges Brachmanum, & de ejuſdem gentis Republica, lingua vernacula.

Βραχμᾶνες. Brachmanes. Gens eſt religioſiſſima, nullaſque opes poſſidens, & habitans in inſula Oceani, quam Deus velut ſortem ipſis adtribuit. Eo cum perveniſſet Alexander Macedo, columnam erexit, cui hæc verba inſcripſit: EGO MAGNVS ALEXANDER REX HUCUSQVE PERVENI. In hac inſula homines longævi habitant. Vivunt enim annos centum & quinquaginta, propter inſignem puritatem & temperiem aeris. Apud hos nulla quadrupes eſt, non ager, qui colatur, non ferrum, non ædificium, non ignis, non aurum, non argentum, non panis, non vinum, non carnis eſus: ſed, cum habeant liquidum & ſuavem & bene temperatum aerem, & ab omni morbo & corruptione immunem, paucis pomis & aqua limpidiſſima fruentes, Deum ſincere colunt, & continenter preces fundunt. Ac viri quidem in parte, quæ Oceano vicina eſt, habitant. Mulieres vero ultra Gangem degunt, qui fluvius in parte quadam Indiæ in Oceanum ſe exonerat. Viri igitur ad uxores trajiciunt Julio & Auguſto menſibus, qui apud illos ſunt frigidiores, Sole ad nos & Sepἡλίου πρὸς ἡμᾶς καὶ Βοῤῥᾶν ὑψωθέντος. οἵγε καὶ εὐκαρπότεροι[1] γινόμενοι πρὸς οἶστρον αὐτοὺς κινεῖν λέγουσιν· [2]ὅπερ δὴ καὶ τὸν Νεῖλόν φασιν οὐ κατὰ ταυτὸ τοῖς ἄλλοις ποταμοῖς πλημμυρεῖν, ἀλλὰ μεσοῦντος τοῦ θέρους ἐπικλύζειν τὴν Αἴγυπτον, [3]ὥστε παντὸς ἡλίου τὴν βορειοτέραν διαθέοντος ζώνην, καὶ τοῖς ἄλλοις μὲν παρενοχλοῦντος ποταμοῖς, καὶ συγκρύπτοντος, τούτου δὲ πλεῖστον ἀπέχοντος. καὶ ποιήσαντες μετὰ τῶν γυναικῶν αὐτῶν ἡμέρας μʹ, πάλιν ἀντιπερῶσι. τῆς δὲ γυναικὸς δύο παῖδας γεννησάσης, οὐκέτι ὁ ἀνὴρ ἀντιπερᾷ πρὸς αὐτήν. οὔτε μὴν ἐκείνη πλησιάζει ἄλλῳ, διὰ πολλὴν εὐλάβειαν. εἰ δὲ συμβῇ στεῖραν ἐν αὐταῖς εὑρεθῆναι, μέχρι πενταετοῦς διαπερῶν ὁ ἀνὴρ αὐτῆς καὶ συγγενόμενος αὐτῇ, ἐὰν οὐ τέκῃ, οὐκέτι πλησιάζει αὐτῇ. διὰ τοῦτο οὐδὲ πολυάνθρωπός ἐστιν αὐτῶν ἡ χώρα, διὰ τὴν ὀλιγογονίαν.

---

[1] Τὴν δὲ Ἀμφίπολιν καὶ Θρᾴκην εὐδοκιμοῦντα αὐτὸν οἰκ.] Locus hic eſt mutilus, quem ſic ſupplendum puto: Περὶ δὲ τὴν Ἀμφίπολιν καὶ Θρᾴκην εὐδοκιμοῦντα αὐτὸν οἱ Ἀμφιπολῖται οἰκιστὴν &c.

[2] Ἐκλήθη δὲ Ἀρχιδάμιος] Vide ſupra v. Ἀρχιδάμιος πόλεμος.

[3] Ἀντὶ τῶν Λακεδαιμονίων] Lege, ἀντὶ τοῦ τὰ Λακεδαιμονίων.

[4] Καὶ Ἀριστοφάνης· Ὦ δέσποτα, ὅσην ἔχεις τὴν πρ.] Apud Ariſtophanem in *Pace* pag. 689. (468. Ed. Baſ. *P.*) locus hic ita legitur & diſtinguitur:

——————Ὦ δέσποτα,
Ὅσην ἔχεις τὴν πρωκτοπεντετηρίδα.

Vide ibi Scholiaſtam.

[5] Βραχίων. τροπικῶς ἡ δύναμις, ἐπειδὴ δι' αὐτ.] Hæc deſcripta ſunt ex Theodoreto ad Pſalm. xxxvi. v. 18. ut Pearſonius obſervavit.

[6] Βραχμᾶνες. ἔθνος ἐστὶν εὐσεβέστατον καὶ βίον ἀκτ.] Omnia, quæ hic de Brachmanibus referuntur, αὐτολεξεὶ pene apud Palladium de Brachmanibus quoque leguntur, quem Suidas procul dubio conſuluit.

[7] Καὶ τὸν κλῆρον τοῦτον ἐκ τῶν τοῦ Θεοῦ κρ. κληρ.] Palladius pag. 7. Ἔλεγεν οὖν οὗτος, ὅτι οἱ Βραχμᾶνες ἔθνος ἐστὶν οὐκ ἀποτασσόμενον ἀπὸ προαιρέσεως, ὡς οἱ μοναχοὶ, ἀλλὰ λαχὸν τὸν κλῆρον τοῦτον ἄνωθεν, καὶ ἐκ Θεοῦ κριμάτων &c.

[8] Παρ' οἷς οὐδὲν τετράποδόν ἐστιν, οὐ γεώργ.] Palladius pag. 8. Παρ' οἷς οὐδὲν τετράποδον ὑπάρχει, οὐ γεώργιον, οὐ σίδηρος, οὐκ οἰκοδομὴ, οὐ πῦρ, οὐκ ἄρτος, οὐκ οἶνος, οὐχ ἱμάτιον, οὐκ ἄλλο τι τῶν εἰς ἐργασίαν συντελούντων, ἢ ἀπόλαυσιν συντεινόντων. ἔχουσι δὲ ἀέρα λιγυρόν τι, καὶ εὔκρατον, καὶ πάνυ κάλλιστον, σεβόμενοι τὸν Θεόν. καὶ γνῶσιν μὲν ἔχοντες οὐχ οὕτως δὲ λεπτὴν, μήτι δὲ διευκρινεῖν οὕτω τοὺς τῆς προνοίας λόγους δυνάμενοι, ὅμως εὔχονται ἀδιαλείπτως &c.

[9] Καὶ οἱ μὲν ἄνδρες πρὸς τὸ μέρος τοῦ ὠκεανοῦ προσπαρ.] Hæc, & quæ ſequuntur, αὐτολεξεὶ pene leguntur apud modo laudatum Palladium pag. 9.

Βραχυμυθίας. βραχυλογίας. καὶ Βραχέσιν, ἀντὶ τοῦ εὐτελέσι.

Βραχυτελῆ. σύντομον. μικρόν.

Βραχυφεγγίτης. ὁ ὀλιγοφαής. Καὶ [4] βραχυφεγγίτου λύχνου σέλας.

Βρέγμα, καὶ βρεγμός. τὸ ὑπερμετώπιον μέρος.

Πλήξας[5] αἰγανέᾳ βρέγμα κυναγέτιδι.

ἐν Ἐπιγράμμασι.

Βρεκεκὲξ κοὰξ κοάξ. ἐφύμνιον παρὰ Ἀριστοφάνει ἐν Βατράχοις. μίμημα φωνῆς βατράχων.

Βρέμει. ταράσσει. ἠχεῖν ποιεῖ.

Βρενθύεσθαι. διὰ θυμὸν μετεωρίζεσθαι, ἢ προσποιεῖσθαι ὀργίζεσθαι. [6]Ὁ δὲ σοβαρευόμενος πολλῷ μᾶλλον κατεβρενθύετο. καὶ Βρενθύεται, ἐπαίρεται. Βρένθος δὲ εἶδος μύρου, ᾧ χριόμεναι αἱ γυναῖκες μέγα φρονοῦσι. καὶ Βρενθύῃ, σεμνύνῃ, καὶ μέγα φρονεῖς ἐφ' ἑαυτῷ. † [7]Οἱ γὰρ ἀποδεδωκότες ἑαυτοῖς, σοβαρῶς τε βαδίζουσιν. ὡς τοῦ μὲν Προδίκου ὄντος σοφοῦ· τοῦ δὲ Σωκράτους κενὴν μόνον ἐπὶ σοφίᾳ δόξαν καρπουμένου. Ἀριστοφάνης[8] Νεφέλαις·

——————— Σοὶ δὲ
Ὅτι βρενθύῃ ἐν ταῖσιν ὁδοῖς, καὶ τὼ 'φθαλμὼ
παραβάλλῃ.

Ἀποσεμνύνεις σεαυτὸν τῷ σχήματι, καὶ ταυρηδὸν ὁρᾷς, ἢ ἀλαζονικῶς. ἡ μεταφορὰ ἀπὸ βρενθείου μύρου. καὶ Βρενθυόμενος, ἐπαιρόμενος, μέγα φρονῶν. [9]Ἀγα-

tentrionem adſcendente. Iidem etiam cum magis temperati ſint, vehementem Veneris appetitum in illis excitare dicuntur: uti etiam Nilum ferunt non cæterorum fluminum more exundare, ſed media æſtate Ægyptum aquis obruere: eo nimirum tempore, quo Sol Zonam Borealem peragrat, & alios quidem fluvios æſtu ſuo urit & exſiccat; ab hoc vero quam longiſſime diſtat. Poſtquam igitur XL dies apud uxores exegerunt, in inſulam ſuam rurſus trajiciunt. Poſtquam vero uxor duos peperit infantes, vir ad eam non amplius accedit: neque illa cum alio viro concumbit, quoniam pudicitia apud eas ſumma religione colitur. Si vero contingat ſterilem inter eas reperiri, ejus maritus ad quinque annos ad eam trajicit, ejuſque conſuetudine utitur: poſt quod tempus, ſi non pepererit, ad eam non amplius accedit. Quapropter regio illorum non abundat hominum numero, ob prolis paucitatem.

Βραχυμυθίας. Breviloquentiæ. Et βραχέσιν, vilibus.

Βραχυτελῆ. Compendioſum. Brevem. Parvum.

Βραχυφεγγίτης. Exiguum lumen præbens. *Et ſplendor lucernæ tenue lumen præbentis.*

Βρέγμα, & βρεγμός. Sinciput. In Epigrammate: *Cum ſinciput jaculo venatorio percuſſiſſet.*

Βρεκεκὲξ κοὰξ κοάξ. Eſt imitatio vocis ranarum apud Ariſtophanem in *Ranis*.

Βρέμει. Fremit. Sonitum edit.

[1] τξέ] Sic etiam habent MSS. Pariſ. & omnes Editt. præcedentes. Sed cum diviſio quatuor antiquiſſimarum tribuum Atticarum in φατρίας & γένη ad imitationem anni facta eſſet, ita ut ipſæ quidem tribus, anni temporibus, φατρίαι menſibus, & γένη diebus numero reſponderent; apparet utique pro τξέ hic apud Suidam ſcribendum eſſe τξ', quoniam quatuor illæ tribus CLX tantum γένη habebant, ut ex iis, quæ Suidas hic tradit, manifeſte patet. Plura hac de re diſputat Mauſſacus ad Harpocrationem v. Γεννῆται, quem conſulat Lector.

[2] Γεννῆται. οἱ τοῦ αὐτοῦ γένους κοιν.] Ex Harpocratione.

[3] Ἀρτέμιος, ὁ καὶ Ἀναστάσιος, βασιλ. Ῥωμ.] Hæc, & quæ ſequuntur, αὐτολεξεὶ etiam leguntur ſupra v. Ἀρτέμιος.

[4] Ὁ δὲ γενόμενος ἐξ ὀφθαλμῶν] Hæc verba in Editt. præcedentibus deſiderantur, quæ ex MSS. Pariſ. revocavi. Eadem etiam verba Pearſonius in codice quodam MS. ſe reperiſſe teſtatur.

[5] Ὅτε σοὶ παγχάλκων ἀνταία γενύων.] Hæc ſunt verba Sophoclis *Electra* pag. 90. ut Portus monuit.

Γένυσι. σιαγόσιν. ἐν [1] Ἐπιγράμματι·

Χ᾽ ὦ μὲν ἐνέκλεισεν φονίαν γένυν, ἐκ δὲ τενόντων
Ἔνθους ῥομβητὴν ἐστροφάλιζε φόβην.

Γεοῦχος. ὁ Ποσειδῶν. ὁ τὴν γῆν ἔχων. Γαιήοχος δέ.

Γεωγραφία. ἡ περιήγησις.

Γεώδης. ὁ ἐκ τῆς γῆς.

Γεώλοφον. [2] ὀρεινόν. [3] ὄρος. ὕψωμα γῆς. καλοῦσι δ᾽ οὕτω καὶ τὸν παχὺν καὶ ἀναίσθητον ἄνθρωπον.

---Πέπατο [4] γὰρ οὐ μέγα τοῦτο
Κλήριον ἐν λυπρῇ τῇδε γεωλοφίῃ.

Γεωμέτρης. ὁ τὴν γῆν μετρῶν.

Γεωμετρία. ἐστὶν ἐπιστήμη τοῦ ἐπιστητοῦ, ἢ ὑποληπτοῦ. ἐπιστητὰ γὰρ καὶ ὑποληπτὰ καὶ τὰ ὧν ἐστιν ἡ γεωμετρία ἐπιστήμη. ταύτην δὲ τὴν ἐπιστήμην ἐφεῦρον Αἰγύπτιοι, ἐκ τοῦ ἀπλέτου τῆς γῆς καὶ τῆς διαιρέσεως τῶν χώρων προδιδαχθέντες, εἶτα καὶ συγγράψαντες.

Γεωμόριον. γεώργιον. ἐν Ἐπιγράμματι·

---Ἐφ᾽ [5] αἷς πολὺν ἔβρασεν ἄντλον
Κριθῶν, καὶ λιπαρὰν εἶδε γεωμορίην.

Γεωμόρος. ὁ περὶ τὴν γῆν κοπιῶν.

Γεωπεῖναι. οἱ μικρὰν καὶ λυπρὰν ἔχοντες γῆν. παρὰ δὲ Ἡροδότῳ οἱ γῆς πεινῶντες καὶ ἀπορούμενοι. καὶ Γεωπόνος, ὁ τὴν γῆν πονῶν καὶ ἐργαζόμενος.

Γεωπός. [6] ὁ γεωργός.

Γεώργιος, [7] διάκονος τῆς μεγάλης Ἐκκλησίας, καὶ χαρτοφύλαξ, τὸ ἐπίκλην Πισίδης. [8] Ἐξαήμερον δι᾽ Ἰάμβων εἰς ἔπη τρισχίλια. εἰς Ἡράκλειον τὸν βασιλέα, καὶ εἰς τὸν κατὰ Περσῶν πόλεμον. [9] ἔπι τε Ἀβαρικὰ καταλογάδην. Ἐγκώμιον εἰς [10] τὸν Μάρτυρα Ἀναστάσιον.

Γεῶρες. οἱ γεωφύλακες.

Γεωφάνιον. [11] χωρίον, ἐν ᾧ μέταλλον.

Γεράνεια. πόλις. καὶ Βιστονία, ἐπίθετον τῆς γεράνου. καί ἐστιν ἐν τῷ Βιστονία.

Γέρα. οὐδετέρως τιμαί. Καὶ ἐπειδὴ κεκάθαρτο τῷ βασιλεῖ ὁ στρατὸς, καὶ τὰ γέρα σὺν δίκῃ νενέμητο ἑκάστοις, τηνικαῦτα ἔγνω ἐξελαύνειν ἐπὶ τὸν πόλεμον.

Γένυσι. Genis. Maxillis. In Epigrammate: *Et ille quidem* (*leo*) *cædis ſitientem rictum clauſit, & fanatica cervicis jactatione jubam rotavit.*

Γεοῦχος. Qui terram continet. Eſt epithetum Neptuni. Γαιήοχος vero, [per αι diphthongum ſcribitur.]

Γεωγραφία. Terræ deſcriptio.

Γεώδης. Terreſtris. Terrenus.

Γεώλοφον. Mons. Collis. Tumulus. Sic etiam hominem craſſum & ſtupidum vocant. [In Epigrammate:] *Poſſidebat enim exiguum hoc prædium, in ſterili colle ſitum.*

Γεωμέτρης. Geometra. Terræ menſor.

Γεωμετρία. Geometria eſt ſcientia ejus, quod ſub ſcientiam vel opinionem cadit. Talia enim ſunt ea, circa quæ Geometriæ ſcientia verſatur: quam invenerunt Ægyptii, eamque literis tandem mandarunt, cum ob vaſtam camporum planitiem & agrorum dividendorum neceſſitatem arti huic operam dediſſent.

Γεωμόριον. Ager, qui colitur. In Epigrammate: *In qua* [*area*] *magnum hordei acervum trivit, & pinguem vidit meſſem.*

Γεωμόρος. Agricola.

Γεωπεῖναι. Qui exiguum & ſterilem habent agrum. Apud Herodotum vero ſic appellantur illi, qui agro indigent, ejuſque inopia laborant. Et γεωπόνος, agricola.

Γεωπός. Agricola. Colonus.

Γεώργιος. Georgius, Magnæ Eccleſiæ Diaconus & Chartophylax, cognomento Piſides. Scripſit Hexaemerum, ſive de opificio mundi: quod opus tribus fere millibus verſuum Iambicorum conſtat. De Heraclio Imperatore, & bello Perſico. Adhæc, Abarica, oratione ſoluta: & Encomium Anaſtaſii Martyris.

Γεῶρες. Terræ cuſtodes.

Γεωφάνιον. Locus, in quo metalla naſcuntur.

Γεράνεια. Gerania, urbs. Et Biſtonia, epithetum gruis. Vide in voce Βιστονία.

Γέρα. Eſt generis neutrius, ſignificans honores, præmia. *Rex luſtrato exercitu, & præmiis pro meritis cuique diſtributis, ad bellum proficiſci decrevit.*

---

[1] Ἐν Ἐπιγράμματι] Anthol. lib. 1. cap. xxxiii. pag. 70. (49. Ed. Henr. Steph. P.)

[2] Γεώλοφον. ὀρεινόν. ὄρος. ὕψωμα γ.] Eadem habet Etymologus v. Γαῖα.

[3] Ὀρεινόν] Hæc vox ut ſupervacanea delenda eſt: nec agnoſcit eam Etymologus.

[4] Πέπατο γὰρ οὐ μέγα τοῦτο κληρ.] Fragmentum hoc decerptum eſt ex Epigrammate quodam inedito, quod in Anthologia MS. Zonæ tribuitur. Epigramma illud alibi cum Lectore communicabimus.

[5] Ἐφ᾽ αἷς πολὺν ἔβρασεν ἄντλον] Fragmentum hoc auctius legitur ſupra v. Ἀντλία.

[6] Γεωπός] Vocem hanc ſuſpecto habeo, quæ forſan ex γεωπόνος corrupta eſt.

[7] Γεώργιος, διάκονος τῆς μεγ.] De hoc Georgio multa congeſſit Leo Allatius in Diatriba *de Georgiis*, quem conſulat Lector.

[8] Ἐξαήμερον δι᾽ Ἰάμβων εἰς ἔπη τρισχ.] Exſtat & hodie opus illud Piſidis, ſed quod tantum verſus 1880, non vero 3000 complectitur, quamvis nec principium nec finis ei deſit, ut Pearſonius etiam monuit. Reliqua vero opera Piſidis, quæ Suidas hic memorat, hodie interciderunt, vel ſaltem in tenebris bibliothecarum adhuc latent.

[9] Ἔπι τε Ἀβαρικὰ καταλογάδην] In MSS. Pariſ. locus hic ita legitur & diſtinguitur, ἔπι τε Ἀβαρικά· καὶ καταλογάδην ἐγκώμιον &c. Hanc lectionem, quam veram eſſe puto, ſi amplectamur, Abarica ſcripta fuerint verſibus; Encomium vero Martyris Anaſtaſii oratione proſa.

[10] Εἰς τὸν Μάρτυρα Ἀναστάσιον] Ab hac lectione omnino diſcrepat MS. Pariſ. A. qui ſic habet, εἰς τὸν μείζω Ἀθανάσιον. Cogitet Lector & inquirat, utrum lectio iſta vulgatæ præferenda ſit.

[11] Γεωφάνιον. χωρίον ἐν ᾧ μ.] Ex Harpocratione: ad quem vide Mauſſacum. Confer etiam Etymologum.

Γέῤῥα. παρὰ Σικελοῖς τὰ γυναικεῖα καὶ ἀνδρεῖα αἰδοῖα.

Γέῤῥα.[1] Περσικὰ [2] μέν ἐστι κυρίως ὅπλα τὰ γέῤῥα· καταχρηστικῶς δὲ ἅπαν σκέπασμα, εἴτε δερμάτινον, εἴτε ἄλλης τινὸς ὕλης γέῤῥον ἐλέγετο. διὸ καὶ Δημοσθένης τὰ τῶν σκηνῶν σκεπάσματα καὶ περικαλύμματα ἐν τῷ ὑπὲρ Κτησιφῶντος γέῤῥα καλῶν, ἐμπίπρασθαι λέγει. λέγοιτ᾽ ἂν ὁμοίως γέῤῥα καὶ τὰ τῶν σκηνῶν περιφράγματα.

Γεῤῥάδια. στρωτηρίδια.

Γεράνδρυον. παλαιὸν φυτὸν καὶ γεγηρακός. ἢ τὸ ἐν τῇ ῥίζῃ συμφυὲς καὶ ἐξηραμμένον. εἴρηται παρὰ τὴν δρῦν. δοκεῖ γὰρ πρῶτον φυτὸν γενέσθαι δρῦς. ὅθεν δρυμοὺς ἐκάλουν τοὺς δασεῖς τόπους, ἐξ οἵων δή ποτε ὄντας φυτῶν. καὶ δρυφάκτους, τοὺς ἀπὸ ξύλων περιωρισμένους.

Γεράνδρυον[3] μεταφυτευόμενον. ἐπὶ τοῦ ἀδυνάτου. παρεγγυᾷ ὅτι μὴ δεῖ τοὺς παρηβηκότας προσάγειν εἰς τὰ τῶν ἀκμαζόντων ἔργα.

Γερανία. ὄρος τῆς Μεγαρίδος.

Γέρανος. τὸ ὄρνεον, ἐπίκοινον τοῦ γένους. Βάβριος·

Λίβυσσα γέρανος. ὁ δὲ ταὼς εὐπήληξ
Χλωρὴν ἀεὶ βόσκοιτο χείματος ποίην.

Γέρανοι λίθους καταπεπωκυῖαι. ἐπὶ τῶν προνοητικῶς τι ποιούντων.[4] αἱ γὰρ γέρανοι διὰ τὸ ἐν ὕψει πέτεσθαι, καὶ τῇ εἰς εὐθὺ ὁρμῇ τὴν ἐπὶ τὰ κάτω θέαν ἐμποδίζεσθαι, λίθους βαστάζουσιν, ὅπως κάμνουσαι τῇ πτήσει ῥίπτοιεν, καὶ αἴσθοιντο, πότερον ἐπὶ γῆς ἢ θαλάττης φέρονται. καὶ εἰ μὲν ἐπὶ θάλατταν ἥκοι ὁ λίθος, ἀνύουσι τὴν ὁδόν· εἰ δὲ ἐπὶ γῆς, ἀναπαύονται. τοῦτό φησιν Ἀριστοφάνης· Γέρανοι λίθους καταπεπωκυῖαι.

Γεραρόν. ἔντιμον. ἢ πρεσβύτερον.

Γέρας. ἀμοιβαί. τιμαί. ἀνταποδόσεις.

Γέρασα. πόλις τῆς κοίλης Συρίας. ὁ πολίτης, Γερασηνός.

Γεργέριμον.[5] τὴν ἐν τῷ δένδρῳ πεπανθεῖσαν ἐλαίαν. Πίτυριν τε, καὶ ἣν ἀπεθήκατο λευκήν. τουτέστι, τὴν συνθλασθεῖσαν, καὶ οὕτως ἀποτεθεῖσαν ἐλαίαν. εἰν ἁλὶ δὲ νήχεσθαι φθινοπωρίδα τὴν κολυμβάδα λέγει.

Γεργεσαῖος. ἀπὸ τόπου. καὶ Γεργεσηνός.

Γέργηθες.[6] ὄνομα πόλεως. ἢ ἡ τύρβη, καὶ οἱ χειρώνακτες οὕτω καλοῦνται[7] παρὰ τοῖς Μιλησίοις τοῖς ἐν περιβολῇ. τουτέστι, τοῖς πλουσίοις.

Γέῤῥα. Apud Siculos partes genitales tam viri quam mulieris.

Γέῤῥα. Proprie ſic vocantur ſcuta Perſica. Abuſive vero & quodvis tegumentum, ſive ex pellibus, ſive ex alia aliqua materia confectum, γέῤῥον appellabatur. Quamobrem etiam Demoſthenes in oratione pro Cteſiphonte ſcenarum tegumenta & vela γέῤῥα vocans, ea incenſa eſſe dicit. Γέῤῥα etiam dici poſſunt ſcenarum ſepta.

Γεῤῥάδια. Parvæ crates.

Γεράνδρυον. Arbor annoſa & ſenio confecta. Vel, cujus radix concreta eſt & arida. Dicta eſt vox iſta a δρῦς, quercus; quoniam quercus arbor omnium prima fuiſſe videtur. Hinc quoque δρυμοὺς vocabant ſylvas, quaſcunque etiam arbores haberent. Et δρυφάκτους, ſepta lignea, vel cancellos ligneos.

Γεράνδρυον μεταφ. *Vetus arbor tranſplantata* Dicitur de eo, quod fieri non poteſt. Monet autem proverbium, munera juniorum non eſſe ſenibus injungenda.

Γερανία. Gerania, mons Megaridis.

Γέρανος. Grus. Eſt generis epicœni. Babrius: *Libyſſa grus. Pavo vero pulchra criſta decorus tempore hyemis viridi ſemper paſcatur herba.*

Γέρανοι λίθους καταπ. Grues, quæ lapillos deglutiverunt. Dicitur de illis, qui prudenter & provide aliquid agunt. Grues enim quia in ſublimi volant, & recto itinere velociter pergunt, ea, quæ infra ſunt, cernere nequeunt: quæ ratio eſt, quare lapillos geſtent, quos volando laſſæ abjiciunt, ut cognoſcant, utrum ſupra terram, an vero mare ferantur. Et ſi quidem lapis in mare deciderit, iter cœptum continuant; ſin in terram, requieſcunt. Hæc eſt mens Ariſtophanis, cum ait: *Grues, quæ lapillos deglutiverunt.*

Γεραρόν. Honoratum. Venerabile. Vel, antiquius.

Γέρας. Remuneratio. Honor. Præmium.

Γέρασα. Geraſa, urbs Cœleſyriæ. Civis, Geraſenus.

Γεργέριμον. Olivam, quæ in arbore maturuit. [Callimachus: *Olivam ſponte decidentem*] *& vilem, quamque repoſuit, ut in muria natet, albam autumnalem.* Id eſt, olivam contuſam, & ſic repoſitam. Εἰν ἁλὶ νήχεσθαι φθινοπωρίδα vero eam appellat, quam alii κολυμβάδα, i. e. in muria natantem vocant.

Γεργεσαῖος. Gergeſæus. Nomen a loco deductum. Item Gergeſenus.

Γέργηθες. Gergethes. Nomen urbis. Vel vilis turba operariorum & opificum ſic a divitibus Mileſiis appellabatur.

---

[1] Γέῤῥα. Περσικὰ μέν ἐστι κυρ.] Ex Harpocratione. Vide etiam paulo inferius v. Γέῤῥοιν.

[2] Περσικὰ ἐστι μὲν κυρίως ὅπλα] Verum id eſſe ex Herodoto conſtat; quem vide lib. IX. pag. 339.

[3] Γεράνδρυον μεταφυτευόμενον. ἐπὶ τοῦ ἀδ.] Ex Zenobio.

[4] Αἱ γὰρ γέρανοι διὰ τὸ ἐν ὕψει π.] Hæc, & quæ ſequuntur, ſunt verba Scholiaſtæ Ariſtophanis ad *Aves* pag. 594. (412. Ed. Baſ. *P.*)

[5] Γεργέριμον. τὴν ἐν τῷ δένδρῳ πεπ.] Locus hic eſt mutilus, quem ſic lego & ſuppleo: Γεργέριμον. τὴν ἐν τῷ δένδρῳ πεπανθεῖσαν ἐλαίαν. Καλλίμαχος·

Γεργέριμον, πίτυρίν τε, καὶ ἣν ἀπεθήκατο λευκὴν
Εἰν ἁλὶ νήχεσθαι φθινοπωρίδα.

Τουτέστι τὴν συνθλασθεῖσαν &c. Confer Athenæum lib. II. pag. 56. ex quo diſcimus, fragmentum, quod Suidas hoc loco affert, ex Callimacho depromptum eſſe.

[6] Γέργηθες. ὄνομα πόλεως] Imo Γέργις, vel Γέργιθος. Vide Stephanum Byzantium.

[7] Παρὰ τοῖς Μιλησίοις τοῖς ἐν περιβ.] Vide Athenæum lib. XII. pag. 524. & infra v. Περιβολή.

Γέῤῥος.

Γέρδιος.[1] ὑφάντης. καὶ παρ' ἡμῖν ἡ Γερδία.

Γεραιά. ἡ γραῦς. καὶ Γεραιαὶ, αἱ τῷ Διονύσῳ ἱερωμέναι γυναῖκες.

Γεραιός. ἔντιμος. καὶ ὁ ῥυτίδων ἀνάπλεως. [2] ἐν Ἐπιγράμματι·

Ῥοιὴν ξανθοχίτωνα, γεραιόφλοιά τε σῦκα.

καὶ αὖθις·

--- Οἷς ὁ γεραιὸς
Λαρότερον μαλακῶν ἔπνεεν ἐκ στομάτων.

Γεραίρειν. τιμᾶν. δοξάζειν. καὶ Γέραιρε, δόξαζε, τίμα. καὶ παροιμία· Γέραιρε σαυτόν. ἀντὶ τοῦ, εὔφραινε σαυτὸν μεγαλορρημονῶν.

Γεραιστός. ὄνομα λιμένος.

Γεραίτερος. παλαιότερος.

Λόγος [3] γέ τοι τίς ἐστι τῶν γεραιτέρων·
Ὅσ' ἀνόητα κἂν ἢ μῶρα βουλευσώμεθα,
Ἅπαντ' ἐπὶ τὸ βέλτιον ἡμῖν ξυμφέρειν.

Ποσειδῶν γὰρ καὶ Ἀθηνᾶ ἐφιλονείκησαν περὶ τῆς Ἀττικῆς, καὶ νικῆσαι τὴν Ἀθηνᾶν. ἡττηθέντα δὲ τὸν Ποσειδῶνα καὶ λυπηθέντα καταράσασθαι τῇ πόλει, καὶ λέγειν αὐτὸν, ὅτι γένοιτο τοὺς Ἀθηναίους ἀεὶ [4] κακῶς βουλεύεσθαι. ἀκούσασαν δὲ τὴν Ἀθηνᾶν τὰς κατάρας, προσθεῖναι, ὅτι κακῶς βουλεύσασθαι, καὶ ἐπιτυγχάνειν.

Γερήνιος. ἔντιμος γέρων. ἢ ἐν τῇ Γερήνῃ.

Γέρης.[5] ὄνομα κύριον πένητος καὶ φαλακροῦ, ἔθνους Χαόνων. διεβάλλετο δὲ εἰς μαλακίαν. καὶ [6] Ἀριστοφάνης·

Σοὶ δὲ φίλος τίς ἐστιν ἄλλος ἢ Γέρης;

οὐκ ἔστι δὲ παρὰ τὸ γῆρας.

Γερμανικός. ὁ Φράγγος. οἱ Γερμανοὶ Κελτοὶ λέγονται, οἱ ἀμφὶ τὸν Ῥῆνον ποταμόν εἰσι.

Γέῤῥον. ὅπλον.[7] Ξενοφῶν· Γέῤῥον ἐς τὴν ἀριστερὰν, κοπὶς ἢ σάγαρις εἰς τὴν δεξιάν. Καὶ αὖθις· Οἱ δὲ γέῤῥα ἔλαβον δασέων βοῶν ὠμοβόινα, ἀμφὶ τὰ εἴκοσι.

Γέροντα [8] σαυτὸν εἰ βλέπεις, ἕξεις γέρας. καὶ παροιμία· Γέροντι μηδὲν μήποτε χρηστὸν ποίει. παρεγγυᾷ μὴ ἀκρίτως εὐεργετεῖν.

Γέρων ἀλώπηξ οὐχ ἁλίσκεται πάγῃ. ἐπὶ τῶν διὰ χρόνου πλῆθος ἐμπείρων καὶ δυσαλώτων. καὶ, Γέρων βοῦς ἀπένθητος δόμοισιν. ἐπὶ τῶν [9] καθαρῶς τελευτησάντων.

Γέρων πίθηκος ἁλίσκεται μὲν, μετὰ χρόνον δ' ἁλίσκεται. ἐπὶ τῶν ἅπαξ δυστυχησάντων.

Γέρδιος. Textor. Et apud nos ſic vocatur textrix.

Γεραιά. Anus. Vetula. Et Γεραιαὶ appellabantur mulieres, Bacchi ſacræ: vel ſacerdotes Bacchi.

Γεραιός. Honoratus. Venerabilis. Item, rugarum plenus. In Epigrammate: *Malum Punicum flava tunica veſtitum, & rugoſo cortice circundatas ficus.* Et iterum: *Quibus ſenex ſuave quid molli ſpiravit ex ore.*

Γεραίρειν. Honorare. Laudare. Et γέραιρε, lauda, honora. Et proverbium: *Honora te ipſum.* Id eſt, jactando te ipſum oblecta.

Γεραιστός. Geræſtus. Nomen portus.

Γεραίτερος. Antiquior. Senior. [Ariſtophanes:] *Dictum eſt ſeniorum, omnia etiam ſtulta & temeraria conſilia noſtra felicem eventum habere.* Cum enim Neptunus & Minerva de Attica contenderent, victoria penes Minervam ſtetit. Neptunus igitur ſe victum eſſe dolens Athenienſibus imprecatus eſt, ut mala ſemper conſilia caperent. Qua imprecatione audita Minerva addidit, ut mala quidem conſilia caperent, ſed voti tamen compotes fierent.

Ar. Eccl. 471.

Γερήνιος. Honoratus ſenex. Vel, civis urbis Gerenes.

Γέρης. Geres. Nomen proprium pauperis & calvi in gente Chaonum, qui ob mollitiem male audiebat. Et Ariſtophanes: *Tibi vero quis amicus alius præter Gerem?* Non eſt autem deductum a nomine γῆρας, i. e. ſenectus.

Γερμανικός. Germanicus. Francus. Germani Celtæ vocantur, qui circa Rhenum fluvium habitant.

Γέῤῥον. Scutum. Xenophon: *Scutum in ſiniſtra, & ſecuris vel ſagaris in dextra.* Et iterum: *Illi vero ſcuta ceperunt circiter viginti, ex craſſis & crudis pellibus bubulis confecta.*

Γέροντα σαυτὸν εἰ βλ. *Si te ſenem eſſe ſomniaveris, honorem conſequeris.* Et proverbium: *Nullum unquam beneficium in ſenem conferas.* Monemur eo, ne temere vel abſque delectu cuivis benefaciamus.

Γέρων ἀλώπηξ οὐχ ἀλ. *Vetula vulpes non capitur laqueo.* Dicitur de iis, qui propter peritiam, longi temporis uſu acquiſitam, difficulter capiuntur. Et, *Senex bos non lugetur domi.* De iis dicitur, qui tempeſtive moriuntur.

Γέρων πίθηκος ἀλ. *Vetula ſimia capitur quidem, ſed ſero capitur.* De iis dicitur, qui ſemel in infortunium incidunt.

---

[1] Γέρδιος. ὑφάντης] Vide infra v. Γηώρας.

[2] Ἐν Ἐπιγράμματι] Anthol. lib. VI. cap. XIV. Epigr. ultimo, ut Portus obſervavit.

[3] Λόγος γέ τοι τίς ἐστι τῶν γερ.] Tres hi ſenarii leguntur apud Ariſtophanem *Eccleſiaz.* pag. 737. (496. Ed. Baſ. *P.*) Verſus autem ſecundus tam hic apud Suidam quam Ariſtophanem luxatus eſt, cujus metrum Portus ſic in integrum recte reſtituit,

Ὅσ' ἂν ἀνόητ' ἢ μῶρα βουλευσώμεθα.

Vide etiam ſupra v. Ἀθηναίων δυσβουλία, & infra v. Μῶρα.

[4] Κακῶς βουλεύεσθαι. ἀκούσασαν δὲ τὴν Ἀθην.] Hinc ſupplendus eſt Scholiaſta Ariſtophanis, apud quem locus hic mutilus hodie legitur.

[5] Γέρης. ὄνομα κ.——μαλακίαν] Ex Scholiaſta Ariſtoph. ad *Acharnenſ.* pag. 399. & ad *Eccleſiaz.* pag. 751.

[6] Ἀριστοφάνης] *Eccleſiaz.* pag. 751.

[7] Ξενοφῶν] *De Inſtit. Cyri* lib. II. pag. 40.

[8] Γέροντα σαυτὸν εἰ βλέπεις, ἕξεις γέρας] Eſt verſus ad ſomniorum interpretationem pertinens, qui legitur apud Aſtrampſychum.

[9] Καθαρῶς] Male. Scribe καθ' ὥραν, ut habent Zenobius & Diogenianus.

Γερούσιον. ἔντιμον.

Γέῤῥοιν.[1] ἀπὸ σταυροῦ φησὶν Εὔπολις. καὶ Δημοσθένης· Τὰ γέῤῥα ἐνεπίμπρασαν. καὶ οἱ τόποι οἱ περιπεφραγμένοι· καὶ ἀσπίδες Περσικαὶ ἐκ λύγων. καὶ γέῤῥα τὰ σκεπάσματα πάντα Ἀττικοί. τινὰ δὲ δερμάτινα σκεπάσματα, καὶ Περσικά, οἷς ἀντ' ἀσπίδων ἐχρῶντο. σημαίνει δὲ καὶ πᾶν αἰδοῖον. καὶ αὖθις Ἡρόδοτος· Κῦρος περιελὼν τὰ πολλὰ τῶν πολεμίων, κατέλιπε μόνον τὸ σιυὸν τοῖς στρατιώταις μαχαίρᾳ καὶ γέῤῥῳ καὶ θώρακι μάχεσθαι. † Καὶ γεῤῥοφόροι ὁπλῖται ἐχόμενοι τούτων, σὺν ποδήρεσι καὶ ξυλίναις ἀσπίσιν. Αἰγύπτιοι δὲ οὗτοι ἐλέγοντο.

Γεσσάται.[2] ἐθνικόν.

Γέσιος.[3] ἐπὶ Ζήνωνος ἦν λαμπρυνόμενος ἐπὶ τέχνῃ ἰατρικῇ, Πετραῖος τὸ γένος. καθελὼν δὲ τὸν ἑαυτοῦ διδάσκαλον Δόμνον τὸν Ἰουδαῖον, καὶ τοὺς ἑταίρους πρὸς ἑαυτὸν μεταστησάμενος ὀλίγου πάντας, πανταχοῦ ἐγνωρίζετο, καὶ [4] μέγα κλέος εἶχεν, οὐ μόνον ἰατρικῆς ἕνεκα παρασκευῆς, τῆς τε διδασκαλικῆς καὶ τῆς ἐργάτιδος, ἀλλὰ καὶ τῆς ἄλλης ἁπάσης παιδείας. φιλότιμος γὰρ καὶ φιλόπονος ὢν ὁ ἀνήρ, ἄλλην τε πολλὴν ἐν πολλῷ χρόνῳ μελέτῃ καὶ οὐ φύσει προσπεριεβάλετο δοξοσοφίαν, καὶ τὴν τῶν ἰατρικῶν ἔργων τε καὶ λόγων ἀκριβεστέραν τῶν καθ' ἑαυτὸν πάντων ἰατρῶν τε καὶ ἰατροσοφιστῶν κατώρθωσε τέχνην. βραδέως δὲ ἀρξάμενος ἐπιδεικνύναι δημοσίᾳ τὴν ἐπιστήμην, ταχέως ἀνέδραμέ τε καὶ εὐθήνησεν ἐπ' αὐτῇ, πομπικὸς ὢν καὶ ἐπιδεικτικός, φιλοσοφίας μὲν ἐπ' ὀλίγον ἥκων, ἰατρικῆς δὲ ἐπὶ πλεῖστον. ὅθεν καὶ χρημάτων μεγάλων ἐγένετο κύριος, καὶ Ῥωμαϊκῶν ἔτυχεν ἀξιωμάτων οὐ τῶν τυχόντων. ἀποδέχομαι δὲ τὸ ἀνδρεῖον παράστημα τῆς ἀγαθῆς ψυχῆς. τόν τε γὰρ Ἡραΐσκον ἐπιζητούμενον ὑπὸ Ζήνωνος βασιλέως οἴκῳ τῷ ἰδίῳ κατέκρυψε, παραβαλλόμενος πρὸς τὸν κίνδυνον, καὶ ἐπειδὴ ἐν τῇ φυγῇ νοσήσας ἀπηλλάγη τοῦ σώματος, εὖ τε περιστείλας, καὶ τὰ νομιζόμενα θεραπεύσας. ὁ δὲ ἀποσταλεὶς Βασιλικὸς Ἀγάπιον καὶ τοὺς ἄλλους φιλοσόφους κατασχὼν, εἰς τὸ ἀρχεῖον ἀπήγαγε.

Γερούσιον. Honoratum. Venerabile.

Γέῤῥοιν. Sic vallos vocat Eupolis. Et Demoſthenes: *Scenarum tegumenta incenderunt.* Sic etiam loci circumſepti & clypei Perſici ex viminibus contexti vocantur. Item, quævis tegumenta apud Atticos: nec non tegumenta quædam ex pellibus confecta, quibus Perſæ clypeorum loco utebantur. Significat etiam partem genitalem utriuſque ſexus. Et iterum Herodotus: *Cyrus autem, cum reliqua arma militibus ademiſſet, iis tantum reliquit gladium, ſcutum, & thoracem, quibus pugnarent.* † *Hos proxime ſequebantur milites gerra geſtantes, cum talaribus & ligneis clypeis: qui vocabantur Ægyptii.*

Γεσσάται. Geſſatæ. Nomen gentis.

Γέσιος. Geſius, Petris oriundus, ſub Zenone arte medica clariſſimus fuit. Cum enim Domni Judæi præceptoris ſui gloriam penitus obſcuraſſet, ejuſque diſcipulos pene omnes ad ſe traduxiſſet, magnam ubique famam & nominis celebritatem conſecutus eſt, non ſolum ob peritiam artis medicæ, quam & in docendo & morbis curandis oſtendebat, ſed etiam ob cæteras omnes diſciplinas, [in quibus inſigniter verſatus erat.] Cum enim vir eſſet honoris cupidus & laboris patientiſſimus, longi temporis ſtudio, non naturæ beneficio id conſecutus eſt, ut & in cæteris ſcientiis excellere videretur, & tam morborum curandorum peritia, quam ratione ſubtiliter & accurate de arte medica diſſerendi omnes ſui temporis medicos & iatroſophiſtas ſuperaret. Quamvis autem ſero artem ſuam oſtendere & profiteri publice cœpiſſet, celeriter tamen crevit, & magnum apud omnes applauſum conſecutus eſt, homo oſtentationis amans, & magno verborum apparatu ſcientiam ſuam venditans, qui in philoſophia quidem exiguos fecerat progreſſus, in arte vero medica maximos. Hinc & magnas ſibi comparavit divitias, & ad honores non vulgares in Republ. Romana pervenit. Virilem vero ejus animum & generoſum nec minus bonum valde laudo. Cum enim Heraiſcus juſſu Zenonis Imperatoris ubique quæreretur, eum non ſolum domi ſuæ occultavit, ſpreto periculo, cui ſe ſuaque omnia exponebat; ſed eidem quoque in fuga ex morbo defuncto juſta honorifice perſolvit. Baſilicus vero [ea de cauſa ab Imperatore] miſſus Agapium cæteroſque philoſophos comprehenſos in prætorium abduxit.

Γεσοί.[5] Οἱ Ῥωμαῖοι πήξαντες τοὺς γεσοὺς, καὶ τὰς περικεφαλαίας τούτοις ἐπιθέντες, φαντασίαν παρέχοντο τοῖς ἐκ διαστήματος, ὡς μένοντες ἐπὶ τοῦ λόφου. ἔστι δὲ ὅπλον μακρόθεν κεντοῦν, ἢ κοντός. Κρίτων ἔγραψεν ἐν τοῖς Γετικοῖς.

Γεῦσις. ζήτει περὶ ποιοτήτων τῶν γεύσεων ἐν τῷ Φαιὸν, καὶ ἐν τῷ Αἰσθήσεως πέντε.

Γεσοί. Gæſa. *Romani autem, cum gæſa humi defixiſſent, iiſque galeas impoſuiſſent, eminus aſpicientibus ſpeciem præbuerunt, quaſi in colle adhuc verſarentur.* Sic Crito in *Geticis.* Eſt autem γεσὸς telum vel contus eminus vulnerans.

Γεῦσις. Guſtus. De guſtuum qualitatibus quære in voce Φαιὸν, & in Αἰσθήσεως πέντε.

---

[1] Ἀπὸ σταυροῦ] Etymologus v. Γέῤῥα habet ἐπὶ σταυροῦ, ut & hic apud Suidam ſcribendum eſt.

[2] Γεσσάται. ἐθνικόν] Vide Bochartum in *Chanaan* lib. 1. cap. XLII.

[3] Γέσιος] Totum hunc locum de Geſio ex Damaſcio deſcriptum eſſe patet ex Photio, apud quem in Excerptis ex illo ſcriptore pag. 1073. quædam eorum, quæ Suidas hic habet, αὐτολεξεὶ etiam leguntur, ut Pearſonius recte obſervavit. Cæterum, Geſii hujus meminit etiam Stephanus Byzantius v. Γέα, qui eum περιφανέστατον ἰατροσοφιστὴν vocat.

[4] Καὶ μέγα κλέος ——— ἁπάσης παιδείας] Hæc etiam αὐτολεξεὶ leguntur apud Photium loco laudato.

[5] Γεσοί] Rectius γαισοὶ, per αι diphthongum. Vide ſupra v. Γαῖσοι.

Γεφυρίζων. χλευάζων. ἐξευτελίζων. [1] Πολύβιος. Ὁ δὲ Σύλας πορθήσας τὰς Ἀθήνας, ἐδέησε μικροῦ διαφθεῖραι τὴν πόλιν θυμῷ, διὰ τὰ σκώμματα, ἃ δὴ πολλὰ κατ' αὐτοῦ γεφυρίζων καὶ ἐπικερτομῶν ὁ Ἀρίστων παρ' ὅλην ἀπέρριπτε τὴν πολιορκίαν.

Γεφυρίς. ξένη καὶ ἐπείσακτος. οἱ γὰρ Γεφυραῖοι ξένοι καὶ ἐπήλυδοι ὄντες Ἀθήνησιν ᾤκησαν. [2] οὕτως Ἡρόδοτος.

Γειναμέναις. γεννηθείσαις.

Δάκρυα [3] μὲν Ἑκάβῃ τε καὶ Ἰλιάδεσσι γυναιξὶ
Μοῖραι ἐπέκλωσαν δὴ τότε γειναμέναις.

Γείνατο. ἐγέννησε. καὶ Γείναται, γεννᾷ.

Γειοκόμον. τὸ γειτνίαμα.

Γειῶραι. [4] οἱ τὴν γῆν φυλάσσοντες.

Γειωρῆσαι.

Γειοτόμον. τὸ ἄροτρον.

Γείσιον, καὶ γεῖσος. τὸ ἄκρον τοῦ τείχους. ἢ στεφάνωμα οἴκου. καὶ Γεῖσα, τειχῶν ἄκρα. ἢ Γεῖσος, ὁ γεωργός.

Γεισίπους, [5] καὶ γεισιπόδισμα, καὶ γεισιποδίζειν. τὸ ἐξέχον τῆς δοκοῦ, ἐφ' οὗ τὸ γεῖσον ἐστὶ, γεισίπους καλεῖται καὶ γεισιπόδισμα. Γεισιποδίζειν δὲ, τὸ ποιεῖν τοῦτο.

Γῆ. [6] ἐπεὶ ἕδρα πάσης πόλεώς ἐστιν ἡ γῆ, ὡς βαστάζουσα τὰς πόλεις, πλάττεται πυργοφόρος.

Γηγενέτης. ὁ γηγενής.

Γηγενεῖς. [7] οἱ ἐκ τῆς γῆς γεγονότες Ἀδὰμ καὶ Εὔα, ἐπεὶ οὐκ ἐκ συνουσίας ἐγένοντο κυρίως. καταχρηστικῶς δὲ, πᾶς ἄνθρωπος.

Γηγενεῖς. [8] ὠχροὺς καὶ νεκρώδεις. ἢ ἀσεβεῖς καὶ θεομάχους· διὰ τοὺς Γίγαντας. οὕτω διαβάλλει τοὺς φιλοσόφους Ἀριστοφάνης Νεφέλαις·

--- Ταῦτ' ἔμαθες τὰ δεξιὰ,
Εἴσω παρελθὼν ἄρτι παρὰ τοὺς γηγενεῖς;

καὶ, [9] Γηγενεῖ φυσήματι. ἀντὶ τοῦ μεγάλῳ, ὥστε σεισμοὺς ποιεῖν. ἀρχαία γὰρ ὑπόνοια τὸ ὑπὸ πνευμάτων κατεχομένην σείεσθαι τὴν γῆν. Ἀριστοφάνης. λέγονται καὶ Γηγενεῖς, οἱ τὰ γήϊνα φρονοῦντες.

Γήδιον. μικρὰ γῆ. Ὑπεδέξατο αὐτοὺς ἀγροικὸς πένης, γήδιον λεπτὸν κακῶς γεωργῶν.

Γῆ ζώντων. ὁ προσδοκώμενος βίος, ὡς τοῦ θανάτου κεχωρισμένος καὶ ἐλεύθερος λύπης. [10] Δαβίδ· Ὑψώσει σε τοῦ κατακληρονομῆσαι τὴν γῆν.

Γεφυρίζων. Deridens. Contemnens. Dicteriis inceſſens. Polybius: *Sylla vero expugnatis Athenis parum abſuit quin urbem funditus everteret, iratus ob dicteria & convitia, quæ Ariſton toto obſidionis tempore in eum jactaverat.*

Γεφυρίς. Mulier peregrina & advena. Gephyræi enim Athenis habitantes erant peregrini & advenæ. Sic Herodotus.

Γειναμέναις. Natis. *Hecubæ & Iliacis mulieribus, ſimul ac natæ eſſent, Parcæ lacrymas & luctum deſtinarunt.*

Γείνατο. Generavit. Et γείναται, generat.

Γειοκόμον. Vicinia. Vicinitas.

Γειῶραι. Terræ cuſtodes.

Γειωρῆσαι. Terram cuſtodire.

Γειοτόμον. Terram ſcindens. Epithetũ aratri.

Γείσιον, & γεῖσος. Summa muri pars. Vel, lorica domus. Et γεῖσα, pinnæ murorum. Vel γεῖσος, agricola.

Γεισίπους. Prominens trabis pars, quæ ſuggrundium ſuſtinet, vocatur γεισίπους & γεισιπόδισμα. Et γεισιποδίζειν dicitur trabem ſuggrundiis ſupponere.

Γῆ. Terra fingitur turrifera, quoniam omnes urbes ſuſtinet.

Γηγενέτης. Terrigena. Terræ filius.

Γηγενεῖς. Terrigenæ. Sic proprie vocantur Adam & Eva, quoniam abſque concubitu orti ſunt. Abuſive autem quilibet homo.

Γηγενεῖς. Pallidos, & mortuis ſimiles. Vel, impios, & cum Diis pugnantes, Gigantum inſtar, [qui γηγενεῖς, i. e. terrigenæ vocantur.] Sic Ariſtophanes *Nubibus* Philoſophos exagitat: *Hæccine tu tam præclara huc ingreſſus modo ab iſtis terræ filiis didiciſti?* Et γηγενεῖ φυσήματι, flatu magno, vel tanto, ut terram concutiat. Vetus enim eſt opinio, terram a ventis, qui viſceribus ejus incluſi ſunt, concuti. Ariſtophanes. Γηγενεῖς etiam vocantur, qui terrena ſapiunt & cogitant.

Γήδιον. Parvus ager. Agellus. *Excepit ipſos pauper ruſticus, tenuem agellum colens.*

Γῆ ζώντων. Terra viventium. Id eſt, vita futura, a morte immunis, & nullis doloribus obnoxia. David: *Extollet te, ut terræ poſſeſſionem conſequaris.*

---

[1] Πολύβιος] Recte Caſaubonus ad Polybium pag. 1530. monuit, mendoſe hic laudari Polybium, quoniam in fragmento, quod ſubjungitur, mentio fit Syllæ, qui poſt Polybii ætatem vixit.

[2] Οὕτως Ἡρόδοτος] Lib. v. pag. 194. quem vide.

[3] Δάκρυα μὲν Ἑκάβῃ τε καὶ Ἰλ] Diſtichum hoc decerptum eſt ex Epigrammate Platonis in Dionem Syracuſanum, quod integrum exſtat apud Laertium in *Platone* Segm. xxx. itemque Antholog. lib. iii. cap. xxxiii. pag. 423.

[4] Γειῶραι] Vide paulo ante v. Γεώρες. & infra v. Γηῶραι.

[5] Γεισίπους, καὶ γεισιπόδισμα, καὶ γεισιπ.] Ex Harpocratione.

[6] Γῆ. ἐπεὶ ἕδρα πάσης π.] Eadem leguntur apud Codinum *de Origin. CPol.* pag. 14. & infra v. Δημήτηρ.

[7] Γηγενεῖς. οἱ ἐκ τῆς γῆς γεγονότες Ἀδ] Nota hæc referenda eſt ad verba illa Pſalmi xlviii. v. 2. Οἵ τε γηγενεῖς καὶ υἱοὶ τῶν ἀνθρώπων. Theodoretus ad illum locum: Τινὲς γηγενεῖς τὸν Ἀδὰμ καὶ τὴν Εὔαν ἐκάλεσαν, ὡς ἐκ γῆς διαπλασθέντας, καὶ οὐκ ἐκ συνουσίας φύντας &c. Hunc ipſum locum Theodoreti Suidas ob oculos habuiſſe videtur.

[8] Γηγενεῖς. ὠχροὺς καὶ νεκρώδεις. ἢ ἀσεβεῖς καὶ θεομ.] Ex Enarratore Comici ad *Nubes* pag. 174. (104. Ed. Baſ. P.)

[9] Γηγενεῖ φυσήματι. ἀντὶ τοῦ μεγ.] Ex Scholiaſta Ariſtophanis ad *Ranas* pag. 251. Vide etiam infra v. Σεισμός, ubi eadem repetuntur. Cæterum in prioribus Editt. (excepta Mediolanenſi) locus hic eſt mutilus, quippe in quibus ante φυσήματι deſideratur vox γηγενεῖ: quod cum Porto non ſuboleret, falſo exiſtimavit, notam hanc non pertinere ad vocem γηγενεῖς, ſed alibi eſſe collocandam.

[10] Δαβίδ] Pſalm. xxxvi. 34.

Γῆ θάλατταν συναναμίγνυσιν. ἐπὶ τῶν σφόδρα ὀργιζομένων ἡ παροιμία.

Γήθειν. χαίρειν.

Γηθοσύνη. χαρά. καὶ Γηθοσύνως, μετὰ χαρᾶς.

Γηθόσυνοι. χαίροντες.

Γήθουσα. πόλις Λιβύης. τὸ ἐθνικὸν, Γηθουσαῖος, ἢ Γηθούσιος, ἢ Γηθουσίτης.

Γηθυλλίς. λάχανον πράσῳ ὅμοιον, ὃ τινες ἀμπελόπρασον λέγουσιν.

Γήϊνος. ὁ φθαρτός.

Γῆ κληρουχική. οἱ Ἀθηναῖοι λαμβάνοντες πολεμίαν πόλιν, καὶ τοὺς ἐνοικοῦντας ἐκβάλλοντες, πολίτας ἑαυτῶν ἀποστέλλοντες, κλήρῳ τὴν γῆν αὐτῶν διένεμον.

Γήλοφος. ὁ ὑψηλὸς τόπος.

Γήμας. ὁ γυναῖκα λαβὼν ἀνήρ.

Γῆμ' ἐπῆρε. ἀντὶ τοῦ γῆμαι ἀνέπεισε. [1]Κυρίως δὲ τὸ ἐπῆρεν, ἀντὶ τοῦ ἐχαύνωσε καὶ ἀνεκούφισεν, ἐπαγγελλομένη προῖκα μεγάλην εἰσοίσειν τὴν γυναῖκα, οἰκουρὸν φάσκουσα εἶναι, μὴ οὕτως ἐχούσης. Ἀριστοφάνης Νεφέλαις·

Ἥτις με γῆμ' ἐπῆρε τὴν σὴν μητέρα.

Γῆν ἰλλομένην. συγκεκλεισμένην καὶ περιειλημμένην. ἰλλάδες γὰρ οἱ δεσμοί.

Γηών.[2] ποταμός.

Γηώρας. ὁ ἀλλότριος. τοῦ [3]Ψελλοῦ· Γηώρας, ὁ ἀλλότριος, καὶ γέρδης, ὁ ὑφάντης.

Γηῶραι. ἐπίμικτοι. τηρηταὶ τόπων.

Γήπαιδες. ὄνομα ἔθνους.

Γήπεδον. τὸ χωρίον. ὥσπερ καὶ οἰκόπεδον, τὸ γῇ καὶ οἰκήμασιν ἀπαρτιζόμενον.

Γηραλέα. ἡ γραῖα. καὶ Γηραλέος, ὁ γέρων. καὶ γηραλέον. οὐδετέρως. Νῦν γηραλέαι ἐναγκαλίζονται.

Γηρᾶναι. γηράσαι. καὶ παροιμία·

Γηράσκω δ' αἰεὶ πολλὰ διδασκόμενος.

ἐπὶ τῶν διὰ γῆρας ἐμπειροτέρων.

Γηραιός. παλαιός. πρεσβεβηκώς. [4]Ὁ δὲ γηραιός τε ὢν ἤδη, καὶ ἐκ πλείστου ἄμφω τὼ πόδε πεπηρωμένος, καὶ οἷος μὴ ἐφ' ἵππου ὀχεῖσθαι, ὅμως ὥσπερ τις νεανίας ῥωμαλεώτατος οὐκ ἀπηγόρευε πρὸς τοὺς πόνους, ἀλλὰ φοράδην εἰς τὰς παρατάξεις ἐφοίτα.

Γῆ θάλατταν συναν. *Terram mari miſcet.* Porverbium hoc dicitur de iis, qui valde iraſcuntur.

Γήθειν. Gaudere. Lætari.

Γηθοσύνη. Gaudium. Et γηθοσύνως, cum gaudio.

Γηθόσυνοι. Gaudentes. Læti.

Γήθουσα. Gethuſa, urbs Libyæ. Nomen gentile eſt, Gethuſæus, vel Gethuſius, vel Gethuſites.

Γηθυλλίς. Olus porro ſimile; quod quidam ampelopraſum vocant.

Γήϊνος. Corruptioni obnoxius. Mortalis.

Γῆ κληρουχική. Terra, quæ ſorte inter aliquos diſtributa eſt. Athenienſes, cum urbem aliquam hoſtilem cepiſſent, incolis inde expulſis, cives ſuos in eam mittebant, quibus agrum ſorte diſtribuebant.

Γήλοφος. Locus excelſus. Collis.

Γήμας. Vir, qui duxit uxorem.

Γῆμ' ἐπῆρε. Perſuaſit mihi, ut uxorem ducerem. Proprie vero ἐπῆρε ſignificat, vana quadam ſpe lactavit & implevit, dicens, mulierem ingentem dotem allaturam eſſe, eamque domi ſemper ſe continere ſolere, cum tamen res ſeſe ita non habeat. Ariſtophanes: *Quæ me induxit, ut matrem tuam uxorem ducerem.*

Γῆν ἰλλομένην. Terram conſtrictam & concluſam. Ἰλλάδες enim ſunt vincula.

Γηών. Geon, fluvius.

Γηώρας. Alienus. Pſellus: Γηώρας, *alienus, &* γέρδης, *textor.*

Γηῶραι. Homines mixti generis. Locorum cuſtodes.

Γήπαιδες. Gepædes. Nomen gentis.

Γήπεδον. Fundus. Ager. Ut οἰκόπεδον dicitur, quod ex ſolo & domibus conſtat. Sive area, in qua ædificia exſtruuntur.

Γηραλέα. Vetula. Anus. Et γηραλέος, ſenex. Et genere neutro, γηραλέον. *Nunc vetulas ulnis amplectimur.*

Γηρᾶναι. Conſenuiſſe. Et proverbium: *Seneſco ſemper multa diſcens.* De iis dicitur, qui longa ætate magnam rerum peritiam conſecuti ſunt.

Γηραιός. Senex. Ætate provectus. *Ille vero, quamvis eſſet ſenex, & jam pridem utroque pede claudus, ita ut ne equo quidem vehi poſſet, tamen perinde ut robuſtiſſimus adoleſcens laboribus ferendis par erat, & in aciem lectica geſtatus prodibat.*

---

[1] Κυρίως δὲ τὸ ἐπῆρεν, ἀντὶ τοῦ ἐχ.] Ex Scholiaſta Ariſtoph. ad *Nubes* pag. 121. (61. Ed. Baſ. *P.*) Vide etiam infra v. Ἐπαίρας, & v. Ἐπῆρεν; itemque Harpocrationem v. Ἐπαιρόμενος, qui idem fragmentum Ariſtophanis citat, quod & a Suida hoc loco adducitur.

[2] Γηών] Vide ſupra v. Γαιών.

[3] Τοῦ Ψελλοῦ] Peſſime Portus exiſtimabat vocem hanc *balbum* vel *blæſum* hic ſignificare, cum ſit nomen proprium Michaelis Pſelli. Senarius enim Politicus, qui hic ſubjungitur, depromptus eſt ex opuſculo quodam Pſelli inedito, brevem ſynopſin omnium ſcientiarum continente, & verſibus Politicis ſcripto, quod MS. exſtat in Bibliotheca Regia Pariſienſi, Cod. 1837. fol. 184. & ſeqq. Ex eadem Synopſi Pſelli & alia apud Suidam loca excerpta leguntur, ut alibi Lectorem monemus. Cæterum, ex hoc loco ætas Suidæ colligi poſſe videtur, quoniam, ſi ipſe Suidas notam hanc excerpſit, oportet eum utique vixiſſe poſt Pſellum; ſed ante Euſtathium, quippe qui primus Noſtri meminit. Vixit autem Pſellus ſeculo XI. Euſtathius vero ſeculo XII; inter quos proinde Suidas medius collocandus eſſe videtur, ita ut vixerit ſub finem ſeculi undecimi, & initium duodecimi. Sed cum totus hic locus in MSS. Pariſ. deſit, apparet eum a recentioribus Collectaneis hiſce inſertum eſſe: quod ideo moneo, ne quis forte ætatem Suidæ hinc colligi poſſe putet, qui Pſello utique antiquior fuit.

[4] Ὁ δὲ γηραιός τε ὢν ἤδη, καὶ ἐκ κτλ.] Hæc, & quæ ſequuntur, ſunt verba Agathiæ de Mermeroe, duce Perſarum, lib. II. pag. 60. Vide etiam infra v. Φορά.

Γήρειον. τόπος. καὶ Γήρειον ἔτος, τὸ παλαιόν.

Γηρίνειος βοῦς.

Γηροβοσκῶ. γηροτροφῶ. [1] Σοφοκλῆς·

Ὅπως γένηται γηροβοσκὸς αὐτοῖς εἰς ἀεί,
Μέχρις ἂν μυχοὺς κίχωσι τοῦ κάτω Θεοῦ.

Γηροκομεῖον. γηροτροφεῖον δέ.

Γῆρυν. φωνήν. ἐν [2] Ἐπιγράμματι·

Σὺν καλάμοις ἄγγος τε μελανδόκον, οἷσι φυλάσσει
Αἰὼν ἐσσομένοις γῆρυν ἀποιχομένων.

Γηρυόνεια δένδρα. καὶ Γηρυόνειον νῆμα.

Γηρυόνης. ὄνομα κύριον. [3] Ἀριστοφάνης·

Βούλει διαμάχεσθαι Γηρυόνῃ τετραπτίλῳ;

ἀντὶ τοῦ τετρακεφάλῳ. αἰνίττεται δὲ τὴν τοῦ Λαμάχου περικεφαλαίαν, τρεῖς λόφους ἔχουσαν· ἀπὸ τῶν περικειμένων αὐτῇ πτίλων. ὁ δὲ λέγει, τοιοῦτόν ἐστι· Βούλει πρός τινα ἀκαταμάχητον μάχεσθαι; ὁ γὰρ Γηρυόνης τρικέφαλος ὢν πολὺν ἀγῶνα παρέσχε τῷ Ἡρακλεῖ.

Γηρυόνος. ὄνομα κύριον.

Γῆρυς. ἡ φωνή.

Γῆς ἄγαλμα. γυναῖκα πλάττουσι τὴν Ἑστίαν, οἱονεὶ τὴν γῆν, τύμπανον βαστάζουσαν· ἐπειδὴ τοὺς ἀνέμους ἡ γῆ ὑφ' ἑαυτὴν συγκλείει.

Γῆς βάρος. ἐπὶ τῶν εἰς μηδὲν συντελούντων. καὶ ἑτέρα παροιμία· Γῆς ἔντερα. ἐπὶ τῶν μηδενὸς ἀξίων.

Γῆς ὀμφαλός. ὁ νεὼς τοῦ Ἀπόλλωνος. Εἰ [4] γὰρ αἱ τοιαίδε πράξεις τίμιαι, τί δεῖ με χορεύειν; οὐκέτι τὸν ἄθικτον εἶμι γῆς ἐπ' ὀμφαλὸν σέβων. τουτέστιν, οὐκέτι ἄπειμι πρὸς τὸν Ἀπόλλωνα, οὐδὲ πρὸς τὸν ἄχραντον καὶ σεβάσμιον καὶ ἀπροσπέλαστον αὐτοῦ νεών.

Γήσεια. κρόμμυα.

Γήτεια. εἶδος βοτάνης, παρεοικὸς πράσῳ.

Γήτειον. ἀμπελόπρασον. [5] Ἀριστοφάνης· Τύπτε τοῦτον γητείῳ.

[6] Δῶρα δέ σοι, γήτειον ἀειθαλὲς, ὀρθρινὰ δώσω,
Καὶ δροσερὰς στόμασι σχιζομένας ψακάδας.

καὶ αὖθις [7] Ἀριστοφάνης·

Ἡ λαχανόπωλις παραβλέψασά φησι θαλέρῳ,
Εἰπέ μοι, γήτειον αἰτεῖς; πότερον ἐπὶ τυραννίδι;

Γιγαντιᾷ. τὰ τῶν Γιγάντων φρονεῖ. Πισίδης περὶ Χοσρόου·

Γιγαντιᾷ δὲ, καὶ τυραννῆσαι θέλει.

Γήρειον. Nomen loci. Et γήρειον ἔτος, annus ſenilis.

Γηρίνειος. Bos Gerinius.

Γηροβοσκῶ. In ſenectute aliquem alo. Sophocles: *Ut ipſos in ſenectute ſemper alat, donec ad imam Plutonis domum deſcenderint.*

Γηροκομεῖον. Locus, ubi ſenes curantur. Γηροτροφεῖον vero, locus, ubi ſenes aluntur.

Γῆρυν. Vocem. In Epigrammate: *Cum calamis atramentarium, quibus ævum voces defunctorum conſervat & poſteris tradit.*

Γηρυόνεια δένδρα. Geryoneæ arbores. Et Γηρυόνειον νῆμα. Geryoneum filum. [Per ει ſcribitur.]

Γηρυόνης. Geryones. Nomen proprium. Ariſtophanes: *An cum Geryone quatuor pinnis criſtato pugnare vis?* Id eſt, quadricipiti. Alludit ad Lamachi galeam, tres criſtas habentem: propter pennas, quibus diſtincta erat. Senſus autem hic eſt. An cum eo pugnare vis, qui vinci non poteſt? Geryones enim, qui triceps erat, Herculi multum negotii faceſſivit.

Γηρυόνος. Geryonus. Nomen proprium.

Γῆρυς. Vox.

Γῆς ἄγαλμα. Terræ ſimulacrum. Veſtam fingunt mulierem tympanum geſtantem, quia terra ventos intra ſe continet.

Γῆς βάρος. *Terræ onus.* Dicitur de hominibus, qui ad nullam rem utiles ſunt. Et aliud proverbium: *Terræ inteſtina*; quod dicitur de nullius pretii hominibus.

Γῆς ὀμφαλός. Terræ umbilicus. Id eſt, Apollinis templum. [Sophocles:] *Si enim hujuſmodi facinora in honore habentur, quid oportet me [Deos hymnis &] choreis celebrare? Ego quidem religionis gratia ſanctiſſimum terræ umbilicum non amplius adibo.* Id eſt, non amplius ad Apollinem proficiſcar, nec ſanctiſſimum & venerabile & [profanis] inacceſſum templum ejus adibo.

Γήσεια. Cepæ.

Γήτεια. Herbæ genus porro ſimile.

Γήτειον. Ampeloprasum. Ariſtophanes: *Verbera hunc gethyo.* [Et in Epigrammate:] *Dona matutina tibi ſemper dabo, gethyum ſemper virens, & roris guttas, quæ ore tuo dividantur.* Et iterum Ariſtophanes: *Quæ olera vendit, torvum cernens alteri dicit: Dic mihi, an gethyum poſcis? Utrum tyrannidem affectas?*

Γιγαντιᾷ. Gigantum more ſuperbit. Piſides de Choſroe ait: *Gigantum more ſuperbit, & tyrannidem affectat.* Et Γιγαντιαῖον ὄνομα, καὶ Γιγαντιαῖον ὄνομα, τὸ μέγα. καὶ Γιγαντολέτειρα, ἡ τοὺς Γίγαντας ὀλοῦσα. καὶ Γιγαντολέτις, ὁμοίως θηλυκῶς. καὶ Γιγαντολέτωρ.

---

[1] Σοφοκλῆς] In *Ajace* pag. 34. apud quem prior verſus ſic legitur, uti & hic apud Suidam legendus eſt:

Ὡς σφιν γένηται γηροβοσκὸς εἰσαεί.

[2] Ἐν Ἐπιγράμματι] Antholog. lib. VI. cap. XXVI. Epigr. ultimo, ut Portus monuit.

[3] Ἀριστοφάνης] *Acharnenſ.* pag. 422. (303. Ed. Baſ. *P.*) Vide ibi veterem Enarratorem, cujus verba Suidas hic deſcripſit.

[4] Εἰ γὰρ αἱ τοιαίδε πρ.] Hæc ſunt verba Sophoclis *Oedip. Tyranno* pag. 189.

[5] Ἀριστοφάνης· Τύπτε τοῦτον γητείῳ] Vide ſupra v. Βασανίζειν, ubi locus hic Ariſtophanis longe auctior legitur.

[6] Δῶρα δέ σοι, γήτειον ἀειθ.] Diſtichum hoc eſt pars Epigrammatis in locuſtam, quod exſtat Anthol. lib. III. cap. XXIV. Epigr. X.

[7] Ἀριστοφάνης] *Veſpis*, pag. 463. (327. Ed. Baſ. *P.*)

Γιγαντώδης. Ἐδόκει γὰρ τό, τε σῶμα γιγαντώδης εἶναι, καὶ τὸν θυμὸν θηριώδης, καὶ ἐς ἀγχίνοιαν τῶν συλληστευόντων ἁπάντων πολυπλοκώτερος.

1. Ar. Pax. 633.

Γίγαρτα. τῶν σταφυλῶν ὁ καρπός. [1] Ἀριστοφάνης·

---Ὢν ἄνευ γιγάρτων, καὶ φιλῶν τὰς ἰσχάδας.

οἱ γὰρ ἄγροικοι κόπτοντες τὰ γίγαρτα μετὰ τῶν ἰσχάδων ἤσθιον.

Γίγγις, Γίγγιδος. ὄνομα κύριον.

Bos. animadv. p. 147. (2)

Γιγλισμός. κιχλισμός. ἀπὸ [2] χειρῶν γέλως. γαργαλισμός.

Γίγλυμοι. ἀντεμβολαί τινων ἐξοχῶν πρὸς κοιλότητας, οἷαπερ ἡ κατὰ τὸν πῆχυν πρὸς βραχίονα συμβολή.

Γιεζῆ. ὄνομα κύριον.

Γίνεται. ἐπὶ τοῦ τελειοῦται, διὰ τοῦ ι. ἐπὶ δὲ τοῦ γεννᾶ,[3] διὰ διφθόγγου. [4] τὰ δὲ γινόμενα κατὰ τρεῖς τρόπους γίνεται· κατ' οἰκονομίαν, κατ' εὐδοκίαν, καὶ κατὰ συγχώρησιν.

Γινώσκω. γνωρίζω. Ἤδη γάρ σε γινώσκω, καὶ ὧν εἶπας ἀκούσασα, καὶ τὴν ὄψιν ἰδοῦσα.

Γιώρας. ὄνομα κύριον.

Γίσχαλα. ὄνομα τόπου.

Γλάγος. γάλα. καὶ Γλαγερόν, ἀντὶ τοῦ λευκόν. ἐν [5] Ἐπιγράμματι·

Ἄρκυν τε γλαγερῶν λαιμοπέδαν γεράνων.

Γλάμων.[6] ὁ λημῶν τοὺς ὀφθαλμούς, καὶ διύγρους αὐτοὺς ἔχων, ὡς Χάρων.

Γλάμων. ὁ ἀκάθαρτος. Σοφοκλῆς ἐπὶ ὀρνέου. Τοὺς [7] γλαμυροὺς κατὰ φορβάν. [8] Ἀριστοφάνης Βατράχοις·

--- Ἀρχέδημος ὁ γλάμων.

† [9] Σκορόδων ὁμοῦ τρίψαντ' ὀπῷ,
Τιθύμαλλον ἐμβαλόντα τοῦ Λακωνικοῦ,
Σαυτοῦ παραλείφειν τὰ βλέφαρα τῆς ἑσπέρας.

εἰώθασιν [10] οἱ ἰατροὶ καὶ πατρίδας τῶν βοτανῶν ὑπ' ἀλαζονείας ὀνομάζειν, οἷον Κυρηναϊκὸν ὀπόν· Σμυρναϊκόν. διαβόητος δὲ ἦν ὁ Λακωνικὸς τιθύμαλλος. ἔστι δὲ εἶδος βοτάνης δριμυτάτης, παρὰ Λάκωσιν εὑρισκόμενον. εἴρηται δὲ ἐπὶ τῶν λημώντων τοὺς ὀφθαλμούς. †

nomen magnum. Et Γιγαντολέτειρα, Gigantum perditrix. Et Γιγαντολέτις itidem eſt generis fœminini. Et Γιγαντολέτωρ, Gigantum perditor.

Γιγαντώδης. Giganti ſimilis. *Videbatur enim & corpore Giganti eſſe ſimilis, & animo ferino, & ingenii ſolertia doliſque reliquos latrones ſocios ſuos longe ſuperare.*

Γίγαρτα. Fructus uvarum. [Grana acinorum.] Ariſtophanes: *Sed ut uvis carens, & amans aridas ficus.* Ruſtici enim grana acinorum vinaceorum cum aridis ficubus contuſa edebant.

Γίγγις. Gingis, Gingidis. Nomen proprium.

Γιγλισμός. Riſus petulans. Cachinnus. Item titillatio.

Γίγλυμοι. Commiſſura, qua unius oſſis caput in alterius cavitatem conditur. Talis eſt commiſſura cubiti & brachii.

Γιεζῆ. Gieze. Nomen proprium.

Γίνεται. Quum ſignificat fit, vel perficitur, per ι ſcribitur. Quum vero, generatur, per diphthongum. Quæ vero fiunt tribus modis fiunt: vel ſecundum œconomiam, vel approbationem, vel permiſſionem.

Γινώσκω. Cognoſco. *Jam enim te cognoſco, & auditis iis, quæ dixiſti, & conſpecta facie tua.*

Γιώρας. Gioras. Nomen proprium.

Γίσχαλα. Giſchala. Nomen loci.

Γλάγος. Lac. Et γλαγερὸν, candidum, album. In Epigrammate: *Et rete, candidarum gruum guttur ſtringens.*

Γλάμων. Qui oculos habet lippientes, & humore manantes, ut Charon.

Γλάμων. Impurus. Lippus. Sophocles τὸ γλαμυρὸς de ave dixit. *Voraces in paſtu.* Ariſtophanes *Ranis*: *Archedemus ille lippiens.* [Idem *Eccleſiazuſis*:] *Alliis cum ſilphio tritis, eiſque tithymallo Laconico injecto, veſperi palpebras unge.* Solebant Medici oſtentationis gratia patrias etiam herbarum nominare, dicentes exempli gratia, ſuccum Cyrenaicum, vel Smyrnaicum. Celeberrimus autem erat tithymallus Laconicus, genus herbæ valde acris apud Lacedæmonios. Hoc autem dicitur de illis, quorum oculi lippiunt. *Quid vero, ſi Neoclides ille lippus conviciis te inſectetur?* Hic a Comicis carpe-

---

[1] Ἀριστοφάνης] In *Pace* pag. 669. (457. Ed. Baſ. *P.*)

[2] Ἀπὸ χειρῶν γέλως] Sic habent libri & MSS. & editi: ſed procul dubio mendoſe. Forte enim ſcribendum eſt ἀχρεῖος γέλως; quæ eſt conjectura eruditiſſimi Bentleji, quem de hoc loco conſului. Eſt autem ἀχρεῖος γέλως riſus indecorus, vel ſtolidus, ut qui fit ob res ineptas & frivolas. Vide Suidam ſupra v. Ἀχρειόγελως. Apud Homerum etiam legitur ἀχρεῖον δ' ἐγέλασσεν: ſed quod Grammatici aliter interpretantur. Vide Heſychium v. Ἀχρεῖον.

[3] Γεννᾶ] Scribendum eſt γεννᾶται, ut Portus etiam monuit.

[4] Τὰ δὲ γινόμενα κατὰ τρεῖς τρόπους γίνεται· κατ' οἰκον.] Eadem etiam leguntur infra v. Πρόνοια.

[5] Ἐν Ἐπιγράμματι] Antholog. lib. VI. cap. XV. Epigr. XIX. Locus hic ita hodie legitur: Ἄρκυν τε κλαγερῶν λαιμοπέδαν γεράνων. Sed lectio Suidæ præferenda eſt.

[6] Γλάμων. ὁ λημῶν τοὺς ὀφθαλμ.] Hæc ſunt verba Scholiaſtæ Ariſtoph. ad *Ranas* pag. 240. ex quo locus hic ſupplendus eſt.

[7] Τοὺς γλαμυροὺς κατὰ φορβάν] Fragmentum hoc, cujus ſenſus eſt obſcurus, non pertinet ad vocem γλάμων, ſed γλαμυρός.

[8] Ἀριστοφάνης Βατράχοις] Pag. 240. (154. Ed. Baſ. *P.*)

[9] Σκορόδων ὁμοῦ τρίψαντ' ὀπῷ κτλ.] Hæc ſunt verba Ariſtoph. *Eccleſiaz.* pag. 735. (494. Ed. Baſ. *P.*)

[10] Εἰώθασιν οἱ ἰατροὶ καὶ πατρίδας τῶν βοτ.] Hæc, & quæ ſequuntur, ſunt verba Scholiaſtæ ad modo indicatum locum Ariſtophanis.

(2). Bos. Animadvers. p. 147.

Γιγλισμὸς, κιχλισμὸς, ἀπὸ χειρῶν γέλως· γαργαλισμός.] Ad quem locum Cl. Interp. ait, ſic quidem habere libros Mſt. & editos, ſed procul dubio mendoſe, & ſcribendum forte ἀχρεῖος γέλως, quæ eſt conjectura Eruditiſſimi Bentleji, quem ſuper hoc loco conſuluiſſe ſe dicit. Sed me quidem judice infeliciter ſane ita emendatur locus. nam præterquam quod ἀχρεῖος γέλως non eſt vera interpretatio vocis Γιγλισμὸς, nimium etiam hoc recedit à veſtigiis ſcripturæ veteris, quam conſtanter retinent omnes codices. Illa ἀπὸ χειρῶν minime ſunt ſollicitanda; ſed tranſponendæ tantummodo voces γέλως & γαργαλισμὸς, hoc modo: Γιγλισμὸς, κιχλισμὸς, ἀπὸ χειρῶν γαργαλισμὸς, γέλως. hoc enim voluit dicere Suidas, quod γιγλισμὸς vel κιχλισμὸς ſit *titillatio quæ fit manibus*, & inde *riſus*. Sententiam noſtram firmabit Heſychius, qui Γιγλισμὸς, γαργαλισμὸς ἀπὸ χειρῶν, γέλως.

Τί δ' [1] ἦν Νεοκλείδης ὁ γλάμων σε λοιδορῇ;

ὗτος ἐκωμῳδεῖτο ὡς συκοφάντης, καὶ ξένος, καὶ κλέπτης. Γλάμων δὲ, ὁ ἔχων τοὺς ὀφθαλμοὺς μεστοὺς ἀκαθαρσίας.

Γλάνις. [2] εἶδος ἰχθύος. καὶ χρησμολόγος, Βάκιδος ἀδελφός.

Γλαῦκας [3] εἰς Ἀθήνας. ἐπὶ τῶν ἀχρήστους ἐμπορείας ἀγόντων· ἐπειδὴ τὸ ζῶον τοῦτο σφόδρα ἐπιχωριάζει ταῖς Ἀθήναις. καὶ Γλαύκειον ᾠόν.

Γλαυκός. λευκός. κυάνεος. Γλαῦκος δὲ, ὄνομα κύριον, γένος Καρύστιος, πύκτης, πέμπτῃ καὶ εἰκοστῇ Ὀλυμπιάδι στεφανωθεὶς, καὶ Πύθια τρὶς, Ἴσθμια δεκάκις, γενναῖος ὅλῳ τῷ σώματι.

Γλαῦκος [4] Καρύστιος. τούτου γῆν ἐργαζομένου, ἐπειδὴ συνέβη τὴν ὕννιν ἐκ τοῦ ἀρότρου πεσεῖν, καθήρμοσε τῇ χειρὶ ἀντὶ σφύρας. ἰδὼν δὲ τὸ ποιηθὲν ὁ πατὴρ, ἤγαγεν αὐτὸν εἰς Ὀλυμπίαν πυκτεύσοντα. ὁ δὲ, ἅτε οὐκ ἐμπείρως ἔχων, ἐτιτρώσκετο ὑπὸ τῶν ἀνταγωνιστῶν, καὶ ἀπαγορεύειν ἔμελλεν ὑπὸ τῶν πληγῶν. φασὶ δὲ τὸν πατέρα βοῆσαι, [5] παῖε τὴν ἐπ' ἀρότρου. ὁ δὲ βιαιότερον ἐπενεγκὼν πρὸς τὸν ἀνταγωνιζόμενον, ἔσχε τὴν νίκην. σκιαμαχοῦντος δὲ ὁ ἀνδριὰς παρέχεται σχῆμα, ὅτι ὁ Γλαῦκος ἦν [6] ἐπιτηδειότερος χειρονομεῖν.

Γλαὺξ [7] ἵπταται. ἡ πτῆσις τῆς γλαυκὸς εἰς νίκης σύμβολον ἐλογίζετο. καὶ ἑτέρα παροιμία· [8] Γλαῦκες Λαυριωτικαί. ἐπὶ τῶν πολλὰ χρήματα ἐχόντων· παρόσον ἐν [9] Λαυρείῳ τῆς Ἀττικῆς γίνονται χρύσεα μέταλλα. ἐνεχάραττον δὲ γλαῦκας ἐν τοῖς χρυσοῖς νομίσμασι. καὶ ἑτέρα παροιμία· [10] Γλαύκου τέχνη. ἐπὶ τῶν ῥᾳδίως κατεργαζομένων· ἀπὸ [11] Γλαύκου τινὸς Σαμίου, ὃς πρῶτος σιδήρου κόλλησιν ἐξεῦρεν. λέγεται δὲ ἡ γλαὺξ χαλκίς.

Γλαφυρόν. ἡδὺ, κοῖλον, βαθὺ, σοφὸν, ἔμπειρον, ἀκριβὲς, λαμπρόν.

Γλεῦκος. τὸ ἀποστάλαγμα τῆς σταφυλῆς, πρὶν πατηθῇ. καὶ ἡ [12] τραγῳδία φησὶ περὶ Αἴαντος·

Ἐμοὶ πικρὸς τέθνηκεν, ἢ κείνοις γλυκύς.

Γλήναια. [13] ἀξιοθέατα.

Γλήνη. κόρη ὀφθαλμοῦ. ἢ [14] ὄρη· παρὰ τὸ ὁρᾷν. Γλίνη δὲ, ὁ ῥύπος, διὰ τοῦ ι.

Γληχώ. θηλυκῶς Ἀττικοὶ τὸ ὀρίγανον. οἱ δὲ βληχώ φασι. λέγεται δὲ καὶ γλήχων, γλήχωνος. ἐν τῷ

batur, ut ſycophanta, & peregrinus, & fur. Γλάμων vero, qui oculos habet ſordium plenos.

Γλάνις. Piſcis genus. Item vates, Bacidis frater.

Γλαῦκας εἰς Ἀθ. *Noctuas Athenas.* Dicitur de iis, qui merces inutiles [& minime neceſſarias] in aliquem locum important. Animal enim hoc Athenis valde frequens eſt. Et γλαύκειον ᾠόν, ovum noctuinum.

Γλαυκός. Albus. Cœruleus. Γλαῦκος vero, nomen proprium pugilis, genere Caryſtii, qui Olympiade xxv. coronatus fuit, & Pythia ter, Iſthmia vero decies vicit, corporeque valde robuſto præditus fuit.

Γλαῦκος. Glaucus Caryſtius. Hic cum terram araret, vomer aratro forte excidit; quem is manu pro malleo uſus in priſtinum locum repoſuit. Id conſpicatus pater Olympiam eũ duxit, ut pugilatu cum aliis certaret. Cum vero Glaucus artis illius penitus imperitus eſſet, & ideo ab adverſariis vulneraretur, verberumque dolores ferre amplius non poſſet, patrem clamaſſe ferunt: *Ictum infer, qualem aratro.* Ille igitur cum majore niſu adverſarium percuſſiſſet, victoriam eſt adeptus. Statua ejus præ ſe fert ſpeciem hominis, ludicris geſtibus pugnantis, quoniam manibus geſticulari optime norat.

Γλαὺξ ἵπταται. *Noctua volat.* Noctuæ volatus victoriæ ſignum habebatur. Et aliud proverbium: *Noctuæ Laurioticæ*; quod dicitur de iis, qui magnam pecuniæ vim poſſident. In Laurio enim loco Atticæ auri metalla erant: & nummos aureos noctuæ imagine ſignabant. Et aliud proverbium: *Glauci ars*; quod dicitur de iis, qui facile rem aliquam conficiunt: a Glauco quodam Samio, qui primus ferruminationem invenit. Dicitur vero etiam γλαὺξ chalcis.

Γλαφυρόν. Jucundum, cavum, profundum, ſapiens, peritum, accuratum, clarum.

Γλεῦκος. Muſtum. Vel liquor ex uvis ſtillans, antequam calcentur. Et Tragicus de Ajace inquit: ***Mors ejus mihi acerbior fuit, quam illis jucunda.***

Γλήναια. Res ſpectatu dignæ.

Γλήνη. Pupilla oculi: quaſi dicas ὄρη; ab ὁρᾷν, videre. Γλίνη vero per ι, ſordes.

Γληχώ. Attici genere fœminino ſic vocant origanum. Alii vero dicunt βληχώ. Dicitur

---

[1] Τί δ' ἦν Νεοκλείδης ὁ γλάμων σε λοιδ.] Hæc leguntur in eadem fabula Ariſtophanis pag. 731. (491. Ed. Baſ. *F.*)

[2] Γλάνις. εἶδος ἰχθύος] Ex Scholiaſta Ariſtoph. ad *Equit.* pag. 347.

[3] Γλαῦκας εἰς Ἀθήνας. ἐπὶ τῶν ἀχρ.] Cum hoc loco conferri merentur, quæ habet Scholiaſta Ariſtoph. ad *Aves* pag. 555. 556.

[4] Γλαῦκος Καρύστιος. τούτου γῆν ἐργ.] Hæc, & quæ ſequuntur uſque ad finem articuli, leguntur etiam apud Pauſaniam lib. VI. pag. 361. unde Suidas ea deſcripſit.

[5] Παῖε τὴν ἐπ' ἀρότρου] Apud Pauſaniam hodie legitur, ὦ παῖ τὴν ἀπ' ἀρότρου; quod prætulerim.

[6] Ἐπιτηδειότερος] Rectius Pauſanias ἐπιτηδειότατος. Et ſic MS. Vatic. Pearſonio teſte.

[7] Γλαὺξ ἵπταται. ἡ πτ.] Ex Scholiaſta Ariſtoph. ad *Equit.* pag. 351. Huc ſpectant verba ejuſdem Comici *Veſpis* pag. 508.

Γλαῦξ γὰρ ἡμῶν πρὶν μάχεσθαι τὸν στρατὸν διέπτατο.

Vide ad eum locum Scholiaſtam.

[8] Γλαῦκες Λαυριωτικαί] Ariſtophanes *Avibus* pag. 594.

Γαῦκες ὑμᾶς οὔ ποτ' ἐπιλείψουσιν Λαυριωτικαί.

Huc Suidas reſpexit.

[9] Ἐν Λαυρείῳ] Laurii hujus meminerunt Pauſanias principio operis ſui; Plutarchus Tom. II. pag. 113. itemque alii ſcriptores.

[10] Γλαύκου τέχνη] Vide Petavium ad Juliani Orat. II. pag. 261.

[11] Γλαύκου τινὸς Σαμίου] Hunc Glaucum Herodotus, Athenæus, & Pauſanias Chium faciunt, non Samium; quorum potior eſt auctoritas. Stephanus Byzantius tamen v. Αἰθάλη a Suidæ ſtat partibus, quippe qui eum Samium quoque perhibet.

[12] Ἡ τραγῳδία] Sophocles in *Ajace* pag. 56.

[13] Γλήναια] Alii rectius γλήνεα, abſque diphthongo. Vide Heſychium, Etymologum, & Euſtathium.

[14] Ἢ ὄρη, παρὰ τὸ ὁρᾷν] Hæc ſic ſcribenda & per parentheſin legenda ſunt, οἷον ὄρη. παρὰ τὸ ὁρᾷν. His enim verbis etymologiam vocis κόρη Suidas obiter tradere voluit, ut Portus etiam monuit.

Βληχωνία βοτάνη. Γλίχων δὲ, ὄνομα κύριον, διὰ τοῦ ι.

Γλία. ἡ κόλλα.

Γλίσχρον. τὸ λαίμαργον, καὶ ἡδὺ, ἢ κολλῶδες. καὶ Γλίσχρος, Φειδωλὸς, σκνιφὸς, πάνυ ῥυπαρός. Ἀλλ' ἐγώ τις ἄρα δυσαπάλλακτος ἦν ἀπὸ τῶν τοιούτων, καὶ γλίσχρως ἔπ εἰχόμην τῆς αὐτῆς ἀληθείας, ἅτε ὡς ἀληθῶς ὄναρ πλουτήσας. † Κατέβη ἐκ χωρίων γλίσχρων, καὶ μηδ' ἐν εἰρήνῃ τρέφειν ἱκανῶν ὄντων. τουτέστι, τροφῆς σπανιζόντων. τὸ γλίσχρον ἐπὶ δυστυχίᾳ ἔλεγον οἱ Ἀττικοί. [1] Ἀριστοφάνης Εἰρήνῃ·

——— Ὦ γλίσχρων, ὁρᾷς
Ὡς οὐκέτ' εἶναί σοι δοκῶ μιαρώτατος.

ἀντὶ τοῦ, ὦ ἐπιθυμητά· παρὰ τὸ γλίχεσθαι. πρὸς Ἑρμῆν ὁ λόγος. καὶ αὖθις [2] Ἀριστοφάνης Εἰρήνῃ·

--- Ἕλκουσι δ' ὅμως
Γλισχρότατα σαρκάζοντες ὥσπερ κυνίδια.

καὶ Ἀρριανός· Τὰ ἐπιτήδεια γλίσχρως τῇ στρατιᾷ ἐπορίζοντο. ἀντὶ τοῦ φειδομένως.

Γλίσχρος. ταπεινός. κόλαξ. [3] Γενοῦ γλίσχρος, προσαιτῶν, λιπαρῶν τ' Εὐριπίδη. καὶ Γλίσχρων, ὁ ἐπιθυμητὴς παρὰ τὸ γλίχεσθαι. καὶ Γλίσχρως, ὀλισθηρῶς.

Γλισχραντιλογεξεπιτρίπτου. ἐκ τοῦ γλίσχρου καὶ ἀντιλογίαν ἔχοντος καὶ ἐπιτρίπτου σύγκειται· οἷον τοῦ δυναμένου ἐπιτρίψαι. [4] Ἀριστοφάνης Νεφέλαις·

Οὐδ' ἑλκόμενος περὶ [5] πραγματίου γλισχραντιλογεξεπιτρίπτου.

Γλίχεται. γενικῇ. λίαν ἔχεται. ἐπιθυμεῖ. καὶ Γλιχόμενος, ἐπιθυμῶν. κατ' αἰτιατικὴν δέ. Καὶ ταῦτα ἦν, ἃ ἐγλίχετο.

Demosth. π. Στεφ. I. 297. 4. et π. Παραπρ. II. 411. 24. Idd. Περὶ Εἰρ. I. 62. 25. et (sine casu) κ. Φιλ. B. I. 68. 18.

Γλουτόν. τὸ σφαίρωμα τῆς κοτύλης.

Γλώνυς. ὄνομα κύριον.

Γλωσσαλγίαν. ἀργολογίαν.

Γλῶσσαν [6] μὲν ἀργὸν, χεῖρα δ' εἶχον ἐργάτιν.
Νῦν δ' εἰς ἔλεγχον ἐξιὼν, ὁρῶ βροτοῖς
Γλῶσσαν [7] οὐχὶ τἄργ' εἰς πάνθ' ἡγουμένην.

Γλῶσσα ποῖ πορεύῃ; [8] πόλιν ἀνορθώσουσα, καὶ πόλιν καταστρέψουσα. ἡ παροιμία ἐπὶ τῶν διὰ λόγων ἢ ὠφελούντων, ἢ βλαπτόντων.

etiam Γλήχων, γλήχωνος. Quære in Γληχωνία βοτάνη. Γλίχων vero, per ι, eſt nomen proprium.

Γλία. Gluten.

Γλίσχρον. Guloſum, ſuave, glutinoſum, tenax. Et γλίσχρος, parcus, avarus, valde ſordidus. *Ego vero difficulter ab ejuſmodi [ſtudiis] avelli poteram, & tenaciter adhuc veritati huic adhærebam, ut qui in ſomnis vere ditatus eſſem.* † *Deſcendit ex locis ſterilibus, & quæ ne tempore quidem pacis incolas ſuos alere poterant.* Τὸ γλίσχρον etiam apud Atticos infelicitatem & miſeriam denotabat. † Ariſtophanes *Pace*: *Guloſe, vides me non amplius tibi videri ſceleſtiſſimum.* [Τὸ γλίσχρων proprie ſignificat] concupiſcens; a γλίχεσθαι, concupiſcere. His autem verbis [Trygæus] Mercurium alloquitur. Et iterum Ariſtophanes *Pace*: *Trahunt tamen macie confecti, & rictu diducto renidentes catulorum inſtar.* Et Arrianus: *Res ad victum neceſſarias exercitui parce præbebant.*

Γλίσχρος. Humilis. Adulator. [Ariſtophanes:] *Age fias humilis, mendicans, & ſuppliciter orans Euripidem.* Et γλίσχρων, concupiſcens. A γλίχεσθαι, concupiſcere. Et γλίσχρως, lubrice.

Γλισχραντιλογεξεπιτρίπτου. Nomen hoc compoſitum eſt ex voce γλίσχρον, ἀντιλογία, ἐξ, & ἐπίτριπτον, i. e. quod conterere poteſt. Ariſtophanes *Nubibus*: *Neque in jus rapieris ob damnoſam litem de levi negotio.*

Γλίχεται. Valde optat. Cupit. Genitivo jungitur. Et γλιχόμενος, cupiens. Item, cum accuſativo. *Et hæc erant, quæ concupiſcebat.*

Γλουτόν. Clunes. Nates.

Γλώνυς. Glonys. Nomen proprium.

Γλωσσαλγίαν. Inanem loquacitatem.

[7] Γουνῷ ἀλωῆς. ἐν τῷ γονιμ.] Ex Scholiaſta Homeri ad Il. I. v. 530.

[8] Γωνιασμός. Λυσίας ἐν τῷ κατὰ Λυσ.] Eadem habet Harpocratio; ſed brevius.

[9] Ἀριστοφάνης] *Ranis* pag. 257. (168. Ed. Baſ. *P.*) ſed ubi locus hic paulo aliter legitur.

[10] Καὶ κατὰ γωρυτοῦ παρηρ. ———— δοράτων μέγεθος] Fragmentum hoc legitur apud Joſephum *de Bello Jud.* lib. III. pag. 836.

[11] Γραμματεύς. οὗτος πράξ.] Confer Harpocrationem h. v. itemque Petitum *de Legibus Attic.* pag. 257.

Γραμματεύς. ὁ νοτάριος. Τὸν [2] τῶν ἀπορρήτων γραμματέα ἀσηκρῆτις καλοῦσι τὸ ἀξίωμα Ῥωμαῖοι. κληρωτοὶ [3] δὲ ἦσαν τὸν ἀριθμὸν τρεῖς, γράφοντες τὰ δημόσια. οὐδενὸς δὲ ἦσαν οἱ γραμματεῖς οὗτοι κύριοι, ἀλλ' ἢ τοῦ γράφειν καὶ ἀναγνῶναι.

Γραμματείδιον, καὶ γραμματεῖον. τὸ συμβόλαιον. Γραμμάτιον δὲ, τὸ μικρὸν γράμμα. Ἔνθεν μὲν χρυσόν τε καὶ ἄργυρον καὶ γραμματεῖα βασιλικὰ, οἷς τῶν πατρικίων τιμὴν δωρούμενα.

Γραμματεῖον. διδασκαλεῖον. Ἅτε προηγμένος ἀνελπίστως ἐκ τοῦ γραμματείου, καὶ τῆς τοιαύτης διαθέσεως, πολὺς ἐπέπνει.

Γραμματείας. ἐξαριθμήσεις. [4] Δαβίδ· Ὅτι οὐκ ἔγνων γραμματείας· ὅμως εἰσελεύσομαι ἐν δυναστείᾳ Κυρίου.

Γραμματιστής. ὁ τὰ πρῶτα στοιχεῖα διδάσκων. Γραμματικὴ δέ ἐστιν ἐπιστήμη τοῦ ἀναγινώσκειν καὶ γράφειν. Ὁ δὲ [5] ἐς γραμματιστοῦ ἐφοίτησε παρὰ Ἀντιοχεῦσιν. Καὶ αὖθις· Οὐδὲ τὰ πρῶτα παρὰ τοῖς γραμματισταῖς ἐκμεμαθηκὼς στοιχεῖα. Καὶ αὖθις· Οὐ γὰρ [6] ἄλλο οὐδὲν ἐς γραμματιστοῦ φοιτῶν ἔμαθεν, ὅτι μὴ γράμματα καὶ ταῦτα κακῶς γράψαι.

Γραμματοκύφων. ἀντὶ τοῦ ταπεινὲ γραμματεῦ. κυρίως γὰρ κύφων τὸ ξύλον καλεῖται. [7] Δημοσθένης καὶ ἄλλα σκώπτει τὸν Αἰσχίνην, καὶ γραμματοκύφωνα αὐτὸν καλεῖ· ὃν καὶ υἱὸν εἶναί φησιν ὄνομα Τρόμητος, διδασκάλου δὲ τῶν πρώτων γραμμάτων.

Γραμμή. [8] Γραμμή ἐστιν ἐπιφανείας πέρας· ἢ μῆκος ἀπλατὲς, τὸ μῆκος μόνον ἔχον. καὶ ἡ ἀρχὴ, ἡ ἀφετηρία, ἡ βαλβίς. [9] Ἀριστοφάνης· Γραμμὴ δ' αὑτηΐ. ἀντὶ τοῦ ἀρχὴ, ἀφετηρία, ἡ λεγομένη βαλβίς. ἐκ μεταφορᾶς τῶν δρομέων.

Πρόβαινε νῦν ὦ θυμέ· γραμμὴ δ' αὑτηΐ.

Γράσος. ἡ δυσοσμία τῶν τράγων. καὶ Γράσων ἄνθρωπος. ὁ δύσοσμος. [10] Τῷ Γράσωνι μὴ ὀργίζου.

Γρατιανός. [11] Οὗτος ὡς ἐπύθετο τὴν τοῦ Οὐάλεντος τοῦ θείου τελευτὴν, αὐτίκα πρὸς τὴν ἑῴαν Ῥώμην διέθει, καὶ καταγνοὺς τῆς τοῦ θείου Οὐάλεντος τῆς περὶ τοὺς Χριστιανοὺς ὠμότητος, τοὺς μὲν ὑπ' ἐκείνου ἐξορισθέντας διὰ ταχέων ἀνεκαλεῖτο, οὐσίας τε

habebat, ſed Senatui & populo prælegebat ea, quæ gerebantur. Idem etiam ἀντιγραφεὺς vocabatur, quod acta Senatus ſcriptis mandaret.

Γραμματεύς. Scriba. Notarius. Scribam arcanorum Romani *a ſecretis* vocant. † Tres erant ſcribæ [apud Athenienſes,] qui ſorte creabantur, & acta publica ſcribebant. His nullius rei gerendæ poteſtas data erat, præterquam ſcribendi & prælegendi.

Γραμματείδιον, & γραμματεῖον. Tabula contractus. Γραμμάτιον vero, litera parva. *Inde vero & aurum & argentum & diplomata regia, quibus Patriciorum dignitas conferebatur, [attulerunt.]*

Γραμματεῖον. Ludi literarii. *Magnum præ ſe ferebat faſtum, utpote qui præter ſpem ex ludo literario prodierat.*

Γραμματείας. Enumerationes. David: *Quamvis iis omnibus enumerandis impar ſim, tamen in potentia Domini intrabo.*

Γραμματιστής. Literator. Sive, qui prima elementa docet. Grammatica vero eſt legendi & ſcribendi ſcientia. *Ille vero apud Antiochenſes ludum literatoris frequentavit.* Et iterum: *Qui ne prima quidem elementa apud literatores didicerat.* Et iterum: *Ludum enim literatoris frequentans nihil aliud didicit, niſi literas eaſque male pingere.*

Γραμματοκύφων. Vilis ſcriba & literator. Proprie enim κύφων appellatur collare ligneum, [cui cervices maleficorum illigantur.] Demoſthenes tum aliis dicteriis Æſchinem inſectatur, tum etiam γραμματοκύφωνα eum vocat: quem etiam filium eſſe dicit Trometis cujuſdam literatoris.

Γραμμή. Linea. Linea eſt ſuperficiei finis; aut longitudo ſine latitudine, [aut] ſolam tantum longitudinem habens. Item, principium, carceres, & locus, unde curſores ad curſum emittebantur. Ariſtophanes: *Progredere nunc, mi anime: hi enim ſunt carceres.*

Γράσος. Fœtor hircorum. Et Γράσων ἄνθρωπος, homo male olens. *Hircũ olenti ne iraſcaris.*

Γρατιανός. Gratianus. Hic audita Valentis patrui morte, protinus Conſtantinopolin petiit, damnataque ſævitia, qua adverſus Chriſtianos uſus fuerat, primum quidem cunctos, qui a Valente in exilium miſſi erant, celeriter revocavit, bonaque eis reſtituit, ac damαὐτοῖς ἀποδιδοὺς, καὶ θεραπεύων τὰς βλάβας· πᾶσι δὲ νόμον παρεῖχεν ἀδεῶς καὶ ἀδιαλείπτως ἐν ταῖς ἰδίαις Ἐκκλησίαις συνάγεσθαι. μόνους δὲ τῶν εὐκτηρίων εἴργεσθαι Εὐνομιανοὺς, Φωτεινιανοὺς, Μανιχαίους. † Ὅτι ἐν τῷ περιπάτῳ ἔφιπποι στῆλαι ἵσταντο Γρατιανοῦ, Οὐαλεντινιανοῦ, καὶ Θεοδοσίου, καὶ κυρτοῦ Φιρμιλιανοῦ πρὸς γέλωτα.

---

[1] Ἀπὸ τοῦ γράφειν] Imo ἀπὸ τοῦ ἀντιγράφειν.

[2] Τὸν τῶν ἀπορρήτων γραμματέα ἀσηκρ. καλοῦσι τὸ ἀξ. Ῥωμ.] Procopius *de Bello Perſ.* lib. II. cap. VII. Ἐτύγχανε γὰρ Ἰουστινιανὸς βασιλεὺς Ἰωάννην τε τὸν Ῥουφίνου καὶ Ἰουλιανὸν τὸν τῶν ἀπορρήτων γραμματέα πρέσβεις παρὰ Χοσρόην στείλας. Ἀσηκρῆτις καλοῦσι τοῦτο τὸ ἀξίωμα Ῥωμαῖοι. Σήκρητα γὰρ καλεῖν τὰ ἀπόρρητα νενομίκασιν. Ex hoc loco Suidæ verba deprompta eſſe apparet.

[3] Κληρωτοὶ δὲ ἦσαν τὸν ἀριθμ.] Hæc, & quæ ſequuntur, de ſcribis veterum Athenienſium intelligenda ſunt: quod ideo moneo, ne quis forte hæc ad inſtituta Romanorum, quorum mentio proxime præcedit, referenda eſſe putet. Solet enim ſæpe Suidas excerpta de rebus diverſiſſimis abſque ulla nota diſtinctionis uni voci ſubjicere: quæ res incautum Lectorem facile decipere poteſt.

[4] Δαβίδ] Pſalm. LXX. v. 16. ubi vide Theodoretum.

[5] Ὁ δὲ ἐς γραμματιστοῦ ἐφοίτησε παρὰ Ἀντιοχ.] Procopius *de Bello Perſ.* lib. II. cap. VI. Ὁ δὲ Παῦλος οὗτος ἐτέθραπτο μὲν ἐν γῇ τῇ Ῥωμαίων, καὶ εἰς γραμματιστοῦ παρ' Ἀντιοχεῦσιν ἐφοίτησεν. Hinc Suidæ verba deprompta ſunt.

[6] Οὐ γὰρ ἄλλο οὐδὲν ἐς γραμμ.] Hæc ſunt verba ejuſdem Procopii de Joanne Cappadoce, lib. I. *de Bello Perſ.* cap. XXIV. pag. 70. Vide etiam infra v. Ἰωάννης ὁ Καππαδ. ubi hic ipſe locus repetitur.

[7] Δημοσθένης] Locus Demoſthenis, ad quem Suidas hic reſpicit, exſtat in oratione pro Cteſiphonte pag. 343.

[8] Γραμμή ἐστιν ἐπιφ.——τὸ μῆκος μόνον ἔχον] Hæc ſunt verba Laertii *Zenone*, Segm. CXXXV. ut Pearſonius obſervavit.

[9] Ἀριστοφάνης] *Acharnenſ.* pag. 394. (281. Ed. Baſ. *P.*)

[10] Τῷ γράσωνι μὴ ὀργίζου] Fragmentum hoc depromptum eſt ex Marc. Anton. lib. I. §. 28. ſed ubi legitur, Τῷ γράσωνι μήτι ὀργίζῃ, i. e. *Num ſuccenſes ei, qui hircum olet?*

[11] Γρατιανός. οὗτος ὡς ἐπύθετο τὴν τοῦ Οὐάλεντος τοῦ θείου τελ.——Μανιχαίους] Hæc leguntur in Excerptis ex Joanne Antiocheno, a Valeſio editis, pag. 846. unde Suidas ea deſcripſit.

Γραῦς. καὶ ἡ ἄνθρωπος· καὶ[1] ὁ ἀνώτατος ἀφρὸς ἐν τῷ ὑπερζεῖν τὰ ὄσπρεια γινόμενος. Ἀριστοφάνης Πλούτῳ·

--- Πολὺ τῶν ἄλλων χυτρῶν τἀναντία
Αὗται ποιοῦσι. ———

ποιητικῶς δὲ γρηῦς λέγεται.

Ἡ γρηῦς, ἡ χερνῆτις, ἡ γυρὴ πόδας,
Πύστιν κατ' ἐσθλὴν ὕδατος Παιωνίου,
Ἦλθεν[2] ποθ' ἑρπύζουσα σὺν δρυὸς ξύλῳ.

Γραῦς ἀνακροτήσασα πολὺν κονιορτὸν ἐγείρει. ἐπὶ τῶν δι' ἐμπειρίαν πολλὰ πράγματα κινούντων.

Γραῦς ὥς τις ἵππος τὸν χαραδραῖον τάφον
Ἕξεις.

ἐπὶ τῶν ἀξίως τὰ ἔσχατα πασχόντων· παρόσον οἱ γεγηρακότες ἵπποι εἰς τὰς χαράδρας κρημνίζονται κα ἐμβάλλονται.

Γραῦς[3] σέριφος. ἡ ἐν παρθενίᾳ γεγηρακυῖα· ἀπὸ μεταφορᾶς τῆς ἀγρίας ἀκρίδος, ἣν καλοῦσι γραῦν σέριφον καὶ μάντιν.

Γραῦς χορεύει. ἐπὶ τῶν παρ' ὥραν τι διαπραττομένων. ταῖς γὰρ νέαις πρέπει τὸ χορεύειν. καὶ, Γραῶν ὕθλοι. ἡ παροιμία ἐπὶ τῶν μάτην ληρούντων.

Γραφάς. δικαστήρια. κατηγορίας.

Γραφή τε καὶ Λευκαῖος οὐ ταυτόν. ἐπὶ τῶν ἀνόμοια γραφόντων.

Γράφεται. ἀντὶ τοῦ γράφει. ἢ κατηγορεῖ.

Γραφεύς. ὁ ζωγράφος.

Ὃς τοῖς νεκροῖσι ζωγραφεῖ τὰς ληκύθους.

τοιαῦτα γὰρ ἐν τοῖς μνήμασιν ἔγραφον. καὶ Δημοσθένης γράφειν, τὸ ζωγραφεῖν.

Γράφειν ἐς τάχος. οὕτω λέγεται κατὰ διαστολήν. Προκόπιος· Τὴν ἐς τάχος γράφουσαν μοῖραν.

Γραφή. ἡ περὶ τῶν δημοσίων ἀδικημάτων κατηγορία, καὶ περὶ τῶν ἄλλων ἁμαρτημάτων. γίνονται δὲ γραφαὶ καὶ νόμων καὶ ψηφισμάτων οὐκ ἐπιτηδείων εἰσκομίζεσθαι δοκούντων· αἵ τινες γραφαὶ παρανόμων καλοῦνται.

Γραφή.[4] δημοσίου τινὸς ἐγκλήματος ὄνομα. οὐ μόνον δὲ ὅταν ψηφίσματος ἢ νόμου κατηγορῇ τις, παρανόμων γραφὴν ἀποφέρεσθαι λέγεται· ἀλλὰ καὶ

na reſarcivit. Deinde vero lege lata cujuſcunque religionis hominibus permiſit, ut ſecure ac libere conventus in Eccleſiis propriis agerent. Solis Eunomianis, Photinianis, ac Manichæis conventicula ademit. † In Peripato erectæ erant ſtatuæ equeſtres Gratiani, Valentiniani, Theodoſii, & Phirmiliani gibbi riſus gratia.

Γραῦς. Anus. Item ſpuma, quæ in ſumma olla leguminibus bullientibus cernitur. Ariſtophanes *Pluto: Ollæ hæ longe aliter comparatæ ſunt, quam aliæ.* Poetice vero pro γραῦς dicitur γρηῦς. *Anus paupercula, curvos habens pedens, ob celebrem famam aquæ Pæoniæ baculo querno innixa, & ægre moliens gradum, aliquando acceſſit.*

Γραῦς ἀνακροτ. *Anus ſubſultans multum pulveris excitat.* De iis, qui propter uſum rerum magnas turbas excitant.

Γραῦς ὥς τις ἵππ. *Anus velut equus in torrente ſepulcrum habebis.* Dicitur de iis, quibus merito peſſimus vitæ exitus contingit. Equi enim ſenio confecti in torrentes & foſſas præcipitantur.

Γραῦς σέριφος. *Anus ſeripha.* Dicitur de ea, quæ in virginitate conſenuit. Per tranſlationem ductam ab agreſti locuſta, quam anum ſeripham & mantin vocant.

Γραῦς χορεύει. *Anus ſaltat.* De iis dicitur, qui aliquid faciunt, quod ætatem ipſorum non decet. Adoleſcentulas enim decet ſaltare. Et, *Nugæ aniles.* Proverbium, quod dicitur de iis, qui nugas temere effutiunt.

Γραφάς. Judicia. Accuſationes.

Γραφὴ καὶ Λευκ. *Scriptura & Leucæus non ſunt idem.* De iis dicitur, qui diſſimilia ſcribunt.

Γράφεται. Scribit, vel, accuſat.

Γραφεύς. Pictor. *Qui mortuis lecythos pingit.* Hujuſmodi enim picturas in monumentis pingebant. Et Demoſthenes τὸ γράφειν dixit pro ζωγραφεῖν, i. e. pingere.

Γράφειν ἐς τάχος. Notis ſcribere. Sic dicitur per diaſtolen [pro ταχυγραφεῖν.] Procopius: *Partem celeriter ſcribentem.*

Idem fragm. longe plenius ap. Schol. Demosth. IV. p. 54. quasi ex Xenoph. Hist. Ἑλ. citari notavit Porsonus.

Γραφή. Accuſatio criminum publicorum, & aliorum delictorum. Inſtituuntur autem & accuſationes ob leges & decreta, quæ perperam lata & facta videntur: quæ actiones παρανόμων vocantur.

Γραφή. Actionis publicæ nomen. Non ſolum autem cum quis decretum aut legem aliquam accuſat, γραφὴν παρανόμων ἀποφέρεσθαι ἐπ' ἄλλοις δημοσίοις ἀδικήμασι. πολλὴ δὲ ἡ χρῆσις τοῖς ῥήτορσιν.

---

[1] Καὶ ὁ ἀνώτατος ἀφρὸς] Vide Scholiaſtam Nicandri ad Alexiph. pag. 47.

[2] Ἦλθεν ποθ' ἑρπύζουσα σὺν δρ.] Idem ſenarius legitur infra v. Διοσκήρειππι.

[3] Γραῦς σέριφος] Apud Heſychium & Zenobium, nec non in Vaticana Proverbiorum Appendice hodie legitur Γραῦς ἔριφος; quod Eraſmus, qui lectionem illam amplectitur, vertit, *Anus hædus.* Sed lectionem Suidæ recte defendit doctiſſimus Leonardus *Emendat.* lib. v. cap. xxi. quem vide.

[4] Γραφή. δημοσίου τινὸς ἐγκλήματος ὄνομα——ῥήτορσι] Ex Harpocratione.

Γραφή. ζωγραφία. κατηγορία. καὶ [1] ἐπιγράμμασιν. [2] Ἀπορῶ, γράφω. γράφω μὲν, ἀντὶ τοῦ καταγράφω, ἢ ζωγραφῶ ἐπὶ τῆς γῆς [3] ξὺν τῷ δακτύλῳ, καί τινι τοιούτῳ παιδιᾷ τινι.

Γραφή. κατηγορία. ἐγκλήματα.

Γράφω. τὸ ἐπιστέλλω. δοτικῇ. [4] ἰστέον, ὅτι τὸ γράφω πρὸς διάφορον σημασίαν διάφορον ἔχει καὶ τὴν σύνταξιν. καὶ εἰ μὲν γράφω σοι ἐστὶ, δοκεῖ σημαίνειν τὸ ἐπιστέλλω σοι. εἰ δὲ γράφω σε, σημαίνει τὸ ἐκτύπωμά σου ποιῶ· ὡς τὸ, οἱ τὰς μορφὰς γράψαντες καὶ τὰ γράμματα. εἰ δὲ γράφομαί σε, σημαίνει τὸ κατὰ σοῦ ἐγγραφὰς ποιῶ, εἰς δικαστήρια ἐκτίθεμαι· ὡς τὸ, γράφομαί σε φόνων καὶ παρανόμων ἐπὶ τοῦ Ῥαδαμάνθυος.

Γράψαι. κοιλάναι. διασκάψαι.

Γράψομαι. κατηγορήσω. [5] Ἀριστοφάνης·

--- Γράψομαι,
Μήδοισιν αὐτὸν προδιδόναι τὴν Ἑλλάδα.

Γραῖα. ἡ παλαιά.

Γραικοί.[6] οἱ Ἕλληνες. ἀπὸ κώμης τινός. ἢ ἀπὸ Γραικοῦ τινος. ἐκ τοῦ Γραῖξ, Γραικός.

Γραιοσόβαι.[7] ἀπὸ τῶν ἰχθύων ἀποσοβοῦντες τὰς γραῦδας, ὡς μὴ ἀγοράζειν. ἢ γραυσὶ συγκοιμώμενοι. σοβάδες γὰρ αἱ πόρναι.

Γραιούδια. οἱ παρ' ἡμῖν ἑφθοὶ ὄμφακες.

Γρηγόριος, [8] Ναζιανζοῦ Ἐπίσκοπος, (σταθμὸς δέ ἐστιν οὗτος Καππαδοκίας) ἀνὴρ ἐλλογιμώτατος, ἀναγκαῖος φίλος Βασιλείου τοῦ τῆς Καισαρείας Ἐπισκόπου, τῆς ἐν Καππαδοκίᾳ. οὗτος οὐ μόνον γραμματικὸς, καὶ τὰ ἐς τὴν ποίησιν δεξιὸς, ἀλλὰ πολλῷ πλεῖον καὶ εἰς φιλοσοφίαν ἐξήσκητο, καὶ ῥήτωρ ἦν ἀμφιδέξιος. οὗτος ἔγραψε καταλογάδην πολλά. εἰς γὰρ τρεῖς μυριάδας στίχων τὰ συντάγματα αὐτοῦ συνέθηκεν· ἀφ' ὧν εἰσὶ τάδε. Περὶ τῆς τελευτῆς τοῦ ἀδελφοῦ Καισαρίου. Ἐπιτάφιος εἰς τὸν ἑαυτοῦ πατέρα. ἕτερος εἰς τὴν ἀδελφὴν Γοργονίαν. Περὶ φιλοπτωχίας. Ἔπαινοι τῶν Μακκαβαίων. Ἔπαινοι Κυπριανοῦ. Ἔπαινοι Ἀθανασίου. [9] Ἔπαινοι Ἥρωνος φιλοσόφου. Κατὰ Ἰουλιανοῦ τοῦ βασιλέως λόγοι δύο. Περὶ τοῦ ἁγίου πνεύματος λόγος εἷς. Πανηγυρικοὶ λόγοι δέκα· καὶ ἕτεροι πλεῖστοι καὶ πᾶσι γνώριμοι.

dicitur; ſed nomen hoc de aliis etiam criminibus publicis dicitur. Frequens autem hujus vocis uſus eſt apud oratores.

Γραφή. Pictura. Accuſatio. Item, inſcriptio. [Ariſtophanes:] *Dubito, ſcribo.* Γράφω hic ſignificat deſcribo, vel digito aut aliquo alio inſtrumento in terra ludicra quædam pingo.

Γραφή. Accuſatio. Crimina.

Γράφω. Literas ad aliquem ſcribo. Dativo jungitur. Sciendum eſt, verbum γράφω pro diverſa ſignificatione, diverſam etiam habere conſtructionem. Nam ſi dicas, γράφω σοι, ſignificat, literas ad te ſcribo. Sin γράφω σε, ſignificat, imaginem tuam pingo. *Qui imagines & literas pinxerunt.* At γράφομαί σε ſignificat, te accuſo, in jus voco. Ut, *Te cædium & legum perperam latarum accuſo coram Rhadamantho.*

Γράψαι. Sculpere. Cœlare. Effodere.

Γράψομαι. Accuſabo. Ariſtophanes: *Accuſabo eum, tanquam Græciam Medis prodentem.*

Γραῖα. Vetula. Anus.

Γραικοί. Græci. [Sic vocati] ab oppido quodam. Vel ab aliquo, cui nomen erat Græcus. [Γραικὸς vero deducitur] a Γραῖξ, Γραικός.

Γραιοσόβαι. Qui vetulas a piſcibus arcent, ne eos emant. Vel, qui cum vetulis concumbunt. Σοβάδες enim vocantur meretrices.

Γραιούδια. Sic apud nos vocantur coctæ uvæ immaturæ.

Γρηγόριος. Gregorius, Epiſcopus Nazianzenus, (eſt autem Nazianzus ſtatio Cappadociæ) vir celeberrimus, & Baſilii Cæſareæ in eadem Cappadocia Epiſcopi familiaris amicus. Hic non ſolum Grammaticus & Poeta excellens, ſed etiam multo magis philoſophus inſignis, & orator peritiſſimus fuit. Idem oratione ſoluta multa ſcripſit, operaque ejus circiter xxx millia verſuum continent: ex quibus & hæc ſunt. De obitu fratris Cæſarii. Oratio funebris in patrem ſuum. Altera in ſororem Gorgoniam. De pauperibus amandis. Laudes Maccabæorum. Laudes Cypriani. Laudes Athanaſii. Laudes Heronis philoſophi. Contra Julianum Imperatorem orationes duæ. De Spiritu S. oratio una. Orationes panegyricæ decem: aliæque plurimæ, quæ omnibus notæ ſunt. Secutus eſt autem genus dicendi, quo uſus

---

[1] Ἐπιγράμμασιν] Portus legendum putat ἐπιγράμματα: quod non aſpernor.

[2] Ἀπορῶ. γράφω] Hæc verba ſumpta ſunt ex loco illo Ariſtophanis *Acharnenſ.* pag. 371. (262. Ed. Baſ. *P.*)

Ἀπορῶ, γράφω, παρατίλλομαι, λογίζομαι.

Vide ibi veterem Enarratorem. cujus verba Suidas hic deſcripſit.

[3] Ξὺν τῷ δακτύλῳ, καί τινι τοιούτῳ παιδιᾷ τινι] Locum hunc ſic emendabis: Ξύων τῷ δακτύλῳ, καί τινι τοιούτῳ παιδιάς τινας.

[4] Ἰστέον, ὅτι τὸ γράφω πρὸς διάφ. σημ. διάφ.] Eadem pene habet Etymologus.

[5] Ἀριστοφάνης] *Pace* pag. 631. (438. Ed. Baſ. *P.*)

[6] Γραικοί. οἱ Ἕλληνες] Vide Stephanum Byzantium v. Γραικός, & ibi Berkelium.

[7] Γραιοσόβαι. ἀπὸ τῶν ἰχθ.] Ex Scholiaſta Ariſtophanis ad *Pacem* pag. 685. (466. Ed. Baſ. *P.*)

[8] Γρηγόριος, Ναζιανζοῦ Ἐπίσκ.] Confer Hieronymum *de Scriptor. Eccleſ.* ejuſque interpretem Sophronium, apud quem nonnulla eorum, quæ Suidas hic habet, αὐτολεξεὶ quoque leguntur.

[9] Ἔπαινοι Ἥρωνος φιλ.] Aliter Hieronymus in *Catalogo Script. Eccleſ.* cujus verba adducam: *Laudes Maximi philoſophi, poſt exilium reverſi, quem falſo nomine quidam Heronis ſuperſcripſerunt, quia eſt & alius liber, vituperationem ejuſdem Maximi continens; quaſi non licuerit eundem & laudare & vituperare pro tempore.*

ἠκολου-

ἠκολούθησε δὲ τῷ Πολέμωνος χαρακτῆρι τοῦ Λαοδικέως, τοῦ σοφιστεύσαντος ἐν Σμύρνῃ· ὃς ἐγεγόνει διδάσκαλος Ἀριστείδου τοῦ ῥήτορος. ἔγραψε δὲ αὐτῷ καὶ ἑτέρα βίβλος δι' ἑξαμέτρων, παρθενίας καὶ γάμου καθ' ἑαυτοὺς διαλεγομένων· καὶ εἰς ἑτέρας ὑποθέσεις ἐν παντοίοις καὶ διαφόροις μέτροις, ἅ τινα συνάγονται εἰς ἐπῶν μυριάδας τρεῖς. τοῦ δὲ Γρηγορίου τούτου καὶ Φιλοστόργιος ὁ Ἀρειανὸς ἐν τῇ κατ' αὐτὸν ἱστορίᾳ μνήμην πεποίηται, καί φησι· [1] Γρηγόριος γὰρ ἤκμαζε κατ' ἐκείνους τοὺς χρόνους ἐν τῇ Ναζιανζῷ (σταθμὸς δὲ οὗτος ὁ τόπος Καππαδοκίας) καὶ Βασίλειος ἐν Καισαρείᾳ τῆς Καππαδοκίας, καὶ Ἀπολλινάριος ἐν τῇ Λαοδικείᾳ τῆς Συρίας. τρεῖς δὴ οὗτοι τότε ἄνδρες τοῦ ὁμοουσίου προυμάχουν κατὰ τοῦ ἑτερουσίου, μακρῷ πάντας παρενεγκόντες τοὺς πρότερον καὶ ὕστερον ἄχρις ἐμοῦ τῆς αὐτῆς αἱρέσεως προστάντας· ὡς παῖδα παρ' αὐτοῖς κριθῆναι τὸν Ἀθανάσιον. τῆς τε γὰρ ἔξωθεν καλουμένης παιδεύσεως ἐπὶ πλεῖστον οὗτοι προεληλύθεισαν, καὶ τὴν τῶν ἱερῶν γραφῶν, ὁπόσα εἰς ἀνάγνωσιν καὶ τὴν πρόχειρον μνήμην ἐτέλει, πολλὴν εἶχον τὴν ἐμπειρίαν. καὶ μάλιστά γε αὐτῶν ὁ Γρηγόριος. καὶ μὴν καὶ συγγράφειν ἕκαστος αὐτῶν εἰς τὸν αὐτοῦ τρόπον ἦν ἱκανώτατος. τῷ μέν γε Ἀπολλιναρίῳ τὸ ὑπομνηματικὸν εἶδος τῆς λέξεως μακρῷ ἄριστα εἶχε. Βασίλειος δὲ πανηγυρίσαι λαμπρότατος ἦν. τῷ δέ γε Γρηγορίῳ, καὶ παρ' ἀμφοτέροις ἐξεταζομένῳ, μείζω βάσιν εἰς συγγραφὴν εἶχεν ὁ λόγος. καὶ ἦν εἰπεῖν Ἀπολλιναρίου μὲν ἁδρότερος, Βασιλείου δὲ στερεώτερος. τοσαύτης δὲ αὐτοῖς ἐν τῷ λέγειν καὶ γράφειν δυνάμεως οὔσης, καὶ τὸ ἦθος οὐδὲν ἧττον οἱ ἄνδρες παρείχοντο πρὸς τὴν τῶν πολλῶν θέαν ἐπαγωγότατον. ὥστε καὶ οἷς ὁρῶντο, καὶ οἷς ἔλεγον, καὶ ὁπόσα γράφοντες διεδίδοσαν, διὰ πάντων ᾕρουν εἰς τὴν ἑαυτῶν κοινωνίαν τοὺς καθ' ὁτιοῦν αὐτῶν εὐμαρέστερον ἁλίσκεσθαι δυναμένους. Τοσαῦτα περὶ αὐτῶν ὡς ἐν παραδρομῇ Φιλοστόργιος, καὶ ταῦτα Ἀρειανὸς ὤν, ἔγραψεν. ἔτι γοῦν περιὼν εἰς τὸν οἰκεῖον τόπον ὁ Γρηγόριος Ἐπίσκοπον καταστήσας ἐν τῇ λαχούσῃ αὐτὸν Ἐκκλησίᾳ, αὐτὸς ἐν ἀγρῷ τινι βίον μοναδικὸν ἐπηνέγκατο. ἐλάσας δὲ περὶ τὰ ἐνενήκοντα ἔτη καὶ ἐπέκεινα, [2] Θεοδοσίου τρίτον καὶ δέκατον ἔτος ἄγοντος, καταλύει τὸν βίον, ἀνάξιον τοῦτο τῆς αὐτοῦ παθὼν ἀρετῆς, καὶ τῆς καθέδρας ἀποκρουσθῆναι τῆς βασιλευούσης τῶν πόλεων, καὶ προκριθῆναι μᾶλλον τοὺς φαυλοτέρους, ἢ τὸν ἐπ' ἀρετῇ καὶ λαμπρότητι βίου πάντων μᾶλλον ὑπερέχοντα.

Γρηγόριος, Νύσσης Ἐπίσκοπος, ἀδελφὸς Βασιλείου τοῦ Καισαρέως, ἀνὴρ καὶ αὐτὸς ἐλλογιμώτατος, καὶ πάσης ὑπάρχων παιδείας ἀνάπλεως· προσκείμενος δὲ μᾶλλον τοῖς τῇ ῥητορικῇ χαίρουσι. καὶ γοῦν εὐδόκιμος ἐν ταύτῃ γεγένηται καὶ λαμπρὸς, εἴ τις ἄλλος τῶν πάλαι ταύτῃ γεγενημένων. οὗτος συνέταξε κατ' Εὐνομίου λόγον ἐξαίρετον, καὶ τεῦχος

fuit Polemo Laodicenſis, qui Smyrnæ eloquentiam docuit, & Ariſtidis Rhetoris præceptor fuit. Scripſit & alium librum verſibus hexametris, in quo virginitas & conjugium inter ſe colloquuntur. Item de aliis argumentis diverſo & omniſario genere verſuum, quorum numerus XXX millia circiter implet. Hujus Gregorii Philoſtorgius Arrianus quoque in hiſtoria ſua mentionem facit his verbis: *Floruit illis temporibus Gregorius Nazianzi, (eſt autem Nazianzus ſtatio Cappadociæ) & Baſilius Cæſareæ in Cappadocia, & Apollinaris Laodiceæ in Syria. Hi tres viri tunc pro Homouſio contra Heterouſium propugnabant, longo intervallo ſuperantes omnes illos, qui & ante & poſt ad meam uſque ætatem hæreſis illius defenſores fuerunt; adeo ut Athanaſius cum iis collatus puer judicaretur. Nam & in diſciplinis profanis maximos fecerant progreſſus, &, quod ad lectionem & promptam memoriam attinet, in ſacris literis inſigniter verſati erant; præſertim vero Gregorius. Adhæc, unuſquiſque illorum in ſuo genere ſtilo plurimum valebat. Apollinaris enim eo orationis genere, quod commentariis ſcribendis eſt aptiſſimum, excellebat. Baſilius vero in panegyrico genere dicendi palmam ferebat. At Gregorii cum utroque comparati ſtilus magis erat fundatus & ſolidus. Nam & Apollinari in dicendo erat uberior, & Baſilio gravior. Cum autem tanta eſſent & dicendi & ſcribendi facultate præditi, iis etiam fuere moribus, quibus oculi plebis maxime allicerentur. Itaque & aſpectu, & oratione, & ſcriptis paſſim editis, in ſuam ſententiam & familiaritatem pertrahebant omnes, qui ulla ratione pertrahi commode poterant.* Hæc de iis Philoſtorgius, quamvis Arrianus, obiter ſcripſit. Gregorius autem ſuperſtes adhuc alium Eccleſiæ ſuæ Epiſcopum in locum ſuum ſubſtituit, & ipſe ruri vitam monachi egit. Deceſſit anno decimo tertio Theodoſii Imperatoris, annos natus amplius XC, haud dignum virtutis ſuæ præmium conſecutus, ut qui principis urbium ſedem non obtinuerit, prælatis deterioribus viro illi, qui virtute & vitæ claritate omnibus antecelleret.

Γρηγόριος. Gregorius, Epiſcopus Nyſſenus, frater Baſilii Cæſarienſis, vir & ipſe clariſſimus, omnique doctrina refertus; eloquentiæ tamen ſtudio magis deditus: cujus laude adeo floruit, ut nulli veterum cederet. Hic eximiam orationem contra Eunomium ſcripſit; & opus admirabile de fabricatione hominis: aliaſque Homilias plurimas. Item in θαυμάσιον εἰς τὴν τοῦ ἀνθρώπου κατασκευήν· ἄλλας τε πυκνὰς καὶ συνεχεῖς ὁμιλίας. εἴς τε τὰ ᾄσματα ᾀσμάτων, καὶ εἰς τὸν Ἐκκλησιαστήν, καὶ πρὸς τὴν ἀδελφὴν [1] Μακαρίναν μακρόν τινα καὶ περικαλλῆ περὶ ψυχῆς συνέθηκε λόγον. ἄλλα τε πολλὰ γεγραφήκε· καὶ τὸν πολυθαύμαστον ἔπαινον τοῦ πρώτου τῶν μαρτύρων Στεφάνου. καὶ βίον δὲ συνέταξε Γρηγορίου τοῦ ἐν θαύμασι διαλάμψαντος.

---

[1] Γρηγόριος γὰρ ἤκμαζε κατ' ἐκείνους τοὺς χρ. —— ἁλίσκεσθαι δυναμένους] Hæc omnia αὐτολεξεὶ leguntur etiam ſupra v. Ἀπολλινάριος.

[2] Θεοδοσίου τρίτον καὶ δέκατον ἔτος ἄγ.] Imo, ut Pearſonius recte obſervavit, deceſſiſſe potius videtur anno Theodoſii undecimo: quod colligi poteſt ex verbis his Hieronymi in *Catalogo Script. Eccleſ.* *Deceſſitque ante hoc ferme triennium ſub Theodoſio principe.* Scripſit autem Hieronymus Catalogum ſuum anno Theodoſii XIV. ut ipſe in præfatione operis illius innuit.

Cantica Canticorum, & in Eccleſiaſten, & ad ſororem Macarinam prolixam & perelegantem orationem de anima. Scripſit & multa alia; & admirabile illud encomium Stephani primi martyris; & vitam Gregorii, qui miraculis claruit.

Γρηγόριος,[2] ὁ καὶ Θεόδωρος, ὁ Θαυματουργός, Νεοκαισαρείας τῆς ἐν τῷ Πόντῳ Ἐπίσκοπος, νέος κομιδῇ διὰ τὴν παίδευσιν Ἑλληνικῶν τε καὶ Ῥωμαϊκῶν γραμμάτων ἀπὸ τῆς Καππαδοκίας εἰς Βηρυτόν, κἀκεῖθεν εἰς Καισάρειαν τὴν τῆς Παλαιστίνης διέβη, ἅμα Ἀθηνοδώρῳ ἀδελφῷ· οὓς καὶ κατὰ μέρος εἰς τὴν τοῦ Χριστοῦ πίστιν εἰσάγων Ὠριγένης, ζηλωτὰς ἰδίους κατέστησεν. ἐπὶ πέντε τοίνυν παρ' αὐτοῦ παιδευθέντες ἐνιαυτοὺς πρὸς τὴν πατρίδα ἀποπέμπονται· ἀφ' οὗ ὁ Γρηγόριος ἀποδημῶν, πανηγυρικὸν εὐχαριστίας τῷ Ὠριγένει ἔγραψε λόγον, καὶ συγκαλεσάμενος πάντας τοὺς ἐπιχωρίους, αὐτοῦ τε τοῦ Ὠριγένους παρόντος, τοῦτον ἀνέγνω τὸν λόγον, ὅς τις καὶ ἄχρι τοῦ παρόντος ὑπάρχει. ἔγραψε δὲ μετάφρασιν εἰς τὸν Ἐκκλησιαστήν, ἐλάχιστον μέν, πάνυ δὲ θαυμαστὸν λόγον· καὶ ἄλλας τε πολλὰς καὶ ποικίλας ἐπιστολὰς συνεγράψατο, ποιήσας σημεῖα καὶ θαύματα ὑπὲρ ἄνθρωπον, ἡνίκα Ἐπίσκοπος ἐτύγχανεν. ἐτελεύτησεν ἐπ'[3] Αὐρηλιανοῦ.

Γρηγόριος. Gregorius, (qui & Theodorus) Thaumaturgus, Neocæſareæ, quæ in Ponto eſt, Epiſcopus, valde adoleſcens ob Græcarum & Romanarum literarum ſtudium e Cappadocia Berytum, & inde Cæſaream Palæſtinæ ſe contulit una cum fratre Athenodoro. Hos Origenes ad fidem Chriſti paulatim traduxit, & ſui ſectatores reddidit. Cum igitur ad annos quinque ab eo eruditi in patriam remitterentur, Gregorius diſcedens orationem panegyricam, in qua Origeni gratias agit, ſcripſit, eamque omnibus indigenis convocatis, ipſo quoque Origene præſente, recitavit; quæ etiam nunc exſtat. Scripſit & metaphraſin in Eccleſiaſten, breviſſimam illam quidem, ſed admirabilem: multaſque alias & varias epiſtolas. Idem ſub Aureliano deceſſit, clarus multis miraculis, quæ jam Epiſcopus edidit.

Γρηγόριος καὶ Ἀθηνόδωρος συναίμονες· ἀλλ' ὁ μὲν τερατουργός· ὁ δὲ σοφιστής. ἔγραψε δὲ καὶ περὶ [4] σαρκώσεως καὶ πίστεως λόγον.

Γρηγόριος. Gregorius & Athenodorus, fratres germani: quorum ille miraculis claruit; hic vero ſophiſta fuit. Scripſit & de Incarnatione & Fide orationem.

Γρηγόριος,[5] ἀδελφὸς Ἑρμείου τοῦ Φιλοσόφου· ὃς ἅπαν ἦν τοὐναντίον τῷ Ἑρμείᾳ, ὀξύτατος μὲν εἰς ὑπερβολὴν καὶ εὐκίνητος ἐπί τε τὰς ζητήσεις καὶ τὰς μαθήσεις· ἄλλως δὲ οὐχ ἡσύχιος, οὐδὲ γαλήνην ἐν τοῖς ἤθεσι φέρων τινά, ἀλλά τι καὶ [6] παρακεκινηκός. ἐπεὶ δὲ Ἀθήνηθεν ἧκεν εἰς Ἀλεξάνδρειαν, ὕστερον ὁ Γρηγόριος ἑάλω τῇ νόσῳ ἐπὶ τὸ πλέον, ὥστε δύσχρηστον αὐτοῦ καὶ πολλαχῇ παραλλάττον γενέσθαι τὸ ὄργανον. οὕτω φησὶ Δαμάσκιος εἰς τὴν φιλόσοφον ἱστορίαν.

Γρηγόριος. Gregorius, frater Hermiæ Philoſophi, qui Hermiæ plane diſſimilis fuit, ſupra modum acutus, & ad quæſtiones & diſciplinas expeditus: cæteroqui inquietus, nec moribus placidis, ſed mentis nonnihil emotæ. Cum vero Athenis Alexandriam veniſſet, morbo correptus eſt, qui corporis ejus organum inutile pene reddidit, & valde immutavit. Sic Damaſcius inquit in *Hiſtoria Philoſophica*.

Γρήνικος. ποταμός.

Γρήνικος. Grenicus, fluvius.

Γρῆτυς. ὁ βυρσεύς

Γρῆτυς. Coriarius.

Γρίος. ὄνομα κύριον.

Γρίος. Grius. Nomen proprium.

Γριπεύς. ἰχθύων θηρευτής. [7] Γριπεύς, Ἐριούνιε, σοὶ τάδε δῶρα φέρει. καὶ γριπηῒς τέχνη.

Ἑρμῶναξ[8] δ' ἐκίχανεν, ὅτε γριπηΐδι τέχνῃ
Εἷλκε τὸν ἐκ πελάγους ἰχθυόεντα βόλον.

Γριπεύς. Piſcator. [In Epigrammate:] *Piſcator, Mercuri, hæc tibi dona fert.* Et γριπηῒς τέχνη, ars piſcatoria. *Hermonax autem nactus eſt, poſtquam arte piſcatoria ex mari traxit rete piſcibus plenum.*

Γρῖφος. τὸ δίκτυον. λέγεται δὲ καὶ ὁ δύσκολος

Γρῖφος. Rete piſcatorium. Sic etiam dici-

---

[1] Μακαρίναν] Codex Vatic. habet Μακρίναν, ut Pearſonius ad marginem Suidæ ſui annotavit. At Editio princeps Mediolanenſis, Μακαρίαν.

[2] Γρηγόριος, ὁ καὶ Θεόδωρος, ὁ Θαυματουργός, Νεοκ.] Hæc, & quæ ſequuntur, ex Sophronio, Hieronymi interprete, Suidas deſcripſit.

[3] Ἐπ' Αὐρηλιανοῦ] Sic habent 2 MSS. Pariſ. cujus loco in prioribus Edit. peſſime legitur ἐπὶ Ἰουλιανοῦ. Diu enim ante Julianum Thaumaturgus hic obiit, ut ex hiſtoria Eccleſiaſtica conſtat. Vide Cl. Gulielmum Cave in *Hiſtor. Liter. Scriptor. Eccleſiaſtic.*

[4] Περὶ σαρκώσεως] Malim, περὶ ἐνσαρκώσεως.

‡

[5] Γρηγόριος, ἀδελφὸς Ἑρμείου τοῦ φιλ.] Hæc, & quæ ſequuntur, αὐτολεξεὶ etiam leguntur apud Photium in Excerptis ex Damaſcio, pag. 1044. ut Pearſonius quoque obſervavit.

[6] Παρακεκινηκός] Malim παρακεκινηκώς, ut legitur apud Photium loco laudato.

[7] Γριπεὺς, Ἐριούνιε, σοὶ τάδε δ.] Verba hæc decerpta ſunt ex Epigrammate, quod legitur Antholog. lib. VI. cap. III. Epigr. VIII. ut Portus etiam monuit.

[8] Ἑρμῶναξ δ' ἐκίχανεν, ὅτε γρ.] Diſtichum hoc eſt pars Epigrammatis, quod ex cod. MS. Anthologiæ ineditæ integrum exhibuimus ſupra v. Ἀμφίκλαστον.

καὶ ὁ συμπεπλεγμένος λόγος, ὁ ἔχων πάθος ἐν ἑαυτῷ μὴ φαινόμενον.

Γρῖφος. ὁ ἀσαφὴς λόγος.

---Ἰῷ ἐνὶ παῖδες Ὅμηρον
Ἤκαχον, ἐκ Μουσῶν γρῖφον ὑφηνάμενοι.

καὶ γριφώδης λόγος.

Γρομφίς. ὗς. ἡ παλαιὰ σκρόφα.

Γρώνη. πέτρα.

Γρώνια. πόλις Φωκίδος. τὸ ἐθνικὸν Γρωνεύς.

Γρῦ.[2] βραχύ. ἔνιοι δὲ τὸ ἀπὸ τῶν ὀνύχων ῥύπον. Ἀριστοφάνης Πλούτῳ·

Καὶ ταῦτ' ἀποκρινομένου τοπαράπαν οὐδὲ γρῦ.

τινὲς παρὰ τὸν γρυλλισμὸν, τουτέστι τὴν φωνὴν τῶν χοίρων· ἢ εἶδος μικροῦ νομίσματος· ἢ τὸ τυχὸν, τὸ μικρότατον. ὅθεν καὶ γρύτη, καὶ γρυλοπώλης· [3] ὅπερ οὐκ εἴρηται, ἀλλὰ γρυτοπώλης. Καὶ παροιμία· Τὸ Δίωνος γρῦ. ἐπὶ τοῦ μικροῦ καὶ τυχόντος.

Γρύζω. θρηνῶ. ἢ φωνῶ.

Γρύλλος. Ξενοφῶντος τοῦ Σωκρατικοῦ υἱὸς Γρύλλος καὶ Διόδωρος. καὶ γρύλλος, ὁ χοῖρος.

Γρυνοί. κορμοὶ δρύϊνοι. κατ' ἐναλλαγὴν τοῦ δ εἰς γ. ἢ τὰ τῶν γερανδρύων ξύλα.

Γρυκτόν. [4] Ἆρα γρυκτόν ἐστιν ὑμῖν; τουτέστιν, ἆρα γρύξαι ὀφείλετε; ἢ παῤῥησίαν ἄγειν;

Γρυμαῖα.[5] ἡ σκευοθήκη.

Γρύξαι. φθέγξασθαι. κράξαι.

Γρύττος. τῶν ἐπὶ μαλακίᾳ διαβαλλομένων οὗτος ἦν. οἱ δὲ Γρύπος λέγουσι, διὰ τοῦ π· ὃς ἦν καταπύγων. [6] Ἀριστοφάνης·

Ἔπαυσα [7] τοὺς βινουμένους, τὸν Γρύπον ἐξαλείψας.

Γρυπαίνειν. [8] τὸ γρυποῦσθαι λέγουσιν. οἷον ἐπὶ τῶν ἁπαλῶν ξυλιφίων, ὅταν κάμψαντες ἀφῶμεν αὐτά. Ἀντιφῶν δέ φησιν ἐν Ἀληθείας δευτέρῳ· [9] Καίων γὰρ ἦν τὴν γῆν, καὶ συντήκων γρυπάνιον ποιεῖ. καὶ Μελάνθιος, Σεισμὸς, φησὶ, γέγονε, καὶ ἔγρυπεν ἡ γῆ.

Γρυπός. ὁ καμπυλόῤῥιν.

Γυῖα. μέλη. ἢ πόδες τοῦ σώματος.

Γυιοτακὴς [10] δὲ λιπὼν τάδε σύμβολα κώμων,
Μέμφεται ἀστρέπτου κάλλεϊ θηλυτέρης.

Γύαλον. τὸ κοῖλον.

Γύαρος.[11] νῆσος μία τῶν Σποράδων. λέγεται δὲ, ὅτι ἐν [12] ταύτῃ διατρώγουσιν οἱ μύες τὸν σίδηρον.

tur oratio obſcura & perplexa, & aliquid reconditum in ſe habens.

Γρῖφος. Oratio obſcura. [In Epigrammate:] *In inſula Io pueri divinum Homerum triſtitia affecerunt, griphum ingenioſum texentes.*

Γρομφίς. Sus. Scropha ſenex.

Γρώνη. Petra. Saxum.

Γρώνια. Gronia. Urbs Phocidis. Gentile eſt, Gronenſis.

Γρῦ. Parvum. Minimum. Quidam vero ſic vocant ſordes unguium. Ariſtophanes *Pluto: Præſertim vero cum ne gry quidem reſpondeat.* Quidam τὸ γρῦ dictum volunt a γρυλλισμὸς, quod grunnitum porcorum ſignificat: vel minutum quoddam nomiſma: vel quidvis exiguum. Hinc etiam dictum eſt γρύτη, i. e. ſcruta; & γρυτοπώλης, ſcrutorum venditor: quod tamen apud veteres non dicitur, ſed ῥυποπώλης. Et proverbium: *Gry Dionis*; quod dicitur de re vili & parva.

Γρύζω. Lugeo. Vel, vocem edo.

Γρύλλος. Gryllus. Xenophontis Socratici filii fuerunt Gryllus & Diodorus. Γρύλλος etiam porcum ſignificat.

Γρυνοί. Stipites querni: litera δ in γ mutata. Vel vetuſtarum arborum ligna.

Γρυκτόν. *Num hiſcere audetis?* Vel, An libere loqui audetis.

Γρυμαῖα. Theca vaſorum.

Γρύξαι. Loqui. Clamare.

Γρύττος. Gryttus. Hic unus erat ex iis, qui propter mollitiem male audiebant. Alii vero Γρύπος ſcribunt per π: qui impudicus erat. Ariſtophanes: *Compeſcui cinædos, & Grypi memoriam abolevi.*

Γρυπαίνειν. Idem quod γρυποῦσθαι: quod dicitur de teneris virgis, quas ubi incurvavimus, e manu rurſus dimittimus. Antipho autem libro ſecundo *de Veritate* inquit: * * * * * Et Melanthius, *Quaſſatio*, inquit, *contigit, & terra concuſſa eſt.*

Γρυπός. Aduncum naſum habens.

Γυῖα. Membra. Vel, pedes corporis. [In Epigrammate:] *Amore tabeſcens ſymbolis his comeſſationum relictis, de inexorabilis puellæ pulchritudine conqueritur.*

Γύαλον. Concavitas. Convexitas.

Γύαρος. Gyarus, inſula, una ex Sporadibus. In hac mures ferrum corrodere dicuntur.

---

[1] Ἰῷ ἐνὶ παῖδες Ὅμηρον ἤκ.] Epigramma integrum, ex quo verba hæc decerpta ſunt, legitur Anthol. lib. III. cap. XV. Epigr. I.

[2] Γρῦ. βραχύ. ἔνιοι δὲ τὸ ἀπὸ τῶν ὀν.] Ex Scholiaſta Ariſtoph. ad *Plutum* pag. 3. (2. Ed. Baſ. *P.*)

[3] Ὅπερ οὐκ εἴρηται, ἀλλὰ κ. τ.] Locus hic ex Scholiaſta Ariſtoph. ſic emendandus & ſupplendus eſt: ὅπερ οὐκ εἴρηται παρὰ τοῖς παλαιοῖς, ἀλλ' ἀντὶ τούτου ῥυποπώλης.

[4] Ἆρα γρυκτόν ἐστιν ὑμῖν;] Hæc ſunt verba Ariſtoph. *Lyſiſtrata* pag. 878.

[5] Γρυμαῖα] Hæc vox legitur apud Photium pag. 1072. 48. ut Pearſonius obſervavit.

[6] Ἀριστοφάνης] *Equit.* pag. 341. (239. Ed. Baſ. *P.*)

[7] Τοὺς βινουμένους] Apud Ariſtophanem loco laudato hodie legitur τοὺς κινουμένους. Sed lectio Suidæ præferenda eſt. Vide etiam ſupra v. Βινεῖν.

[8] Γρυπαίνειν. τὸ γρυποῦσθαι λέγουσιν. οἷον ἐπὶ τῶν ἁπ.] Eadem habent Harpocratio & Etymologus.

[9] Καίων γὰρ ἦν τὴν γῆν καὶ συντ.] Senſus fragmenti hujus eſt mutilus & obſcurus.

[10] Γυιοτακὴς δὲ λιπὼν τάδε σύμβ.] Verba hæc decerpta ſunt ex Epigrammate, quod integrum legitur Anthol. l. VI. c. VIII. Epigr. VII.

[11] Γύαρος. νῆσος μία τῶν Σπορ.] Ex Stephano Byzantio.

[12] Ὅτι ἐν ταύτῃ διατρώγουσιν οἱ μύες τὸν σίδηρον] Idem refert Antigonus Caryſt. Hiſtor. Mirab. cap. XXI. & ex eo Stephanus Byzantius v. Γύαρος: ad quem vide Holſtenium.

Γύγης,[1] Λυδός. Ἐσέβαλε μὲν νυν στρατιὴν καὶ οὗτος, ἐπεί τε ἦρξεν, ἔς τε Μίλητον καὶ Σμύρνην, καὶ Κολοφῶνος τὸ ἄστυ εἷλεν· ἀλλ' οὐδὲν μέγα ἀπ' αὐτοῦ ἄλλο ἔργον ἐγένετο, βασιλεύσαντος δυοῖν δέοντα μ' ἔτεα. τοῦτον μὲν παρήσομεν τοσαῦτα ἐπιμνησθέντες. Ἄρδυος δὲ τοῦ Γύγεω μετὰ Γύγην βασιλεύσαντος μνήμην ποιήσομαι. οὗτος Πριηνέας τε εἷλεν, εἰς Μίλητόν τε ἐσέβαλεν. ἐπὶ τούτου τυραννεύοντος Σαρδίων, Κιμμέριοι ἐξ ἠθέων ὑπὸ Σκυθέων τῶν Νομάδων ἐξαναστάντες, ἀφίκοντο ἐς τὴν Ἀσίην, καὶ Σάρδεις πλὴν τῆς ἀκροπόλεως εἷλον. Ἄρδυος δὲ βασιλεύσαντος ἑνὸς δέοντα πεντήκοντα ἔτεα, ἐξεδέξατο Σαδυάττης ὁ Ἄρδυος τὴν ἀρχήν, καὶ ἐβασίλευσεν ἔτη ιβ'. Σαδυάττεω δὲ Ἀλυάττης. οὗτος δὲ Κυαξάρῃ τε τῷ Δηιόκου ἀπογόνῳ ἐπολέμησε καὶ Μήδοισι, Κιμμερίους τε ἐκ τῆς Ἀσίης ἐξήλασε, Σμύρνην τε τὴν ἀπὸ Κολοφῶνος κτισθεῖσαν ἐξεῖλεν, εἰς Κλαζομενάς τε ἐσέβαλεν. ἀπὸ μέν νυν τούτων οὐχ ὡς ἤθελεν ἀπήλλαξεν, ἀλλὰ προσπταίσας μεγάλως. ἄλλα δὲ ἔργα ἀπεδέξατο ἐὼν ἐν τῇ ἀρχῇ ἀξιαπηγητότατα τάδε. ἐπολέμησε Μιλησίοισι, παραδεξάμενος τὸν πόλεμον ἀπὸ τοῦ πατρός. ἐπελαύνων γὰρ ἐπολιόρκεε τὴν Μίλητον τρόπῳ τοιῷδε. ὅκως μὲν εἴη ἐν τῇ γῇ καρπὸς ἁδρός, τηνικαῦτα ἐσέβαλε τὴν στρατιήν. ἐστρατεύετο δὲ ὑπὸ συρίγγων τε καὶ πηκτίδων καὶ αὐλοῦ γυναικηΐου τε καὶ ἀνδρηΐου. ὡς δὲ ἐς τὴν Μιλησίην ἀφίκοιτο, οἰκήματα μὲν τὰ ἐπὶ τῶν ἀγρῶν οὐ κατέβαλλεν, οὔτε ἐνεπίμπρα, οὔτε θύρας ἀπέσπα, εἴα δὲ κατὰ χώρην ἑστάναι. ὁ δὲ τά τε δένδρεα καὶ τὸν καρπὸν ἐν τῇ γῇ ὅκως διαφθείρειεν, ἀπαλλάσσετο ὀπίσω. τῆς γὰρ θαλάσσης οἱ Μιλήσιοι ἐπεκράτεον, ὥστε καὶ ἐπέδρης μὴ εἶναι τὸ ἔργον τῇ στρατιῇ. τὰς δὲ οἰκίας οὐ κατέβαλεν ὁ Λυδὸς τῶνδε εἵνεκα, ὅκως ἐντεῦθεν ὁρμώμενοι τὴν γῆν σπείρειν τε καὶ ἐργάζεσθαι ἔχοιεν οἱ Μιλήσιοι· αὐτὸς δὲ ἐκείνων ἐργαζομένων ἔχοι τι καὶ σίνεσθαι ἐσβάλλων. ταῦτα ποιέων ἐπολέμεεν ἔτεα ἕνδεκα. ἐν τοῖσι τρώματα μεγάλα διφάσια Μιλησίων ἐγένετο, ἔν τε Λιμενηΐῳ χώρης σφετέρης μαχεσαμένων, καὶ ἐν Μαιάνδρου πεδίῳ.

Γύγου δακτύλιος. ἐπὶ τῶν πολυμηχάνων καὶ πανούργων. Γύγης γὰρ βουκόλος ὤν, τῆς γῆς ὑπὸ σεισμοῦ ῥαγείσης, νεκρὸν εὑρὼν φοροῦντα δακτύλιον, τοῦτον περιεῖλεν. ὁ δὲ εἶχε φύσιν, ὥστε κατὰ τὰς στροφὰς τῆς σφενδόνης ὁρᾶσθαι καὶ μή. δι' αὐτοῦ κτείνας τὸν πρὸ αὐτοῦ, ἐβασίλευσεν.

Γύης. μέρος ἀρότρου. καὶ παροιμία· Γύης οὐκ ἔνεστ' αὐτῷ. ἐπὶ τῶν ἔν τινι ἀχρήστων. ἐκ μεταφορᾶς τοῦ ἀρότρου.

Γυλιαύχενας.[2] τοὺς μακροτραχήλους.

Γύλιος.[3] πλέγμα στρατιωτικόν. σκευοφόρον ἐπί-

Γύγης. Gyges, Lydus. Hic regno ſuſcepto cum exercitu Miletum & Smyrnam invaſit, & Colophonem urbem cepit. Poſtea vero nullum memorabile facinus amplius edidit, quamvis annos XXXVIII. regnaverit. Hunc igitur his expoſitis miſſum faciamus. Ardyis vero Gygis filii & ſucceſſoris mentionem faciam, qui & Prienenſes ſubegit, & Miletum oppugnavit. Hoc Sardibus regnante, Cimmerii a Scythis Nomadibus ſedibus ſuis ejecti in Aſiam tranſiverunt, Sardeſque præter arcem ceperunt. Cum autem Ardys annos undequinquaginta regnaſſet, ſucceſſit ei filius Sadyettes, regnavitque annos duodecim. Sadyattæ ſucceſſit Halyattes, qui cum Cyaxere Dejocis nepote & Medis bellum geſſit, Cimmerioſque ex Aſia expulit, Smyrnam etiam a Colophone conditam evertit, & Clazomenas invaſit: unde tamen re infeliciter geſta & magna clade accepta rediit. Alias etiam res, dum imperavit, geſſit; ſed has memoratu maxime dignas. Bellum cum Mileſiis geſſit, a patre ipſi traditum. Miletum autem exercitu adverſus eam ducto ita obſedit. Cum fruges in agro maturuiſſent, tunc exercitum adverſus hoſtem ducebat, expeditionem faciens ad cantum fiſtularum, & fidium, tibiæque tam muliebris quam virilis. Cum autem in agrum Mileſiorum perveniſſet, ædificia, quæ in iis erant, non diruebat, nec incendebat, neque fores effringebat, ſed illa omnia intacta ſinebat: arboribus tantum frugibuſque vaſtatis domum redibat. Cum enim Mileſii imperium maris tenerent, non licebat copiis diu in obſidione hærere. Ædificia autem Lydus ideo non diruebat, ut Mileſii in illis habitantes terram ſerere & colere poſſent; ipſe vero, cum ager eſſet cultus, haberet quod hoſtiliter popularetur & perderet. Hac ratione bellum annos undecim produxit: quo temporis ſpatio Mileſii duas ingentes clades acceperunt, unam in pugna ad Limenium, qui eſt locus regionis ipſorum; & alteram in planitie Mæandri.

Γύγου δακτύλιος. Gygis annulus. Dicitur de hominibus valde verſutis & callidis. Gyges enim, cum eſſet paſtor, & terræ motu humus diſceſſiſſet, cadaver invenit annulum habens, quem ei detraxit, tali vi præditum, ut pro converſione palæ cerneretur, & non cerneretur. Hujus annuli beneficio Regem, qui tunc regnabat, interfecit, & ipſe regnum occupavit.

Γύης. Pars aratri. Dentale. Et proverbium: *Dentale ipſi non ineſt.* Dicitur de iis, qui ad aliquid ſunt inutiles: per tranſlationem ab aratro ductam.

Γυλιαύχενας. Gracili & prælongo collo præditos.

Γύλιος. Sporta militaris. Vas oblongum,

---

[1] Γύγης, Λυδός. Ἐσέβαλε μὲν νυν στρ.] Totus hic locus de Gyge legitur apud Herodotum lib. 1. pag. 4. unde Suidas eum deſcripſit.

[2] Γυλιαύχενας τοὺς μακροτρ.] Ariſtophanes in *Pace* pag. 682. Carcini Tragici filios γυλιαύχενας vocat: ad quem locum Suidas reſpexit.

[3] Γύλιος. πλέγμα στρατιωτ.] Confer Scholiaſtam Ariſtoph. ad *Pacem* pag. 682.

μηκες, εἰς ὀξὺ λῆγον, πρὸς τὸ μὴ κατάγνυσθαι· ἐν ᾧ κατετίθεντο τυρὸν καὶ ἐλαίας καὶ κρόμμυα. ἢ λεγομένη στρατιωτικὴ ὀψοθήκη. ἔστι καὶ τὸ ζῶον ὁ καλούμενος χοιρογρύλλιος. λέγεται δὲ καὶ ὁ Ἡρακλῆς Γύλιος. καὶ γύλιον, ἀγγεῖον πλεκτόν.

Γύλιππος.[1] ὄνομα κύριον.

Γύλων. οὗτος αἰτίαν ἔχων ἐπὶ τῇ τοῦ Νυμφαίου τοῦ ἐν Πόντῳ χωρίου προδοσίᾳ, ἔφυγεν. ἐλθὼν δὲ εἰς Σκυθίαν, ἔγημε. δύο δὲ ἔχων θυγατέρας, ἔπεμψεν εἰς τὴν πατρίδα· ὧν τὴν μὲν μίαν ἔγημε Φιλόχαρις, τὴν δὲ ἑτέραν Κλεόβουλος.

Γυμνασία. ἡ τριβή. Ὅτι ἡ [2] διαλεκτικὴ πρὸς τρία ἐστὶ χρήσιμος· πρὸς γυμνασίαν, πρὸς τὰς ἐντεύξεις, πρὸς τὰς κατὰ φιλοσοφίαν ἐπιστήμας. γυμνασίαν δὲ λέγει, ἤτοι τὴν γενομένην ἐν τῷ διαλέγεσθαι πρός τινας. δεχόμενοι γάρ τινα προβλήματα παρὰ τῶν προσδιαλεγομένων, πειρῶνται τούτοις συμπαρίστασθαι, δι' ἐνδόξων τὰς ἐπιχειρήσεις ποιούμενοι. ἢ γυμνασίαν λέγοι ἄν, τὴν εἰς ἑκάτερον μέρος ἐπιχείρησιν. ἦν δὲ σύνηθες τὸ τοιοῦτο εἶδος τῶν λόγων τοῖς ἀρχαίοις, καὶ τὰς συνουσίας τὰς πλείστας τοῦτον ἐποιοῦντο τὸν τρόπον, οὐκ ἐπὶ βιβλίων ὥσπερ νῦν, (οὐ γὰρ ἦν τότε τοιαῦτα βιβλία) ἀλλὰ θέσεώς τινος τεθείσης, εἰς ταύτην γυμνάζοντες αὑτῶν τὸ πρὸς τὰς ἐπιχειρήσεις εὑρετικὸν, ἐπεχείρουν, κατασκευάζοντες καὶ [3] ἀνασκευάζοντες δι' ἐνδόξων τὸ κείμενον. καὶ ἔστι βιβλία τοιαῦτα Ἀριστοτέλει τε καὶ Θεοφράστῳ γεγραμμένα, ἔχοντα τὴν εἰς τὰ ἀντικείμενα δι' ἐνδόξων ἐπιχείρησιν. πρὸς δὴ τὴν τοιαύτην γυμνασίαν χρήσιμον εἶναί φησι τὴν διαλεκτικήν· μέθοδον γάρ τινα εὑρετικὴν τῶν ἐπιχειρημάτων ἔχοντες (αὕτη δέ ἐστιν ἡ τῶν τόπων γνῶσις) ῥᾷον ἐπιχειρεῖν δυνησόμεθα. ὡς γὰρ ἐν τοῖς ῥητορικοῖς γυμνάσμασιν οἱ διαιρεῖν δυνάμενοι τὰ προβλήματα, καὶ τὴν τάξιν τῶν κεφαλαίων συνορῶντες, ῥᾷον ἐπιχειροῦσιν· οὕτω καὶ ἐν τοῖς διαλεκτικοῖς οἱ τὴν μέθοδον εἰδότες ῥᾷον ἐπιχειρημάτων εὐποροῦσι πρὸς τὰ προκείμενα. χρήσιμος δὲ ἡ τοιαύτη γυμνασία, ἡ κατὰ τοὺς λόγους, πρὸς εὕρεσιν τῶν ζητουμένων τε καὶ ἀληθῶν. προπαρασκευάζει γὰρ τὴν ψυχὴν πρὸς φιλοσοφίαν, ὡς τὰ τοῦ σώματος γυμνάσια, γινόμενα κατὰ τέχνην, εὐεξίαν περιποιεῖ τῷ σώματι. οὕτω καὶ τὰ τῆς ψυχῆς ἐν λόγοις γυμνάσια, κατὰ μέθοδον γινόμενα, τὴν οἰκείαν εὐεξίαν τῆς ψυχῆς περιποιεῖ. οἰκεία δὲ εὐεξία ψυχῆς λογικῆς ἡ δύναμις, καθ' ἣν εὑρετική τε τοῦ ἀληθοῦς καὶ κριτικὴ γίνεται. δεύτερον τρόπον τῆς ὠφελείας ἐκτίθεται πρὸς τὰς ἐντεύξεις. καί ἐστιν ἐν τῷ ε στοιχείῳ περὶ ἐντεύξεως.

Γυμνάσια. ἀλειπτήρια. ἢ βαλανεῖα. ἢ λουτρά. † Τρία [4] γυμνάσια τῆς Ἀττικῆς· Ἀκαδημία, Λύκειον, Κυνόσαργες.

& in acutum deſinens, ne confringatur: in quo reponebant caſeum & olivas & cepas. Vel opſotheca militaris. Eſt & animal, quod vocatur Χοιρογρύλλιος, i. e. erinaceus. Dicitur & Hercules Gylius. Et γύλιον, vas ex viminibus plexum.

Γύλιππος. Gylippus. Nomen proprium.

Γύλων. Gylon. Hic cum ut proditor Nymphæi, caſtelli in Ponto, accuſaretur, in Scythiam exulatum abiit, ubi uxore ducta duas ſuſcepit filias; quas cum in patriam miſiſſet, unam earum Philocharis, alteram vero Cleobulus uxorem duxit.

Γυμνασία. Exercitatio. Dialectica eſt utilis ad tria, ad exercitationem, ad colloquia, & ad philoſophicas diſciplinas. Exercitationem autem vocat eam quæ fit, quum diſſeritur cum aliquibus. Qui enim problemata aliqua accipiunt ab illis, quibuſcum diſſerunt, conantur illis rem propoſitam demonſtrare, probabilibus argumentis utentes. Vel exercitationem forte vocat argumentationem in utramque partem. Erat autem hujuſmodi genus ſermonum veteribus familiare, & in colloquiis eam plerumque rationem diſſerendi ſequebantur; non libris utentes, ut nunc (tunc enim hujuſmodi libri non erant) ſed theſi aliqua poſita, in ea facultatem ſuam inveniendorum argumentorum exercentes, rem propoſitam argumentis probabilibus confirmare & refutare conabantur. Hujuſmodi libros Ariſtoteles & Theophraſtus ſcripſerunt, in quibus docent rationem probabiliter in utramque partem diſſerendi. Ad hujuſmodi igitur exercitationem utilem dicit eſſe Dialecticam. Si quam enim methodum habeamus argumentorum inveniendorum (ea eſt autem Locorum Dialecticorum cognitio) facilius argumentari poterimus. Ut enim in exercitationibus oratoriis, qui dividere quæſtiones norunt, & ordinem capitum perſpiciunt, facilius argumentantur: ſic etiam in Dialecticis, qui methodum norunt, iis uberior argumentorum copia ad inſtitutum ſuppetit. Eſt itaque hujuſmodi exercitatio, qua in diſputationibus utimur, utilis ad inventionem eorum, quæ quæruntur, & veritatis. Præparat enim animum ad philoſophiam; ut exercitationes corporis, quæ ſecundum artem fiunt, corpori vires & robur conciliant. Sic etiam exercitationes animi, quæ ſecundum methodum fiunt, animo ſuum robur præſtant. Propriũ autem animi ratione præditi robur eſt facultas, qua verum invenit & judicat. Alterum deinde uſum exponit, quem Dialectica in colloquiis habet: de quo vide in litera E, v. Ἔντευξις.

Γυμνάσια. [Gymnaſia. Palæſtræ.] Loca, in quibus athletæ ſe ungebant. Vel, balnea. Vel, lavacra. † Tria erant Gymnaſia in Attica, Academia, Lyceum, Cynoſarges.

---

[1] Γύλιππος] De eo legendus eſt Thucydides libro VII.

[2] Ὅτι ἡ διαλεκτικὴ πρὸς τρία ἐστὶ χρ.] Hæc, & quæ ſequuntur uſque ad finem articuli, ſunt verba Alexandri Aphrod. in *Top.* Ariſtot. pag. 16. ut Pearſonius recte obſervavit.

[3] Καὶ ἀνασκευάζοντες] Duæ hæ voces in prioribus Editt. deſunt: quas ex MSS. Pariſ. & Alexandrino Aphrodiſeo revocavi.

[4] Τρία γυμνάσια τῆς Ἀττικῆς] Vide Ulpianum ad Demoſthenis orat. contra Timocratem pag. 266.

Γυμνάσιος, Σιδώνιος, σοφιστὴς, ἐπὶ τῶν Κωνσταντίνου τοῦ βασιλέως χρόνων. ἔγραψε μελέτας, καὶ εἰς Δημοσθένην ὑπόμνημα, καὶ ἄλλα τινά.

1 Xenoph. Anab. Δ. 263.

Γυμνῆται. ἡ εὐθεῖα ὁ γυμνήτης. καὶ οἱ γυμνῆται. ἦν δὲ τάξις πεζῶν. [1] Ξενοφῶν· Ὁ δὲ Χειρίσοφος ἡγεῖτο τοῦ στρατεύματος, λαβὼν τὸ ἀμφ' αὐτὸν, τοὺς γυμνήτας ἅπαντας. οὐδεὶς γὰρ κίνδυνος ἐδόκει εἶναι. καὶ γυμνήτης, ὁ γεγυμνωμένος.

--- Ὅς[2] ποτε θυμῷ
Ἄρσενι γυμνήτην ἐξεπόνει βίοτον.

λέγεται καὶ γυμνὴς, γυμνῆτος. [3] ὁπλίτου. Καὶ αὖθις· Εἵποντο δὲ καὶ γυμνῆτες ἐς υ′ ἀποκεκριμένοι, ὡς ὁδοποιεῖν τὰ ἄβατα.

Γυμνητεύω. γυμνὸς διατελῶ.

Γυμνικοὶ ἀγῶνες. [4] Ὁ δὲ Ἰουλιανὸς ἐν Πέρσαις ὢν, γυμνικοὺς ἀγῶνας ἦγε. [5] τουτέστιν, ὅσους γυμνούς.

Γύμνις. ὄνομα κύριον. καὶ κλίνεται γύμνιδος.

Γυμνοπαιδεία. ἡ παλαίστρα, ᾗ τοὺς ἐφήβους Λυκοῦργος [6] ἠνάγκαζε. καὶ [7] Γυμνοποδία, χοροὶ ἐκ παίδων ἐν Σπάρτῃ τῆς Λακωνικῆς εἰς Θεοὺς ὕμνους ᾄδοντες, εἰς τιμὴν τῶν ἐν Θυρέαις ἀποθανόντων Σπαρτιατῶν. καὶ [8] Ἰώσηπος· Τόπος δ' ἐπὶ τῆς πόλεως οὐδεὶς γυμνὸς ἦν, ἀλλὰ πᾶς λιμοῦ νεκρὸν εἶχεν ἢ στάσεως.

Γυμνοπόδης. ὁ ἀνυπόδητος. καὶ γυμνοποδῶ, γυμνὸς βαίνω.

Γυμνορρύπαροι οἱ σοφισταί. [9] Ἦσαν δὲ περὶ αὐτὸν γυμνορρύπαροί τινες.

Γυμνὸς [10] καθεσθεὶς, σῶν ὑπεκστῇς πραγμάτων.

Γυμνοσοφισταί. παρὰ Βαβυλωνίοις οἱ Φιλόσοφοι, καὶ παρὰ Ἀσσυρίοις.

Γυμνότερος Ἰαλέμου. ὁ Ἰάλεμος ἐπίρρημα θρήνου. τάσσεται δὲ ἐπὶ τῶν οἰκτρῶν. καί, [11] Γυμνότερος ὑπέρου καὶ λεβηρίδος. Ἀριστοφάνης δὲ, τυφλότερος. ἔστι δὲ τὸ σύφαρ καὶ ἔκδυμα τοῦ ὄφεως, καὶ τοῦ τέττιγος, παρὰ τὴν λεπίδα. κυρίως δὲ, ᾧ περιέχεται τὸ ἔμβρυον τοῦ βοός. ἔστι δὲ τοῦτο καὶ τυφλόν. τὰς γὰρ ὀπὰς μόνας ἔχει τῶν ὀφθαλμῶν. τριχῇ δὲ ἀναγράφουσι τὴν παροιμίαν, τυφλότερος, [12] κενότερος, καὶ γυμνότερος.

Γυμνάσιος. Gymnaſius, Sidonius, Sophiſta, Imperatoris Conſtantini temporibus vixit. Scripſit declamationes, & commentarium in Demoſthenem, & alia quædam.

Γυμνῆται. A recto ſingulari γυμνήτης. Genus quoddam peditum. Levis armaturæ milites. Xenophon: *Chiriſophus erat in fronte exercitus cum copiis ſuis & omnibus expeditis militibus. Nihil enim periculi eſſe videbatur.* Et γυμνήτης, nudus. [In Epigrammate:] *Qui quondam animo forti athleticam egit vitam.* Dicitur etiam γυμνὴς, γυμνῆτος: [cui opponitur] ὁπλίτης, miles graviter armatus. Et iterum: *Velites autem ad* CD *delecti ſequebantur, qui per loca inacceſſa iter facerent.*

Γυμνητεύω. Nudus dego.

Γυμνικοὶ ἀγῶνες, Certamina gymnica. Ludi gymnici. *Julianus autem, cum eſſet in Perſia, ludos gymnicos celebravit.* Id eſt, ludos, in quibus athletæ nudi certabant.

Γύμνις. Gymnis. Nomen proprium. Declinatur Γύμνιδος.

Γυμνοπαιδεία. Palæſtra, in qua Lycurgus adoleſcentes nudos ſe exercere cogebat. Et γυμνοποδία, chori puerorum, qui Spartæ in Laconia hymnos Deorum canebant in honorẽ Spartanorum, qui ad Thyreas obierant. Et Joſephus: *In urbe vero nullus locus vacuus erat, ſed omnia plena erant cadaveribus mortuorum, qui vel fame vel ſeditione perierant.*

Γυμνοπόδης. Qui nudis pedibus incedit. Et γυμνοποδῶ, nudis pedibus incedo.

Γυμνορρύπαροι. [Nudi & ſordidi homines. Id eſt,] Sophiſtæ. *Erant autem circa eum nudi quidam & ſordidi homines.*

Γυμνὸς καθ. *Cum nudum te ſedere ſomniaveris, bonis tuis exueris.*

Γυμνοσοφισταί. Gymnoſophiſtæ. Sic apud Babylonios & Aſſyrios Philoſophi vocabantur.

Γυμνότερος Ἰαλέμου. *Nudior Jalemo.* Jalemus eſt vox lugentis, diciturque de hominibus miſerabilibus· Et, *Nudior piſtillo & leberide.* Ariſtophanes vero dixit, *Cæcior leberide.* [Eſt autem λεβηρίς.] pellicula, quam, ſerpens exuit, ſic dicta a voce λεπίς. Proprie vero ſic appellatur membrana, qua fœtus vaccæ cicundatur. Eſt enim & ea omnino cæca, quippe ſola tantum oculorum foramina habens. Tribus autem modis proverbium hoc effertur, [*Leberide*] *cæcior, inanior, & nudior.*

---

[1] Ξενοφῶν] *De Expedit.* Cyri lib. IV. pag. 316. ut Portus obſervavit.

[2] Ὅς ποτε θυμῷ ἄρσενι γυμν.] Verba hæc ſunt pars Epigrammatis in Diogenem, quod exſtat Anthol. lib. III. cap. XXXIII. Epigr. XII.

[3] Ὁπλίτου] Puto legendum eſſe, διαφέρει δὲ ὁπλίτου. Notum eſt enim γυμνῆτας apud veteres ſcriptores appellari milites leviter armatos; ὁπλίτας vero, graviter armatos: unde altera vox per alteram exponi non poteſt.

[4] Ὁ δὲ Ἰουλιανὸς ἐν Πέρσαις ὢν, γυμν.] Idem fragmentum legitur infra v. Ἦγεν.

[5] Τουτέστιν, ὅσους γυμνούς] Senſus hujus loci clarus eſt; at verba corrupta & mutila: quæ proinde Lector pro lubitu refingat & emendet.

[6] Ἠνάγκαζε] Videtur hic excidiſſe vox γυμνάζεσθαι, vel ſimile quid, quoniam oratio non eſt integra.

[7] Γυμνοποδία] Lege γυμνοπαιδία. Quid autem fuerit γυμνοπαιδία non ſolum ex hoc loco Suidæ, ſed etiam ex aliis Grammaticis & ſcriptoribus conſtat. Vide Meurſium in *Orcheſtra*, & Cl. Grævium ad Lucian. Tom. I. pag. 994.

[8] Ἰώσηπος] Lib. VII. *de Bello Jud.* pag. 965. ut Pearſonius obſervavit.

[9] Ἦσαν δὲ περὶ αὐτὸν γυμνορ.] Hæc ſunt verba Laertii *Zenone*, lib. VII. Segm. XVI.

[10] Γυμνὸς καθεσθεὶς, σῶν ὑπ.] Senarius hic onirocriticus, qui in MS. Pariſ. A. deeſt, & in MS. B. margini adſcriptus eſt, legitur apud Aſtrampſychum.

[11] Γυμνότερος ὑπ. καὶ λεβηρίδος. Ἀριστοφ.] Vide Zenobium, ex quo Suidas locum hunc deſcripſit.

[12] Κενότερος] Zenobius habet νεώτερος. Sed lectio Suidæ præferenda eſt, ut patet ex Heſychio h. v. quem vide.

Γυμνότερος πατάλου. ἐπὶ τῶν σφόδρα ἀπορωτάτων.

Γυμνῷ φυλακὴν ἐπιτάττεις. ἐπὶ τῶν ἀδυνάτως ἐχόντων τὰ προστεταγμένα πληροῦν, διὰ τὰ ἀναγκαῖα. † Τὸ γυμνῶ, μετὰ γενικῆς. μετὰ αἰτιατικῆς δὲ τὸ, Γυμνώσαντες αὐτὸν ἐξήγοντ' ἔξω. καὶ, Γυμνῶν τὰ ἐσφραγισμένα.

Γύνανδρος. κίναιδος. Ὁ γύνανδρός τε καὶ μάλθων τύραννος. ἀντὶ τοῦ ἔκλυτος.

Γυναικεία φύσις. Γυναικίας δὲ ἀνὴρ, ὁ θηλυμανὴς, διὰ τοῦ ι. καὶ γυναικιζόμενος, θηλυνόμενος.

Γυναίκισις. ἡ γυναικεία μίμησις.

Πρὶν[1] τῆς ἑτέρας δοῦναι γυναικίσεως δίκην.

Γυναικοϊέρακες. οἱ περὶ ἔρωτας ἐπτοημένοι. [2] Δεινοὶ γὰρ οἱ γυναικοϊέρακες εὐπρεπεῖς αἰτίας εὑρίσκειν ἐς ἄγραν τῶν θηλειῶν.

Γυναικὸς[3] ἄρ' ἀντετέτυξο. ἀντὶ τοῦ, ἴσος γυναικὶ κατεσκευάσθης. παρ' Ὁμήρῳ.

Γυναικὸς ὄλεθρος. ἐπὶ τῶν οἰκτρῶς ἀναιρουμένων· παρόσον πολλοὶ δεινῶς ὑπὸ γυναικῶν ἀπώλοντο. καὶ Γυναικὸς πυγή. ἐπὶ τῶν ἀργῶν. ἢ ὅτι δεῖ τὰς γυναῖκας οἴκοι μένειν.

Γυναικωνῖτις. οἰκία τῶν γυναικῶν. [4] Γυναικωνῖτιν φάλαγγα τῶν εὐνούχων Οὐάλεντος.

Γυναιμανής. ἐπὶ γυναιξὶ μαινόμενος. ὁ ἀκόλαστος.

Γυνὴ εἰς Ἡρακλέους οὐ φοιτᾷ. πρὸς τοὺς ἀναξίους τῶν πράξεων· παρόσον Ἡρακλῆς ἐδούλευσεν Ὀμφάλῃ. καὶ, Γυνὴ στρατηγεῖ. ἐπὶ τοῦ παραδόξου.

Γυνὴ μεγάλη. διαβάλλει[5] Ἀριστοφάνης τὸν Παναίτιον μάγειρον, μικροφυῆ ὄντα, ὡς καταλαβόντα τὴν γυναῖκα αὐτοῦ μοιχευομένην. ἐδυναστεύετο γὰρ ὑπ' αὐτῆς μεγάλης οὔσης.

Γύννις. ἀνδρόγυνος. μαλακός. Ποδαπὸς ὁ γύννις; τίς πάτρα; † [6] Κακὴν σοφίαν μετιὼν, καὶ τοὺς ἀθέους Ἐπικούρου λόγους καὶ γύννιδας ἐπασκῶν, κἀκ τῆς ἡδονῆς, ἣν ἐκεῖνος ὕμνει ὁ χλούνης τε καὶ γύννις.

Γυιῶ. βλάπτω. χωλῶ. [7] ἐξ οὗ καὶ τὸ, Γυιώσει μὲν σφῶϊν.

Γυπαρίοις.[8] ἀντὶ τοῦ ἐν φωλεοῖς, καὶ καλιαῖς, καὶ στενοῖς χωρίοις. [9] Κράτης δέ φησιν, ὅτι πᾶσαν στενὴν

Γυμνότερος πατάλου. *Nudior paxillo.* Dicitur de hominibus valde egenis.

Γυμνῷ φυλακὴν ἐπιτάττεις. *Nudo mandas cuſtodiam.* Dicitur de iis, qui propter neceſſitatem imperata exſequi non poſſunt. † Verbum γυμνῶ genitivo jungitur. Item accuſativo; ut, *Veſtibus eum nudatum foras eduxerunt.* Et, *Obſignata aperiens.*

Γύνανδρος. Cinædus. Semivir. *Semivir ille & mollis tyrannus.*

Γυναικεία φύσις. Muliebris natura. [Per ει diphthongum.] Γυναικίας vero, vir effœminatus, per ι ſcribitur. Et γυναικιζόμενος, qui fœminarum mores & mollitiem imitatur.

Γυναίκισις. Dicitur de eo, qui fœminam ſimulat vel mentitur. *Priuſquam dederis pœnas prioris fraudis, qua fœminam mentitus es.*

Γυναικοϊέρακες. [Proprie, fœminarum accipitres. Id eſt,] qui amoribus fœminarum admodum deditı ſunt. Ejuſmodi enim homines ingenioſi ſunt in excogitandis cauſis ſpecioſis, quibus fœminas captent.

Γυναικὸς ἄρ' ἀντ. *Mulieris enim ſimilis es factus.* Apud Homerum.

Γυναικὸς ὄλεθρος. *Mulieris interitus.* Dicitur de iis, qui miſerabili morte pereunt. Multi enim a mulieribus crudeliter interfecti ſunt. Et, *Mulieris podex.* [Proverbium, quod dicitur] de hominibus otioſis. Vel, quia mulieres domi manere oportet.

Γυναικωνῖτις. Conclave mulierum. [Item, ipſe grex mulierum.] *Muliebrem* [ſive, mollem] *gregem eunuchorum Valentis.*

Γυναιμανής. Inſano mulierum amore flagrans. Libidinoſus.

Γυνὴ εἰς Ἡρακλ. *Mulier Herculis fanum non intrat.* Dicitur de iis, qui res ſe indignas faciunt. Hercules enim Omphalæ ſervivit. Et, *Mulier exercitus dux.* Dicitur de re inuſitata & nova.

Γυνὴ μεγάλη. Mulier magna. Ariſtophanes Panætium coquum, qui parva corporis ſtatura erat, & uxorem ſuam in adulterio deprehenderat, carpit. Ipſa enim, quia magna erat, virum ſibi parere cogebat.

Γύννις. Semivir. Mollis. Effœminatus. *Cujas eſt hic ſemivir? Quæ ejus patria?* † *Malæ ſapientiæ dans operam, & impiæ effœminatæque Epicuri philoſophiæ ſtudens, & voluptate, quam ſemivir ille & molliculus laudibus efferebat,* [*faſcinatus.*]

Γυιῶ. Lædo. Claudum reddo. [Homerus:] *Se claudos redditurum eſſe* [*equos.*]

Γυπαρίοις. Luſtris, nidis, & anguſtis locis. Crates vero dicit, [Græcos] quodvis angu-

---

[1] Πρὶν τῆς ἑτέρας δοῦναι γυναικίσεως δίκην] Senarius hic legitur apud Ariſtophanem *Lyſiſtrata* pag. 813. (531. Ed. Baſ. *P.*)

[2] Δεινοὶ γὰρ οἱ γυναικ.] Locum integrum ſcriptoris anonymi, ex quo fragmentum hoc decerptum eſt, exhibet Suidas infra v. Λοξῖνος.

[3] Γυναικὸς ἄρ' ἀντετέτυξο] Homerus Il. Θ. v. 163.

[4] Γυναικωνῖτιν φάλαγγα τῶν εὐν.] Vide infra v. Θλαδίας, ubi fragmentum hoc longe auctius legitur.

[5] Διαβάλλει Ἀριστοφάνης τὸν Παναίτιον μάγ.] Ex Enarratore Comici ad *Aves* pag. 562. (385. Ed. Baſ. *P.*)

[6] Κακὴν σοφίαν μετιὼν, καὶ τοὺς ἀθ.] Fragmentum hoc ad Ælianum refert Kuhnius. Vide etiam infra v. Χλούνης.

[7] Ἐξ οὗ καὶ τὸ, Γυιώσει μὲν σφῶϊν] Recte monuit Portus, reſpexiſſe hic Suidam ad locum illum Homeri Il. Θ. v. 402.

Γυιώσειν μὲν σφῶϊν ὑφ' ἅρμασιν ὠκέας ἵππους.

Hinc ergo Suidas ſupplendus eſt.

[8] Γυπαρίοις. ἀντὶ τοῦ ἐν φωλ.] Ex Enarratore Comici ad *Equit.* pag. 336. (234. Ed. Baſ. *P.*)

[9] Κράτης] Apud Scholiaſtam Comici hodie legitur Κρατῖνος. Sed ambiguum eſt utra lectio præferenda ſit, quoniam tam Crates quam Cratinus Grammaticus apud veteres memoratur.

καταδύσιν [1] γύπας ὠνόμαζαν. [2] Ἀριστοφάνης· Οἰκοῦντα τοῦτον ἐν πιθάκναις καὶ γυπαρίοις καὶ πυργιδίοις.

Γυπὸς σκιά. ἐπὶ τῶν μηδενὸς λόγου ἀξίων.

Γύργαθος. καὶ παροιμία· [3] Γύργαθον φυσᾷς. ἐπὶ τῶν μάτην πονούντων. Γύργαθος οὖν κλίνη, ἐν ᾗ τοὺς παρέτους καὶ δαιμονιώδεις στροβοῦσι.

Γυρῆς. περιφερεῖς.

Ἐπεὶ δὲ λίμνης ἐγγὺς ἦλθον γυρῆς.

καὶ [4] Ὅμηρος·

Γυρὸς ἔην ὤμοισι, μελανόχροος, οὐλοκάρηνος.

περὶ Ὀδυσσέως.

Γυρῖνοι. οἱ μικροὶ βάτραχοι. [5] Ἄρατος· Πατέρες βοόωσι γυρίνων.

Γυρόν. κυρτόν. στρογγύλον. ἐν [6] Ἐπιγράμματι·

Γυρὸν κυανέης μόλιβον σημάντορα γραμμῆς.

Γυρῶν. περιφερῶν. [7] κεκαμμένων. ἐν [8] Ἐπιγράμματι·

Γυρῶν τ' ἀγκίστρων λαιμοδακεῖς ἀκίδας.

Γυρῶσαι. [9] Φιαλῶσαι. περιφράξαι. παρὰ τὸ γῦρον ποιεῖν ἐν τῷ περιφράσσειν.

ſtum latibulum ſic appellaſſe. Ariſtophanes: *Habitantem in doliolis & anguſtis latibulis & turriculis.*

Γυπὸς σκιά. Vulturis umbra. Dicitur de rebus nullius pretii.

Γύργαθος. [Rete.] Et proverbium: *Rete inflas.* Dicitur hoc de iis, qui fruſtra laborant. Γύργαθος etiam ſignificat lectum, in quo paralyticos & dæmoniacos verſant.

Γυρῆς. Rotundæ. *Poſtquam vero ad paludem rotundam acceſſerunt.* Et Homerus: *Gibbis erat humeris, nigra cute, & criſpo capite.* De Ulyſſe [Poeta loquitur.]

Γυρῖνοι. Ranæ minores. Ranunculæ. Aratus: *Patres ranuncularum coaxant.*

Γυρόν. Curvum. Rotundum. In Epigrammate: *Rotundum plumbum, quo nigra ſignatur linea.*

Γυρῶν. Rotundorum. Aduncorum. In Epigrammate: *Et aduncorum hamorum fauces mordentia ſpicula.*

Γυρῶσαι. Phialæ inſtar rotundum facere. Circumſepire. Ideo quod ſepes in orbem duci ſoleant.

Δ Α.

Δάα.[10]

Δάβαινα. ὄνομα τόπου. τὸ ἐθνικόν, Δαβαινίτης.

Δαβήρ. [11] τὰ ἅγια τῶν ἁγίων.

Δαγαίθιος. ὄνομα κύριον.

Δαγών. εἴδωλον ὑπὸ τῶν ἀλλοφύλων θεραπευόμενον, ᾧ τὴν κιβωτὸν λαμβάνοντες ἀνέθεσαν.

Δᾷδες. λαμπάδες. καὶ [12] δᾳδίον παρὰ πολλοῖς.

Δᾳδουχεῖ. φαίνει. καὶ δᾳδουχήσας Ἀθήνησιν. Ὡς Ἀθηναίων φασὶν οἱ ταῦτα ἀκριβοῦντες δόκιμοι· εὔξαντο δὲ καὶ τῇ βουλῇ καὶ τῇ κόρῃ, διά τε τῶν ἱεροφαντῶν καὶ τοῦ δᾳδούχου σωτηρίαν αὐτοῖς. καὶ Δᾳδουχήσας, λαμπαδηφορήσας. Ὁ πρὸ Στρατοκλέους Ἀθήνησι δᾳδουχήσας, [13] ἐκ τῆς ἡδονῆς, ἣν ἐκεῖνος ὕμνει ὁ χλούνης τε καὶ γύννις.

Δ Α.

Δάα. Daæ.

Δάβαινα. Nomen loci. Gentile eſt, Dabænites.

Δαβήρ. [Hebraica lingua,] Sancta ſanctorũ.

Δαγαίθιος. Dagæthius. Nomen proprium.

Δαγών. Dagon, idolum apud Philiſtæos cultum, cui captam arcam [fœderis] dedicarunt.

Δᾷδες. Lampades. Faces. Et δᾳδίον apud multos [ſcribitur pro δαλίον.]

Δᾳδουχεῖ. Facem geſtat. Facem præfert. Et, qui Athenis Daduchus fuit. *Ut probati inter Athenienſes auctores, qui accurate hac de re ſcripſerunt, tradunt; Senatui & Proſerpinæ per Hierophantas & Daduchum ſalutem precati ſunt.* Et δᾳδουχήσας, qui facem prætulit, vel qui Daduchus fuit. *Qui ante Stratoclem Athenis Daduchus fuit, ex voluptate illa, quam ſemivir ille & effœminatus laudibus ferebat.*

---

[1] Γύπας] Apud eundem Scholiaſtam Comici rectius hodie legitur ὀπάς.

[2] Ἀριστοφάνης] Apud Ariſtophanem loco laudato ſic legitur:

——Ὃς τοῦτον ὁρῶν οἰκοῦντ' ἐν ταῖσι πιθάκναις,
Καὶ γυπαρίοις, καὶ πυργιδίοις &c.

Suidas in hoc loco exſcribendo, metro neglecto ſenſus tantum rationem habuit: quod ipſi ſolenne eſt.

[3] Γύργαθον φυσᾷς] Vocem γύργαθος in proverbio hoc *rete* ſignificare recte monuit Henricus Steph. in Animadverſ. ad Adagia Eraſmi pag. 30. quem vide. Sed quid Suida facias, qui eandem vocem *lectum paralyticorum* hic interpretatur: quem Eraſmus ſequitur. Equidem cum Menagio ad Laertium lib. vii. Segm. xv. ſtatuerim, vel Suidam hic ſcripſiſſe, κράβατος δ' ἦν κλίνη &c. vel ita, γύργαθος καὶ ἡ κλίνη. Poſterius magis placet, quoniam Suidas duas vocis γύργαθος ſignificationes hic tradere voluiſſe videtur: alteram nempe notam & communem, qua pro *reti* capitur; ut in proverbio adducto: alteram vero minus notam, qua pro lecto paralyticorum accipitur.

[4] Ὅμηρος] Odyſſ. T. v. 246.

[5] Ἄρατος] Διοσημείοις, v. 215. ad quem locum Scholiaſta: Γυρῖνοι δὲ λέγονται οἱ ἀδιάπλαστοι βάτραχοι, τουτέστι, τὰ γεννήματα τῶν βατράχων. ἀδιάπλαστα γὰρ τίκτονται καὶ ἄποδα.

[6] Ἐν Ἐπιγράμματι] Lib. vi. cap. xvi. Epigr. iii. ut Portus obſervavit.

[7] Κεκαμμένων] Deeſt in Editt. præcedentibus: at legitur in 2 MSS. Pariſ.

[8] Ἐν Ἐπιγράμματι] Anthol. lib. vi. cap. iii. Epigr. ii. ut Portus monuit.

[9] Γυρῶσαι. φιαλῶσαι. περιφρ.] Confer Etymologum, qui vocem hanc plenius exponit.

[10] Δάα.] Scribendum eſſe Δάαι & alii jam ante monuerunt. Vide Stephanum Byzantium v. Δάαι.

[11] Δαβήρ] Eſt ipſa vox Hebraica דביר, quam LXX. Interpr. in verſione ſua retinuerunt.

[12] Δᾳδίον παρὰ πολλοῖς] Vide infra v. Δαλίον.

[13] Ἐκ τῆς ἡδονῆς, ἣν ἐκεῖνος ὕμνει ὁ χλ. τε καὶ γύννις] Hæc verba deſunt in Editt. Baſileenſi & Genevenſi: reperiuntur autem in Editt. reliquis, itemque MSS. Pariſ. Confer etiam Suidam infra v. Χλοῦναι.

Δαήρ. ἀνδράδελφος. καὶ ἐπὶ κλητικῆς, δάερ.

Δάειρα. ὄνομα κύριον.

Δαημονέστεροι. ἐμπειρότεροι.

Δαημονέστατος. ἐμπειρότατος. Ἦν δὲ ὁ Ἀλέξανδρος καὶ τάξαι στρατείαν καὶ ὁπλίσαι δαημονέστατος. † [1] Ἦσαν δὲ καὶ τελετῶν ἀμφότεροι δαημονέστατοι. καὶ Δαημονεστάτων, ἐμπείρων, καὶ ἐπιστημόνων. Οἷα δὴ δαημονεστάτων τὰ πολέμια. † Πέμπει δὲ πρεσβευτὴν τῆς τε Ἑλλήνων φωνῆς δαήμονα, καὶ τῆς Ῥωμαίων οὐ πάντη ἀνήκουστον, ὡς καὶ τοῦ πολίτην Ῥωμαίων κατὰ ποίησιν γενέσθαι μὴ δόξαι ἀνάξιον.

Δαΐ. τῇ μάχῃ. ἐν Ἐπιγράμματι·

Ἁ [2] πάρος αἱματόεν πολέμου μέλος ἐν δαΐ, σάλπιγξ,
Καὶ γλυκὺν εἰράνας ἐκπροχέουσα νόμον.

Δαΐαν [3] ὁδόν. ἀγωνιστικήν. ἢ ἔμπειρον. ἀπὸ τοῦ δαῆναι, ὅ ἐστι μαθεῖν. ἢ ἀντὶ τοῦ φιλόνεικον. Ὁ δὲ, καί τοι δράσας κακὸν δάϊον ἐλεγχόμενος, ὅμως ἦγε τὴν ἡσυχίαν.

Δαΐζων. διακόπτων. ἢ παρὰ τήνδε τὴν μάχην καταμαχόμενος.

Δαϊκταμένοις. ἀναιρουμένοις.

Δαίμονος. τοῦ δαίμονος.

Δαΐξας. διακόψας. φθείρας.

Δαΐς. ἡ μάχη.

Δαΐς. Ἐν [4] ἀγορᾷ τοῖς θεοῖς δαῒς καίεται.

Δαΐφρονος. συνετοῦ, ἢ πολεμικοῦ.

Δάκες. οἱ νῦν [5] Πατζινακῖται λεγόμενοι. † Ἡ εὐθεῖα δάκος, τὰ δάκη· δάκη, καὶ δάκετα, θηρία ἰοβόλα ἑρπετά. καὶ δακέτας, ὁμοίως.

Δακνόμενος. [6] ἐνοχλούμενος. ὑπὸ τῆς ἱπποτροφίας ἀναλωμάτων κατεσθιόμενος. [7] δοκεῖ γὰρ δαπανηρὸν εἶναι τὸ ἵππους τρέφειν· ὅπερ καὶ τῇ Λακωνικῇ προσέζευκται κατάρᾳ. καὶ γὰρ δὴ τοῦτο οἱ Λακεδαιμόνιοι ἐν κατάραις ἔθεσαν μέρει. ἔστι δὲ αὕτη· Οἰκοδομά σε λάβοι, καὶ ἀμβολά, ὅ τε ἵππος, καὶ ἁ γυνά τοι μοιχὸν ἔχοι. ὡς τούτων πάντων δαπανηρῶν ὄντων καὶ ἐπιζημίων. τὸ δὲ δακνόμενος εἶπεν, ἀπὸ τοῦ αὐτὸν κατακεκλεῖσθαι ἔσω τῶν στρωμάτων.

Δακία [8] χώρα· ἣν ὁ Τραϊανὸς ἐν τοῖς πέραν τοῦ Ἴστρου χωρίοις κατῴκισε. καὶ ταύτην Αὐρηλιανὸς ἀπέλιπε, κεκακωμένης τῆς Ἰλλυριῶν τε καὶ Μυσῶν χώρας, ἡγούμενος ἀδυνάτως ἔσεσθαι τὴν πέραν ἐν μέ-

Δαήρ. Viri frater. Levir. Et in vocativo, δάερ.

Δάειρα. Daira. Nomen proprium.

Δαημονέστεροι. Peritiores.

Δαημονέστατος. Peritiſſimus. *Alexander autem exercitus & inſtruendi & armandi peritiſſimus erat. Ambo autem cærimoniarum ſacrarum erant peritiſſimi.* Et δαημονεστάτων, valde peritorum. *Utpote qui rerum bellicarum peritiſſimi eſſent. † Mittit autem legatum, & linguæ Græcæ peritum, nec Latinæ prorſus ignarum, adeo ut non videretur indignus, qui jure civitatis Romanæ donaretur.*

Δαΐ. Prœlio. In Epigrammate: *Quæ funeſtum antea claſſicum in bello cecini, tuba, & dulce in pace modulatus ſum carmen.*

Δαΐαν ὁδόν. Rationem certandi. Vel, peritiam diſciplinarum. A δαῆναι, quod ſignificat diſcere. Vel, contentionem. *Ille vero, quamvis redargueretur, quod facinus hoſtile perpetraſſet, tamen quievit.*

Δαΐζων. Diſſecans. Concidens. Vel prœlio vincens.

Δαϊκταμένοις. Cæſis. Interfectis.

Δαίμονος. Pro δαίμονος. Dæmonis.

Δαΐξας. Qui diſſecuit. Qui concidit. Qui perdidit.

Δαΐς. Pugna. Prœlium.

Δαΐς. Fax. [Ariſtophanes:] *In foro Diis fax accenſa eſt.*

Δαΐφρονος. Prudentis, vel, bellicoſi.

Δάκες. Daces. Iidem, qui nunc Patzinacitæ vocantur. At δάκη (a recto δάκος, δάκεος) & δάκετα, ſerpentes venenoſi. Et δακέτας, idem.

Δακνόμενος. [Qui mordetur.] Qui vexatur. Qui curis conficitur ob ſumptus equorum alendorum. Sumptuoſum enim videtur equos alere: quod Lacones etiam formulæ ſuæ imprecandi & execrandi inſeruerunt, quæ talis eſt: *Amor ædificandi & procraſtinandi te capiat; & equos alas, & uxor tua adulterum habeat.* Hæc enim omnia ſunt ſumptuoſa & damnoſa. Dixit autem δακνόμενος, quod ſtragulis eſſet involutus.

Δακία. Dacia regio. Trajanus in Daciam trans Iſtrum ſitam coloniam deduxit: ſed Aurelianus eandem omiſit, vaſtato Illyrico & Moeſia, deſperans eam retineri poſſe, utpote trans Iſtrum ſitam, & fluviis intercluσοις τοῖς ποταμοῖς ἀπειλημμένην διασώζεσθαι. ἐξαγαγὼν οὖν τοὺς ἐκεῖσε Ῥωμαίους ἀπῳκισμένους ἔκ τε τῶν πόλεων καὶ τῶν ἀγρῶν, ἐν μέσῃ τῇ Μυσίᾳ καθίδρυσε, τὴν χώραν ὀνομάσας Δακίαν· ἣ νῦν ἐν μέσῳ τῶν δύο Μυσιῶν κειμένη διαιρεῖ αὐτὰς ἀπ᾽ ἀλλήλων.

---

[1] Ἦσαν δὲ καὶ τελετῶν ἀμφότεροι δαημ.] De quibus verba hæc fragmenti intelligenda ſint diſcere poterit Lector ex ipſo Suida infra v. Ἐπιφάνιος καὶ Εὐπρέπιος.

[2] Ἁ πάρος αἱματόεν πολ.] Diſtichum hoc eſt pars Epigrammatis, quod ex cod. MS. Anthologiæ ineditæ integrum hic exhibebo. Ἀντιπάτρου Σιδωνίου.

Ἁ πάρος αἱματόεν πολέμου μέλος ἐν δαΐ, σάλπιγξ,
Καὶ γλυκὺν εἰράνας ἐκπροχέουσα μέλος,
Ἄγκειμαι, Φερένικε, τεῇ Τριτωνίδι κούρᾳ
Δῶρον, ἱερεύζων παυσαμένη κελάδων.

Partem diſtichi poſterioris adducit Suidas infra v. Κελαδοῦσιν. Totum autem hoc Epigramma etiam ante nos edidit celeberrimus Bentlejus ad Epigramma Callimachi LX.

[3] Δαΐαν ὁδόν.——φιλόνεικον] Ex Enarratore Comici ad *Ranas* pag. 254.

[4] Ἐν ἀγορᾷ τοῖς θεοῖς δαῒς κ.] Ariſtophanes *Veſpis* pag. 528. (361. Ed. Baſ. *P.*)

[5] Πατζινακῖται] De illis vide Cedrenum pag. 775.

[6] Δακνόμενος. ἐνοχλούμενος. ὑπὸ τῆς ἱπποτρ. ἀναλ.] Hæc, & quæ ſequuntur, deſcripta ſunt ex Scholiaſta Ariſtoph. ad *Nubes* pag. 123. (59. Ed. Baſ. *P.*)

[7] Δοκεῖ γὰρ δαπανηρὸν——ἐπιζημίων] Totus hic locus repetitur infra v. Ἵπποι. Vide etiam ſupra v. Ἀμβολὰς γῆ.

[8] Δακία χώρα· ἣν ὁ Τραϊανὸς ἐν τοῖς πέραν τοῦ Ἴστρου χωρ.] Confer Eutropium in Breviario: ex quo totus hic locus verſus videtur.

Δακρυόεντα. μετὰ δακρύων.

Δακτυλήθρα. ἡ τοῦ δακτύλου σφενδόνη. [1] Καὶ δακτυλήθρας ἔχων ἐσθίειν λέγεται τὸ ὄψον, ἵν᾽ ὡς θερμότατον ἀναδιδῷ τῇ γλώττῃ.

Δακτύλιος. ἡ σφραγίς. [2] Ὁ δὲ Ἀννίβας ὁ Καρχηδονίων στρατηγὸς, Μαρκέλλου τοῦ ὑπάτου ἀποθανόντος, ἐπιστὰς τῷ σώματι αὐτοῦ, ὡς εἶδε τὰ τραύματα πάντα ἐπὶ τοῦ στέρνου, ἐπῄνεσε μὲν ὡς στρατιώτην, ἐπέσκωψε δὲ ὡς στρατηγόν· καὶ τὸν δακτύλιον αὐτοῦ περιελὼν, ἐτύπωσεν ἐπιστολήν. † [3] Σούκινοι καὶ ἐλεφάντινοι δακτύλιοι γυναιξὶν εἰσὶ σύμφοροι.

Δάκτυλοι. παρὰ πολλοῖς αἱ βάλανοι τῆς Φοίνικος. καὶ παροιμία· Δακτύλου ἡμέρα. ἐπὶ τῶν εὐημερούντων. Δάκτυλος γάρ τις ἀνὴρ γέγονεν Ἀθήνησι, μεγίστων λαχὼν τιμῶν.

Δάλδις.[4] πόλις Λυδίας.

Δαλίον. οὕτως οἱ κωμικοὶ διὰ τοῦ λ. [5] Φέρε δὴ τὸ δαλίον τόδ᾽ ἐμβάψω. [6] ἐδόκουν γὰρ καθαίρειν ἀποβάπτοντες τοῦ πυρός. οἱ δὲ δᾳδίον γράφουσι.

Δαλός. λαμπάς. ἢ ξύλου ἀπόκαυμα. ἢ δᾳδίον ἡμίφλεκτον. καὶ παροιμία· Δαλὸς εἰς πῦρ.

Δαμάγητος. ὄνομα κύριον. [7] Ἡρακλεώτης.

Δαμαλίτης. ὄνομα κύριον.

Δάμαλις. ζῶον.

Δάμαρτος. γυναικός.

Δαμασίφρων. ὁ ἀπατῆσαι δυνάμενος. [8] Πίνδαρος· Δαμασίφρονα χρυσόν.

Δαμασκηνός. ἀπὸ τόπου.

Δαμάσκιος, Στωϊκὸς Φιλόσοφος, Σύρος, Σιμπλικίου καὶ [9] Εὐλαλίου τῶν Φρυγῶν ὁμιλητής· ἤκμαζεν ἐπὶ τῶν Ἰουστινιανοῦ χρόνων. γέγραπται αὐτῷ

ſam. Romanos igitur, qui illic habitabant, ex urbibus & agris eduxit, & in media Mœſia collocavit: eamque regionem Daciam appellavit, quæ nunc in medio utriuſque Mœſiæ ſita alteram ab altera ſeparat.

Δακρυόεντα. Lacrymoſa.

Δακτυλήθρα. Annuli pala. [Item, digitale.] *Et digitalia habens cibos edere dicitur, ut eos quam calidiſſimos linguæ tradat.*

Δακτύλιος. Annulus, quo ſigillum imprimitur. *Hannibal, Carthaginenſium dux, Marcello Conſule mortuo, cadaveri ejus adſtans, cum omnia vulnera adverſa videret, ipſum quidem laudavit ut militem, ſed vituperavit ut ducem; annuloque ei detracto epiſtolam obſignavit.* † *Annuli ex ſuccino & ebore confecti mulieribus conducunt.*

Δάκτυλοι. Sic vulgo glandes palmæ vocantur. Et proverbium: *Dactyli dies.* De hominibus fortunatis dicitur. Dactylus enim Athenis maximos honores adeptus eſt.

Δάλδις. Daldis. Urbs Lydiæ.

Δαλίον. Torrem. Sic Comici per λ ſcribunt, [non δᾳδίον. Ariſtophanes:] *Age, torrem hunc [in aquam] immergam.* Putabant enim torrem aqua tinctum vim luſtrandi habere. Alii vero δᾳδίον ſcribunt.

Δαλός. Lampas. Vel, lignum aduſtum, vel torris. Et proverbium: *Torris in ignem.*

Δαμάγητος. Damagetus. Nomen proprium. Heracleota.

Δαμαλίτης. Damalites. Nomen proprium.

Δάμαλις. Vitulus. Juvencus.

Δάμαρτος. Uxoris.

Δαμασίφρων. Qui decipere poteſt. Fallax. Pindarus: *Fallax aurum.*

Δαμασκηνός. Damaſcenus. A loco ſic dictus.

Δαμάσκιος. Damaſcius, philoſophus Stoicus, Syrus, Simplicii & Eulalii Phrygum amicus familiaris: floruit ſub Juſtiniano.

---

[1] Καὶ δακτυλήθρας ἔχων——ἀναδιδῷ τῇ γλώττῃ] Hæc ſunt verba Athenæi de Pithyllo helluone, lib. 1. cap. VI. pag. 6. ut Portus etiam monuit. Vide etiam infra v. Περιγλωττὶς, & v. Πίθυλλος.

[2] Ὁ δὲ Ἀννίβας ὁ Καρχηδονίων στρατ.] Fragmentum hoc legitur apud Appianum *De bellis Annibalicis* pag. 589. quamvis principium de ſuo addiderit Suidas.

[3] Σούκινοι καὶ ἐλεφάντινοι δακτύλιοι γυναιξὶν εἰσὶ σύμφ.] Verba hæc ad ſomniorum interpretationem pertinent, quæ leguntur apud Artemidorum lib. II. cap. V.

[4] Δάλδις. πόλις Λυδ.] Hinc Artemidorus dictus eſt Daldianus. Vide ſupra v. Ἀρτεμίδωρος.

[5] Φέρε δὴ τὸ δαλίον τόδ᾽ ἐμβάψω] Hæc ſunt verba Ariſtophanis Pace pag. 696. (471. Ed. Baſ. *P.*) ſed ubi pro δαλίον legitur δᾳδίον, & verſus integer ſic ſe habet:

Φέρε δὴ τὸ δᾳδίον τόδ᾽ ἐμβάψω λαβών.

Neutram quidem harum lectionum vel ſenſus vel metrum reſpuit, (duæ enim iſtæ voces affinem habent ſignificationem, & ſyllaba prima tam in voce δαλίον quam δᾳδίον longa eſt) attamen video veteres, cum de more hoc luſtrandi loquuntur, voce δαλίον vel δαλὸς potius uti ſolere. Euripides *Hercule Furente* v. 928.

Μέλλων δὲ δαλὸν χειρὶ δεξιᾷ φέρειν,
Εἰς χέρνιβ᾽ ὡς βάψειεν Ἀλκμήνης τόκος.

I. e. *Cum autem torrem manu dextra ſumpturus eſſet filius Alcmenæ, ut intingeret in aquam luſtralem.* Verſum poſteriorem adducit etiam Athenæus lib. IX. pag. 409. ubi, quod obiter moneo, pro Ἀλκμήνης τόκος legitur Ἀλκμήνης γόνος. Subjungit ibidem Athenæus: Ἔστι δὲ (χέρνιψ) ὕδωρ, εἰς ὃ ἀπέβαπτον δαλὸν ἐκ τοῦ βωμοῦ λαμβάνοντες, ἐφ᾽ οὗ τὴν θυσίαν ἐπετέλουν. καὶ τούτῳ περιρραίνοντες τοὺς παρόντας ἥγνιζον. i. e. *Eſt autem* χέρνιψ *aqua, in quam immergebant torrem, ſumptum ab ara, in qua ſacrificium faciebant; eoque omnes, qui aderant, aſperſos luſtrabant.* Heſychius: Δαλίον, δαλόν. ἐν ταῖς ἱεροποιΐαις εἰώθασι τὸν δαλὸν ἐμβάλλειν εἰς τὴν χέρνιβα, καὶ περιρραίνειν τὸν βωμόν. Hinc igitur & apud Ariſtophanem loco ante laudato δαλίον potius quam δᾳδίον ſcribendum eſſe exiſtimo.

[6] Ἐδόκουν γὰρ καθαίρειν ἀποβάπτοντες τοῦ πυρός] Locus hic eſt mutilus, qui ſic ſuppleri poteſt, ἐδόκουν γὰρ καθαίρειν, εἰς ὕδωρ ἀποβάπτοντες δαλὸν, ὃν ἐκ τοῦ πυρὸς ἐλάμβανον.

[7] Ἡρακλεώτης] Hanc vocem ex optimo MS. Pariſ. A. addidi, quæ in prioribus Editt. deſideratur. Damageti autem hujus mentionem facit ipſe Suidas infra v. Δημοσθένης Θρᾷξ, ubi eum expreſſe Heracleotam vocat.

[8] Πίνδαρος] *Olymp.* Od. XIII.

[9] Εὐλαλίου] Sic habet MS. Pariſ. A. At MS. alter Ἐλαμίου: quam lectionem etiam agnoſcit codex Vatic. teſte Pearſonio. Idem etiam in alio quodam codice MS. ſe reperiſſe teſtatur Εὐθαλίου. Priores Editt. omnes exhibent Ἐλαμίτου. At veram lectionem eſſe eam, quam ex MS. Pariſ. A. in textum recepimus, patet ex ipſo Suida infra v. Πρέσβεις, ubi idem philoſophus recte Εὐλάλιος vocatur: quamvis apud Agathiam, unde locum iſtum a Suida depromptum eſſe infra monemus, hodie legatur Εὐλάμιος.

ὑπομνήματα εἰς Πλάτωνα, καὶ περὶ [1] ἀρχῶν, καὶ φιλόσοφος [2] ἱστορία.

Δάμασος,[3] Ῥώμης Ἐπίσκοπος, εἰς ἐποποιΐαν εὐφυὴς, πολλὰ καὶ σύντομα ἡρωϊκῷ μέτρῳ ἐξέδωκε, καὶ ὀγδοηκοντούτης ἐπὶ Θεοδοσίου βασιλέως ἐτελεύτησεν. ἔγραψε καὶ ἄλλα πολλά.

Δαμάστης, Σιγειεὺς, ἀπὸ Σιγείου [4] γῆς τῆς Τρῳάδος, Διωξίππου υἱὸς, γεγονὼς πρὸ τῶν Πελοποννησιακῶν, σύγχρονος Ἡροδότου, τῶν [5] πλουσιωτάτων, ἱστορικός. γέγραφε περὶ τῶν ἐν Ἑλλάδι γενομένων. Περὶ γονέων καὶ προγόνων τῶν εἰς Ἴλιον στρατευσαμένων βιβλία δύο. Ἐθνῶν κατάλογον, καὶ πόλεων. Περὶ ποιητῶν καὶ σοφιστῶν· καὶ ἄλλα συχνά. γέγονε δὲ Ἑλλανίκου μαθητής.

Δαμάτειρα. [6] ἡ δαμάστειρα.

Δαμαίων. κύριον.

Δαμέντα. δαμασθέντα, ἢ φονευθέντα. καὶ Δαμῆναι, δαμασθῆναι.

Δαμιανὸς[7] Ἐφέσιος, σοφιστής· ὃς καὶ ἐν ὑπάτοις ἐνεγράφη ὑπὸ τοῦ βασιλέως Σεβήρου, καὶ Βιθυνίας ἦρξε, καὶ τὴν στοὰν, τὴν ἐκ τῆς Ἐφέσου ἀποτεινομένην εἰς τὸ ἱερὸν, θολικὴν κατεσκεύασε.

Δάμις,[8] ἀνὴρ οὐκ ἄσοφος, τὴν ἀρχαίαν οἰκῶν Νῖνον. οὗτος τῷ Ἀπολλωνίῳ προσφιλοσοφήσας, ἀποδημίας τε αὐτοῦ ἀναγέγραφεν, ὧν κοινωνῆσαι καὶ αὐτός φησι· καὶ γνώμας, καὶ λόγους, καὶ ὁπόσα ἐς πρόγνωσιν εἶπεν. ὁ γὰρ Ἀπολλώνιος ἀπὸ Ἀντιοχείας ἧκεν εἰς Νῖνον. [9] προσεφοίτησε δὲ αὐτῷ Δάμις ὁ Νῖνος, καὶ συνῆν αὐτῷ, ὅ, τι μάθοι μνημονεύων. φωνὴ δὲ ἦν αὐτῷ Ἀσσυρίῳ ξυμμέτρως πράττουσα. τὸ γὰρ λογοειδὲς οὐκ εἶχεν, ἅτε παιδευθεὶς ἐν βαρβάροις. διατριβὴν δὲ ἀναγράψαι, καὶ ξυνουσίαν, καὶ ὅ, τι ἤκουσεν, ἢ εἶδεν, ἀνατυπῶσαι, καὶ ὑπομνήματα τοιάδε ξυνθεῖναι, σφόδρα ἱκανὸς ἦν. † Οὐ [10] μὴν ὡς δυοῖν γε ἀμελῆσαι τούτοιν, τῆς τε ἀνδρείας, ᾗ χρώμενος Ἀπολλώνιος διεπορεύθη βάρβαρα ἔθνη, καὶ λῃστρικὰ, οὐδ᾽ ὑπὸ Ῥωμαίους πω ὄντα· τῆς τε σοφίας, ᾗ τὸν Ἀράβιον τρόπον ἐς ξύνεσιν τῆς τῶν ζώων φωνῆς ἦλθεν. ἔμαθε δὲ τοῦτο διὰ τουτωνὶ τῶν Ἀράβων πορευόμενος.

Δάμνα. ἐδάμαζε.

Δάμνημι. δαμάζω.

Δαμόκριτος, ἱστορικός. Τακτικὰ ἐν βιβλίοις β΄. Περὶ Ἰουδαίων· ἐν ᾧ φησιν, ὅτι [11] χρυσῆν ὄνου κεφαλὴν

Scripſit commentarios in Platonem, & de Principiis, & Hiſtoriam Philoſophicam.

Δάμασος. Damaſus, Epiſcopus Romæ, eleganti in verſibus componendis ingenio præditus, multa eaque brevia carmina metro heroico ſcripta edidit, & octogenarius ſub Theodoſio Imperatore mortuus eſt. Scripſit & alia multa.

Δαμάστης. Damaſtes, Sigeenſis, e Sigeo urbe Troadis, Dioxippi filius, vixit ante bellum Peloponneſiacum, æqualis Herodoti, homo ditiſſimus, & hiſtoricus. Scripſit de rebus in Græcia geſtis. De parentibus & majoribus eorum, qui expeditionem Trojanam ſuſceperunt, libros duos. Gentium & urbium catalogum. De Poetis & Sophiſtis; & alia multa. Fuit Hellanici diſcipulus.

Δαμάτειρα. Domitrix.

Δαμαίων. Damæon. Nomen proprium.

Δαμέντα. Domitum, vel interfectum. Et δαμῆναι, domitum fuiſſe.

Δαμιανός. Damianus Epheſius, Sophiſta, ab Imperatore Severo inter Conſules relatus eſt, & Bithyniæ præfuit, & porticum, quæ ab urbe Epheſo ad templum uſque pertinet, tholis ornavit.

Δάμις. Damis, vir non indoctus, veterem incolens Ninum. Hic apud Apollonium philoſophatus, ejus peregrinationes deſcripſit, in quibus ſe quoque comitem ejus fuiſſe ſcribit: itemque ſententias, & orationes, & prædictiones ejus. Apollonius enim Antiochia Ninum venit: ad quem Damis iſte Ninus acceſſit, ejuſque conſuetudine eſt uſus, memoriæ mandans, quidquid ex eo didicerat. Dictio ejus, ut Aſſyrii, mediocris eſt. Orationis enim elegantia, utpote apud Barbaros inſtitutus, carebat: at colloquia memoriæ mandare, & ſermones familiares, & quicquid audiviſſet vel vidiſſet, ſtilo exprimere, & hujuſmodi commentarios conſcribere ſatis commode poterat. † Ita tamen ut hæc duo non prætermittam: primum, fortitudinem, qua fretus Apollonius barbaras & latrociniis infeſtas, nec Romanis ſubjectas gentes peragravit; & deinde ſapientiam, qua more Arabum voces animalium intellexit. Atque id, cum per Arabiam iter faceret, didicit.

Δάμνα. Domabat.

Δάμνημι. Domo.

Δαμόκριτος. Damocritus, hiſtoricus. Tacticorum libros duos ſcripſit. Item de Ju-

---

[1] Περὶ ἀρχῶν] Opus hoc in diverſis Europæ Bibliothecis hodie adhuc MS. exſtat, & ipſe id Oxonii in Bibliotheca Collegii Corporis Chriſti vidi, ſatis ſpiſſo volumine conſtans.

[2] Φιλόσοφος ἱστορία] Hujus operis partem fuiſſe vitam Iſidori Philoſophi, ex qua prolixa apud Photium excerpta leguntur, recte viri docti conjecerunt. Supra enim v. Γρηγόριος ἀδελφ. Suidas fragmentum ex Damaſcii hiſtoria Philoſophica adducit, quod αὐτολεξεὶ quoque legitur apud Photium in Excerptis ex vita Iſidori Philoſophi, ut Lectorem ibi monemus.

[3] Δάμασος, Ῥώμης Ἐπίσκοπος, εἰς ἐποπ.] Hæc deſcripſit Suidas ex Sophronio, Hieronymi interprete: quem vide pag. 142.

[4] Γῆς] Hæc vox ſupervacanea eſt: nec agnoſcit eam codex Vatic. teſte Pearſonio.

[5] Τῶν πλουσιωτάτων] Sic habent MSS. Pariſ. itemque Editt. Mediolanenſis & Veneta. Quare miror unde Editt. Baſileenſis & Genevenſis ſuum παλαιοτάτων hauſerint.

[6] Δαμάτειρα] Duo MSS. Pariſ. habent δαμάστρια.

[7] Δαμιανὸς Ἐφέσιος, σοφ.] De hoc plura lege apud Philoſtratum *de Vit. Sophiſt.* lib. II. pag. 601.

[8] Δάμις, ἀνὴρ οὐκ ἄσοφος ——— ἐς πρόγνωσιν εἶπεν] Hæc ſunt verba Philoſtrati lib. I. *de Vit. Apoll.* cap. III. ut Pearſonius etiam obſervavit.

[9] Προσεφοίτησε δὲ αὐτῷ Δάμις ——— ἱκανὸς ἦν] Hæc itidem ſunt verba Philoſtrati lib. I. cap. XIII.

[10] Οὐ μὴν ὡς δυοῖν γε ἀμελῆσαι ——— πορευόμενος] Hæc leguntur apud eundem Philoſtratum lib. I. *de Vit. Apoll.* cap. XIV. ut itidem Pearſonius obſervavit.

[11] Ὅτι χρυσῆν ὄνου κεφαλὴν προσεκ.] Eadem repetuntur infra v. Ἰούδας.

προσεκύνουν, καὶ κατ' ἑπταετίαν ξένον ἀγρεύοντες προσέφερον, καὶ κατ' λεπτὰ τὰς σάρκας διέξαινον, καὶ οὕτως ἀνῄρουν.

Δαμόξενος, Ἀθηναῖος, κωμικός. τῶν δραμάτων αὐτοῦ Σύντροφοι, ὡς Ἀθήναιος λέγει ἐν τρίτῳ Δειπνοσοφιστῶν· καὶ Ἑαυτὸν πενθῶν, ὡς πάλιν ὁ αὐτὸς ἐν τῷ ἑνδεκάτῳ.

Δαμόστρατος, ἱστορικός. [1] Ἁλιευτικὰ ἐν βιβλίοις εἴκοσι· καὶ περὶ τῆς ἐνύδρου μαντικῆς· καὶ ἕτερα σύμμικτα ἐχόμενα ἱστορίας.

Δαμόφιλος, [2] φιλόσοφος, σοφιστής· ὃν ἀνεθρέψατο Ἰουλιανός, ὁ ἐπὶ Μάρκου τοῦ βασιλέως ὕπατος· γράψας πάμπολλα, ἐξ ὧν ταῦτά μοι εὕρηται ἐπὶ ταῖς τῶν βιβλίων θήκαις. [3] Φιλόβιβλος. πρῶτος περὶ ἀξιολήπτων βιβλίων, πρὸς Λόλλιον Μάξιμον. Περὶ [4] βίου ἀρχαίων· καὶ ἕτερα πάμπολλα.

Δαμώματα. τὰ δημόσια ᾀδόμενα. [5] Ἀριστοφάνης· Τοιάδε χρὴ Χαρίτων δαμώματα καλλικόμων τὸν σοφὸν ποιητὴν ὑμνεῖν.

Δάμων. ὄνομα κύριον.

Δαμοίτης. κύριον.

Δανά. τὰ ξηρὰ ξύλα. τὸ δα μακρόν. [6] Καλλίμαχος· Δανὰ ξύλα κεάσαι. τουτέστι, σχίσαι.

Δανάη. ὄνομα κύριον. ἡ Ἀκρισίου. † [7] Κρίθητι καὶ σύ. οὐκ εἶ Δανάη ἡ Ἀκρισίου. ταύτης γὰρ δυσπειθῶς πρός τινα δίκην ἀπαντώσης, σοφός τις πρὸς αὐτὴν ἀπεφθέγξατο· Κρίθητι καὶ σύ· καὶ τὰ ἑξῆς. † Καὶ Δανάης ἐλύγωσεν ὅδε φρένα. τουτέστιν, ὁ χρυσός.

Δαναΐς, Δαναΐδος, καὶ Δαναΐδων. ἔστι παροιμία ἐν τῷ Ἀπληστία.

Δανάκη. [8] τοῦτο νομίσματός ἐστιν ὄνομα, ὃ τοῖς νεκροῖς ἐδίδοσαν πάλαι, συγκηδεύοντες, ὡς [9] Ἀχερουσίας ἐπίβαθρον. Ἀχερουσία δέ ἐστι λίμνη ἐν ᾅδου, ἣν διαπορθμεύονται οἱ τελευτῶντες, τὸ προειρημένον νόμισμα τὸ πορθμεῖ διδόντες. † [10] Ἐπιχωριάζει τῇ μεγάλῃ Ἀντιοχείᾳ τῆς [11] Συρίας τὸ δανικόν, ᾧπερ χρῶνται εἰς μικρὰς πραγματείας.

dæis: in quo opere ait, eos aureum aſini caput adorare, & ſeptimo quoque anno peregrinum captum ſacrificare & interficere, carne ejus minutatim diſſecta.

Δαμόξενος. Damoxenus, Athenienſis, Comicus. Ex fabulis ejus ſunt, *Syntrophi*, ut Athenæus ait libro tertio *Dipnoſophiſtarum*: & *Seipſum lugens*, ut idem ait libro XI.

Δαμόστρατος. Damoſtratus, hiſtoricus. Scripſit *Halieuticorum* libros XX. Item, de divinatione per aquam: & alia miſcellanea hiſtorica.

Δαμόφιλος. Damophilus, Philoſophus & Sophiſta, alumnus Juliani, qui ſub Marco Imperatore Conſul fuit. Scripſit multa: inter quæ in Bibliothecis hæc a me reperta ſunt. Philobiblus, ſive de libris comparatu dignis, ad Lollium Maximum. De vita veterum: & alia plurima.

Δαμώματα. Carmina, quæ publice canuntur. Ariſtophanes: *Talia de Gratiis pulchricomis carmina ſapientem poetam publice canere oportet.*

Δάμων. Damon. Nomen proprium.

Δαμοίτης. Damœtes. Nomen proprium.

Δανὰ [ξύλα.] Arida ligna. Syllaba δα longa eſt. Callimachus: *Ligna arida findere.*

Δανάη. Danae. Nomen proprium. Acriſii filia. † *Tu quoque ſubi judicium. Non enim es Danae Acriſii filia.* Cum enim mulier iſta ægre adduci poſſet, ut in judicio ſe ſiſteret, philoſophus quidam his verbis eam allocutus eſt: ***Subi tu quoque judicium***, &c. † *Et Danaes animum aurum flexit.* [In Epigrammate.]

Δαναΐς. Danais, Danaidis, & Danaidum. De his vide proverbium in v. Ἀπληστία.

Δανάκη. Danace. Eſt nomen nummi, quem olim cum mortuis ſepeliebant, ut eum nauli loco pro trajectu Acheruſiæ [Charonti] ſolverent. Acheruſia autem palus eſt apud Inferos, quem mortui trajiciunt, ante dictum nummum portitori dantes. † In magna Antiochia, urbe Syriæ, frequens eſt Danicum, quo ad minores negotiationes utuntur.

---

[1] Ἁλιευτικά] Ex hoc opere nonnulla in ſextum librum Excerptorum ſuorum tranſtulerat Sopater, teſte Photio Cod. CLXI. pag. 339.

[2] Δαμόφιλος] Damophilum hunc Bithynum fuiſſe diſcimus ex Juliano, qui ejus meminit in *Miſopogone*, ut obſervavit Valeſius ad Hiſtor. Eccleſ. Euagr. lib. VI. cap. I.

[3] Φιλόβιβλος. πρῶτος περὶ ἀξ.] Locum hunc, deleta voce πρῶτος, ſic legendum puto, Φιλόβιβλος, ἢ περὶ ἀξιοκτήτων βιβλ. Quid enim vox πρῶτος hic ſibi velit, non video. Cæterum, ſimilis argumenti librum olim etiam ſcripſerat Telephus Pergamenus, inter cujus opera Suidas infra & hoc recenſet: Βιβλιακῆς ἐμπειρίας βιβλία γ'· ἐν οἷς διδάσκει τὰ κτήσεως ἄξια βιβλία. His addi poteſt Philo Byblius, quem itidem Suidas περὶ κτήσεως καὶ ἐκλογῆς βιβλίων ſcripſiſſe ſuo loco refert.

[4] Περὶ βίου ἀρχαίων] Sic habent MSS. Pariſ. At in prioribus Editt. excuſum eſt περὶ βίων ἀρχ. quæ lectio quamvis ſenſum non mutet, malui tamen fidem MStorum ſequi.

[5] Ἀριστοφάνης] *Pace* pag. 684. (465. Ed. Baſ. P.)

[6] Καλλίμαχος] Imo Homerus, apud quem Odyſſ. O. v. 321. rectius ſic legitur:

——ξύλα δανὰ κεάσσαι.

Vide ibi Euſtathium.

[7] Κρίθητι καὶ σύ. οὐκ εἶ Δαν.] Idem fragmentum legitur etiam ſupra v. Ἀκρισία.

[8] Δανάκη] Præter Etymologum v. Δανάκης, confer etiam Suidam infra v. Καρχαίδοντα, &. v. Πορθμήϊον; itemque Caſaubonum ad Theocrit. cap. IV. & celeberrimum Bentlejum ad Fragm. Callim. CX.

[9] Ἀχερουσίας ἐπίβαθρον] Reſpexit hic Suidas ad fragmentum Callimachi, quod citat Etymologus v. Δανάκης: ubi poeta δανάκην vocat νεὼς Ἀχεροντίας ἐπίβαθρον, i. e. mercedem pro nave Acherontica conſcendenda. Hodie quidem vulgo editur νεὼς Ἀχερουσίας ἐπίβαθρον: ſed cum τὸ Ἀχερουσίας metrum verſus reſpuat, Iſ. Caſaubonus loco ante laudato recte Ἀχεροντίας ejus loco reſtituiſſe mihi videtur. Hinc autem apparet, Suidam τὸ Ἀχερουσίας, quod in dicto fragmento Callimachi eſt epithetum navis, male pro paludis nomine hic accepiſſe; cum Græci naulum, ſive mercedem quæ pro trajectu ſolvitur, non appellent ἐπίβαθρον θαλάσσης, vel λίμνης, vel ποταμοῦ &c. ſed ἐπίβαθρον νεώς, ut ex ſcriptoribus veteribus conſtat. Fuit quidem olim palus quædam, cui Ἀχερουσία nomen erat, ut veteres Geographi docent: ſed in fragmento illo Callimachi, ad quod Suidam reſpexiſſe diximus, certum eſt τὸ Ἀχερουσίας, ſive malis Ἀχεροντίας, eſſe epithetum navis, non vero paludis.

[10] Ἐπιχωριάζει τῇ μεγάλῃ Ἀντ.] Fragmentum hoc non pertinet ad vocem Δανάκη, ſed Δανικόν, quam vocem novi articuli initium eſſe oportebat. Cæterum, eadem verba deſunt in antiquiſſimo MS. Pariſ. A.

[11] Συρίας] Sic recte etiam habet Edit. Mediolanenſis. At in cæteris Editt. inepte legitur σοφίας, quod Portus tamen bona fide in verſione ſua expreſſerat.

Δανεῖσαι.[1] τούτου τὸ χρῆσαι αἱρετώτερον. τὸ μὲν γὰρ χρῆσαι, ἐπὶ φίλων· τὸ δὲ δανεῖσαι, πρὸς τοὺς τυχόντας. καὶ δανειστὴς, ὁ δανείζων.

Δανότατα. ξύλα ξηρότατα.

Δαξισμός. Ὑπὸ δὲ πόνου τινὸς δαξισμοῦ τῆς καρδίας παύσασθαι ἱπτάμενον.

Δάοχος.[2] εἷς ἐστιν οὗτος τῶν προεμένων Φιλίππῳ τὰ Θετταλῶν πράγματα.

Δαπανᾷν. οὐ τὸ ἀναλίσκειν ἁπλῶς, ἀλλὰ τὸ λαμπρῶς ζῇν, καὶ σπαθᾷν, καὶ [3] δαπανᾷν τὴν οὐσίαν. οὕτω Δημοσθένης καὶ οἱ ἄλλοι δικανικοὶ τούτῳ χρῶνται τῷ ὀνόματι. Θουκυδίδης δὲ τὴν πόλιν δαπανᾷν φησιν ἀντὶ τοῦ, εἰς ἀναλώματα μεγάλα ἐμβάλλειν.

Δάπεδον. ἔδαφος. [4] Ὅμηρος·

Οἱ δὲ Θεοὶ πὰρ Ζηνὶ καθήμενοι ἠγορόωντο
Χρυσέῳ ἐν δαπέδῳ.

Δάπιδας. τὰς ψιλὰς καὶ μὴ μαλλωτὰς δάπιδας λέγουσι. καὶ Δάπισι, τοῖς τάπησιν. οὕτω γὰρ Ἀττικοί. Ἀριστοφάνης ἐν Πλούτῳ· Οὐδ' [5] ἐν δάπισιν ἔσται καταδαρθεῖν.

Δάπτω.[6] τὸ μετὰ σπαραγμοῦ ἐσθίω. ὅπερ καὶ δαρδάπτω λέγεται. Βάβριος· Καὶ σπλάγχνα δαρδάπτων.

Δάρας. [7] Προκόπιος· Ῥωμαίων δὲ ἱππεῖς ἦσαν ἄρχοντες ἱππέων, οἱ τὰ πρότερα τὴν ἐς Δάρας μάχην διήνεγκαν.

Δαρδανεύς. ὄνομα ἔθνους. καὶ Δαρδάνειοι.

Δαρετίου.[8] Τὸν τρίποδ' ἀνθέμεναι ἐξ ἑκατὸν λιτρῶν καὶ πεντήκοντα ταλάντων Δαρετίου χρυσοῦ, τὰς δεκάτας.

Δαρεικός. νόμισμά τι ἦν χρυσοῦν, ὅπερ Δαρεῖος πρῶτος ἐπενόησεν. [9] Ξέρξης ὡς αὐτὸν πρεσβευσαμένου Ἀριστείδου, καὶ τρισχιλίους δαρεικοὺς αὐτῷ διδόντος, οὐδὲν ἐπιστρέφεσθαι ἔφη τοῦ Περσικοῦ πλούτου, τοιαύτῃ χρώμενος διαίτῃ. ἔτυχε δὲ σὺν ἐπιμελῆ τὸν ἄρτον προσφερόμενος. † Τούτου τοῦ Δαρείου ἠριθμήθη ὁ στρατὸς, καὶ εὑρέθησαν μυριάδες, χωρὶς τοῦ ναυτικοῦ σὺν ἱππεῦσιν, ἑβδομήκοντα. νῆες δὲ ἑξακόσιαι συνελέγησαν ἐπὶ Σκύθας.

Δαρεικοί.[10] εἰσὶ μὲν χρυσοῖ στατῆρες οἱ δαρεικοί·

Δανεῖσαι. Fœnori dare. Huic præferendum eſt τὸ χρῆσαι, i. e. utendum dare abſque fœnore. Nam τὸ χρῆσαι inter amicos tantum locum habet: τὸ δανεῖσαι vero, inter quoſvis. Et δανειστὴς, fœnerator.

Δανότατα [ξύλα.] Ligna maxime ſicca.

Δαξισμός. Morſus. [*Dicebat vero,*] *eum propter laſſitudinem aliquam & cordis dolorem a volando ceſſare.*

Δάοχος. Daochus. Hic unus eſt ex iis, qui res Theſſalorum Philippo prodiderunt.

Δαπανᾷν. Non ſimpliciter ſignificat ſumptus facere, ſed ſplendide vivere, & opes abligurire, & bona dilapidare. Ita Demoſthenes & alii oratores forenſes hac voce uſi ſunt. Apud Thucydidem vero δαπανᾷν τὴν πόλιν ſignificat, urbem in magnos ſumptus conjicere.

Δάπεδον. Pavimentum. Solum. Homerus: *Dii vero apud Jovem ſedentes conſultabant aureo in pavimento.*

Δάπιδας. Sic vocant tapetes pilis vel villis carentes. Et δάπισι, idem quod τάπησι, tapetibus. Sic enim Attici. Ariſtophanes *Pluto*: *Neque in tapetibus dormire licebit.*

Δάπτω. Cum dilaceratione edo, [ſive, avide devoro:] quod & δαρδάπτω dicitur. Babrius: *Et viſcera avide devorans.*

Δάρας. Daras. Procopius: *Romanorum vero equitatui præfecti erant iidem illi, qui ante ad Daras* [*cum Perſis*] *pugnaverant.*

Δαρδανεύς. Nomen gentis. Et Dardanii.

Δαρετίου. Daretii. *Tripodem dedicaſſe centum librarum, & quinquaginta talentorum auri Daretii pro decimis.*

Δαρεικός. Daricus, nummus aureus, quem Darius primus cudi juſſit. Cum Xerxes legatos ad Ariſtidem mitteret, eique tria millia Daricorum offerret, Ariſtides reſpondit, ſe non curare Perſicas divitias, dum tali victus genere uteretur. Forte autem tunc pane cibario veſcebatur. † Cum hujus Darii exercitus numeraretur, inventa ſunt DCC. millia hominum, præter copias navales, cum equitibus. Sexcentæ autem naves adverſus Scythas collectæ erant.

Δαρεικοί. Darici ſunt aurei ſtateres: quoἠδύνατο δὲ ἕκαστος αὐτῶν ὅπερ καὶ ὁ παρὰ τοῖς Ἀττικοῖς ὀνομαζόμενος χρυσοῦς. οὐκ ἀπὸ Δαρείου τοῦ Ξέρξου πατρὸς, ἀλλ᾽ ἀφ᾽ ἑτέρου τινὸς παλαιοτέρου βασιλέως ὠνομάσθησαν. λέγουσι δέ τινες δύνασθαι τὸν δαρεικὸν δραχμὰς ἀργυρίου εἴκοσι. ὡς τοὺς πέντε δαρεικοὺς δύνασθαι μνᾶν ἀργυρίου.

---

[1] Δανεῖσαι. τούτου τὸ χρ.] Vide quæ hac voce diſputat Salmaſius *de Uſur.* cap. II.

[2] Δάοχος. εἷς ἐστιν οὗτος τῶν πρ.] Ex Harpocratione.

[3] Δαπανᾷν τὴν οὐσίαν] Duo MSS. Pariſ. habent, δαπανᾷν τῇ ἑστίᾳ: quod aſpernandum non eſt.

[4] Ὅμηρος] Il. Δ. v. 1.

[5] Οὐδ' ἐν δάπισιν] Hinc emendandus Ariſtophanes *Pluto* pag. 55. apud quem invito metro hodie legitur ἐν τάπησιν. Olim tamen in quibuſdam exemplaribus recte ſcriptum fuiſſe ἐν δάπισιν, non ſolum probat hic locus Suidæ, ſed etiam expreſſe teſtatur Schol. Ariſtoph. ad *Veſpas* pag. 479. his verbis: Δάπιδας. τὰς ψιλὰς καὶ μὴ μαλλωτὰς δάπιδας λέγουσι. καὶ δάπισι, τοῖς τάπησιν. ἐν δέ τισι τῶν ἀντιγράφων δάπισιν εὕρηται ἐν τῷ Πλούτῳ. Οὐδ' ἐν δάπισιν ἔσται καταδαρθεῖν. ἀντὶ τοῦ τάπησιν.

[6] Δάπτω. τὸ μετὰ σπαραγμοῦ ἐσθ.] Huc ſpectant verba Athenæi lib. VIII. pag. 363. Ἐπὶ τῶν ἀπλήστως καὶ θηριωδῶς ἐσθιόντων τὸ δάψαι καὶ δαρδάψαι.

[7] Προκόπιος] *De Bello Perſ.* lib. I. cap. XVIII. pag. 52. ex quo locus hic, quem Suidas ſuo more interpolavit, ſic ſcribendus eſt, ἄρχοντες δὲ ἱππέων ἦσαν, οἱ τὰ πρότερα &c.

[8] Τὸν τρίποδ' ἀνθέμεναι ἐξ ἑκατ.] Fragmentum hoc decerptum eſt ex Epigrammate Simonidis, quod ex Anthologia MS. integrum hic cum Lectore communicabo. Σιμωνίδου.

Φημὶ Γέλων', Ἱέρωνα, Πολύζηλον, Θρασύβουλον,
Παῖδας Δεινομένους τὸν τρίποδ' ἀνθέμεναι,
Ἐξ ἑκατὸν λιτρῶν καὶ πεντήκοντα ταλάντων
Δαρετίου χρυσοῦ τᾶς δεκάτας δεκάταν.

Idem Epigramma ante nos publici juris fecit Cl. Richardus Bentlejus in docta & reconditæ eruditionis plena Diſſertatione de Phalaridis Epiſt. pag. 458. ubi monet τὸ Δαρετίου corruptum eſſe, ejuſque loco ſcribi debere Δαμαρετίου. Rationes, quas ad confirmandam emendationem iſtam affert, apud ipſum legat Lector.

[9] Ξέρξης ὡς αὐτὸν πρεσβ. Ἀριστείδου] Scribe, Ξέρξου ὡς Ἀριστείδην πρεσβευσαμένου, καὶ τρισχ. Vide ſupra v. Ἀριστείδης.

[10] Εἰσὶ μὲν χρυσοῖ στατ.] Hæc, & quæ ſequuntur, deſumpta ſunt ex Schol. Ariſtoph. ad *Eccleſ.* pag. 741. 742. Vide etiam Harpocrationem, apud quem eadem leguntur.

Δαρεῖος. Ἀλέξανδρος, ὁ τῶν Μακεδόνων βασιλεὺς, πρὸς Δαρεῖον τὸν Περσῶν βασιλέα συνάψας πόλεμον, τοῦτον κατὰ κράτος νικᾷ. καὶ αἰτεῖται εἰς διαλλαγὴν ἐλθεῖν, καὶ δοῦναι αὐτῷ καὶ τὴν θυγατέρα Ῥοξάνην πρὸς γάμου κοινωνίαν. ὁ αὐτὸς Δαρεῖος ὑπὸ τοῦ ἰδίου Σατράπου ἀναιρεῖται, ᾧ Βέσος ὄνομα· καὶ προσάγει τὴν κεφαλὴν Ἀλεξάνδρῳ τῷ Μακεδόνι.

Δᾳς. λαμπάς. Πῦρ τε ἐν δᾳσὶ καὶ φακέλους πίσσῃ κεχρισμένους κομίζοντες, τὴν πλάτην ἀνάπτουσι. Καὶ αὖθις· [1] Τὰ ἡμίτομα ἐπὶ κλίναις βεβλημένα μάλα ἁβραῖς, καὶ στρωμναῖς ὑφῇ τινι ὑπερηφάνῳ κεκοσμημέναις ἐπιτεθέντες, ὑπὸ δᾳσὶν ἐπακμαζούσαις τῷ πυρὶ, καὶ τὸν ὑμέναιον ᾀδουσῶν γυναικῶν, κομισθῆναι μετὰ χορείας γαμηλίου τε καὶ κερτόμου.

Δάσασθαι. διαμερίσασθαι. Ἡρόδοτος· Ἐς τρεῖς μοίρας ὁ Ξέρξης δασάμενος πάντα τὸν πεζὸν στρατόν.

Δάσιος. [2] ὁ δασύς.

Δάσκιος. ὁ πολύσκιος.

Δασμολογία. φορολογία. καὶ δασμολόγοι, φορολόγοι.

Δασμολογῶ. συνάγω δασμούς. [3] Πλάτων μὲν ἀτελεῖς φορὰν τοὺς παρ᾽ αὐτὸν φοιτῶντας ἐποίει· σὺ δὲ δασμολογεῖς, καὶ παρ᾽ ἑκόντων καὶ ἀκόντων λαμβάνεις.

Xeno[illegible] Whiter
in Porsoni Not. Brev. ii. 298

Δασμός. μερισμός. φόρου [4] ἀπαγωγή. Ξενοφῶν· Εὗρον δὲ καὶ πώλους εἰς δασμὸν βασιλεῖ τρεφομένους δεκαεπτά. Καὶ αὖθις· Ἀθηναῖοι δὲ δείσαντες τὸν Μίνωος στόλον, ὑπέστησαν δασμὸν οἴσειν εἰς Κρήτην, ὅν τινα ἂν ἐκεῖνος δικαιώσειεν.

Δασμοφορῶ. δοτικῇ.

Δάσονται. διασπάσονται. κατὰ μέρη φαγοῦνται, καὶ μεριοῦνται.

Δασπλῆτα. τὴν ἐπὶ κακῷ προσπελάζουσαν. ἐν Ἐπιγράμματι[5].

Σὴν γὰρ ἐγὼ δασπλῆτα διάστασιν, οἷά τε πικρὴν
Νύκτα καταπτήσσω τὴν Ἀχεροντιάδα.

Δασπλῆτις γὰρ, ἡ Ἐριννύς.

Δασύπους. λαγώς. καὶ παροιμία· Πρότερον χελώνη παραδραμεῖται δασύποδα. ἐπὶ τοῦ ἀδυνάτου.

Δασύπους κρεῶν ἐπιθυμεῖ. [6] λέγεται ἐπὶ τοῦ ἐπιθυ-

rum ſinguli tantundem valebant, quantum qui apud Atticos vocabatur aureus. Non autem a Dario Xerxis patre, ſed ab alio quodam antiquiore Rege nomen acceperunt. Quidam autem dicunt, Daricum valere viginti drachmas argenti, ita ut quinque Darici valeant minam argenti.

Δαρεῖος. Alexander, Macedonum Rex, bellum Dario Perſarum Regi intulit, cumque devicit. Darius autem pacem ab Alexandro petiit, oblatis ei nuptiis filiæ ſuæ Roxanæ. Idem Darius a Beſſo, quodam Satraparum ſuorum occiſus eſt; qui caput ejus ad Alexandrum attulit.

Δᾳς. Fax. Lampas. *Ignemque in facibus, & faſciculos pice unctos ferentes, palmulam remi incendunt.* Et iterum: *Fruſta* [*corporis*] *lectis admodum delicatis & ſtragulis magnifica quadam textura ornatis impoſita, ſub ſplendentibus igne facibus, & mulieribus hymenæum canentibus, cum nuptiali & feſcennina chorea portari juſſit.*

Δάσασθαι. Diviſiſſe. Herodotus: *Xerxes toto pedeſtri exercitu in tres partes diviſo.*

Δάσιος. Denſus. Hirſutus.

Δάσκιος. Umbroſus.

Δασμολογία. Tributorum exactio. Et δασμολόγοι, tributorum exactores.

Δασμολογῶ. Tributa colligo. *Plato quidem diſcipulos ſuos nulla accepta mercede gratis docebat: Tu vero tributa exigis, & tam a volentibus quam invitis* [*mercedem*] *accipis.*

Δασμός. Diſtributio. Tributi penſio. Xenophon: *Invenerunt autem etiam* XVII. *equuleos, qui alebantur, ut Regi tributi loco darentur.* Et iterum: *Athenienſes autem metuentes claſſem Minois, promiſerunt ſe tributum in Cretam laturos eſſe, quodcunque ille poſtulaſſet.*

Δασμοφορῶ. Tributum pendo. Dativo gaudet.

Δάσονται. Dilacerabunt. In fruſta diſſectum devorabunt, & divident.

Δασπλῆτα. Nocendi cauſa ad aliquem accedentem. Sive, cujus acceſſus malum alicui affert. In Epigrammate: *A te enim ſeparari, mali graviſſimi inſtar mihi eſt, idque non minus metuo, quam triſtem mortem.* Δασπλῆτις enim eſt epithetum Furiæ.

Δασύπους. Lepus. Et proverbium: *Citius teſtudo leporem curſu præverterit.* Dicitur de re, quæ fieri non poteſt.

Δασύπους κρ. *Lepus pulpamentū concupiſcit.*

---

[1] Τὰ ἡμίτομα ἐπὶ κλίναις βεβλ.] Fragmentum hoc eſſe Æliani diſcimus ex v. Ὑπερήφανος, ubi pars hujus loci addito nomine Æliani repetitur. Vide etiam v. Ὕφη.

[2] Δάσιος] Scribendum eſt Λάσιος, eaque vox ſuo loco reſtituenda. Τὸ Λ enim & Δ propter affinitatem ſcripturæ ſæpe confunduntur cujus generis σφάλματα apud Heſychium non pauca occurrunt.

[3] Πλάτων μὲν ἀτελεῖς φορὰν τοὺς παρ᾽ αὐτὸν φοιτ.] Fragmentum hoc legitur apud Laertium *Speuſippo*, ut Pearſonius recte obſervavit.

[4] Φόρου ἀπαγωγή] MSS. Pariſ. itemque codex Vatic. teſte Pearſonio, habent φόρου ἀπαρχή. Sed lectio vulgata præferenda eſt.

[5] Ἐν Ἐπιγράμματι] Anthol. lib. VII. pag. 600. (461. Ed. Henr. Steph. *P.*)

[6] Λέγεται ἐπὶ τῶν ἐπιθυμούντων παρ᾽ ἄλλων τι.] Diogenianus proverbium hoc ſic exponit. Ἐπὶ τῶν παρὰ ἄλλων, (lege παρ᾽ ἄλλων) ἐπιζητούντων, ἃ παρ᾽ ἑαυτῶν ἔχουσι. Vide & alios parœmiographos.

μοῦμῦθος παρ' ἄλλῳ γενέσθαι τὰ ὄντα παρ' ἑαυτῷ.

Δατεῖσθαι, καὶ δατηταί. [1] Δατεῖσθαι μὲν, τὸ μερίζεσθαι. Δατηταὶ δὲ, οἱ μερισταί. τὸ δὲ εἰς δατητῶν αἵρεσιν, δίκης ἐστὶν εἶδος. ὁπότε γὰρ κοινωνοῖέν τινες ἀλλήλοις, καὶ οἱ μὲν βούλοιντο διανέμεσθαι τὰ κοινὰ, οἱ δὲ μὴ, ἐδικάζοντο οἱ βουλόμενοι τοῖς μὴ βουλομένοις εἰς δατητῶν αἵρεσιν. οὕτω Λυσίας καὶ Ἀριστοτέλης. Δατηταὶ κυρίως, οἱ τὰ κοινὰ διανέμοντες τοῖς μὴ βουλομένοις.

Δᾶτις,[2] Πέρσης· ὃς ἐπετήδευσεν ἑλληνίζειν. ὃν λέγουσι φάναι χαίρομαι, ἀντὶ τοῦ εἰπεῖν χαίρω. καὶ ἔστι Δατισμός.

Δᾶτις.[3] Οὗτος δὲ εἶδεν ὄψιν ὀνείρου, καὶ ἥτις ἦν ἡ ὄψις, οὐ λέγεται. ὁ δὲ ὡς ἡμέρη τάχιστα ἐπέλαμψεν, ζήτησιν ἐποίεε τῶν νεῶν. εὑρὼν δὲ ἐν Φοινίσσῃ νηῒ ἄγαλμα Ἀπόλλωνος κεχρυσωμένον, ἐπυνθάνετο, ὁπόθεν εἴη σεσυλημένον. πυθόμενος δὲ ἐξ οἵου ἦν ἱεροῦ, ἔπεμπε τῇ ἑαυτοῦ νηῒ ἐς Δῆλον, καὶ κατατίθεται εἰς τὸ ἱερὸν τὸ ἄγαλμα, καὶ ἐντέλλεται τοῖσι Δηλίοισιν ἀπαγαγεῖν τὸ ἄγαλμα. ὃς ἑλληνίζειν βουλόμενος, εἶπεν, ἥδομαι, καὶ χαίρομαι, καὶ εὐφραίνομαι.

Δᾶτις,[4] καὶ Ἀρταφέρνης, Περσῶν καθηγεμόνες καὶ στρατηγοὶ Δαρείου μετὰ τὴν καθαίρεσιν Μαρδονίου, ἀπέστειλαν εἰς τὴν Ἑλλάδα, [5] καταπειράσοντες τὰς πόλεις, καὶ γῆν καὶ ὕδωρ αἰτήσοντες. οἱ δὲ νησιῶται πάντες ἔδωκαν. Ἀθηναῖοι δὲ βαρέως ἐνεγκόντες, τοὺς πρεσβευτὰς ἐξεκήρυξαν. οἱ Λακεδαιμόνιοι δὲ ἀμφότερα δώσειν ἐπηγγείλαντο· καὶ ἐμβαλόντες αὐτοὺς εἰς φρέατα, καὶ καταχώσαντες, ἀπεφήναντο δεδωκέναι τὴν τῶν ἀπαιτουμένων χάριν.

Δατόν.[6] παρὰ Ῥωμαίοις σημασία τῆς ἡμέρας καὶ τοῦ καιροῦ, ὅτε τις ἢ ἐκ πόλεως, ἢ ἔκ τινος τόπου ἀποστελῇ. μή ποτε τοῦτό ἐστιν, ὃ καὶ νῦν συνήθως λέγεται, τί δατὸν ἔχεις; οἱ δὲ, ζάκανον.

Δατός. πόλεως ὄνομα, ἐν ᾗ καὶ χρύσεια μέταλλα. καὶ, Δατὸς ἀγαθῶν.

Δάτος,[7] πόλις Θρᾴκης, σφόδρα εὐδαίμων. ἀφ' ἧς καὶ ἡ παροιμία· [8] Δατὸς ἀγαθῶν. ταύτην γὰρ τὴν πόλιν, καὶ τὴν παρακειμένην χώραν, καὶ θηλυκῶς καὶ ἀρσενικῶς ὀνομάζουσι.

Δατοῖς. δόλοις. πανουργεύμασιν. Ἐσκόπησαν ἐγγράφοις προσρήμασι διαμαρτύρασθαι αὐτούς. ἀλλ' ἐπεὶ τοῦτο οὐχ ἁπλῶς, καὶ ὡς ἔθος, ἐνεχώρει γενήσεσθαι,

Dicitur de eo, qui penes alium ea quærit, quæ penes ipſum ſunt.

Δατεῖσθαι & δατηταί. Δατεῖσθαι ſignificat dividi: Δατηταὶ vero, qui portionem ſuam cuique diſtribuunt. At εἰς δατητῶν αἵρεσιν eſt ſpecies Judicii. Cum enim quidam ſociorum res communes dividi volebant, alii vero nolebant; illi, qui volebant, actionem communi dividundo, [quam Græci εἰς δατητῶν αἵρεσιν vocant,] contra nolentes inſtituebant. Sic Lyſias & Ariſtoteles. Δατηταὶ proprie vocabantur, qui res communes nolentibus dividebant.

Δᾶτις. Datis, Perſa. Hic cum Græce loqui conaretur, χαίρομαι, ut aiunt, pro χαίρω dixit: unde Datiſmus nomen accepit.

Δᾶτις. Datis. Hic cum ſomnium noctu vidiſſet (quod quidem cujuſmodi fuerit non traditur) ſub primum ſtatim lucis exortum naves perſcrutatus eſt, inventoque in navi quadam Phœnicia ſimulacro Apollinis aurato, ſciſcitatus eſt, e quo templo id ablatum eſſet. Quod ubi cognoviſſet, in Delum navigans ſimulacrũ illud in templo depoſuit, Delioſque id abſportare juſſit. Hic Græce loqui volens, ἥδομαι dixit, & χαίρομαι, & εὐφραίνομαι.

Δᾶτις καὶ Ἀρταφ. Datis & Artaphernes principes Perſarum & duces Darii, poſt abrogatum Mardonio imperium, in Græciam miſerunt legatos, qui urbes tentarent, terramque & aquam ab iis poſtularent. Ac inſulares quidem omnes, [quod poſtulatum erat,] dederunt. Athenienſes vero indignati, legatos per præconis vocem ditione ſua excedere juſſerunt. At Lacedæmonii, cum utrumque ſe daturos eſſe promiſiſſent, legatos in puteum conjectos terra obruerunt, dicentes, ſe poſtulatis ipſorum ſatisfeciſſe.

Δατόν. Datum. Apud Romanos ſic appellatur adſcriptio diei & temporis, cum quis ex urbe vel ex alio aliquo loco literas ſcribit. Forte autem hoc eſt illud, quod vulgo dicitur, τί δατὸν ἔχεις? Alii vero id vocant ζάκανον.

Δατός. Datus. Urbis nomen, in qua ſunt auri fodinæ. Et, *Datus bonorum.* [Proverbium.] Bos. Animadv. 119. (Ω)

Δάτος. Datus, urbs Thraciæ, valde opulenta: quæ etiam proverbio huic locum dedit, *Datus bonorum.* Hanc enim urbem & adjacentem regionem tam fœminino quam maſculino genere efferunt.

Δατοῖς. Dolis. Fraudibus. *Conati ſunt primo verbis ſcriptis eos teſtari: ſed cum id ſimpliciter fieri non poſſet, nec ut moris erat,*

---

[1] Δατεῖσθαι μὲν, τὸ μερίζεσθαι. Δατηταὶ δὲ, μερ.] Hæc, & quæ ſequuntur, deſcripta ſunt ex Harpocratione.

[2] Δᾶτις, Πέρσης. ὃς ἐπετ.] Ex Scholiaſta Ariſtoph. ad *Pacem* pag. 642.

[3] Δᾶτις. οὗτος δὲ εἶδεν ὄψιν ὀν——ἀπαγαγεῖν τὸ ἄγαλμα] Hæc ſunt verba Herodoti lib. VI. pag. 236. apud quem tamen nonnulla paulo aliter leguntur.

um. 19.

[4] Δᾶτις καὶ Ἀρταφέρνης, Περσῶν καθηγ.] Confer Herodotum lib. VI. pag. 231. & ſeqq.

[5] Καταπειράσοντες——αἰτήσοντες] Malim καταπειράσοντας, & αἰτήσοντας, caſu quarto, ut referatur ad legatos.

[6] Δατόν. παρὰ Ῥωμ.] Vide Meurſium in Gloſſario.

[7] Δάτος, πόλις Θρᾴκης, σφόδρα εὐδ.] Ex Harpocratione: qui plura habet.

[8] Δατὸς ἀγαθῶν] An potius Θάσος ἀγαθῶν. Vide Zenobium Centur. IV. Adag. XXXIV. & infra v. Θάσος.

ς, πόλεως ὄνομα, ἐν ᾗ καὶ χρύσεια μέταλ-
, Δατὶς ἀγαθῶν.] Ad hæc verba Doct.
An potius Θάσος ἀγαθῶν; Non pro-
jecturam Viri docti: nam licet Θάσος
ſit proverbium, nihil tamen vetat quo
ſit proverbium Δατὸς ἀγαθῶν. Et quo
hic Suidas, dum agit de nomine Δατὸς,
ſet proverbium de nomine Θάσος? hoc
hi non ſit vero ſimile. At lectionem Sui-
gatam firmant alii. Harpocratio: Δατὸς
Θρᾴκης, σφόδρα εὐδαίμων. ἀπὸ ταύτης
τό τις καὶ παροιμία, Δατὸς ἀγαθῶν. Euſtathius ad Dionyſium pag. 72. Καὶ Θάσος, ἥτις καὶ χρύσεια εἶχέ ποτε, καὶ τὸ Δατὸν συνῴκισε, πόλιν ἔνδοξον περὶ τὴν τοῦ Στρύμονος παραλίαν· ἀφ' οὗ παροιμίαν παλαιοί φασι, Δατὸς ἀγαθῶν ὡς τὸ ἀγαθῶν ἀγαθίδες.

διὰ τὸν τοῦ βασιλέως φόβον, δόλοις οὐκ ἔξω δεινότητος τεχνασθεῖσιν ἐχρήσαντο.

Δαυὶδ, προφήτης, προπάτωρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ Θεοῦ· ὃς μετὰ τὸ βασιλεῦσαι [1] ἐπορεύετο μεγαλυνόμενος, καὶ Κύριος παντοκράτωρ ἦν μετ' αὐτοῦ. εἶχε δὲ δυνατοὺς ἄνδρας λζ'· ὥστε τὸν μικρὸν αὐτῶν ποιεῖν πρὸς ρ'· τὸν δὲ μέγαν πρὸς χιλίους ἄνδρας. δυνατοὶ δὲ καὶ ἀκαταγώνιστοι ἦσαν πρὸς τοὺς ἐναντίους, θυρεοὺς αἴροντες, καὶ δόρατα μέγιστα, κοῦφοι τοῖς ποσὶν, ὡς δορκάδες ἐπὶ τῶν ὀρέων τρέχοντες. ἡ κατασκευὴ αὐτῶν ἔκπληκτος· τὰ πρόσωπα αὐτῶν ὡς λεόντων. τοὺς δὲ πολεμιστὰς, οὓς εἶχε Δαβὶδ μετ' αὐτοῦ, [2] μυριάδας τλβ', καθὼς ἠριθμήθη ὑπὸ Ἰωὰβ τοῦ ἀρχιστρατήγου αὐτοῦ· καὶ τοῦτο πονηρὸν ἐφάνη ἔναντι Κυρίου, καὶ ἀπέστειλε Κύριος Γὰδ τὸν προφήτην πρὸς Δαβὶδ, καὶ εἶπε· Τάδε λέγει Κύριος ὁ Θεός· Ἔκλεξαι σεαυτῷ γενέσθαι σοι ἓν τῶν τριῶν· ἢ τρία ἔτη λιμὸν ἐν τῇ γῇ, ἢ μῆνας τρεῖς φεύγειν ἔμπροσθεν τῶν ἐχθρῶν σου, ἢ τρεῖς ἡμέρας θάνατον ἐν τῇ γῇ σου. καὶ εἶπε Δαβίδ· Στενά μοι πάντοθεν τὰ τρία· πλὴν ἐμπεσοῦμαι εἰς χεῖρας Κυρίου. καὶ ἐξελέξατο τὸν θάνατον, καὶ ἀπέθανον ἀπὸ πρωΐθεν μέχρις ὥρας ἀρίστου χιλιάδες ό. καὶ εἶπε Δαβίδ· Ἐγώ εἰμι ὁ ποιμὴν ὁ κακοποιήσας, οὗτοι τὰ πρόβατα. γενέσθω δὴ ἡ χείρ σου ἐπ' ἐμοί. καὶ παρακληθεὶς ὁ Κύριος ἀπέστρεψε τὴν χεῖρα αὐτοῦ, καὶ συνέχεν ἡ θραῦσις, καὶ ᾠκοδόμησεν ἐκεῖ Δαβὶδ θυσιαστήριον.

Δαυὶδ, βασιλεὺς Ἰσραήλ. διώκοντος αὐτὸν τοῦ Σαοὺλ, καὶ ἐμπεσόντος δὲ τοῦ Σαοὺλ εἰς τὰς χεῖρας τοῦ Δαβὶδ, καὶ ἅπαξ καὶ δὶς, καὶ μηδὲν ἀδικηθέντος, ἔφη Δαβὶδ ὁ πρᾳότατος πρὸς Σαοὺλ τὸν ἀπανθρωπότατον· Ἵνα τί καταδιώκεις, ὦ βασιλεῦ, τοῦ καταλαβεῖν τὴν ψυχήν μου; δικάσαι Κύριος ἀναμέσον ἐμοῦ καὶ σοῦ, καὶ ἐκδικήσει με ἐκ χειρός σου. ἡ δὲ χείρ μου οὐκ ἔσται ἐπὶ σέ· καθὼς λέγεται ἐν τῇ ἀρχαίᾳ παραβολῇ, ὅτι ἐξ ἀνόμων ἐξελεύσεται πλημμέλεια. καὶ ὁ μὲν οἶκος Δαβὶδ ἐπορεύετο καὶ ἐκραταιοῦτο· ὁ δὲ οἶκος Σαοὺλ ἐπορεύετο καὶ ἐξησθένει. εἶτα τῶν ἀλλοφύλων κατὰ Σαοὺλ ἐστρατοπεδευκότων, τοῦ δὲ πρὸς τὴν ἐγγαστρίμυθον ἀπελθόντος, καὶ τὴν ἀπόφασιν δεξαμένου, προθύμως εἰσῆλθεν εἰς τὸν πόλεμον, καὶ τοξευθεὶς τὰ ὑποχόνδρια ἐτελεύτησεν. † [3] Οὗτος ἐν πολέμοις ἄριστος ἦν, καὶ τῶν νόμων ἀκριβὴς φύλαξ, καὶ πάντας τοὺς πολεμίους ἐχειρώσατο, ὀλίγοις τέ τισι πταίσμασι τὸ σῶμα πιεσθεὶς, θείαις ἐπαιδεύετο μάστιξι. πρὸς γὰρ τῶν ἑαυτοῦ παίδων μικροῦ δεῖν τῆς βασιλείας ἐξέπεσε, γέλως τε τοῖς πολεμίοις ἀπεδείχθη. καὶ ταῦτα μετανοίαις καὶ δάκρυσιν ἐθεράπευσεν. † Ἦν δὲ ὁ Δαβὶδ ἐνάρετος καὶ

propter metum Regis, dolis non abſque calliditate inſtructis uſi ſunt.

Δαυίδ. David, Propheta: a quo Dominus & Deus noſter Jeſus Chriſtus genus duxit. Hic ſuſcepto regno magis magiſque crevit, Domino omnipotente a partibus ejus ſtante. Idem ſecum habebat viros fortes XXXVII. quorum minimus centum, maximus vero mille viris par erat. Hi erant robuſti, nullaque hoſtium vi ſuperabiles, geſtantes ſcuta haſtaſque maximas, & levitate pedum capreis montanis pares: adhæc, armatura terribili, & vultu leonibus ſimiles. Bellatores vero & milites Davidis ter millena ter centena & triginta duo millia implebant, ſecundum calculum, quem ſummus belli dux Joabus inierat. Id autem valde diſplicuit Domino; qui proinde Prophetam Gadum ad Davidem miſit, hæc ipſi denuntiaturum: Hæc dicit Dominus Deus: Optio tibi datur, ut unum ex tribus his eligas; aut ut terra per triennium fame vexetur; aut ut tres menſes hoſtes tuos fugias; aut ut tres dies peſtis in regno tuo graſſetur. Cui reſpondit David: Tres duræ ſane mihi proponuntur conditiones: ſed incidā in manus Domini. Cum itaque peſtilentiam elegiſſet, a tempore matutino uſque ad tempus prandii LXX millia perierunt. Et dixit David: Ego ſum paſtor, qui peccavi: hi vero oves. Manum ergo tuam in me verte. Placatus itaque Dominus manum ſuam avertit, & lue ceſſante David altare eo in loco exſtruxit.

Δαυίδ. David, Rex Iſraelis. Hunc Saulus perſequens, ſemel atque iterum in manus ejus incidit, nec tamen ulla ab eo injuria affectus eſt. Quare mitiſſimus David inhumaniſſimum Saulum ſic allocutus eſt: Cur, Rex, vitam meam appetis? Dominus ſit judex inter me & te; qui me ex manu tua eripiet. Manum vero meam in te non armabo. Nam, ut vetere proverbio dicitur: Ab iniquis orietur iniquitas. Et domus Davidis magis magiſque invaleſcebat: Sauli vero paulatim decreſcebat. Deinde Saulus, exteris gentibus bellum ei inferentibus, fœminam fatidicā conſuluit: a qua accepto reſponſo alacer prœlio ſe commiſit, & ſub præcordiis ſagitta ictus periit. David Rex vir fuit cum in bello præſtantiſſimus, tum legū obſervantiſſimus, hoſteſque omnes in ditionem redegit. Idem tamen nonnullis calamitatibus quaſi quibuſdam flagris a Deo correptus atque admonitus eſt. Parum enim abfuit, quin a filiis ſuis regno pulſus, hoſtibus deriſui eſſet. Sed hæc poſtea pœnitentia & lacrymis emendavit. Idem ſi quiſquam alius cum aliis virtutibus, tum fortitudine excelluit. Bella enim pro ſubjectorum ſalute gerens, primus diſcrimina adibat, laboreſque tolerando & pugnando

---

[1] Ἐπορεύετο μεγαλυνόμενος, καὶ Κύρ.] Hæc, & quæ ſequuntur, αὐτολεξεὶ etiam leguntur apud Cedrenum, pag. 86. 87.

[2] Μυριάδες τλβ'] Cedrenus loco laudato habet, μυριάδες σλβ', i. e. ducentæ triginta duæ myriades, ſive bis millena ter centena & triginta duo millia. Sed uterque numerus excedit ſummam, quæ exprimitur 2 Sam. cap. ult. quem locum confer.

[3] Οὗτος ἐν πολέμοις ἄριστος ἦν —— ἐθεράπευσεν] Hæc ſunt verba Joannis Antiocheni, quæ leguntur in Excerptis a Valeſio editis, pag. 781. unde Suidas ea deſcripſit.

ἀνδρεῖος, ὡς οὐκ ἄλλος τις. ἐν δὲ τοῖς ὑπὲρ τῶν ὑπηκόων ἀγῶσι πρῶτος ἐπὶ τοὺς κινδύνους ὥρμα, τῷ πονεῖν καὶ μάχεσθαι παρακελευόμενος τοὺς στρατιώτας ἐπὶ τὰς πράξεις, ἀλλ' οὐχὶ τῷ προστάττειν ὡς δεσπότης· νοῆσαί τε καὶ συνιδεῖν τὰς τῶν μελλόντων καὶ ἐνεστηκότων οἰκονομίας ἱκανώτατος· σώφρων, ἐπιεικής, χρηστὸς πρὸς τοὺς ἐν ταῖς συμφοραῖς ὑπάρχοντας, μὴ ἐξαμαρτών, εἰ μὴ περὶ τὴν τοῦ Οὐρίου γυναῖκα. κατέλιπε δὲ πλοῦτον, ὅσον οὐκ ἄλλος βασιλεὺς οὔτε Ἑβραίων, οὔτε ἄλλων ἐθνῶν. ὅτι Δαβὶδ εἰς βασιλέα τρίτον ἐχρίσθη.

Δαυίδειος σορός. καὶ Δαυίδειον μέλος. τὸ τοῦ Δαβίδ.

Δαυίδης. ὄνομα κύριον.

Δαυλόν. τὸ δασύ. καί, [1] Δαυλία κορώνη, ἡ ἀηδών. τουτέστιν, ἡ δασεῖα.

Δαφίδας,[2] Τελμισεύς, γραμματικός, γεγραφὼς περὶ Ὁμήρου καὶ τῆς αὐτοῦ ποιήσεως ὅτι ἐψεύσατο. Ἀθηναῖοι γὰρ οὐκ ἐστράτευσαν ἐπὶ Ἴλιον. ἦν δὲ οὗτος λοιδορούμενος παντί, καὶ μέχρι αὐτῶν μὴ φειδόμενος τῶν Θεῶν. καὶ Ἄτταλον μὲν τὸν βασιλέα Περγάμου διὰ τοῦτο ἔχειν αὐτῷ ἐπιβουλεύοντα. εἰς δὲ τὴν Πυθίαν ἐλθόντα ποτὲ σκώπτειν εἰς τὸ μαντεῖον, καὶ ἐπιγελῶντα ἔρεσθαι, εἰ τὸν ἵππον εὑρήσει. χρησθῆναι δὲ αὐτῷ, εὑρήσειν ταχέως. εἶτα ἐκεῖνον διαθρυλλῆσαι τοῦτο, ὅτι μηδὲ ἦν αὐτῷ ἵππος, μηδὲ ἀπώλετο. ἀναχωρήσαντα δὲ συλλαβόμενος Ἄτταλος ἐπέταξε κατακρημνισθῆναι. ἐν ᾧ δὲ τόπῳ τοῦτο ἐγένετο, ἐκαλεῖτο ἵππος ὁ τόπος. καὶ ἔγνω πρὸς τῷ θανάτῳ, μὴ ἐψεῦσθαι τὸ λόγιον. οὕτως οὖν ἐφυβρίσας κακῶς ἀπώλετο.

Δαφνίνην φορῶ βακτηρίαν. τοῦτο λέγειν εἰώθασιν οἱ ὑπό τινων ἐπιβουλευόμενοι, παρόσον ἀλεξίκακον φάρμακον ἡ δάφνη.

Δαφοινόν. τὸ πάνυ φοινίσσον. [3] Σῶμα τῇδε φθιμένου Μενεδίου εἵσατο Δάμις ἵππου, ἐπεὶ στέρνων τοῦδε δαφοινὸς Ἄρης τύψε.

Δάψατο.

Ἡ[4] μεγάλα δ' Αἴγυπτος ἑανῷ δάψατο χαίτην.

Δαψίδων.[5] Πολύβιος· Οἵων γὰρ ἂν δέκα τινῶν συμβαίνῃ τὸ τοῦ τείχους ὕψος, τοιούτων δώδεκα δεήσει τὰς κλίμακας δαψίδων ὑπάρχειν.

milites ſuos ad rem fortiter gerendam incitabat, non domini inſtar imperiis cogebat. Idem optime excogitare & perſpicere norat rationem res tam futuras quam præſentes prudenter adminiſtrandi: eratque idem modeſtus, æquus, benignus erga calamitoſos, nulliuſque criminis reus, niſi ejus, quod illicito Uriæ uxoris amore impulſus commiſit. Divitias tantas reliquit, quantas nullus alius vel Hebræorum, vel aliarum gentium Rex. † David Rex tertium unctus eſt.

Δαυίδειος σορός. Arca Davidica. Et Δαυίδειον μέλος. Carmen Davidis.

Δαυίδης. Davides. Nomen proprium.

Δαυλόν. Denſum. Et Δαυλία κορώνη, [Daulia cornix: ſive,] luſcinia. Id eſt, denſas habens pennas.

Δαφίδας. Daphidas, Telmiſenſis, Grammaticus, Homerum ejuſque poeſin mendacii arguit, dicens, Athenienſes Iliacæ expeditioni non interfuiſſe. Idem adeo maledicus fuit in omnes, ut ne ipſis quidem Diis parceret. Quapropter Attalus Rex Pergami ei inſidiatus eſt. Ad Pythiam aliquando profectus oraculum deriſit, cavillandi gratia rogans, num equum reperturus eſſet. Reſponſo igitur dato, celeriter eſſe reperturum, paſſim jactavit, equum ſe nec habuiſſe, nec amiſiſſe. Cum autem revertentem eum Attalus comprehendi & præcipitem dari juſſiſſet eo in loco, qui Equus appellabatur, moriturus intellexit, oraculum non fuiſſe mentitum. Sic igitur ille ob impietatem ſuam male tandem periit.

Δαφνίνην φορ. *Laureum geſto baculum.* Hoc dicere conſueverunt illi, quibus inſidiæ ſtruuntur: quod laurus vim habeat arcendi mala.

Δαφοινόν. Valde cruentum. Sanguineum. *Monumentum hoc defuncti Menedei equo poſuit Damis, poſtquam pectus ejus cruentus Mars percuſſit.*

Δάψατο. *Magna vero Ægyptus ſuam* [*præ luctu*] *vulſit comam.*

Δαψίδων. Polybius: *Qualium enim partium decem eſt muri altitudo, talium duodecim large ſumptarum ſcalas eſſe oportebit.*

---

[1] Δαυλία κορώνη, ἡ ἀηδ.] Plenius Zenobius Centur. III. Adag. XIV. Δαυλίαν κορώνην. ἀντὶ τοῦ ἀηδόνα. Δαυλία δὲ ἐλέχθη διὰ τὸ τὰ περὶ τὸν Τηρέα ἐν Δαυλίδι τῆς Φωκίδος συστῆναι. οἱ δέ, ὅτι περὶ τὴν Δαυλίαν καταλαμβανόμεναι αἱ περὶ τὴν Πρόκνην μετέβαλον εἰς ὄρνιθας. ἔνιοι δὲ τὴν δασεῖαν ἀκούουσιν. Δαυλὸν γάρ ἐστι τὸ δασύ. Hæc Suidam egregie illuſtrant.

[2] Δαφίδας] De eo vide Valer. Max. lib. I. cap. VIII.

[3] Σῶμα τῇδε φθιμ.] Locus hic ex Antholog. lib. III. cap. V. pag. 298. ſic emendandus & diſtinguendus eſt.

Μνᾶμα τόδε φθιμένου Μενεδαΐου εἵσατο Δᾶμις
　Ἵππῳ, ἐπεὶ στέρνον τοῦδε δαφοινὸς Ἄρης
Τύψε.

Hanc lectionem in verſione ſecutus ſum.

[4] Ἡ μεγάλα δ' Αἴγυπτος ἑανῷ δ.] Verba hæc decerpta ſunt ex Epigrammate Antipatri Sidonii in obitum Ptolemæi, quod exſtat Anthol. lib. III. cap. VII. pag. 319. Deceptus eſt autem Suidas, cum hæc excerperet, corrupto codice Anthologiæ, nec obſervavit locum hunc mendo laborare; quem ὁ κριτικώτατος Bentlejus a me conſultus ſic emendandum eſſe feliciſſime conjecit:

Ἁ μεγάλα δ' Αἴγυπτος ἑὰν ὠλόψατο χαίταν.

Impuri enim librarii τὸ ω in voce ὠλόψατο cum voce præcedenti ἑὰν male conjunxerunt, & deinde τὸ λ mutarunt in δ, errore proclivi & in veterum libris frequentiſſimo, quoniam duæ hæ literæ valde ſibi ſunt ſimiles, ſi majuſcule, id eſt more priſco, ſcribantur. Hinc autem apparet, fragmentum hoc non ad δάψατο, quæ eſt vox nihili, ſed ad ὠλόψατο, vel ὀλόπτειν, quod vellere ſignificat, a Suida referri debuiſſe. Vide etiam infra v. Ἑανῷ, ubi locus hic æque mendoſe repetitur.

[5] Δαψίδων. Πολύβ.] Apud Polybium lib. IX. cap. XVIII. unde locum hunc depromſit Suidas, pro δαψίδων, quæ eſt vox nihili & corrupta, rectius hodie legitur δαψιλῶν. Conſule ipſum Polybium, ex quo ſenſus hujus loci petendus eſt.

Δαψιλέστατος. πολυτελέστατος. λέγεται δὲ καὶ ἐπὶ ῥευμάτων, καὶ ἐπὶ τῶν μεγαλοψυχούντων.

Δαψίλεια. ἡ πολυτέλεια. καὶ Δαψιλὴς, ὁ πολυτελής.

Δαιδάλεον. τῇ κατασκευῇ ποικίλον.

--- Κεκρύφαλον[1] τόνδε λαβεῖν Σαμύθας.
Δαιδάλεός τε γάρ ἐστι, καὶ ἁδύ τι νέκταρος ὄζει.

καὶ Δαιδαλόεις, ὁ ποικίλος.

Δαίδαλον. ποικίλον κατασκεύασμα. ἀπὸ Δαιδάλου τινὸς μηχανοποιοῦ, ὃς κατασκευάσας διάφορα μηχανήματα, γέγονε περιβόητος. Οὐκοῦν διαλαθὼν ἐπὶ τοῦ βωμοῦ κατέπηξε τὰ δαίδαλα τῶν τριπόδων, ἃ ἐπήγετο.

Δαιδαλόχειρ. ὁ ποικίλα καὶ ἐξαίσια ταῖς χερσὶν ἐργαζόμενος.

Δῆεις[2] ὁ δαιδαλόχειρ τῇ Παλλάδι πῆχυν ἀκαμπῆ
Ἄνθετο. ——————

καὶ αὖθις, Αἰλιανός· Ἦν δὲ τὰ λυχνία ἀργύρου πεποιημένα, καὶ τέχνης θαυμαστῆς δαίδαλα. καὶ [3]Ἀριστοφάνης· Ὦ χρυσοδαίδαλτον ἐμὸν μέλημα, Κύπριδος ἔρνος.

Δαιδάλου πτερά. ἐπὶ τῶν δι' ἀπορίαν [4]προσθήκης χρωμένων παρελκούσῃ.

Δαιδάλου ποιήματα. ἐπὶ τῶν ἀκριβούντων τὰς τέχνας· [5]ἐπειδὴ οἱ παλαιοὶ δημιουργοὶ συμμεμυκότας τοὺς ὀφθαλμοὺς ἐποίουν. ὁ δὲ Δαίδαλος ἀνεπέτασεν αὐτοὺς, καὶ τοὺς[6] πόδας διέστησε. καὶ [7]Ὅμηρός φησιν·

Ὃς χερσὶν ἠπίστατο δαίδαλα πάντα
Τεύχειν. ἔξοχα γάρ μιν ἐφίλατο Παλλὰς Ἀθήνη·
Ὃς καὶ Ἀλεξάνδρῳ τεκτήνατο νῆας ἐΐσας.

Δαίει. καίει. καὶ Δαιομένη, μερίζουσα, διαιροῦσα. Δαίω γὰρ καὶ τὸ μερίζω. ἐξ οὗ καὶ δαιτυμών· καὶ δαὶς, δαιτὸς, ἡ εὐωχία.

Δαίμονα. ἐκστατικόν. [8]Φασὶ δὲ οἱ Φιλόσοφοι, δαίμονας εἶναί τινας, ἀνθρώπων συμπάθειαν ἔχοντας.

Δαιμονᾶν. ὑπὸ δαίμονος κατέχεσθαι, καὶ μαίνεσθαι. καὶ δαιμονήσας. [9]Ὁ δὲ ἐξέλιπε τὸν βίον δαιμονήσας, διὰ τὸ γενέσθαι τινὰς ἐπισημασίας τοῦ δαι-

Δαψιλέστατος. Sumptuoſiſſimus. Splendidiſſimus. Dicitur & de fluviis, & de viris magnificis.

Δαψίλεια. Magnificentia. Et δαψιλὴς, magnificus, ſumptuoſus.

Δαιδάλεον. Artificioſe & eleganter fabricatum. [In Epigrammate:] *Reticulum hoc accipere Samythæ. Pulchre enim elaboratum eſt, & ſuavem quendam nectaris odorem ſpirat.* Et δαιδαλόεις, elegans, affabre factus.

Δαίδαλον. Opus eleganter fabricatum. A Dædalo quodam, machinarum fabro, qui, cum varias machinas fabricaſſet, celebris evaſit. *Clam igitur in ara collocavit tripodes affabre factos, quos adduxerat.*

Δαιδαλόχειρ. Qui artificioſa & eximia opera manibus fabricat. [In Epigrammate:] *Deris ingenioſus ille artifex Palladi normam dedicavit.* Et Ælianus: *Candelabra autem erant argentea, & admiranda arte fabricata.* Et Ariſtophanes: *O aureum meum deſiderium, & Veneris germen.*

Δαιδάλου πτερά. Dædali alæ. Dicitur de iis, qui, cum conſilii ſunt inopes, re aliqua adſcititia & ſuperflua utuntur.

Δαιδάλου ποιήματα. Dædali opera. De egregiis artificibus dicitur. Antiqui enim ſtatuarii ſimulacra clauſis oculis fingebant: at Dædalus eos aperuit, & pedes diduxit. Et Homerus inquit: *Qui artificioſa quæque opera manibus fabricare norat, quoniam Minerva eximie eum diligebat. Hic etiam Alexandro naves æquales fabricavit.*

Δαίει. Urit. Et δαιομένη, partiens, dividens. Δαίω enim ſignificat etiam partior & divido. Unde δαιτυμὼν, conviva: & δαὶς, δαιτὸς, convivium.

Δαίμονα. Mente motum. *Dicunt vero Philoſophi, eſſe dæmones quoſdam, qui hominum affectibus tangantur.*

Δαιμονᾶν. A dæmone poſſideri. Inſanire. Et δαιμονήσας, inſania correptus. *Ille vero in-*

---

[1] Κεκρύφαλον τόνδε λαβεῖν Σαμ.] Verba hæc ſunt pars Epigrammatis inediti, quod ex cod. MS. integrum hic cum Lectore communicabo. Νοσσίδος.

Χαίροισάν τοι ἔοικε κομᾶν ἄπο τὰν Ἀφροδίταν
Ἄνθεμα κεκρύφαλον τόνδε λαβεῖν Σαμύθας.
Δαιδάλεός τε γάρ ἐστι, καὶ ἁδύ τι νέκταρος ὄζει·
Τούτῳ καὶ τήνα καλὸν Ἄθωνα χρίει.

In Pentametro ultimo pro Ἄθωνα legendum eſt Ἄδωνα, i. e. Adonin. Heſychius: Ἄδωνα, τὸν Ἄδωνιν. Sic nimirum Dorienſes dicebant.

[2] Δῆεις ὁ δαιδαλόχειρ τῇ Παλλ.] Locus hic exſtat Antholog. lib. vi. cap. ult. ubi pro Δῆεις legitur Θῆεις.

[3] Ἀριστοφάνης] *Eccleſiaz.* pag. 752. (506. Ed. Baſ. P.)

[4] Προσθήκης] Vox hæc in prioribus Editt. deeſt, quam ex uno MS. Pariſ. revocavi. Apud Diogenianum legitur, ἐπὶ τῶν δι' ἀπορίαν χρωμένων προσθήκῃ παρελκούσῃ: quod magis placet.

[5] Ἐπιδὴ οἱ παλαιοὶ δημιουργοὶ συμμεμυκ.] Notum eſt ex veteribus ſcriptoribus, ſub initia artis ſtatuariæ ſimulacra effingi conſueviſſe oculis clauſis, manibus ad latera adglutinatis, pedibuſque indiſcretis & junctis; adeo ut a rudi ligno vel lapide parum differrent. Primus Dædalus artem illam expolivit, oculoſque ſtatuarum aperuit, & manus a lateribus ſeparavit, pedeſque diſcrevit & diduxit: quæ res rudibus illis temporibus tantam apud omnes admirationem excitavit, ut nomen Dædali in proverbium abiret, & de quovis perito & ingenioſo artifice diceretur. Diodorus lib iv. pag. 276. Πρῶτος δὲ (Δαίδαλος) ὀμματώσας καὶ διαβεβηκότα τὰ σκέλη ποιήσας, ἔτι δὲ τὰς χεῖρας διατεταμένας ποιῶν εἰκότως ἐθαυμάζετο παρὰ τοῖς ἀνθρώποις. οἱ γὰρ πρὸ τούτου τεχνῖται κατεσκεύαζον τὰ ἀγάλματα τοῖς μὲν ὄμμασι μεμυκότα, τὰς δὲ χεῖρας ἔχοντα καθειμένας, καὶ ταῖς πλευραῖς κεκολλημένας. Plura hanc in rem veterum ſcriptorum loca collegit Scaliger ad Euſeb. Num. dccxxxvii. quem vide.

[6] Καὶ τοὺς πόδας διέστησε] Simulacra igitur ante Dædalum erant συμβεβηκότα τοῖς ποσὶ, ut veteres ſcriptores loquuntur; i. e. pedibus junctis & indiſcretis: quod ideo moneo, ne quem decipiant interpretes, qui phraſin illam Græcam male plerumque reddiderunt. Apollodorus lib. iii. cap. 2. Palladium dicit fuiſſe συμβεβηκὸς τοῖς ποσί: ubi interpres male, *pedibus ita compoſitis, ut ambulare videretur.* Tu verte, *pedes habens junctos & indiſcretos.* Philoſtratus *de Vit. Apoll.* lib. vi. cap iii. ſtatuam Memnonis deſcribens, inter alia ait, ξυμβεβηκέναι δὲ τὼ πόδε ἄμφω: quod interpres infeliciter reddit, *atque utroque pede ſolum attingens.* Vertendum eſt, *ambos ejus pedes fuiſſe junctos & indiſtinctos.* Sic etiam intelligendus eſt Heſychius v. Αἰγινητικὰ, ubi inquit: Αἰγινητικὰ ἔργα, τοὺς συμβεβηκότας ἀνδριάντας. Contrarium eſt, σκέλη διαβεβηκότα, i. e. crura divaricata & diducta, ut in loco Diodori, quem paulo ante adduximus.

[7] Ὅμηρος]]Il. Ε. v. 60. ubi Poeta de Harmonide verba facit.

[8] Φασὶ δὲ οἱ φιλόσοφοι, δαιμ.] Hæc ſunt verba Laertii *Zenone*, Segm. cli.

[9] Ὁ δὲ ἐξέλιπε τὸν βίον δαιμ.] Fragmentum hoc legitur in Collectaneis Conſtantini Imperatoris, a Valeſio editis, pag. 145. unde id Suidas deprompſit.

μονίου, διὰ τὴν περὶ τὸ ἱερὸν παρανομίαν.

Δαιμόνιε. μακάριε.

Δαιμονία, δαιμονίας. [1] Ἀδελφῆς υἱὸς ἔτη ιη' γεγονώς, ἐπιδειξάμενος εὐθὺς ἐκ νέων φύσεώς τινα ῥώμην δαιμονίαν· ὃς ἀπὸ τέγους πεσὼν παραχρῆμα ἐτελεύτα τὸν βίον.

Δαιμόνιος ὁρμή. τοῦ δαίμονος, ἢ τοῦ Θεοῦ.

Δαιμονίως. παραδόξως. Ἐθεραπεύθη δὲ ἔφη δαιμονίῳ τρόπῳ. † Ὁ [2] δὲ ἐς τὰ ἀφροδίσια δαιμονίως ἐσπουδακώς. ἀντὶ τοῦ παραδόξως, ὑπερφυῶς.

Δαίμων. ἡ ἑκάστου τύχη. [3] Ἀριστοφάνης ἐν Πλούτῳ·

Τοῦ σώματος γὰρ οὐκ ἐᾷ τὸν κύριον
Κρατεῖν ὁ δαίμων, ἀλλὰ τὸν ἐωνημένον.

καὶ [4] Σοφοκλῆς·

Γενναῖος ὡς ἰδόντι, πλὴν τοῦ δαίμονος.

τουτέστι τῆς τύχης. † [5] Οὐδὲν ἀθλιώτερον τοῦ πάντα κύκλῳ περιερχομένου, καὶ τὰ νέρθεν γῆς ἐρευνῶντος, καὶ τὰ ἐν ταῖς ψυχαῖς τῶν πλησίον διὰ τεκμάρσεως ζητοῦντος, μὴ αἰσθανομένου, ὅτι ἀρκεῖ πρὸς μόνῳ τῷ ἔνδον ἑαυτοῦ δαίμονι εἶναι, καὶ τοῦτον γνησίως θεραπεύειν. θεραπεία δὲ αὐτοῦ, καθαρὸν πάθους διατηρεῖν καὶ εἰκαιότητος, καὶ δυσαρεστήσεως τῆς πρὸς τὰ ἐκ Θεοῦ καὶ ἀνθρώπων γινόμενα. τὰ [6] μὲν γὰρ ἐκ Θεοῦ καὶ ἀνθρώπων φίλια διὰ συγγένειαν. ἔστι δ' ὅτε καὶ τρόπον τινὰ δι' ἄγνοιαν ἀγαθῶν καὶ κακῶν, ἐλάττων ἡ πώρωσις αὕτη τῆς στερισκούσης τὰ λευκὰ καὶ μέλανα.

Δαίνυ. εὐώχει. [7] Ὅμηρος· Δαίνυ δαῖτα γέρουσι. καὶ Δαινύμενος, εὐωχούμενος.

Δαῖον [8] τέρας. πολεμικόν.

Δαίω. τὸ μανθάνω. δαίσω, δαΐσκω, καὶ ἀποβολῇ τοῦ ι, δάσκω· ἐπειδὴ τὰ εἰς σκω κοινολεκτούμενα οὐ θέλουσι δίφθογγον ἔχειν· ἀναδιπλασιασμῷ διδάσκω, καὶ ἐξ αὐτοῦ διδάσκαλος.

Δαίρω. τὸ τύπτω. δέρω δὲ, τὸ ἐκδέρω.

Δαίς. ἡ εὐωχία. καὶ Δαῖτα θάλειαν. ὅτι [9] φησὶ στοιχείου μεταθέσει δίαιταν λέγεσθαι. τὸ δὲ ἀπὸ τοῦ δαίσασθαι λέγειν, βιαιότερον.

Δαισάνη. ἡ πτισάνη, ἀπὸ τοῦ σίτου [10] ἐψημένου ἑψηθεῖσα. εἴρηται δὲ παρὰ τὸ δαίσασθαι. ταύτην γὰρ πρώτην τροφὴν πρὸ τῆς εὑρέσεως τοῦ ἄρτου οὕτως ἐποιοῦντο.

ſania correptus vitam finiit, quod ſigna quædam iræ divinæ ipſi apparuiſſent propter violatum templum.

Δαιμόνει. Beate.

Δαιμονία. Divina. *Nepos ejus ex ſorore, octodecim annos natus, qui ſtatim a puero divinam quandam ingenii vim oſtendebat, de tecto delapſus ſubito vitam finiit.*

Δαιμόνιος ὁρμή. Impetus divinus.

Δαιμονίως. Modo quodam admirabili. *Ille vero dicebat, eum admirabili quodam modo ſanatum eſſe.* † *Ille vero in venerem ſupra modum proclivis erat.*

Δαίμων. Cujuſque hominis fortuna. Ariſtophanes *Pluto*: *Fortuna enim non concedit jus in corpus ei, cujus illud eſt, ſed domino, qui emit.* Et Sophocles: *Generoſus intuenti videris, ſi excipias fortunam tuam.* Δαίμονος enim hic idem ſignificat quod τύχης. † *Nihil homine illo miſerius eſt, qui omnia ubique pervagatur, & cum ea, quæ ſubter terram ſunt, ſcrutatur, tum quæ in animis alienis, conjectura nititur indagare; nec intelligit interim ſufficere ſibi, ut cum eo, quem intra ſe gerit, genio verſetur, eumque legitime colat. Colet autem, ſi ab affectibus immunem præſtet, & a temeritate alienum, nec offenſum re aliqua, quam vel Dii vel homines egerint. Quæ enim Dii agunt, virtutis nomine veneranda ſunt; quæ homines, propter cognationem amica; ſed & modo quodam miſeranda quandoque, ob bonorum malorumque ignorationem. Nec ſane cæcitas hæc minor eſt ea, per quam alba & nigra internoſcere non poſſumus.*

Δαίνυ. Convivio excipe. Convivium præbe. Homerus: *Convivio excipe ſeniores.* Et δαινύμενος, epulans.

Δαῖον τέρας. Prodigium bellicum.

Δαίω. Diſco. [Futurum] δαίσω: unde δαΐσκω, & abjecto ι, δάσκω, (verba enim in σκω deſinentia diphthongum reſpuunt) & per reduplicationem διδάσκω: unde διδάσκαλος.

Δαίρω. Verbero. Δέρω vero, excorio.

Δαίς. Convivium. Et δαῖτα θάλειαν, convivium lætum & ſplendidum. [Seleucus ait, τὸ δαῖτα] per literarum tranſpoſitionem pro δίαιταν dictum eſſe. Nam a verbo δαίσασθαι vocem hanc deducere nimis eſt coactum.

Δαισάνη. Ptiſana, quæ fit ex frumento decorticato & cocto. Dicta autem eſt a verbo δαίσασθαι. Primum enim cibum ante panem inventum ita parabant.

---

[1] Ἀδελφῆς υἱός] Supple, Ἰσιδώρου ἀδελφῆς υἱός &c. Verba enim hæc intelligenda ſunt de Iſidori Philoſophi ex ſorore nepote, ut diſcimus ex ipſo Suida infra v. Ἰσίδωρος, ubi fragmentum hoc auctius legitur.

[2] Ὁ δὲ ἐς τὰ ἀφροδίσια δαιμ. ἐσπ.] Hæc ſunt verba Procopii *Hiſtor. Arc.* cap. XII.

[3] Ἀριστοφάνης ἐν Πλούτῳ] Ipſo ſtatim initio.

[4] Σοφοκλῆς] *Oedipo Colon.* pag. 273. ut Portus obſervavit.

[5] Οὐδὲν ἀθλιώτερον τοῦ πάντα κύκλῳ περ.] Hæc, & omnia quæ ſequuntur uſque ad finem articuli, leguntur apud Marc. Antonin. lib. II. cap. XIII. ut Pearſonius etiam obſervavit.

[6] Τὰ μὲν γὰρ ἐκ Θεοῦ καὶ ἀνθρώπων——μέλανα] Locus hic eſt mutilus, qui ex Marco Antonino ſic ſuppleri debet: Τὰ μὲν γὰρ ἐκ Θεῶν αἰδέσιμα δι' ἀρετήν· τὰ δὲ ἐξ ἀνθρώπων φίλα διὰ συγγένειαν· ἔστι δὲ ὅτε ἐλεεινά, δι' ἄγνοιαν ἀγαθῶν καὶ κακῶν. οὐκ ἐλάττων δ' ἡ πήρωσις αὕτη τῆς στερισκούσης τοῦ διακρίνειν τὰ λευκὰ καὶ μέλανα. Hanc lectionem in verſione ſecutus ſum.

[7] Ὅμηρος] Il. I. v. 70.

[8] Δαῖον τέρας] Lege δάϊον τέρας, per diæreſin, ut apud Heſychium.

[9] Ὅτι φησὶ στοιχείου μεταθ.] Locus hic eſt mutilus, qui ex Athen. lib. I. pag. 24. unde eum Suidas deprompſit, ſic ſupplendus eſt: Ὅτι Σέλευκός φησι, τὴν παρ' Ὁμήρῳ δαῖτα θάλειαν στοιχείου μεταθέσει δίαιταν εἶναι &c.

[10] Ἐψημένου] Scribe ἐπτισμένου, ut habet Etymologus.

Δαιταλεῖς. δαιτυμόνες, καὶ θιασῶται, καὶ συμπόται, καὶ οἷον συνδαιταλεῖς. οὕτως Ἀριστοφάνης. Ἐπιδείπνιον βασιλεὺς θέαν τοῖς δαιταλεῦσιν ὥσπερ ἀξιόλογον χαριζόμενος, τοῦτ᾽ ἐδείκνυε.

Δαῖτας. εὐωχίας.

——————— [1] Φοῖβε,
Δέξαι πλωτήρων μάζης χειροφυρέα δαῖτα.

† Καὶ οἵους Ἡσίοδος παρεισάγει τοὺς Αἰακίδας, πολέμῳ κεχαρηότας ἠύτε δαιτί.

Δαιτίς.[2] τόπος ἐν Ἐφέσῳ. εἴρηται ἀπὸ τοῦ Λυδὸν κάπηλον αὐτόθι κατοικήσαντα παρέχειν τὰς δαῖτας τοῖς ἐπιξενουμένοις. ἦν δὲ τὸ κύριον αὐτοῦ ὄνομα Ἔφεσος·[3] ἀφ᾽ οὗ καὶ ἡ πόλις.

Δαιτή. ἐπ᾽ εὐθείας διὰ τοῦ η. εὐωχία. ἐπὶ δὲ δοτικῆς, δαιτί, τῇ εὐωχίᾳ. ἐκ τοῦ δαῖς, δαιτὸς, δαιτί. Δαιτὸς[4] ἐΐσης. ἐξ ἴσου μεριζομένης εὐωχίας. Ζηνόδοτος δὲ τῆς ἀγαθῆς φησί· ἐπειδὴ ἡ τροφὴ τῷ ἀνθρώπῳ ἀγαθόν. ἐπειδὴ οἱ πρῶτοι ἄνθρωποι, οἷς δὴ οὐ παρῆν ἄφθονος ἡ τροφὴ, βίᾳ ἥρπαζον, καὶ ἀφηροῦντο τοὺς ἔχοντας, καὶ μετὰ τῆς ἀκοσμίας ἐγίνοντο καὶ φόνοι· ἐξ ὧν λεχθῆναι τὴν ἀτασθαλίαν. ἐν γὰρ ταῖς θαλείαις ἡμάρτανον πρῶτα οἱ ἄνθρωποι. ὕστερον δὲ διένεμον, καὶ ἦλθον εἰς κόσμον τὰ δόρπα. ἔνθεν καὶ δαιτρός· καὶ δαῖς, ἡ εὐωχία. καὶ δαιτυμόνες. ἐπὶ ἀνθρώπων λέγεται δαίς· ἐπὶ θηρίων δὲ οὔ. ἀγνοῶν δὲ Ζηνόδοτος τῆς φωνῆς ταύτης τὴν δύναμιν, ἔφη·

--- Ἑλώρια τεῦχε κύνεσσιν
Οἰωνοῖσί τε δαῖτα.

Δαιτρόν. μεριστήν. μάγειρον.

Δαιτυμόνες. ἀριστηταί. εὐωχούμενοι.

Δαιτρεύειν. μερίζειν.

Δαιτρός. προσδιαιρῶν ἐλάχιστα τοῖς ἑστιωμένοις. οὕτω γὰρ εἱστιῶντο, μεριζόμενοι [5] τά τε πρόβατα καὶ τὸν [6] πότον. παρὸ καὶ λέγει· Δαιτὸς ἐΐσης. ἰσομοίρου τροφῆς. ἢ Δαιτρός, ὁ διαιρῶν καὶ διανέμων τὰ κρέα. † [7] Τίμαιός φησι, τοὺς ποιητὰς καὶ τοὺς συγγραφεῖς διὰ [8] τῶν ὑπεράνω πλεονασμῶν ἐμφαίνειν τὰς ἑαυτῶν φύσεις, λέγων, ἐκ τοῦ δαιτρεύειν τὸν ποιητὴν πολλαχοῦ τῆς ποιήσεως γαστρίμαργον παρεμφαίνειν. τὸν δὲ Ἀριστοτέλην ὀψαρτύοντα, ὀψοφάγον εἶναι καὶ λίχνον. τὸν δὲ Διονύσιον τύραννον κλινοκοσμοῦντα, καὶ τὰς τῶν ὑφασμάτων ἰδιότητας καὶ ποικιλίας ἐξεργαζόμενον συνεχῶς. [9] ἀνάγκη τὴν ἀκόλουθον ποιεῖσθαι διάληψιν, καὶ δυσαρεστεῖσθαι κατὰ τὴν προαίρεσιν.

Δαιταλεῖς. Convivæ. Sodales. Compotores. Quaſi dicas συνδαιταλεῖς. Sic Ariſtophanes. *A cœna Rex, ut convivis gratificaretur, hoc ut ſpectaculum memoratu dignum eis oſtendebat.*

Δαῖτας. Epulas. Convivia. [In Epigrammate:] *Phœbe, accipe placentam nautarum manu ſubactam, quæ epuli loco tibi offertur.* † *Et quales Heſiodus introducit Æacidas, gaudentes bello ut convivio.*

Δαιτίς. Locus quidam Epheſi: ita dictus, quod caupo Lydus illic habitans, hoſpitibus, qui ad ipſum divertebant, cœnas præberet. Nomen vero ejus erat Epheſus: a quo & urbs dicta eſt.

Δαιτή. In recto caſu per η ſcribitur, ſignificans convivium. In dativo vero per ι, δαιτί. Convivio. A δαὶς, δαιτὸς, δαιτί. [Et Homerus:] Δαιτὸς ἐΐσης. Id eſt, cœnæ, quæ æqualiter inter aliquos dividitur. Zenodotus vero [τὸ ἐΐσης interpretatur] ἀγαθῆς, bonæ: quia cibus homini bonus eſt. Primi autem mortalium, cum exigua ipſis eſſet victus copia, rapto viventes aliis per vim ſua eripiebant: ex qua prædandi licentia cædes oriebantur. Hinc dictam eſſe ajunt ἀτασθαλίαν, quoniam homines in conviviis & cœnis ſibi injuriam primum inferre cœperunt. Poſtea vero [ſingulis portiones ſuas] diviſerunt: quæ res ad modeſtiam cœnas revocavit. Hinc etiam dictus eſt δαιτρός: & ipſa cœna δαίς; & δαιτυμόνες convivæ. De hominibus tantum dicitur δαὶς, non etiam de feris. Quare Zenodotus vocis hujus vim ignorans, dixit: *Eos prædam fecit canum, & alitum* (δαῖτα, i. e.) *cibū.*

Δαιτρόν. Diſtributorem. Coquum.

Δαιτυμόνες. Convivæ. Qui epulantur.

Δαιτρεύειν. Dividere. Partiri.

Δαιτρός. Qui convivis portiones ſuas diſtribuit. Sic enim cœnabant, & carnes & potum ſingulis diſtribuentes. Hinc etiam [Homerus] inquit, δαιτὸς ἐΐσης, i. e. cœnæ, quæ æqualiter dividitur. Vel δαιτρὸς vocatur, qui carnes diſtribuit. † *Timæus dicit, poetas & hiſtoricos frequenti earundem vocum in ſcriptis ſuis repetitione ingenia ſua prodere ſolere; atque Homerum, quod verbo* δαιτρεύειν *ſæpius utatur, helluonem ſeſe oſtendere. Ariſtotelem quoque, qui in commentariis ſuis paſſim obſonia condiat, obſonii appetentem & catillonem fuiſſe. Idem de Dionyſio tyranno, qui lectos ornaret diligenter, & velorum bonitatem & varietatem ſtudioſe & aſſidue inquireret. Ita etiam* [*de Timæo*] *conſequenter exiſtimandum eſt, moroſo ingenio illum fuiſſe.*

---

1 Φοῖβε, δέξαι πλωτήρων μάζης χειρ.] Verba hæc ſunt pars Epigrammatis, quod ex cod. MS. Anthologiæ ineditæ integrum exhibuimus ſupra v. Βραχυφεγγίτης.

2 Δαιτίς. τόπος ἐν Ἐφέσῳ. ἀπὸ τοῦ Λυδ.] Eadem habet Etymologus.

3 Ἔφεσος] Etymologus rectius Ἐφέσιος.

4 Δαιτὸς ἐΐσης. ἐξ ἴσου μεριζομένης εὐωχ. Ζηνόδοτος δὲ τῆς ἀγαθ.] Hæc, & quæ ſequuntur uſque ad finem articuli, ſunt verba Athenæi lib. 1. pag. 12. ex quo Suidas ſupplendus eſt.

5 Τά τε πρόβατα] Malim, τά τε κρέατα.

6 Πότον] Sic recte habent 2 MSS. Pariſ. cujus loco in prioribus Editt. male legitur τόπον.

7 Τίμαιός φησι, τοὺς ποιητὰς καὶ τοὺς συγγρ.] Hæc, & quæ ſequuntur, ſunt verba Polybii, quæ leguntur in Collectaneis Conſtantini a Valeſio editis pag. 57. unde Suidas ea excerpſit.

8 Διὰ τῶν ὑπεράνω πλεονασμῶν] In Collectaneis Conſtantini loco laudato legitur, διὰ τὸν ὑπεράνω πλεονασμόν. Sed & ſic locus eſt obſcurus propter vocem ὑπεράνω, quam corruptam eſſe exiſtimo.

9 Ἀνάγκη τὴν ἀκόλουθον] Locus hic eſt mutilus, quem Valeſius ſic ſupplet: Ἀνάγκη τοίνυν περὶ Τιμαίου τὴν ἀκόλουθον &c.

Δέ. ἀντὶ τοῦ γάρ. Μισθοφορεῖ δέ. περὶ Ἀπόλλωνός φησιν Ἀριστοφάνης ἐν Ὄρνισι.

Δεβελτός. πόλις Θρακική.

Δεββώρα. ὄνομα κύριον. ἡ προφῆτις καὶ ἀῤῥενόφρων.

Δεδαϊγμένος. ἀνῃρημένος.

Δέδασται. μεμέρισται. καὶ δεδαίαται, μεμέρισται.

Δέδιε. φεύγει. [1] ἢ φλέγει.

Δέδευκε. πεφύρακε.

Δεδειχότας. δείξαντας. Δεδηχότας δὲ, δακόντας.

Δέδηγμαι [2] τὴν καρδίαν. ἠνίαμαι. λελύπημαι. καὶ [3] Ὅμηρος·

Δάκε δὲ φρένας Ἕκτορι μῦθος.

καὶ θυμοδακὴς μῦθος. καρδίαν δὲ εἶπε, παρόσον περὶ τὴν καρδίαν συνίσταται τὰ τοῦ θυμοῦ καὶ τὰ τῆς ἡδονῆς. παρ' Ὁμήρῳ Ὀδυσσεὺς στῆθος πλήξας, κραδίην ἠνίπαπε μύθῳ, τέτλαθι κραδίη, φάσκων.

Δεδημευμέναι. ἀπηγορευμέναι.

Δέδηε. φλέγει.

Δεδήσεται. δεθήσεται.

Δέδια. φοβοῦμαι.

Δέδιθι. φοβήθητι.

Δεδιξάμενοι. φοβηθέντες.

Δεδίξασθαι. ἐκφοβῆσαι. διῶξαι. [4] Ἦχον ἐγεῖραι συμμιγῆ τε καὶ ἄγριον, καὶ σὺν τῷ ἀλαλάγματι ἐπιδουπῆσαι τοῖς τυμπάνοις, ὡς καταπλῆξαι καὶ δεδίξασθαι τὸ Ῥωμαϊκόν.

Δεδιότες. καὶ δεδιὼς, φοβούμενος. Οἱ δὲ ἀμφὶ τοῖς οἰκείοις δεδιότες, ἐνταῦθα πρῶτον ἠξίουν ἰέναι.

Δεδίσσω. τὸ ἐκφοβῶ. [5] τὰ δὲ διὰ δύο σσ ῥήματα ἓξ φωνήεντα παραλαμβάνει. α. ἄλλος, ἀλλάσσω. ε. πῦρ, πυρὸς, πυρέσσω. η. πτήσσω. ι. δεδίσσω καὶ δηδίσσω καὶ δεδίττω. καὶ δεδιττόμενος, ἐκφοβῶν. υ. ἀφύσσω, τὸ ἀπαντλῶ. τὸ γὰρ ὄσσω, ἐκ τοῦ ὄπτω ἐστὶ μετηλλαγμένον. ω. ὀνειρώσσω, ἀγρώσσω.

Δεδιττόμενος. ἐκφοβῶν.

Δεδμήμεθα. ὑποτετάγμεθα.

Δεδμημένοι. δεδαμασμένοι. καὶ δέδμηνται. [6] ἐν Ἐπιγράμματι·

——— Οἱ δὲ χαλινοὶ
Στοιχηδὸν, ξεστοί τ' ἀμφίβολοι [7] κάμακες,
Δέδμηνται ποθέουσαι ὁμῶς ἵππους τε καὶ ἄνδρας,
Παλλάδι. ———

Δεδοκημένος. ἐκδεχόμενος, ἐνεδρεύων, δοκεύων, καὶ ἐπιτηρῶν.

Δέ. Pro γάρ. Enim. *Mercedem enim accipit.* Sic de Apolline inquit Ariſtophanes *Avibus.*

Δεβελτός. Debeltus. Urbs Thraciæ.

Δεββώρα. Debbora. Nomen proprium. Prophetiſſa & virago.

Δεδαϊγμένος. Cæſus. Interfectus.

Δέδασται. Diviſus eſt. Et δεδαίαται, idem.

Δέδιε. Fugit. Vel, ardet.

Δέδευκε. Miſcuit. Subegit.

Δεδειχότας. Qui monſtrarunt. Δεδηχότας autem, qui momorderunt.

Δέδηγμαι τὴν καρδίαν. Dolore & triſtitia animi affectus ſum. Et Homerus: *Momordit autem hæc oratio animum Hectoris.* Hinc θυμοδακὴς μῦθος, oratio animum dolore afficiens. Καρδίαν vero dixit, quia iræ & voluptatis ſedes eſt in corde. Apud Homerum Ulyſſes percuſſo pectore cor ſuum his verbis hortatur, *Perfer, cor, & obdura.*

Δεδημευμέναι. Interdictæ.

Δέδηε. Ardet.

Δεδήσεται. Ligabitur. Vincietur.

Δέδια. Metuo.

Δέδιθι. Metue.

Δεδιξάμενοι. Metuentes.

Δεδίξασθαι. Terrere. Perſequi. [*Juſſit eos*] *diſſonum & trucem clamorem tollere, & cum ululatu tympana pulſare, ut Romanos terrerent, iiſque metum incuterent.*

Δεδιότες. Qui metuerunt. Et δεδιώς. Qui metuit. *Illi vero ſuis metuentes, eo primum ire ſtatuebant.*

Δεδίσσω. Terreo. Verba quæ per duplex σσ ſcribuntur, ſex vocales aſſumunt. A, ut ἄλλος, ἀλλάσσω, muto. E, πυρέσσω, febricito. H, πτήσσω, trepido. I, δεδίσσω, δηδίσσω, & δεδίττω, terreo. Et δεδιττόμενος, terrens. Υ, ἀφύσσω, haurio. Nam verbum ὄσσω ex ὄπτω formatum eſt. Ω, ὀνειρώσσω, ſomnio, ἀγρώσσω, venor.

Δεδιττόμενος. Terrens.

Δεδμήμεθα. Domiti ſumus. Subacti ſumus.

Δεδμημένοι. Domiti. Et δέδμηνται, domiti ſunt. In Epigrammate: *Fræna vero, & haſtæ utrinque vulnerantes, quæ equos pariter viroſque deſiderant, Palladi ordine ſuſpenſæ ſunt.*

Δεδοκημένος. Expectans. Inſidians. Obſervans. Captans.

---

[1] Ἢ φλέγει] Hæc interpretatio non convenit voci δέδιε, ſed δέδηε.

[2] Δέδηγμαι τὴν καρδίαν. ἠνίαμαι. κτλ.] Nota hæc referenda eſt ad locum illum Ariſtoph. initio *Acharnenſium*:

Ὅσα δὴ δέδηγμαι τὴν ἐμαυτοῦ καρδίαν.

Vide ibi Scholiaſtam, cujus verba Suidas hic deſcripſit.

[3] Ὅμηρος] Il. E. v. 493.

[4] Ἦχον ἐγεῖραι συμμιγῆ τε καὶ ἄγ.] Verba hæc eſſe Menandri hiſtorici diſcimus ex Suida infra v. Ἐπιδουπῆσαι, ubi fragmentum hoc auctius legitur.

[5] Τὰ δὲ διὰ δύο σσ ῥήματα ἓξ φων.] Eadem leguntur apud Etymologum voce Ἀγρώσσω.

[6] Ἐν Ἐπιγράμματι] Anthol. lib. vi. cap. xxv. ut Portus etiam monuit.

[7] Κάμακες] Hanc lectionem ex MSS. Pariſ. & Anthologia Epigrammatum revocavi; cujus loco in prioribus Editt. inepte excuſum eſt μάκαρες.

Δεδοκιμασμένα. κεκριμένα. Ἔγραψε δὲ Εὐσέβιος καὶ ἄλλα ὑπομνήματα δεδοκιμασμένα.

Δεδοξοποιημένον. δόξῃ κοσμούμενον. [1] Πολύβιος· Τὰ μὲν γὰρ ἄλλα ζῶα ταῖς τοῦ σώματος ἐπιθυμίαις δουλεύει. τὸ δὲ τῶν ἀνθρώπων γένος καὶ [2] προσδεδοξασμένον, οὐχ ἧττον διὰ τὴν ἀλογιστίαν, ἢ διὰ τὴν φύσιν ἁμαρτάνει.

Δέδορκεν. ὁρᾷ. βλέπει.

Δέδοται καὶ κακοῖσιν ἄγρα. ἐπὶ τῶν παρ' ἀξίαν εὐπραγούντων.

Δεδουπώς. πεπτωκώς. τεθνηκώς.

Δεδραγμένος. [3] πεπραγμένος.

Δέδοικα. φοβοῦμαι.

——Δέδοικα [4] μὴ 'κ Θεοῦ
Πληγή τις ἥκῃ. πῶς γάρ, εἰ πεπαυμένος
Μηδέν τι μᾶλλον, ἢ νοσῶν εὐφραίνεται.

ἀντὶ τοῦ, πῶς γὰρ οὐ θεϊόν τι εἴη τὸ κατὰ τὸν Αἴαντα, εἰ πεπαυμένος τοῦ κακοῦ, μᾶλλον ἐν ἀνίᾳ διάγει.

Δέδοιμι. [5] οἰκοδομοίην. Οἰκίαν εὖτε δέδοιμι.

Δέδυκα. ὑπεισῆλθον. Δέδυκε δέ, εἰσῆλθε.

Δέει. τὸ δεῖ. τὸ ὁριστικὸν δηλονότι. Δέει δέ, φόβῳ. Ὁ δὲ Νικόμαχος ὡς πεφωραμένος ἐν παντὶ ἦν δέει.

Δεεινός. ὁ δεινός.

Δέημα.

--- Ὡς [6] γελοῖον, ὦ Θεοί,
Τὸ δέημα τῆς νύμφης, ὃ δεῖταί μου σφόδρα.

Δεῆσαν. χρείας γενομένης.

Δεήσεις. ἀντὶ τοῦ ἐνδείας. Ἀντιφῶν ἀληθείας πρώτῳ.

B. Animadv. p. 150. Ω

Δέκα, [7] καὶ Δεκαδοῦχος. Δέκα μὲν ἦρχον μετὰ τοὺς τριάκοντα [8] καταστάντες. ἐκαλεῖτο μέντοι τούτων ἕκαστος τῶν ἀρχόντων δεκαδοῦχος, ὡς [9] δηλοῖ Λυσίας.

Δεκαρχίαι. [10] τὰς ὑπὸ Λακεδαιμονίων κατασταθείσας ἐν ταῖς πόλεσι δεκαρχίας συνεχῶς ὀνομάζουσιν οἱ ἱστορικοί. καὶ Φίλιππος μέντοι παρὰ Θετταλοῖς δεκάρχην [11] οὐ κατέστησεν, ὡς Δημοσθένης ἐν ἕκτῳ Φιλιππικῶν.

Δεκάζεσθαι. ἐρρέθη μὲν ἀπὸ τοῦ κατὰ δέκα φθείρεσθαι δώροις. ὅτε γὰρ βούλοιντό τινες ἀρχῆς τυχεῖν, ἢ ἄλλο τι ἀνύσασθαι, κατὰ δέκα ἀνθρώπους ἐδίδοσάν τινα, ὅπως συμπράττωσιν αὐτοῖς. ἐξ ἐκείνου δὲ ἤδη τὸν λαμβάνοντα ἕνεκα τοῦ συμπράττειν [12] μὴ ἀπαντῶντος

Δεδοκιμασμένα. Probata. Explorata. *Euſebius vero & alios probatos commentarios ſcripſit.*

Δεδοξοποιημένον. Opinionibus imbutum. Polybius: *Cætera enim animalia ſolis cupiditatibus corporis ſerviunt. At genus humanum hoc amplius adſcitis imbutum opinionibus, non minus per inconſiderantiam quam per naturam peccat.*

Δέδορκεν. Videt. Spectat.

Δέδοται καὶ κακ. *Ignavis etiam obtigit præda.* Dicitur de iis, quibus præter meritum res ex ſententia ſuccedunt.

Δεδουπώς. Qui [in bello] cecidit. Mortuus.

Δεδραγμένος. Factus.

Δέδοικα. Metuo. [Sophocles:] *Metuo, ne a Deo plaga quædam ei inflicta ſit. Quomodo enim aliter res ſeſe habere poteſt, cum a morbo liberatus nihilo magis lætetur, quam ſi eo adhuc teneretur?* Id eſt, neceſſe eſt, ut malum, quod Ajaci accidit, a Deo aliquo ipſi inflictum ſit, quoniam ab inſania liberatus majore animi dolore afficitur.

Δέδοιμι. Ædificem. *Cum domum ædificavero.*

Δέδυκα. Subii. Penetravi. Δέδυκε vero, intravit, penetravit.

Δέει. Pro δεῖ, oportet, eſt indicativi modi. Δέει vero, metu, [eſt dativus a Δέος.] *Nicomachus vero, utpote in facinore deprehenſus, in magno erat metu.*

Δεεινός. [Poetice, pro] δεινός.

Δέημα. Preces. [Ariſtophanes:] *Quam ridicula res eſt, proh Dii, quam ſponſa hæc enixe a me petit.*

Δεῆσαν. Cum oportuerit.

Δεήσεις. Pro ἐνδείας. Indigentiam, egeſtatem. Antipho libro primo *De Veritate.*

Δέκα, & Δεκαδοῦχος. Decemviri poſt XXX Tyrannos creati Reipubl. præerant: quorum unuſquiſque appellabatur δεκαδοῦχος, ut docet Lyſias.

Δεκαδαρχίαι. Decadarchias a Lacedæmoniis in ſingulis urbibus conſtitutas ſæpe memorant Hiſtorici. At Philippus in Theſſalia non conſtituit Decadarcham, ut ait Demoſthenes in ſexta Philippica.

Δεκάζεσθαι. Donis corrumpi. Verbum hoc dictum eſt inde, quod [olim] deni muneribus corrumpi ſolerent. Illi enim, qui magiſtratum ambibant, aut aliud quippiam factum cupiebant, denis hominibus munera dabant, ut a partibus ſuis ſtarent. Illum igi-

---

[1] Πολύβιος] Lib. XVII. cap. XIII. Vide etiam ſupra v. Ἄνθρωπος, ubi fragmentum hoc auctius legitur.

[2] Προσδεδοξασμένον] Lege προσδεδοξοποιημένον, ut apud Polybium loco laudato.

[3] Δεδραγμένος] Ex interpretatione hujus vocis apparet, ſcribendum eſſe δεδρασμένος.

[4] Δέδοικα μὴ 'κ Θεοῦ κτλ.] Fragmentum hoc legitur apud Sophoclem *Ajace* pag. 18. ut Portus obſervavit.

[5] Δέδοιμι] Scribendum eſt δέμοιμι, idque ſuo loco ponendum, ut Portus etiam monuit.

[6] Ὡς γελοῖον, ὦ Θεοί, τὸ δέημα τῆς νύμφ.] Verba hæc leguntur apud Ariſtophanem *Acharnenſ.* pag. 421. (302. Ed. Baſ. *P.*)

[7] Δέκα, καὶ Δεκαδοῦχος. Δέκα μὲν ἦρχ.] Ex Harpocratione: ad quem vide Mauſſacum.

[8] Καταστάντες] Lege κατασταθέντες.

[9] Ὡς δηλοῖ Λυσίας] Locus Lyſiæ, ad quem Suidas reſpicit, exſtat apud Harpocrationem v. Μόλπις.

[10] Δεκαρχίαι] Ante legebatur δεκάρχαι, cujus loco repoſui δεκαρχίαι, auctoritate 2 MSS. Pariſ. Apud Harpocrationem, ex quo locus hic Suidæ depromptus eſt, legitur δεκαδαρχίαι, ut etiam in uno MS. Pariſ.

[11] Δεκάρχην οὐ κατέστησεν, ὡς Δημοσθ. ἐν ἕκτῳ Φιλ.] Scribe & ſupple, δεκαρχίας οὐ κατέστησεν, ὡς Δημοσθένης ἐν ἕκτῳ Φιλιππικῶν, ἀλλὰ τετραρχίας. Vide Harpocrationem.

[12] Μὴ ἀπαντῶντος τοῦ βελτίστου] Paul. Leopardus *Emend.* lib. XVI. cap. XIX. optime monuit, legendum hic eſſe, μὴ ἀπὸ παντὸς τοῦ βελτίστου, i. e. artibus minime bonis, vel mala ratione. Hanc enim ſignificationem phraſis iſta apud Græcos ſcriptores habet, ut pluribus exemplis idem demonſtrat lib. 1. cap. XXI.

τοῦ

Ω Bos. Animadv. 150.



Δέκα, καὶ Δεκαδοῦχος. Δέκα μὲν ἦρχον μετὰ τοὺς τριάκοντα καταστάντες. ἐκαλεῖτο μέντοι τούτων ἕκαστος τῶν ἀρχόντων δεκαδοῦχος, ὡς δηλοῖ Λυσίας.] In Notis ac hunc locum doctiſſimus Kuſterus, *lege*, inquit, *pro* Καταστάντες, κατασταθέντες. Nollem hoc viro Cl. excidiſſe: quod tritum adeo eſt, aoriſtum 2. activi hujus verbi apud optimos auctores habere neutram aut paſſivam ſignificationem: ita κατέστη notat, *pervenit ad, redactus eſt, conſtitutus eſt.* καταστάς, *qui conſtitutus eſt in hoc* vel *illo loco*, Exempla ex vulgaribus Lexicis poſſunt peti.

τοῦ βελτίστου, δεκάζεσθαί φασιν. ὅμοιον καὶ τὸ ἐριθεύεσθαι τῷ δεκάζεσθαί ἐστιν. καὶ γὰρ ἡ ἐριθεία εἴρηται ἀπὸ τῆς τοῦ μισθοῦ δόσεως.

Δεκάζεσθαι. δωροδοκεῖσθαι. καὶ Δεκάζειν, διαφθείρειν χρήμασιν, ἢ δώροις. Αἰλιανός· Πολλοὺς διέφθειρε Νομάδων, δεκάσας εἰς προδοσίαν. καὶ δεκάζων, τὸ σημαινόμενον δῆλον. ἐποιήθη δὲ τὸ ὄνομα ἐντεῦθεν. [1] Λύκος μέν ἐστιν ἥρως, μορφὴν ἔχων τοῦ θηρίου. πρὸς δὲ τοῖς ἐν Ἀθήναις ἀνεστήλωται δικαστηρίοις· πρὸς ὃν οἱ δωροδοκοῦντες κατὰ δέκα γινόμενοι ἀνεστρέφοντο. ἔνθα καὶ ἡ παροιμία· Λύκου δεκάς. ἐξ οὗ τοῦ δεκάδος τό, τε δεκάζειν, καὶ τὸ δεκάζεσθαι.

Δεκαμναιαῖον. δέκα μνᾶς. [2] Σκόπας Αἰτωλῶν στρατηγός· ὃς ἀποτυχὼν [3] τῆς στρατείας, νόμους ἔγραφε. καὶ ὀψώνιον αὐτῷ ἐξέθηκεν ὁ βασιλεὺς ἑκάστης ἡμέρας δεκαμναιαῖον· τοῖς δὲ ἐπί τινος ἡγεμονίας τεταγμένοις μναιαῖον. ἀλλ' ὅμως οὐκ ἠρκέσθη τούτοις, καὶ φθονηθεὶς τὸ πνεῦμα προσαπέθηκε τῷ χρυσίῳ. ἑκατὸν δὲ δραχμαὶ ποιοῦσι μνᾶν.

Δεκάπαλαι. τὸ πρὸ πολλοῦ πάνυ λέγουσιν Ἀττικοί.

Δεκάπους [4] σκιά. τὸ παλαιὸν οἱ καλοῦντες ἐπὶ δεῖπνον καὶ καλούμενοι παρεσημαίνοντο τὴν σκιάν. καὶ οὕτως οἱ μὲν ἔμενον τοὺς κληθέντας· οἱ δὲ ἀπήεσαν ἐπὶ τὰς ἑστιάσεις, [5] οὔθ' ὑποτηρήσεως οὔσης αἰτίας, ἐφ' οἷς οἷόν τε ἦν τεκμήρασθαι, εἰς πόσας ὥρας προήκει.

Δεκάπουν [6] σκιάν. [7] Ἀριστοφάνης·
——Σοὶ δὲ μελήσει,
Ὅταν ᾖ δεκάπουν τὸ στοιχεῖον, λιπαρῶς χωρεῖν
ἐπὶ δεῖπνον.

περὶ [8] ἡλιοτροπίου φησί. τουτέστι, τοῦ ἡλίου ἡ σκιὰ ὅταν ᾖ δέκα ποδῶν, ἤγουν ὅτε γίνεται ὀψινόν.

Δεκάσκαλμος ναῦς.

Δεκατεύειν. δεκάτην δοῦναι. Ἐφ' οἷς οἱ Ἕλληνες ὤμοσαν, εἰ νικήσειαν, στρατεύσειν, καὶ δεκατεύσειν ἅπαντας τῷ Πυθίῳ. † Ἐς [9] δεκάτην παιδαρίου κληθείς, ὑπέπινον ἐν ἄστει. τὴν δεκάτην γὰρ εἱστίων ἐπὶ τοῖς τικτομένοις, καὶ ἐν αὐτῇ τὰ ὀνόματα ἐπίθεντο τοῖς

tur, qui munus accipiebat, ut alterius commodum minime bonis artibus promoveret, δεκάζεσθαι dicebant. Τῷ δεκάζεσθαι ſimile eſt τὸ ἐριθεύεσθαι, Nam & ἐριθεία dicta eſt a mercede danda.

Δεκάζεσθαι. Donis corrumpi. Et δεκάζειν, pecunia vel donis corrumpere. Ælianus: *Multos Numidarum pecunia corruptos ad proditionem ſollicitavit.* Et δεκάζων, donis corrumpens. Verbum autem hoc inde originem duxit. Lycus eſt heros, formam lupi habens: cujus ſimulacrum Athenis ante loca Judiciorum collocatum erat. Juxta hoc illi, qui muneribus ſe corrumpi ſinebant, deni verſabantur; unde & proverbium ortum eſt: *Lupi decas.* A δεκὰς igitur τὸ δεκάζειν & δεκάζεσθαι dicta ſunt.

Δεκαμναιαῖον. Decem minæ. *Scopas Ætolorum Prætor, fruſtratus principatu, leges ſcripſit. Rex autem in ſingulos dies decem minas ſtipendii nomine ei dedit; cum cæteris in inferiore gradu conſtitutis mina daretur. Neque his tamen contentus,* [*plura adhuc concupiſcebat:*] *donec premente eum invidia auro ſimul ac ſpiritu privatus eſt.* † Centum drachmæ faciunt minam.

Polybius. XIII. 2. Vol. III. 441.
Suidas V. Σκοπας. III. p. 335.

Δεκάπαλαι. Apud Atticos dicitur pro jam dudum ante, jam olim.

Δεκάπους σκιά. Umbra decem pedum. Olim & qui ad cœnam alios invitabant, & qui invitabantur, umbram obſervabant, & ſic illi quidem invitatos expectabant; hi vero ſtatuto tempore convivia adibant. Nondum enim tunc aliud indicium habebant, ex quo conjicere liceret, quota eſſet diei hora.

Δεκάπουν σκιάν. Decem pedum umbram. Ariſtophanes: *Tibi vero curæ erit ut, cum umbra decem pedum fuerit, ad cœnam feſtines.* Loquitur de heliotropio. Id eſt, cum Solis umbra erit decem pedum, ſive cum adveſperaſcet.

Δεκάσκαλμος ναῦς. Navis decem habens ſcalmos.

Δεκατεύειν. Decimam dare. *Propter quæ Græci jurarunt, ſe, ſi viciſſent, omnes expeditionem ſuſcepturos, & Apollini rerum ſuarum decimas daturos eſſe.* [Ariſtophanes:] *Ad nominalia pueri invitatus, paulo largius bibi in urbe.* Decimo enim die ob natos infantes παισίν. Εὐριπίδης Αἰγεῖ· [1] Τίς σε μᾶτερ ἐν δεκάτᾳ τοῦ τόκου ὠνόμαζεν; ὁ δὲ Ἀριστοτέλης ἐν τοῖς ζ' φησὶν ἐπιτίθεσθαι τὰ ὀνόματα, γράφων οὕτω· [2] Πλεῖστα δὲ ἀναιρεῖται πρὸς τὴν ζ'. διὸ καὶ τὰ ὀνόματα τότε τίθενται.

---

[1] Λύκος μέν ἐστιν ἥρως, μορφ.] Hæc, & quæ ſequuntur, leguntur etiam apud Harpocrationem & Etymologum. Vide etiam infra v. Ἡ Λύκου δεκάς, & v. Λύκος.

[2] Σκόπας, Αἰτωλῶν στρατ.] Totum hoc fragmentum legitur in Excerptis ex Polybio, quæ Valeſius edidit, pag. 61. unde id Suidas deſcripſit. Vide etiam infra v. Σκόπας, ubi locus hic ex iiſdem Excerptis auctior exhibetur.

[3] Τῆς στρατείας] In Excerptis modo laudatis rectius legitur τῆς ἀρχῆς.

[4] Δεκάπους σκιά. τὸ παλαιὸν οἱ καλ.] Totum hunc locum deſcripſit Suidas ex Scholiaſta Ariſtophanis ad *Eccleſiaz.* pag. 744.

[5] Οὐδ' ὑποτηρήσεως οὔσης αἰτίας, ἐφ' ἧς οἷόν τε ἦν τεκμ.] Locum hunc corruptiſſimum ſic recte emendat Caſaubonus ad Athen. lib. VI. cap. X. οὐδέπω τηρήσεως οὔσης ἑτέρας, ἀφ' ἧς &c. Hanc lectionem in verſione ſecutus ſum.

[6] Δεκάπουν σκιάν] Ex exemplo, quod ſubjungitur, patet, ſcribendum hic eſſe δεκάπουν στοιχεῖον.

[7] Ἀριστοφάνης] *Eccleſiaz.* pag. 744. (499. Ed. Baſ. *P.*

[8] Περὶ ἡλιοτροπίου] Sic repoſui auctoritate MS. Pariſ. A. cum ante minus recte legeretur περὶ ἡλίου τροπάς. Intelligenda enim ſunt hæc verba Suidæ de horologio ſciotherico, in quo ſtilus erectus umbra ſua horas & tempora diei indicabat. Vide infra v. Ἡλιοτρόπιον.

[9] Ἐς δεκάτην παιδαρίου κλ. ὑπέπινον ἐν ἄστει] Hæc ſunt verba Ariſtoph. *Avibus* pag. 564. ex quo metrum hujus loci ita ſupplendum eſt:

Ἐς δεκάτην γάρ ποτε παιδαρίου κληθεὶς ὑπέπινον ἐν ἄστει.

Vide ibi veterem Enarratorem, cujus verba Suidas hic excerpſit. Cæterum, de more veterum Græcorum infantibus die ſeptimo vel decimo nomina imponendi vide quæ præter alios viros doctos obſervarunt Meurſius *Exercit. Crit.* Part II. lib. III. cap. XXXIII. & Mauſſacus ad Harpocrationem v. Ἑβδομευομένου.

Δεκατεύειν.[3] ἀντὶ τοῦ δεκάτην εἰσπράττεσθαι καὶ λαφυραγωγεῖν. τὰ δ' ἐκ τῶν πολεμίων ληφθέντα ἐδεκατεύοντο Θεοῖς. διὸ κυρίως δεκατεῦσαι, τὸ καθιερῶσαι. κατὰ μεταφορὰν δὲ καὶ τὸ δεκάτην ὁπωσοῦν λαβεῖν καὶ ἀπαιτῆσαι.

Δεκατευτάς.[4] τοὺς τελώνας, τοὺς τὴν δεκάτην ἐκλέγοντας. οὕτως Ἀντιφῶν. καὶ δεκατηλόγοι, οἱ αὐτοί. εἴρηται δὲ καὶ θηλυκῶς τὴν δεκατηλόγον.

Δεκατευτήριον.[5] τὸ ἐν τῇ Ἀβύδῳ πορθμεῖον. Ὡς εὐθὺς τὴν Ἄβυδον λυμανεῖται, καὶ τὸ ἐν αὐτῇ δεκατευτήριον.

Δεκατηλόγους. τοὺς τὴν δεκάτην ἐκλέγοντας. ταυτὸν ἄρα τοῖς δεκατευταῖς.

Δεκάτην[6] ἑστιάσαι. ἔθος ἦν παίδων γεννωμένων τοῖς Ἀθηναίων ἀστοῖς, τῇ δεκάτῃ τῶν νυκτῶν ἀπὸ τῆς γενέσεως συγκαλεῖσθαι τοὺς πρὸς πατρὸς καὶ μητρὸς οἰκείους, καὶ τοὺς ἐγγύτατα φίλους, καὶ παρόντων ἐκείνων τά τε ὀνόματα τοῖς παισὶ τίθεσθαι, καὶ καλλιερεῖσθαι τοῖς Θεοῖς· ἔπειτα εὐωχεῖσθαι τοὺς συνεληλυθότας. καὶ τοῦτο ἦν ἡ δεκάτη. καὶ δεκατῶ ῥῆμα. ὡς τό, Ὁ λαμβάνων δεκάτας δεδεκάτωται.

Δεκασμός. δωροδοκία.

Δεκάχοια.[7] δεκαπλάσια.

Δεκέβαλος. ὁ τῶν Δακῶν βασιλεύς. ἔστιν ἐν τῷ Δεινός.

Δεκέλεια. τόπος.

Δεκελεικός.[8] Πελοποννησιακὸς πόλεμος· ἀπὸ μέρους τοῦ τελευταίου.

Δεκέτης. ὁ δεκαετής. θηλυκῶς δὲ δεκέτις, διὰ τοῦ ι.

Δέκιος,[9] Ῥωμαίων βασιλεὺς, Φιλίππου διάδοχος, ὃς βασιλικῷ θεσπίσματι τοὺς τὰ Χριστιανῶν δοξάζοντας ἐθανάτου, καὶ τοὺς Θεοὺς προσκυνεῖν ἠνάγκαζε.

Δεκτέον. δεῖ δέχεσθαι.

Δεκτῆρες. ὑποδοχεῖς.

Δελεάζοντες. ἐπικρύπτοντες. Οἱ δὲ Σκυθοπολῖται δύο ἡμέρας ἠρέμησαν, τὴν πίστιν αὐτῶν δελεάζοντες· τῇ δὲ τρίτῃ νυκτὶ παρατηρήσαντες κοιμώμενον ἀνεῖλον.

convivium celebrabant [veteres,] iiſque nomina imponebant. Euripides *Ægeo: Quæ mater tibi decimo die nomen impoſuit?* Ariſtoteles vero tradit, ſeptimo die nomina pueris imponi, ſic ſcribens: *Plerique* [*infantes*] *ante diem ſeptimum moriuntur. Quæ ratio eſt, quare tunc nomina illis imponant.*

Δεκατεύειν. Decimam exigere, & prædas agere. Rerum enim illarum, quæ ex hoſtico captæ erant, decimæ Diis conſecrabantur. Unde δεκατεῦσαι proprie ſignificat conſecrare. Per tranſlationem vero, decimam quamcunque accipere & exigere.

Δεκατευτάς. Publicanos, qui decimam colligebant. Sic Antiphon. Et δεκατηλόγοι, iidem. Dicitur etiam genere fœminino τὴν δεκατηλόγον.

Δεκατευτήριον. Portorium, quod Abydi pendebatur. *Se Abydum illico vaſtaturum eſſe, & decateuterium, quod ibi inſtitutum erat.*

Δεκατηλόγους. Decimam colligentes. Significat idem quod δεκατευταί.

Δεκάτην ἑστιάσαι. Decimum diem a nato infante celebrare Mos erat civium Athenienſium, ut natis pueris decima nocte a nativitate cognati paterni & materni & amici proximi convocarentur, illiſque præſentibus nomina pueris imponerentur, & peracto ſacrificio epulum præberetur illis, qui convenerant. Et hoc appellabatur δεκάτη. Et δεκατῶ, decimo. Ut, *Accipiens decimas decimatus eſt.*

Δεκασμός. Corruptio, quæ fit munerum largitione.

Δεκάχοια. Decupla.

Δεκέβαλος. Decebalus, Dacorum Rex. Vide in voce Δεινός.

Δεκέλεια. Decelia. Locus [ita vocatus.]

Δεκελεικὸς πόλ. Sic vocatur bellum Peloponneſiacum, a parte ejus ultima.

Δεκέτης. Decennis. Δεκέτις vero, genere fœminino, per ι ſcribitur.

Δέκιος. Decius, Romanorum Imperator, Philippi ſucceſſor, edicto Chriſtianos omnes morte mulctavit, & ut Deos adorarent vi coegit.

Δεκτέον. Accipiendum eſt.

Δεκτῆρες. Qui aliquos excipiunt, vel ſuſcipiũt.

Δελεάζοντες. Ineſcantes. *Scythopolitæ vero duos dies quieverunt, fidem eorum quaſi ineſcantes: at tertia nocte, captata temporis opportunitate dormientem interfecerunt.*

---

[1] Τίς σε μᾶτερ ἐν δεκάτᾳ τοῦ τόκου ὠνόμ.] Verſus hic Euripidis eſt omnino mendoſus, ſive verba, ſive metrum ſpectes: quem Mauſſacus ad Harpocrationem v. Ἑβδομευομένου poſt Scaligerum ſic in integrum reſtituendum eſſe cenſet:

Τίς σ' ὠνόμαζεν τῇ δεκάτῃ μήτηρ τόκου.

[2] Πλεῖστα δὲ ἀναιρεῖται πρὸς τὴν ζ'. διὸ καὶ τὰ ὀν.] Apud Ariſtotelem libro VII. *Hiſt. Anim.* cap. XII. locus hic ita legitur: Πλεῖστα δὲ ἀναιρεῖται πρὸ τῆς ἑβδόμης. διὸ καὶ τὰ ὀνόματα τότε τίθενται, ὡς πιστεύοντες ἤδη μᾶλλον τῇ σωτηρίᾳ. Sic & apud Suidam ſcribendum eſt.

[3] Δεκατεύειν. ἀντὶ τοῦ δεκάτην εἰσπρ.] Ex Harpocratione.

[4] Δεκατευτάς. τοὺς τελώνας, τοὺς τὴν δεκ.] Ex Harpocratione.

[5] Δεκατευτήριον. τὸ ἐν τῇ Ἀβ.] Vide Paul. Leopard. *Emend.* lib. XVI. cap. III.

[6] Δεκάτην ἑστιάσαι] Vide paulo ante v. Δεκατεύειν.

[7] Δεκάχοια] Vocem hanc ſuſpectam habeo, quamvis non ignorem, eandem etiam apud Heſychium legi.

[8] Δεκελεικός. Πελοποννησ.] Ex Harpocratione. Vide etiam ſupra v. Ἀρχίδαμος, & Scaligerum ad Olymp. XCI. 4.

[9] Δέκιος, Ῥωμαίων βασιλεύς, Φιλίππου διάδ.] Hæc leguntur in Excerptis ex Joanne Antiocheno a Valeſio editis pag. 834. unde ea Suidas deſcripſit.

Δελέαρ.

Δέλεαρ. ἀπάτη. δόλος. Τοῦ δὲ προθύμως συγκαταθεμένου δελέατος, προσεπέθηκε τὸ ἀκόλουθον, παρακαλῶν πλεῦσαι πρὸς τὸν Δημήτριον.

Δελεασμός. καὶ δελεάσμασι.

Δελέαστρα. παγίδες.

Δελεάζω. αἰτιατικῇ. καὶ δελητήριον, τὸ δέλεαρ.

Δέλτα. τὸ τέταρτον στοιχεῖον. σημαίνει δὲ καὶ τὸ γυναικεῖον αἰδοῖον. [1] Δέλτα παρατετιλμέναι.

Δέλιθες. τὰ σφηκία.

Δέλτος. πινακίδιον. τιτλάριον. σχεδάριον. [2] Ζήνων ὁ Κιτιεὺς Κλεάνθην τὸν αὐτοῦ διάδοχον ἀφωμοίου ταῖς σκληροκήροις δέλτοις, αἳ μόλις μὲν γράφονται, διατηροῦσι δὲ τὰ γραφέντα.

Δέλφακας.[3] τοὺς μεγάλους χοίρους. οἱ δὲ καὶ τοὺς μικρούς. Ὅμηρος·

Ἔσθιε νῦν, ὦ ξεῖνε, τά τε δμώεσσι πάρεστι
Χοίρε᾽· ἀτὰρ σιάλους γε σύας μνηστῆρες ἔδουσι.

Δέλφακος ἄῤῥενος λίθῳ τὴν κεφαλὴν παίοντες ἀρῶνται. † Νέα γάρ ἐστιν, ἀλλὰ δελφακουμένη ἕξει μεγάλην τε καὶ παχεῖαν κέρκον.

Δελφάκιον. ὁ μικρὸς χοῖρος. [4] Ἀριστοφάνης·

Οἴμοι κακοδαίμων, δελφάκιον γενήσομαι.

τοῦτο εἴρηκεν, ἀφευθεὶς τὸν πρωκτόν. μετὰ γὰρ τὸ τυθῆναι τὰ δελφάκια, φλογίζονται, ἵνα ψιλωθῶσι.

Δελφίνιον.[5] ἔστι μέν τοι χωρίον ἐν Χίῳ. ἔστι δὲ καὶ Ἀθήνησιν ἱερὸν Ἀπόλλωνος, οὕτω καλούμενον, ἔνθα ἦν τὸ [6] ἐν Δελφινίῳ δικαστήριον.

Δελφίς. πρὸς ναυμαχίαν πολεμιστήριον ὄργανον. ὅθεν καὶ δελφινοφόρον ναῦν Θουκυδίδης ἐν τῇ ζ΄ Φησίν· Ἔπειτα αὐτοὺς αἱ κεραῖαι ὑπὲρ τῶν ἔσπλων, αἱ ἀπὸ τῶν ὁλκάδων δελφινοφόροι, ἠρμέναι ἐκώλυον.

Δέλεαρ. Fraus. Dolus. *Illo vero prompte aſſentiente, ut eum deciperet, & id, quod conſequens erat, addidit, hortans eum, ut ad Demetrium navigaret.*

Δελεασμός. Ineſcatio. Et δελεάσμασι, illecebris.

Δελέαστρα. Decipulæ. Laquei.

Δελεάζω. Accuſativo jungitur. Ineſco. Et δελητήριον. Idem quod δέλεαρ, illecebræ.

Δέλτα. Delta. Quarta litera [alphabeti.] Significat etiam genitale muliebre. [Ariſtophanes:] *Genitalibus depilatis & vulſis.*

Δέλιθες. Veſparum examina.

Δέλτος. Tabellæ. Pugillares. Titularium. *Zeno Cittieus Cleanthem ſucceſſorem ſuum comparabat tabellis duriore cera obductis, quæ difficulter quidem ſcripturam admittunt, ſed ſcripta diu conſervant.*

Δέλφακας. Majores porcos. Quidam, minores porcos. Homerus: *Comede nunc, hoſpes, carnes ſuillas, quæ ſervis apponuntur. At pingues porcos proci comedunt.* [Ariſtophanes:] *Juvencula enim eſt: at cum ad porcæ ætatem pervenerit, habebit magnam & rubram caudam.* † Porci maris caput lapide percutientes diras imprecantur.

Δελφάκιον. Porcellus. Ariſtophanes: *Hei mihi infelici! porcellus fiam.* Hoc [Mneſilochus] dicit, quia podex ejus aduſtus erat. Porcelli enim mactati igne aduruntur, ut pilis nudentur.

Δελφίνιον. Locus in Chio. Item Athenis templum Apollinis, in quo erat dicaſterium ἐν Δελφινίῳ vocatum.

Δελφίς. Inſtrumentum bellicum, cujus in navali pugna uſus erat. Hinc Thucydides libro VII. navem, [quæ ejuſmodi inſtrumentum vehebat,] δελφινοφόρον vocat. *Deinde antennæ navium onerariarum, ex quibus delphines* [*plumbei*] *pendebant, portus oſtio imminentes, eos* [*ulterius progredi*] *prohibuerunt.*

Δελφίς. ὁ ἰχθύς. καὶ ὄργανον ναυτικὸν σιδηροῦν, ἢ μολύβδινον. [7] Ἀριστοφάνης· Πρὶν ἐκεῖνον προσκέεσθαί σου, πρότερον τοὺς δελφῖνας μετεωρίζου, καὶ τὴν ἄκατον παραβαλοῦ. Δελφὶν, σιδηροῦν κατασκεύασμα, ἢ μολύβδινον, εἰς δελφῖνα ἐσχηματισμένον. [8] τοῦτο δὲ ἐκ τῆς κεραίας τοῦ ἱστοῦ ἠφίεσαν εἰς τὰς τῶν πολεμίων νῆας, καὶ κατεδύοντο. Δελφινοφόρος τε ἡ ναῦς. τὴν ἄκατον δὲ παραβάλλου· ἀντὶ τοῦ ἕτοιμον ποίει, ὡς εἴ τις κίνδυνος ἐκ τοῦ ἀνέμου, ἐς αὐτὴν ἐμβησόμενος.

Δελφίς. Delphin, piſcis. Item, inſtrumentum nauticum ferreum, vel plumbeum. Ariſtophanes: *Priuſquam ille te aggrediatur, ex malo ſuſpende delphines, & lembum paratum habe.* Δελφὶν, inſtrumentum ferreum, vel plumbeum, delphinis figuram habens, quod ex antennis mali in hoſtium naves dejiciebant, eaſque ſic demergebant. Hinc δελφινοφόρος ναῦς vocatur navis, quæ hujuſmodi delphines fert. At ἄκατον παραβάλλου ſignificat, ſcapham [admove, vel] paratam habe, ut in eam ingrediaris, ſi a vento periculum aliquod impendeat.

---

[1] Δέλτα παρατετιλμ.] Ariſtoph. *Lyſiſtrata* pag. 844. (544. Ed. Baſ. P.) Vide etiam infra v. Παρατίλλεται.

[2] Ζήνων ὁ Κιτι. Κλεάνθην τὸν αὐτοῦ διαδ.] Hæc ſunt verba Laertii *Zenone*, lib. VII. Segm. XXXVII.

[3] Δέλφακας. τοὺς μεγάλους χοίρους. οἱ δὲ καὶ τοὺς μικρ.] Totus hic locus ex Scholiaſta Ariſtoph. ad *Acharnenſ.* pag. 407. (292. Ed. Baſ. P.) ſic ſcribendus eſt: Δέλφακας. παρ᾽ ἡμῖν τοὺς μικροὺς σῦς, οὓς οἱ ἀρχαῖοι χοίρους ἐκάλουν. Ὅμηρος·

Ἔσθιε νῦν, ὦ ξεῖνε, τά τε δμώεσσι πάρεστι,
Χοίρε᾽· αὐτὰρ σιάλους γε σύας μνηστῆρες ἔδουσιν.

ἐκάλουν δὲ τοὺς μεγάλους χοίρους δέλφακας. ἐν γοῦν τοῖς ἑξῆς φησι· Νέα γάρ ἐστιν· ἀλλὰ δελφακουμένη &c. Ex hoc loco diſcimus, porcos minores a veteribus appellatos fuiſſe χοίρους; grandiores vero, δέλφακας: quod etiam confirmat Athenæus lib. IX. pag. 375. qui cum hoc loco Suidæ conferendus eſt.

[4] Ἀριστοφάνης] *Theſmophor.* pag. 779. (517. Ed. Baſ. P.)

[5] Δελφίνιον. ἔστι μέντοι χωρίον ἐν Χίῳ] Hæc, & quæ ſequuntur, αὐτολεξεὶ etiam leguntur apud Harpocrationem, & Enarratorem Comici ad *Equit.* pag. 333.

[6] Τὸ ἐν Δελφινίῳ δικαστ.] Vide infra v. Ἐπὶ Δελφινίῳ.

[7] Ἀριστοφάνης] Apud Ariſtophanem *Equit.* pag. 333. (232. Ed. Baſ. P.) locus hic ita legitur & diſtinguitur:

———Καὶ πρὶν ἐκεῖνον προσκεῖσθαί σοι, πρότερος σὺ
Τοὺς δελφῖνας μετεωρίζου, καὶ τὴν ἄκατον παραβάλλου.

Vide ibi Scholiaſtam, cujus verba Suidas hic deſcripſit.

[8] Τοῦτο δὲ ἐκ τῆς κεραίας τοῦ ἱστοῦ ἠφ.] Huc ſpectant verba Scholiaſtæ Thucyd. ad lib. VII. cap. XLI. Ἐκ τῶν κεραιῶν δελφῖνες ἦσαν ἠρτημέναι μολίβδινοι, ὥστε ἐμβάλλεσθαι ταῖς προσπλεούσαις πολεμίαις ναυσί. οἷον ἐμπίπτοντες αὐταῖς διέκοπτον τοὔδαφος αὐτῶν, καὶ κατέδυον.

Δελφὸς ἀνὴρ στέφανον μὲν ἔχει, [1] δίψει δὲ ἀπόλλυται. ἐπεὶ οὗτοι διὰ τὸ ἱερᾶσθαι τῷ Θεῷ [2] ἐστεφανωμένοι, τῶν δὲ ἐπιτηδείων ἀπορῶντες οὐκ ἀπαλλάσσουσι.

Δελφοί. τὸ ἱερὸν τοῦ Ἀπόλλωνος. οὕτω δὲ ἐκλήθη, διὰ τὸ τὸν Δελφύνην δράκοντα ἐκεῖ εὑρεθῆναι, ὃν ἀπέκτεινεν ὁ Ἀπόλλων. Πυθὼ δὲ, διὰ τὸ ἐκεῖ σαπῆναι. καὶ Δελφὶς, ἡ Δελφικὴ τοῦ Ἀπόλλωνος.

Δελφὶς γὰρ φάμα τόδ' ἐθέσπισεν, ὄφρα γενοίμαν
Τᾶς κείνου νύμφας σῆμα καὶ ἱστορίη.

Δελφῖνα νήχεσθαι διδάσκεις. ἐπὶ τῶν ἐν ἐκείνοις τινὰς παιδοτριβούντων, ἐν οἷς ἤσκηνται. καὶ, Δελφῖνα πρὸς τὸ οὐραῖον δεῖς. ἐπὶ τῶν ἀδυνάτων· διὰ τὸ εὐκίνητον καὶ ὀλισθηρόν.

Δελφύς. ἡ μήτρα. ἡ γαστήρ. ἔνθεν ἀδελφὸς, ὁ ἐκ τῆς αὐτῆς δελφύος.

Δέμνια. ἐγκοίτια στρώματα. καὶ φυγοδέμνιος, ἡ παρθένος.

Δέμας. σῶμα. Δέμας πυρός. λείπει τὸ ὡς, ἵν' ᾖ, ὡς πῦρ.

Δέμω. αἰτιατικῇ. οἰκοδομῶ. ἐξ οὗ καὶ ἐδείματο.

Δεννάζων. βλασφημῶν. [3] Κακὰ δεννάζων ῥήματα.

Δενδίλλων. [4] τοῖς ὄμμασι νεύων.

Δένδρει. τῷ δένδρῳ.

Ξηρῶν [5] φανέντων δενδρέων, κενοὶ κόποι.

Δενδροκόμους. τὰς κομώσας τοῖς δένδροις. [6] Ἀριστοφάνης Νεφέλαις· Δενδροκόμους κορυφάς.

Δενδρώτης. ἡ τῶν δένδρων αὔξησις.

Δενδρυάζειν. [7] εἰς δρῦς καταδύεσθαι κυρίως. ἀπὸ τῶν παλαιῶν, ταῖς δρυσὶ σκέπῃ χρωμένων πρὶν τὰς οἰκήσεις εὑρεθῆναι. καὶ τὸ καθ' ὕδατος δύεσθαι, καὶ ἀποκρύπτειν ἑαυτόν.

Δεντάτος. ὄνομα κύριον.

Δεξαμενή. Εἰς [8] τὸ ἱερὸν τῆς Σοφίας ἥκων, ἐς αὐτήν που τὴν θείαν δεξαμενὴν ἐξαπιναίως ἐκάθισεν. ἀλλὰ κἀνθένδε ἀφέλκειν αὐτὸν ἴσχυσε. τουτέστιν, ἡ τράπεζα, ἡ τὰ θεῖα δεχομένη.

Δελφὸς ἀνὴρ στέφ. *Delphus vir coronam quidem geſtat, at ſiti perit.* Hi enim, ut Apollini ſacri, coronati quidem ſunt, at cum inopia conflictantur.

Δελφοί. Templum Apollinis, ſic vocatum, quod Apollo draconem Delphinem illic inventum interfecerit. Pytho vero, quod illic computruerit. Et Δελφὶς, pro Δελφικὴ, Delphica. *Delphicū enim oraculum pronuntiavit, ut eſſem illius ſponſæ monumentum & hiſtoria.*

Δελφῖνα νήχεσθαι διδ. *Delphinum natare doces.* In eos, qui aliquos iis rebus inſtituunt, in quibus ſunt exercitati. Et, *Delphinum cauda ligas.* Dicitur de rebus, quæ fieri nequeunt: quoniam [cauda hujus animalis] eſt maxime mobilis & lubrica.

Δελφύς. Matrix. Venter. Uterus. Unde ἀδελφὸς, qui ex eodem utero prodiit, i. e. frater.

Δέμνια. Strata, in quibus cubamus. Lecti. Et φυγοδέμνιος, fugiens lectos: epithetum virginis.

Δέμας. Corpus. Et δέμας πυρός. Inſtar ignis. Deeſt τὸ ὡς: ut ſit, ὡς πῦρ, tanquam ignis.

Δέμω. Accuſativo jungitur. Ædifico. Unde & ἐδείματο, ædificavit.

Δεννάζων. Maledicens. Convitians. [Sophocles:] *Convitia effutiens.*

Δενδίλλων. Oculis nuens, vel annuens.

Δένδρει. Idem quod δένδρῳ, arbori. *Cum aridæ apparuerint arbores, fruſtra laborabis.*

Δενδροκόμους. Arborum comis abundantes. Ariſtophanes *Nubibus: Montium vertices arboribus opacos.*

Δενδρώτης. Arborum incrementum.

Δενδρυάζειν. Proprie, [cavas] quercus ſubire. Priſci enim mortalium ante inventa domicilia quercubus pro tectis utebantur. [Per tranſlationem vero etiam ſignificat,] aquam ſubire, & [quovis modo] ſe occultare.

Δεντάτος. Dentatus. Nomen proprium.

Δεξαμενή. Aquarū receptaculū. *In templū Sophiæ confugiens, in ipſo ſacro fonte repente ſupplex conſedit. Sed & inde eum abſtrahere valuit.* [Δεξαμενὴ hic eſt] menſa, in qua res ſacræ reponuntur.

---

[1] Δίψει δ' ἀπόλλυται] Metri gratia ſcribendum eſt, vel, δίψει δ' ἀπόλωλεν, ut legitur in Vaticana Proverbiorum Appendice: vel, δίψει δ' ἀπολωλώς, ut habet Scholiaſta Ariſtoph. ad *Equit.* pag. 320. (219. Ed. Baſ. *P.*) qui eundem verſum proverbialem adducit.

[2] Ἐστεφανωμένοι] Scribe, ἐστεφανωμένοι μέν εἰσι, ut habet Diogenianus; vel, ἐστεφανωμένοι περιΐασιν, ut legitur in Vaticana Proverbiorum Appendice.

[3] Κακὰ δεννάζων ῥήματα] Sophocles *Ajace* pag. 16. ut Portus monuit.

[4] Δενδίλλων] Vide quæ de hac voce obſervat eruditus Enarrator. Apoll. Rhod. ad lib. III. v. 281.

[5] Ξηρῶν φανέντων δενδρ.] Ex Aſtrampſycho.

[6] Ἀριστοφάνης Νεφέλαις] Pag. 140. (75. Ed. Baſ. *P.*)

[7] Δενδρυάζειν] Confer Etymologum.

[8] Εἰς τὸ ἱερὸν τῆς Σοφίας ἥκων, ἐς αὐτήν που τὴν θείαν δεξαμενὴν ἐξαπιναίως.] Hæc ſunt verba Procopii *Hiſtor. Arcan.* cap. III. ubi Photium quendam, a Juſtiniano in cuſtodiam miſſum, & fuga inde elapſum, primo ad ſacram menſam in Virginis Deiparæ templo, & deinde ἐς τὴν δεξαμενὴν in templo Sophiæ ſupplicem confugiſſe refert. Τὰ μὲν πρῶτα, inquit Procopius, ἐς τὸν νεὼν τῆς Θεοτόκου παρὰ τὴν ἱερὰν τράπεζαν ἱκέτης καθῆστο.——τὸ δὲ δεύτερον ἐς τὸ τῆς Σοφίας τὸ ἱερὸν ἥκων, ἐς αὐτήν που τὴν θείαν δεξαμενὴν ἐξαπιναίως ἐκάθισε, ἣν δὴ μάλιστα πάντων νενομίκασιν οἱ Χριστιανοὶ σέβειν. ἀλλὰ κἀνθένδε ἀφέλκειν αὐτὸν ἡ γυνὴ ἴσχυσε. Hoc loco Suidas δεξαμενὴν interpretatur menſam ſacram, τὴν τράπεζαν τὴν τὰ θεῖα δεχομένην; errore nimis ſupino: cum Procopius duo iſta expreſſe a ſe invicem diſtinguat, & Photium, ut diximus, primo ad menſam ſacram, & deinde ἐς τὴν δεξαμενὴν ſupplicem ſe recepiſſe ſcribat. Suidæ παρόραμα advertit Nic. Alemann. in notis ad locum hunc Procopii, ſed in aliud non minus craſſum incidit ipſe, dum δεξαμενὴν *emiſſarium* interpretatur, & pro *cloaca* accipit, hoc eſt, pro conceptaculo illo, in quod aquæ, poſtquam uſui ſacro inſervierant, defluebant. At quis cloacam illam, *ſacram*, imo *divinam* appellet? Aut, quis apud Chriſtianos eam in maxima veneratione eſſe dicat? Quare tam Suidæ quam Alemanni interpretatione valere juſſa, probo ſententiam doctiſſimi Gatakeri, qui ad Marc. Antonin. lib. VII. §. III. pag. 259. hunc ipſum locum Procopii excutiens, δεξαμενὴν interpretatur *fontem ſacrum*, alias βαπτιστήριον & κολυμβήθραν a ſcriptoribus Eccleſiaſticis dictum; quæ ſignificatio loco huic optime convenit.

Δεξάμενος. ἀντὶ τοῦ λαβών. Ἡρόδοτος.

Δεξιὰ Κυρίου. ἡ ἄνωθεν ῥοπὴ, καὶ ἡ ἀγαθὴ ἐνέργεια παρὰ τῇ θείᾳ γραφῇ. † [1] Δεξιὰ δὲ ἔλεγον οἱ παλαιοὶ καὶ τὰ συνετά· ἀριστερὰ δὲ, τὰ μωρά. Σοφοκλῆς· Οὔποτε γὰρ φρένοθέν γ' ἐπ' ἀριστερὰ, παῖ Τελαμῶνος, ἔβας.

Δεξιάς. συνθήκας. Ὁ δὲ πέμπει χιλίαρχον, δεξιὰς τῷ Ἰωσήπῳ δοῦναι κελεύσας.

Δεξίδωροι. δωροδόκοι.

Δεξικράτης. οὗτος Ἀθηναῖος κωμικός. [2] δράματα αὐτοῦ εἰσιν, Ὑφ' ἑαυτῶν πλανώμενοι, ὡς Ἀθήναιός φησιν ἐν τρίτῳ τῶν Δειπνοσοφιστῶν.

Δεξιμήλων. Θεῶν. ἀπὸ τοῦ δέχεσθαι τὰ θυόμενα μῆλα.

Δεξιόλαβος.[3] παραφύλαξ.

Δεξιὸν εἰς ὑπόδημα, ἀριστερὸν εἰς [4] ποδονίπτραν. Ἀριστοφάνης. ἐπὶ τῶν ἁρμοδίως τοῖς πράγμασι κεχρημένων.

Δεξιός. εὔνους. ἀγαθός. ἐπιτήδειος. καὶ δεξιώτερος, ἀντὶ τοῦ ἀγαθός. Καὶ τούτων ὅστις δεξιώτερος καὶ φιλοικτίρμων, θαῤῥεῖν ἐπεκέλευε. Δεξιοὺς δὲ τοὺς πεπαιδευμένους ἔλεγον. Ζητῶν δεξιὸς εἶναι. Ἀριστοφάνης Νεφέλαις. † Ὁ δὲ φίλος γέγονε τούτῳ, καὶ δεξιάν τε ἐνέβαλεν αὐτῷ, καὶ ἑστιᾶν ἔμελλεν. καὶ Ἰώσηπος· Ὁ δὲ ἐζήτει ἐπὶ δεξιᾷ καταβῆναι. τουτέστιν, ἐπὶ συνθήκῃ.

Δεξιοὺς[5] ἔλεγον οἱ παλαιοὶ καὶ τοὺς ἐστρατευμένους, καὶ ἐπαίνου ἀξίους. τοὺς δὲ διαδιδράσκοντας στρατιώτας, φιλοδίκους[6] καὶ συκοφάντας.

Δεξιός. καὶ ὁ εὐχερής. [7] Ἐπὶ Ἰουστινιανοῦ Πέτρος τις ἦν Βαρσύμης οὕτω καλούμενος, ὃς ἐπὶ τῆς τραπέζης τοῦ χαλκοῦ καθήμενος, κέρδη αἰσχρὰ ἐπορίζετο ἐκ ταύτης τῆς ἐργασίας, τὴν περὶ τοὺς ὀβολοὺς κλοπὴν εὖ μάλα τεχνάζων, καὶ τοὺς αὐτῷ ξυμβάλλοντας ἀεὶ τάχει δακτύλων ἐκκρούων. δεξιὸς γὰρ ἦν κλέψαι. Καὶ αὖθις· Ὁ δὲ δεξιᾷ χρησάμενος τύχῃ, ἐκυρίευσε Ῥώμης. Ὅτι πρώτῳ Ποπλίῳ ἐλλοχήσεως ἀμοιβὴ δεξιῶς γενομένης ὑπὸ Ῥωμαίων ἐδόθη στέφανος ἀγρώστεως χλωρᾶς. ἀντὶ τοῦ ἁρμοδίως. καὶ Ἀῤῥιανός· Ὁ δὲ[8] παρὰ Μάννου ἀπεχώρησε, δεξιάς τε παραβὰς, ἃς βασιλεῖ ἔδωκε, καὶ ὅρκους πατήσας, οὓς ὤμοσε.

Δεξιός. ὁ εὐπαίδευτος. καὶ Δεξιοὶ, οἱ εὐπαίδευτοι. Ἀριστοφάνης[9]·

Τὸ δὲ μεταστρέφεσθ' ἀεὶ

Δεξάμενος. Pro λαβὼν, qui accepit. Herodotus.

Δεξιὰ Κυρίου. Dextra Domini. Sic in S. Scriptura vocatur nutus divinus, & potentia Numinis. Δεξιὰ veteres etiam vocabant prudentiam & judicium rectum: ἀριστερὰ vero, ſtultitiam. Sophocles: *Nunquam enim, fili Telamonis, a ſana mente deſciſcens ad ſtultitiam deflexiſti.*

Δεξιάς. Pacta. Fœdera. Fidem. *Ille vero tribunum militum mittit, cui præceperat, ut Joſepho fidem daret.*

Δεξίδωροι. Qui dona accipiunt. Qui donis corrumpuntur.

Δεξικράτης. Dexicrates. Hic fuit Comicus Athenienſis: inter cujus fabulas eſt una, quæ inſcribitur, *Se ipſos decipientes*, ut ait Athenæus *Dipnoſophiſtarum* libro tertio.

Δεξιμήλων. Sic vocantur Dii, quod pecudes, quæ ipſis immolantur, accipiant.

Δεξιόλαβος. Satelles.

Δεξιὸν εἰς ὑπ. *Dextrum* [*pedem*] *in calceo, ſiniſtrum vero in pelluvio.* Ariſtophanes. Dicitur de iis, qui rebus apte uti norunt.

Δεξιός. Benevolus. Bonus. Aptus. *Et horum quiſquis erat benignior & miſericors, eos bono animo eſſe jubebat.* Δεξιοὺς etiam vocabant homines doctos & eruditos. *Doctus eſſe cupiens.* Ariſtophanes *Nubibus*. † *Ille vero amicus ipſi factus eſt, dextramque ei porrexit, convivio eum excepturus.* Et Joſephus: *Ille autem fœderis ineundi cauſa deſcendere cupiebat.* [Ἐπὶ δεξιᾷ enim hic idem ſignificat, quod] ἐπὶ συνθήκῃ.

Δεξιούς. Veteres eos, qui militarant, rerum peritos & laude dignos cenſebant. At milites, qui aufugerant, voluptatum amantes & ſycophantas [appellabant.]

Δεξιός. Expeditus. Agilis. Promptus. *Juſtiniani temporibus fuit Petrus quidam, Barſymes vocatus, qui ad menſam ærariam ſedens turpi quæſtu opes corradebat, artem obolorum ſolertiſſime furandorum exercens, & illos, qui cum ipſo contraherent, celeritate digitorum ſemper decipiens. Artem enim furandi optime callebat.* Et iterum: *Ille vero ſecunda uſus fortuna Romæ regnum adeptus eſt.* † Primo Publio corona ex gramine viridi præmii loco a Romanis data eſt, quod prudenter & ſolerter inſidias hoſti ſtruxiſſet. Et Arrianus: *Ille vero a Manno diſceſſit, violata fide, quam Regi dederat, & ſpreto jurejurando, quo ſe obſtrinxerat.*

Δεξιός. Eruditus. Catus. Et δεξιοὶ, eruditi, cati, prudentes. Ariſtophanes: *Se vero ad mollius latus ſemper convertere, hominis eſt*

---

[1] Δεξιὰ δὲ ἔλεγον οἱ παλαιοὶ καὶ τὰ συνετά. ἀριστερὰ δὲ, τὰ μωρά] Ex Scholiaſta Sophoclis ad *Ajacem* pag. 12.

[2] Δράματα αὐτοῦ εἰσιν] Lege, δρᾶμα αὐτοῦ ἐστι.

[3] Δεξιόλαβος] Scribe δεξιολάβος, cum acuto in penultima. Vide interpretes ad *Actor.* cap. XXIII. v. 23.

[4] Εἰς ποδονίπτραν] Rectius εἰς ποδόνιπτρον, ut habet Zenobius.

[5] Δεξιοὺς ἔλεγον οἱ παλαιοὶ καὶ τοὺς ἐστρατ.] Ex Scholiaſta Ariſtoph. ad *Ranas* pag. 265.

[6] Φιλοδίκους] Scribe φιληδόνους, ut habet Scholiaſta Ariſtophanis loco laudato.

[7] Ἐπὶ Ἰουστινιανοῦ Πέτρος τις ἦν Βαρσύμης οὕτω καλ.——δεξιὸς γὰρ ἦν κλέψαι] Hæc ſunt verba Procopii *Hiſtor. Arc.* cap. XXII. quæ etiam leguntur infra v. Θεόδοτος.

[8] Ὁ δὲ παρὰ Μάννου ἀπχ.] Idem fragmentum legitur etiam ſupra v. Ἀπεχώρησε, & infra v. Μάννον, & v. Πατήσας.

[9] Ἀριστοφάνης] *Ranis* pag. 237. (152. Ed. Baſ. *P.*)

Πρὸς τὸ μαλθακώτερον,

Δεξιοῦ πρὸς ἀνδρός ἐστι, καὶ φύσει Θηραμένους.

Οὗτος [1] ὁ Θηραμένης τῶν τὰ πολιτικὰ πραττόντων ἦν. σκώπτει δὲ αὐτὸν ὡς εὐμετάβολον ὄντα, καὶ πρὸς τὸν καιρὸν ἁρμόζοντα. ὁ δὲ Θηραμένης οὗτος διδάσκαλος Ἰσοκράτους, Ἄγνωνος παῖς, Στειριεὺς τὸν δῆμον. τούτῳ πολλὰ μὲν καὶ ἄλλα παρανενόμηται, δύο δὲ τὰ μέγιστα καὶ σχετλιώτατα, ἥτε [2] τῶν ἐν Ἀργινούσαις στρατηγῶν ἀπαγωγή, ἣν αὐτὸς συνεστήσατο μετὰ [3] Καλλιξένους· καὶ ἡ τῶν λ΄ ἐπὶ καταλύσει τοῦ δήμου κατάστασις. τοιγάρτοι τῆς τοῦ βίου προαιρέσεως ἐπαξίως τῆς τελευτῆς ἔτυχεν. ὑπὸ γὰρ αὐτῶν τῶν τριάκοντα ἀνῃρέθη, Κριτίου κρίναντος αὐτόν. ἔνιοι δέ φασι καὶ καταφυγόντα ἐπὶ τὴν Ἑστίαν ἀποσπασθῆναι. τοῦτον διὰ τὴν ποικιλίαν τοῦ ἤθους [4] Κόθορνον ἐπεκάλουν, ἐπειδὴ ἑκατέρᾳ στάσει τῇ τῶν ἀντιπολιτευομένων ἑαυτὸν παρετίθει, καθομιλῶν πρὸς τοὺς καιρούς, καὶ τὸ συμφέρον ἑαυτοῦ τοῦ πιστοῦ προτάσσων· ἐπειδὴ καὶ ὁ κόθορνος ἀνδράσι καὶ γυναιξὶ πρὸς τὰς ὑποδέσεις ἁρμόττει. δοκεῖ δὲ οὗτος καὶ τὰ τρία ψηφίσασθαι ἐπιζήμια, ἢ [5] δεσμεύεσθαι ἐν τῷ ξύλῳ, ἢ πιεῖν κώνειον, ἢ ἐκφυγεῖν. δοκεῖ δὲ οὗτος ἀπὸ Κέω τῆς νήσου εἶναι, οὐκ εἶναι δὲ γνήσιος, ἀλλὰ ποιητὸς υἱὸς τοῦ Ἄγνωνος. ὁ δὲ Θουκυδίδης αὐτὸν ἐπαινεῖ.

Δεξιοῦται. προσάγεται. [6] ξενοδοχεῖ. φιλοφρονεῖ.

Δεξίωσις. ὑποδοχή.

Δέξιππος, [7] Δεξίππου, ὁ Ἑρέννιος χρηματίσας, Ἀθηναῖος, ῥήτωρ, γεγονὼς ἐπὶ Βαλεριανοῦ καὶ Γαλιήνου καὶ Κλαυδίου δευτέρου καὶ Αὐρηλιανοῦ τῶν βασιλέων Ῥωμαίων.

Δέξιππος, Κῷος, ἰατρός, Ἱπποκράτους μαθητής· ὃς μεταπεμφθεὶς ὑπὸ Ἑκατόμνου τοῦ Καρῶν βασιλέως, ἰάσασθαι αὐτοῦ τοὺς παῖδας ἀπογνωσθέντας Μαύσωλον καὶ Πιξώδαρον, ἐπὶ ὑποσχέσει ἰάσατο τοῦ παῦσαι τὸν πρὸς Κᾶρας τότε αὐτοῖς ἐνεστῶτα πόλεμον. ἔγραψεν [8] Ἰατρικὸν βιβλίον α΄ καὶ περὶ προγνώσεων β΄.

Δεξιοί. οἱ εὐπαίδευτοι.

Δέμος. [9] νόμος. ἢ δεσμός.

Δέομαι. γενικῇ. αἰτιατικῇ δέ. Τούτῳ τοίνυν ἐροῦμεν, ἃ δὴ δέομαί τε καὶ ἀντιβολῶ.

Δέον. ὅτι εἰ κείμενόν ἐστι, τὸν σπουδαῖον πολιτεύεσθαι, χρὴ διελομένους τὸ δέον παρ' ἑαυτοῖς· ὅπερ σημαίνει καὶ τὸ καλόν, καὶ συμφέρον, καὶ τὸ ἀναγκαῖον. τὸ μὲν ἀναγκαῖον, ὅταν λέγωμεν, πᾶν τὸ γενόμενον δέον εἶναι καὶ φθαρῆναι. τὸ δὲ συμφέρον, ὅ-

cati, & plane Theramenis. Hic Theramenes erat unus illorum, qui negotia civilia tractabant. Perſtringit vero eum [Ariſtophanes,] ut hominem inconſtantem & levem & tempori inſervientem. Idem fuit Iſocratis magiſter, filius Agnonis, & populo Sterienſis: cujus cum multa alia ſunt injuſte facta, tum duo hæc maxima & graviſſima: ducum nempe, qui ad Arginuſas pugnaverant, damnatio, cujus ipſe cum Callixeno auctor fuit; & xxx Tyrannorum ad evertendam populi libertatem conſtitutio. Quamobrem etiam dignum inſtituto ſuo finem vitæ habuit; ab ipſis quippe xxx interemptus, Critia eum damnante. Quidam ajunt, cum ex templo Veſtæ, quo ſupplex conſugerat, abſtractum eſſe. Hic ob ingenium anceps & leve *Cothurnus* appellatus fuit, quod, cum Reſpubl. in duas factiones diviſa eſſet, utrique ſeſe adjungeret, temporibus ſemper inſerviens, & majorem utilitatis quam fidei rationem habens. Nam & cothurnus tam virorum quam fœminarum pedibus aptus eſt. Idem etiam trium horum ſuppliciorum auctor fuiſſe videtur, ut damnati vel vinculis ligneis conſtringerentur, vel cicutam biberent, vel exilio mulctarentur. Videtur autem ex inſula Ceo oriundus, nec Agnonis filius naturalis ſed adoptivus fuiſſe. Hunc Thucydides laudat.

Δεξιοῦται. Data dextra ſalutat. Hoſpitio excipit. Benevole excipit.

Δεξίωσις. Suſceptio.

Δέξιππος. Dexippus, Dexippi filius, qui Erennius cognominatus eſt, orator, Athenienſis, vixit temporibus Valeriani & Galieni & Claudii ſecundi & Aureliani, Imperatorum Romanorum.

Δέξιππος. Dexippus, Cous, medicus, Hippocratis diſcipulus, qui accerſitus ab Hecatomno Carum Rege, ut ipſius filios Mauſolum & Pixodarum, deſperato morbo laborantes curaret, eos ea conditione ſanavit, ut bellum quod tunc adverſus Coos parabat, omitteret. Scripſit de Re Medica librum unum: & de Præcognitionibus duos.

Δεξιοί. Docti. Eruditi.

Δέμος. Lex. Vel, vinculum.

Δέομαι. Genitivo [jungitur.] Item accuſativo: ut, *Huic dicemus, quæ peto & rogo.*

Δέον. Id, quod oportet. Si ponatur, virum bonum Rempubl. adminiſtrare oportere, diverſæ vocis δέον ſignificationes diſtinguendæ ſunt, quæ tres ſunt. Nam & honeſtum ſignificat, & utile, & neceſſarium. Neceſſarium, ut cum dicimus, quicquid natum eſt, oporταν λέγωμεν, δέον εἶναι περιπάτοις χρῆσθαι, ἢ διαίτῃ τοιαύτῃ. τὸ δὲ καλὸν, ὅταν λέγωμεν, δέον εἶναι τὰ δίκαια ποιεῖν, ἢ πείθεσθαι τοῖς νόμοις, ἢ τοῖς γονεῦσι. τρία οὖν σημαίνει. [1] Δέον δὲ λέγεται, ὅτι συνέχει ἐν οἷς χρή.

---

[1] Οὗτος ὁ Θηραμένης τῶν τὰ πολιτ.] Hæc, & omnia quæ ſequuntur, ſunt verba Scholiaſtæ ad modo indicatum locum Ariſtophanis.

[2] Ἥ τε τῶν ἐν Ἀργινούσαις στρατηγ. ἀπαγ.] Hiſtoria eſt apud Xenophontem Ἑλληνικῶν lib. 1.

[3] Καλλιξένους] Scribe Καλλιξένου, a recto Καλλίξενος. Sic enim appellatur a Xenophonte & Scholiaſta Ariſtophanis loco laudato.

[4] Κόθορνον ἐπεκάλουν] Vide quæ notavimus infra v. Θηραμένης.

[5] Δεσμεύεσθαι] Sic reſcripſi ex Scholiaſta Ariſtophanis, cum ante male legeretur δημεύεσθαι.

[6] Ξενοδοχεῖ] Vox hæc in prioribus Editt. deeſt, quam ex 2 MSS. Pariſ. revocavi.

[7] Δέξιππος] Alium ab hoc puto eſſe Dexippum, cujus *Excerpta Legationes* hodie adhuc exſtant: quamvis Meurſius in *Bibliotheca Attica* ſecus ſtatuat; quem vide.

[8] Ἰατρικὸν βιβλίον α΄] Scribe, Ἰατρικῶν βιβλίον α΄.

[9] Δέμος] Vox eſt ſuſpecta, de qua amplius cogitandum cenſeo.

tere etiam interire. Utile, ut cum dicimus, oportere nos uti ambulationibus, vel certa victus ratione. Honeſtum, ut cum dicimus, oportere nos juſte facere, & legibus vel parentibus obtemperare. Tria igitur ſignificat. Δέον autem inde dictum eſt, quod nos in officio contineat.

Δέον. [2] Ὥσπερ Περικλέης εἰς τὸ δέον ἀνάλωσα. Περικλέης [3] Ἀθηναίων στρατηγὸς, λόγον ἀπαιτούμενος ὑπὲρ χρημάτων Κλεάνδρῳ τῷ Ἁρμοστῇ Λακεδαιμονίων ἐπὶ [4] προδοσίᾳ, τοῦτο οὐκ ἐδήλου, ἀλλ' εἰς τὸ δέον ἔλεγεν ἀναλῶσαι αὐτά. οἱ δὲ ἄλλως φασί. Πολλῶν ὄντων χρημάτων ἐν τῇ ἀκροπόλει, εἰς τὸν πόλεμον τὰ πλεῖστα ἀνάλωσε. Φασὶ δὲ ὅτι καὶ λογισμοὺς διδοὺς πεντήκοντα ταλάντων, ἁπλῶς εἶπεν εἰς τὸ δέον ἀνηλωκέναι. μετὰ δὲ ταῦτα μαθόντες Λακεδαιμόνιοι, Κλέανδρον μὲν ἐδήμευσαν, Πλειστάνακτα δὲ πέντε ταλάντοις ἐζημίωσαν, ὑπολαβόντες, δωροδοκήσαντας αὐτοὺς φείσασθαι τῆς λοιπῆς Ἀθηναίων γῆς, καὶ τὸν Περικλέα, ἵνα μὴ γυμνῶς εἴπῃ ὅτι δέδωκα τοῖς Λακεδαιμονίων βασιλεῦσι ταῦτα, οὕτως αἰνίξασθαι.

Δέον. Quod oportet. Neceſſarium. *Ut Pericles in res neceſſarias pecuniam impendi.* Pericles, dux Athenienſium, cum ratio ab eo exigeretur pecuniæ, quam Cleandro Harmoſtæ Lacedæmoniorum proditionis cauſa dederat, id non aperuit, ſed dixit, ſe eam in res neceſſarias impendiſſe. Alii vero rem ſic narrant. Cum magna pecuniæ vis in arce condita eſſet, Pericles maximam ejus partem in bellum impendit; & cum L talentorum expenſorum rationes redderet, ſimpliciter dixit, ſe ea in res neceſſarias impendiſſe. Poſtea vero Lacedæmonii re cognita, Cleandri bona publicarunt, Pliſtianacta vero quinque talentis mulctarunt, putantes, eos muneribus corruptos reliquæ Athenienſium terræ peperciſſe, & Periclem, cum aperte dicere nollet ſe pecuniam iſtam Lacedæmoniorum Regibus dediſſe, ſic oblique reſpondiſſe.

Δέον. τὸ πρέπον. ὅτι συνέχει ἐν οἷς χρή. [5] Προκόπιος· Μίαν πηγὴν οὖσαν, οὐ δέον αὐτὴν ἐκπεπωκότων ἀποξηρανθῆναι.

Δέον. Quod decet. [Sic dictum,] quod homines in officio contineat. [A δέω, vincio.] Procopius: *Unus qui illic erat fons, tot equis muliſque ex eo bibentibus, quod fieri non oportebat, exaruit.*

Δέοντο. ἐδεσμεύοντο.

Δέοντο. Ligabantur. Vinciebantur.

Δέος. Φόβος.

Δέος. Metus.

Δέω μικροῦ. μικροῦ γε ἔχομαι.

Δέω μικροῦ. Parum abſum.

Δέπας. τὸ ποτήριον. καὶ δεπάεσσι, σὺν τοῖς ποτηρίοις.

Δέπας. Poculum. Et δεπάεσσι, poculis.

Δεραγχέας [6] πάγας. τὰς τὴν δέρην ἀγχούσας.

Δεραγχέας πάγας. Laqueos guttur ſtringentes, vel ſtrangulantes.

Δέρας. τὸ χρυσόμαλλον δέρας, ὅπερ ὁ Ἰάσων διὰ τῆς Ποντικῆς θαλάσσης σὺν τοῖς Ἀργοναύταις εἰς τὴν Κολχίδα παραγενόμενοι ἔλαβον, καὶ τὴν Μήδειαν τὴν Αἰήτου τοῦ βασιλέως θυγατέρα. τοῦτο δὲ οὐχ ὡς ποιητικῶς φέρεται, [7] ἀλλὰ βιβλίον ἦν ἐν δέρμασι γεγραμμένον, περιέχον ὅπως δεῖ γίνεσθαι διὰ χημείας χρυσόν. εἰκότως οὖν οἱ τότε χρυσοῦν ὠνόμαζον αὐτὸ δέρας, διὰ τὴν ἐνέργειαν τὴν ἐξ αὐτοῦ.

Δέρας. Aureum vellus, quod Jaſon cum Argonautis in Colchidem per Ponticum mare profectus cepit, abducta ſimul Medea Æetæ Regis filia. Hoc autem non fuit vellus, ut fabulæ ferunt, ſed liber in membranis ſcriptus, docens quomodo arte Chemica conficiendum ſit aurum. Merito igitur priſci librum illum vocarunt aureum vellus, propter artem conficiendi auri in eo comprehenſam.

Δερβιστήρ. [8] τὸ δέρμα. παρὰ τὸ δέρος, δεριστήρ, καὶ πλεονασμῷ τοῦ β, δερβιστήρ. πλεονάζουσι δὲ τὸ β οἱ Συρακούσιοι, ὡς ἐπὶ τοῦ ὀλβάχνιον, ἀντὶ τοῦ ὀ-

Δερβιστήρ. Pellis. Cutis. A δέρος enim fit δεριστήρ, & inſerta litera β, δερβιστήρ [ſecundum dialectum Syracuſanorum.] Illi enim

---

[1] Δέον δὲ λέγεται, ὅτι συνέχει ἐν οἷς χρή] Hæc etymologia vocis δέον legitur etiam apud Laertium lib. VII. Segm. XCIX. unde eam Suidas mutuatus eſt.

[2] Ὥσπερ Περικλέης εἰς τὸ δέον ἀνάλωσα] Ariſtophanes *Nubibus* pag. 174. (104. Ed. Baſ. P.)

Ὥσπερ Περικλέης εἰς τὸ δέον ἀπώλεσα.

Huc Suidas reſpexit, ſed qui metro neglecto & ſenſus tantum rationem habens pro ἀπώλεσα ſcripſit ἀνάλωσα. Τὸ ἀπώλεσα autem joci captandi gratia & παρ' ὑπόνοιαν Comicus dixit, ne quis putet, eum metri tantum gratia voce illa pro ἀνάλωσα uſum eſſe.

[3] Περικλέης Ἀθην. στρατηγὸς, λόγον ἀπαιτ.] Similia his leguntur apud Scholiaſtam ad modo indicatum locum Ariſtophanis, quem confer. Vide etiam infra v. Ἔφοροι, v. Εἰς δέον, & v. Εἰς τὸ δέον.

[4] Ἐπὶ προδοσίᾳ] Senſus gratia addendum eſt, διδομένων, vel ſimile quid.

[5] Προκόπιος· Μίαν πηγὴν οὖσαν, οὐ δέον αὐτ.] Apud Procopium *de Bello Perſ.* lib. II. cap. VII. locus hic rectius ita legitur: Μιᾶς γὰρ οὔσης ἐνταῦθα πηγῆς, ἵππων τε καὶ ἡμιόνων καὶ ζώων ἑτέρων, οὐ δέον, αὐτὴν ἐκπεπωκότων, ἀποξηρανθῆναι τὸ ὕδωρ ξυνέβη.

[6] Δεραγχέας πάγας] In Epigrammate quodam Anthologiæ ineditæ inter inſtrumenta venatoria, quæ Gelon Pani dedicat, etiam πάγαι δεραγχεῖς recenſentur. Epigramma ipſum, quod nondum a quoquam editum eſſe memini, Lectori non invidebo. Ἀνάθημα τῷ Πανὶ παρὰ Γέλωνος κυνηγοῦ.

Ὑλοσκόπῳ με Πανὶ θηρευτὴς Γέλων
Ἔθηκε λόγχην, ἧς ἀπέτρυσε χερὸς
Ἀκμὴν ἐν ἔργῳ, καὶ λίνου πολυστρόφου
Γεραιὰ τεύχη, καὶ πάγας δεραγχίας.

Huc Suidas reſpexit.

[7] Ἀλλὰ βιβλίον ἦν ἐν δέρμασι γεγρ.] Eadem eſt ſententia Characis apud Euſtathium ad Dionyſium Perieg. pag. 131. quem vide.

[8] Δερβιστήρ. τὸ δέρμα. παρὰ τὸ δέρος, δερισ.] Eadem habet Etymologus.

λάχνιον, τὸ τὰς οὐλὰς ἔχον. σημαίνει δὲ τὸ κανοῦν, ἐν ᾧ ἀπετίθουν τὰς οὐλάς.

Δέργμα. τὸ βλέμμα. ἐκ τοῦ δέρκω, τὸ βλέπω.

Δέραια. ἐπιτραχήλιος κόσμος.

Δεραιοπέδη. τὸ ἰξευτικὸν λίνον. ἐν [1] Ἐπιγράμματι·

——Τῶνδε πελειῶν
Ἄῤῥηκτον Πίγρης τάνδε δεραιοπέδην.

λέγεται δὲ καὶ λαιμοπέδην.

Δέρη. τράχηλος. λέγεται καὶ δειρή.

Δεῤῥίδιον. σκιάδιον δερμάτινον.

Δέῤῥις. δέρμα. βύρσα. ἢ τρίχινον παραπέτασμα.

Δερκυνέος. τοῦ λαγωοῦ· ἐπειδὴ δοκεῖ κοιμώμενος βλέπειν. Νίκανδρος εἰς τὸ ἀντιφάρμακον· [2] Εὖτ' ἂν ὑπὲρ φάρυγγος χεύῃ πάντα δ' ἀεργὰ ἄπεπτα δόρπα. πολλάκι δ' ἢ σκύλακος δερκυνέος.

Δέρκειν. βλέπειν. καὶ δερκομένων, βλεπόντων.

Δερκυλλίδας.[3] ὄνομα κύριον. βασιλεὺς Λακεδαιμονίων.

Δερματικόν.[4] Λυκοῦργος λέγει τὸ ἐκ τῶν δερματίων τῶν πιπρασκομένων περιγινόμενον ἀργύριον.

Δέρμη. πόλις.

Δερμιστής.[5] Λυσίας μὲν τὸν σκώληκά φησιν οὕτω λέγεσθαι· Ἀρίσταρχος δὲ, τὸν ὄφιν. εἴη δ' ἂν μᾶλλον ὁ δέρματα ἐσθίων, ἐτυμώτερον οὕτω καλούμενος.

Δερμόπτερα ζῶα. οἷον νυκτερίς· ἥ τις μόνη τῶν πτηνικῶν ζώων καὶ γάλα ἔχει ἐν μαστοῖς, καὶ θηλάζει τὸ γεννώμενον.

Δερμύλλοντα. αἱμοποτοῦντα. ἢ ἐκδέροντα.

Δέρος. αἱ τοιαῦται εὐθεῖαι ἤτοι Ἰωνικαί εἰσιν, ἢ Δωρικαί· δέρος, κῶος. ἀπὸ γὰρ τοῦ δέρας καὶ κῶας πεποίηνται.

Δέρτρον.[6] ἐπίπλουν. ὁ δὲ Ἀρίσταρχος τὸ δέρμα καὶ πάντα τὸν χρῶτα τὸν περὶ τοῦ ἥπατος. ἄμεινον δὲ τὸ ῥάμφος. δέρτρον, ἀπὸ τοῦ δέρειν, ὅπερ ἐστὶ κρούειν. τούτῳ δὲ διαῤῥήσσουσιν ἃ ἂν ἐσθίωσιν οἱ γῦπες τῇ κρούσει τοῦ ῥάμφους. καί ἐστι τὸ ὄνομα ῥηματικόν. ὡς παρὰ τὸ πλήσσω, πλῆκτρον· οὕτω καὶ παρὰ τὸ δέρω, δέρτρον.

Δέρτρου. τοῦ ἐντέρου τὸ λεπτὸν λέγει ὁ Ἱπποκράτης. [7] Φησὶ καὶ ὁ Ψελλός· Τοῦ δὲ ἐντέρου τὸ λεπτὸν καλονομάζει δέρτρον.

pleonaſmo literæ β gaudent, ut in vocabulo ὀλβάχνιον, pro ὀλάχνιον, quod ſignificat caniſtrum, in qua molas ſalſas reponebant; quaſi dicas οὐλὰς ἔχον.

Δέργμα. Aſpectus. Viſus. A δέρκω, video.

Δέραια. Torques. Ornamentum colli.

Δεραιοπέδη. Vinculum aucupatorium, volucres ſtrangulans. In Epigrammate: *Vinculum vero hoc aucupatorium, quod non facile rumpitur, Pigres [dedicavit.]*

Δέρη. Cervix. Collum. Dicitur & δειρή.

Δεῤῥίδιον. Umbella ex pellibus confecta.

Δέῤῥις. Pellis. Corium. Vel velum ex pilis confectum.

Δερκυνέος. Leporis, [ſic dicti,] quia dormiens videre putatur. Nicander in *Alexipharmacis: Poſtquam evomuerit cibum, antequam concoctus ſit. Sæpe vel ex veloci lepore;* [*vel ex dama,* &c.]

Δέρκειν. Videre. Intueri. Et δερκομένων, videntium.

Δερκυλλίδας. Dercyllidas. Nomen proprium. Rex Lacedæmoniorum.

Δερματικόν. Sic Lycurgus vocat pecuniam, ex pellibus venditis redactam.

Δέρμη. Derme. Urbs.

Δερμιστής. Lyſias vermem ſic appellari tradit; Ariſtarchus vero, ſerpentem. At videtur potius ſic appellari is, qui pelles corrodit & comedit, quoniam ſignificatio iſta ad etymologiam vocis hujus propius accedit.

Δερμόπτερα ζῶα. [Sic appellantur animalia volantia, quorum alæ non pennis ſed cute conſtant;] ut veſpertilio: qui ſolus inter volucres & lac habet in mammis, & fœtum ſuum lactat.

Δερμύλλοντα. Sanguinem bibentem. Vel, excoriantem.

Δέρος. Pellis. Hujuſmodi caſus recti vel Ionici ſunt, vel Dorici: δέρος & κῶος. Nam a δέρας & κῶας formantur.

Δέρτρον. Omentum. Ariſtarchus vero ſic vocari tradit pellem & omnem membranam, quæ eſt ante hepar. Præſtat vero interpretari roſtrum: quo ſenſu δέρτρον eſt a verbo δέρειν, quod ſignificat tundere & pulſare. Vultures enim roſtro tundentes frangunt, quicquid edunt. Eſt autem nomen verbale. Ut enim a πλήσσω fit πλῆκτρον: ſic a δέρω δέρτρον.

Δέρτρου. Inteſtini tenuem partem ſic vocat Hippocrates. Pſellus etiam inquit: *Inteſtini partem tenuem voca* δέρτρον.

---

[1] Ἐν Ἐπιγράμματι] Antholog. lib. VI. cap. XV. Epigr. IV. ut Portus etiam monuit.

[2] Εὖτ' ἂν ὑπὲρ φάρυγγος χ.] Locus hic ex Nicandro ita ſcribendus eſt:

Εὖτ' ἂν ὑπ' ἐκ φάρυγγος χεύῃ παναεργέα δόρπον.
Πολλάκι δὴ σκίνακος &c.

Vide ibi Scholiaſtam.

[3] Δερκυλλίδας] De eo vide Athenæum lib. XI. pag. 500.

[4] Δερματικόν. Λυκοῦργος λέγει τὸ ἐκ τ.] Ex Harpocratione.

[5] Δερμιστής] Harpocratio, ex quo notam hanc deſcripſit Suidas, habet δερμηστής, per η.

[6] Δέρτρον. ἐπίπλουν. ὁ δὲ Ἀρίσταρχος τὸ δ.] Nota hæc referenda eſt ad locum illum Homeri Odyſſ. Λ. v. 577.

Γῦπε δέ μιν ἑκάτερθε παρημένω ἧπαρ ἔκειρον
Δέρτρον ἔσω δύνοντες.

Confer Etymologum.

[7] Φησὶ καὶ ὁ Ψελλός· Τοῦ δὲ ἐντ.] Hic locus depromptus eſt ex libro quodam Pſelli inedito, cujus mentionem fecimus ſupra v. Γηρας.

Δέρω. τὸ ἐκδέρω. καὶ δέρεις, ὁμοίως. Δαίρω δὲ, τὸ τύπτω.

Δερῶ σε [1] θύλακον κλοπῆς. ἀντὶ τοῦ ἐκδερῶ σε, ὥστε ἀπὸ τοῦ δέρματός σου θύλακον ποιῆσαι εἰς ὑποδοχὴν τῶν κλεμμάτων.

Δέσιος. παρὰ Μακεδόσιν ὁ μὴν Ἰούνιος.

Δεσμὰ [2] τῆς ψυχῆς, αἱ φλέβες, καὶ αἱ ἀρτηρίαι, καὶ τὰ νεῦρα. [3] ὅταν δὲ καθ' αὑτὴν ἠρεμῇ, δεσμὰ γίνεται αὐτῆς περὶ τοῦ λόγου τὰ ἔργα.

Δεσμωτήριον. ἡ φυλακή.

Δεσμώτης. [4] καὶ αὐτὸς ὁ δέσμιος, ὡς ὁ δεσμώτης Προμηθεύς· καὶ ὁ δεσμῶν. Κρατῖνος ἐν Πυτίνῃ ἐπὶ τῶν δεσμοφυλάκων·

Ὄψει γὰρ αὐτὴν ἐκτὸς οὐ πολλοῦ χρόνου
Πρὸς τοῖσι δεσμώταισι καταπιττουμένην.

Δεσμοὶ [5] Τυῤῥηνοί. οἷς ἐχρῶντο κατ' ἐκεῖνο καιροῦ εἰς τὰς τῶν δεσμωτῶν κακουχίας.

Δεσποτεία. ἡ κυρίευσις.

Δεσπότου [6] κεκαρμένου. πενθοῦντος.

Δεσπόσυνος. παῖς τοῦ δεσπότου ἐστίν.

Δέοιτο. χρήζοι.

Δέδευκε. πεφύρακε.

Δεύειν. φυρᾷν.

Δευθέντα. βραχέντα. καὶ Δευόμενος, βρεχόμενος. Αἰλιανός· Αἵματί τε δευόμενοι οἱ τοῖχοι τῶν δωματίων, καὶ ἐκ τῶν δαπέδων ἀνέβρυε λύθρον, καὶ πάντων τὰς διανοίας ἐξέπληττε. καὶ Δεύομαι, τὸ στερίσκομαι.

Δευκαλίων. ὄνομα κύριον.

on in Eur. t. 1679

Δεῦρ' ἀεί. ἀντὶ τοῦ ἕως τούτου. Πλάτων Νόμων ζ΄. Πρὸς τοὺς λόγους, οὓς ἐξ ἕω μέχρι δεῦρο ἀεὶ διεληλύθαμεν. τινὲς ἀντὶ τοῦ ὡδὶ τιθέασιν.

Δεῦρ' [7] ἦξα θᾶσσον, ἢ καθ' ἡδονὴν ποδός. ἀντὶ τοῦ ταχύτερον, ἢ ὡς ἔδει βαδίζειν.

Δεῦρ' ἴθι. [8] Ἀριστοφάνης· Δεῦρ' ἴθ', ἵνα κλάῃς. ἐπὶ τῶν ἐπὶ κακῷ τινα ἐπισπωμένων. Τὸν παῖδά φησιν ἐλθεῖν πλησίον τῆς κλίνης, ἐφ' ἧς ἀνέκειτο ὁ δεσπότης, τύψειν αὐτὸν ἀπειλῶν.

Δεῦρο. ἐνθάδε. ἐπὶ τοῦ παρόντος. καὶ δεῦρο ἀεί. ἀντὶ τοῦ μέχρι τοῦ παρόντος. σημαίνει δὲ καὶ τὸ ἐλθέ. δεῦρο νῦν πρόσελθε. ἀντὶ τοῦ, πλησίον, ἐγγὺς ἐλθέ. καὶ παρ' Ὁμήρῳ· Δεῦρ' ἴθι. λέγεται δὲ καὶ δευρὶ παρὰ [9] Ἀριστοφάνει· Ταχέως ἥκειν ὡς ἐμὲ δευρί,

Δέρω. Excorio. Et δέρεις, excorias. Δαίρω vero, verbero, cædo.

Δερῶ σε θύλακον κλ. Id eſt, excoriabo te, ut ex pelle tua faciam ſaccum, in quo res furtivæ reponantur.

Δέσιος. Deſius. Menſis Junius apud Macedones.

Δεσμὰ τῆς ψυχῆς. *Animæ vincula ſunt venæ & arteriæ & nervi. Quum autem apud ſe quieſcit, vincula ejus ſunt orationes & opera.*

Δεσμωτήριον. Cuſtodia. Carcer.

Δεσμώτης. Sic dicitur tam ipſe vinctus, ut δεσμώτης Προμ. Prometheus vinctus: quam qui vincit. Cratinus in *Pytine* accipit pro carceris cuſtodibus. *Videbis enim ipſam non multo poſt tempore apud carceris cuſtodes pice eſſe illitam.*

Δεσμοὶ Τυῤῥηνοί. Vincula Tyrrhena: ſive, quibus tunc temporis Tyrrheni utebantur ad vexandos captivos.

Δεσποτεία. Dominatus. Imperium.

Δεσπότου κεκαρμένου. Domino raſo. Id eſt, lugente.

Δεσπόσυνος παῖς. Filius domini.

Δέοιτο. Indigeat.

Δέδευκε. Miſcuit. Maceravit.

Δεύειν. Miſcere. Macerare. Subigere.

Δευθέντα. Rigata. Et δευόμενος. Rigatus. Ælianus: *Et ſanguine irrigati fuerunt parietes cubiculorum, & ex pavimentis cruor ebulliit, & omnium mentes perculit.* Et δεύομαι, privor, indigeo.

Δευκαλίων. Deucalion. Nomen proprium.

Δεῦρ' ἀεί. Huc uſque. Plato *Legum* ſeptimo: *Ad ſermones, quos a luce orta ad hoc uſque tempus enarravimus.* Quidam ponunt pro ὡδὶ, hic.

Plato. Leg. ζ. Vol. II. p. 811. C.

Δεῦρ' ἦξα θᾶσσ. *Citius huc properavi, quam pedibus gratum eſſet.* Id eſt, celeriori gradu, quam oportebat.

Δεῦρ' ἴθι. Ariſtophanes: *Huc accede, ut plores.* Dicitur de iis, qui aliquem ad ſe venire jubent, ut eum male mulctent. *Ajunt puerum acceſſiſſe ad lectum, in quo jacebat dominus, verbera ei minans.*

Δεῦρο. Huc. Dicitur etiam de tempore præſenti. Et δεῦρο ἀεὶ, ad præſens uſque tempus. Significat etiam veni. Δεῦρο νῦν πρ. Id eſt, propius accede. Et apud Homerum: *Huc veni.* Dicitur etiam δευρὶ apud Ariſtophanem. *Ut celeriter ad me accedant, nec* καὶ μὴ μέλλειν. κἂν μὴ ταχέως ἥκωσιν, ἐγὼ, μὰ τὸν Ἀπόλλωνα, κατὰ γῆς ἀποπέμψω.

---

[1] Δερῶ σε θύλακον κλοπῆς] Hæc ſunt verba Ariſtoph. *Equit.* pag. 309. (209. Ed. Baſ. *P.*) ubi vide Scholiaſtam.

[2] Δεσμὰ τῆς ψυχῆς, αἱ φλ.] Fragmentum hoc legitur apud Laertium in vita Pythagoræ Segm. XXXI.

[3] Ὅταν δὲ καθ' αὑτὴν ἠρεμῇ, δεσμὰ γίν.] Scribe ex Laertio, ὅταν δὲ ἰσχύῃ, καὶ καθ' αὑτὴν γενομένη ἠρεμῇ, δεσμὰ γίνεται αὐτῆς τοὺς λόγους καὶ τὰ ἔργα.

[4] Δεσμώτης. καὶ αὐτὸς ὁ δέσμ.] Totum hunc locum deſcripſit Suidas ex Scholiaſta Sophoclis ad *Ajacem* pag. 7. ut Pearſonius recte obſervavit.

[5] Δεσμοὶ Τυῤῥηνοί] Heſychius, Δεσμοὶ πειρατικοί. Idem tamen ſuo loco recte, Τυῤῥηνοὶ δεσμοί.

[6] Δεσπότου κεκαρμένου. πενθ.] Vide Artemidorum lib. I. cap. XXIII.

[7] Δεῦρ' ἦξα θᾶσσον, ἢ καθ' ἡδ.] Fragmentum hoc legitur apud Sophoclem *Oedip. Colon.* pag. 300. ut Portus recte obſervavit. Pro ἦξα autem ibi ſcriptum eſt ἦρξα, ab αἴρειν.

[8] Ἀριστοφάνης] *Nubibus*, pag. 126.

[9] Παρὰ Ἀριστοφάνει] Ubi fragmentum hoc apud Ariſtophanem exſtet jam non memini.

Δεῦρο. τοῦτο τὸ ἐπίῤῥημα τινὲς ἐπὶ χρόνου τάττεσθαι νομίζουσιν. οἱ δὲ ῥήτορες ἐπὶ τόπου πάντες αὐτῷ χρῶνται· ὡς Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου· Καὶ παραχεῖν τῷ μὲν φεύγοντι θαῤῥεῖν, ὅταν αὐτὸς δεῦρο παρέλθῃ. καὶ Ἀντιφῶν ἐν τῇ παρανόμων κατηγορίᾳ· Ναυμάχους ὡς περὶ δωρεῶν μὲν εἰπεῖν καλάγειν δεῦρο. καὶ Δείναρχος ἐν τῷ κατὰ Λεωχάρους· Περὶ τοῦ ταλαιπώρου Διδύμου νῦν πρὸς ὑμᾶς ἐρῶ. καί μοι δεῦρο αὐτοῦ τὸ παιδίον κάλεσον. Δημοσθένης· Ἀπόκριναι γὰρ δεῦρο ἀναστάς μοι. καὶ ἄλλοι ἕτεροι.

Δεύσας. βρέξας. Ὁ δὲ δεύσας τῷ αἵματι τοὺς δακτύλους, προσέγραψεν.

Δευσοποιός. βαφεύς. σημαίνει δὲ καὶ τὸν ἔμμονον καὶ δυσαπόπλυτον. [1] Δευσοποιός. κυρίως μὲν ἐπὶ τῆς πορφύρας λέγεται τὸ ὄνομα, τῆς ἔμμονον καὶ ἀνέκπλυτον ἐχούσης τὸ ἄνθος τῆς βαφῆς· ἐκ μεταφορᾶς δὲ καὶ ἐπὶ τῶν ἄλλων πάντων, τῶν ἐχόντων τὸ χρῶμα ἔμμονόν τε καὶ πολυχρόνιον. καὶ δευσοποιὸς πονηρία. μετῆκται ἡ λέξις ἀπὸ τῶν καταβεβαμμένων ἐρίων. σημαίνει δὲ τὸ βέβαιον καὶ ἀνέκπλυτον τοῦ χρώματος. οἱ συγγραφεῖς δὲ ὅταν ἀμετακίνητόν τι δηλῶσαι βούλονται, καταχρῶνται τῇ λέξει καὶ ἐπ' ἄλλων. δύναται οὖν ἡ δευσοποιὸς πονηρία, ὑπερβάλλουσα εἶναι, καὶ ἧς οὐχ οἷόν τε περιγενέσθαι.

Δεύταλος. ὁ ἔσχατος. ἀπὸ τοῦ δεύεσθαι καὶ ἐνδεῖν.

Δεῦτε. παρακελεύσεως ἐπίῤῥημα.

Δευτεριάζειν.

Ἐγὼ[2] ἤδη διαπεραξάμενος, παραδῶ σοι δευτεριάζειν.

τὸ ὕστερον διαπράττεσθαι.

Δεύτερος πλοῦς. ὅτε ἀποτυχών τις οὐρίου, κώπαις πλεῖ.

Δέφεσθαι. [3] Ἀριστοφάνης·

Ὑμᾶς δὲ θρία λαβόντας διαφόρου συκῆς,
Ἐν τοῖς προθύροις δέφεσθαι.

ἵνα κνησμὸν αὐτοῖς τὸ φύλλον ἐμποιῇ.

Δέφειν. τὸ τοῦ αἰδοίου τινὰ ἅπτεσθαι. καὶ δεφόμενος, ἀντὶ τοῦ ἀποδέρων τὸ αἰδοῖον.

Δέχεται καὶ βῶλον [4] Ἀλήτης. ἐπὶ τῶν πάντα πρὸς τὸ κρεῖττον ἐκδεχομένων τάττεται. ἢ ἁπλῶς, ἐπὶ τῶν μηδένα [5] προσιεμένων.

Δέψα. ἡ βύρσα.

Δεψῆσαι. ἁπαλῦναι.

Δεῖ. πρέπει. δ' ἔχει τὰ σημαινόμενα. ἀντὶ τοῦ

cunctentur. Et niſi celeriter venerint, ego, per Apollinem, infra terram eos amandabo.

Δεῦρο. Hoc adverbium quidam de tempore dici putant. Oratores vero omnes eo utuntur de loco: ut Æſchines in oratione contra Timarchum: *Et reum bono animo eſſe jube, cum ipſe huc acceſſerit.* Et Antipho in ea oratione, qua aliquem ob decreta contra leges facta accuſat: *Qui prœlio navali interfuerunt, huc accedere jubeantur, ut cauſam dicant de muneribus acceptis.* Dinarchus in oratione contra Leocharem: *De miſero Didymo nunc apud vos dicam. Quare ad me huc ipſius filiolum voca.* Et Demoſthenes: *Reſponde mihi huc adſtans.* Et ſic alii.

Δεύσας. Qui rigavit. Qui madefecit. *Ille vero, cum digitos ſanguine madefeciſſet, hæc adſcripſit.*

Δευσοποιός. Tinctor. Significat etiam [colorem] permanentem, & qui difficulter elui poteſt. Proprie autem hæc vox dicitur de purpura, cujus color non eſt evanidus, ſed permanens. Per metaphoram vero etiam dicitur de aliis omnibus, quæ colorem habent permanentem & diuturnum. Et δευσοποιὸς πονηρία, improbitas inveterata. Metaphora ducta eſt a lanis, quæ tinctæ ſunt colore tali, qui diu durat, nec facile elui poteſt. Scriptores enim, cum aliquid ſtabile & firmum ſignificare volunt, hac voce etiam de rebus aliis abutuntur. Δευσοποιὸς πονηρία igitur ſignificare poteſt improbitatem ſummam, & quæ a nullo vinci poteſt.

Δεύταλος. Ultimus. Extremus. A verbo δεύεσθαι, indigere.

Δεῦτε. Huc ágite. Adverbium adhortandi.

Δευτεριάζειν. Secundo loco, ſive poſt alterum aliquid facere. *Cum ipſe rem fecero, ejus tibi poſt me faciendæ poteſtatem faciam.*

Δεύτερος πλοῦς. Altera navigatio. Id eſt, cum quis vento ſecundo deſtitutus, remis navigat.

Δέφεσθαι. Glandem penis nudare. Ariſtophanes: *Vos autem foliis bis fructus ferentis ficus ſumptis, in veſtibulis penem ſubigetis.* [Ideo autem hoc eos facere debere ait,] ut folium pruritum in eis excitet.

Δέφειν. Penem nudare & ſubigere. Et δεφόμενος, penem nudans.

Δέχεται καὶ β. *Accipit & glebam Aletes.* Proverbium hoc dicitur de iis, qui omnia in meliorem partem accipiunt. Vel ſimpliciter de iis, qui omnia admittunt.

Δέψα. Corium.

Δεψῆσαι. Subigere. Mollire.

Δεῖ. Decet. Convenit. Quatuor habet ſiχρή. καὶ ἀντὶ τοῦ χρεία ἐστί. Δεῖ δὴ χρημάτων, καὶ ἄνευ τούτων οὐδὲν ἔστι γενέσθαι τῶν δεόντων. καὶ ἀντὶ τοῦ δεσμεῖ. καὶ δέει ἐν διαλύσει. καὶ ἀντὶ τοῦ ἀπέχει. καὶ παρὰ Ἀριστοφάνει δεῖ, ἀντὶ τοῦ δῆσον. Ὀπίσω τὼ χεῖρε δεῖ.

---

[1] Δευσοποιός. κυρίως μὲν ἐπὶ τῆς πορφ.——πολυχρόνιον] Ex Harpocratione: qui præterea ad confirmandam vocis δευσοποιὸς ſignificationem citat Platonem lib. v. *de Leg.* Sed memoria, ut puto, eum decepit; quoniam locus, ad quem Grammaticus ille reſpexit, exſtat apud Platonem lib. IV. *de Legibus*, pag. 449.

[2] Ἐγὼ ἤδη διαπρ.] Apud Ariſtophanem *Eccleſiaz.* pag. 742. (499) locus hic rectius ita legitur:

Ὅταν ἤδη 'γὼ διαπεραξάμενος παραδῶ σοι δευτεριάζειν.

[3] Ἀριστοφάνης] *Eccleſiaz.* pag. 745. (501. Ed. Baſ. P.) ubi prior verſus ſic legitur:

Ὑμᾶς δὲ πως θρῖα λαβόντας διφόρου συκῆς.

[4] Ἀλήτης] Interpretes vulgo vocem hanc exponunt *erro*, quaſi ſit nomen appellativum. At ego exiſtimo eſſe nomen proprium viri, cujus meminit Pauſanias in *Corinthiacis*.

[5] Μηδένα προσιεμένων] Senſus requirit, ut ſcribatur πάντα προσιεμένων: ut habet Michael Apoſtolius.

Δεῖγμα.[1] κυρίως μὲν τὸ δεικνύμενον ἀφ' ἑκάστου τῶν πωλουμένων. ἔστι δὲ καὶ τόπος τις ἐν τῷ Ἀθήνησιν ἐμπορίῳ, εἰς ὃν τὰ δείγματα ἐκομίζοντο, καλούμενος οὕτως.[2] Ἀττικὸν δὲ ἔθος ἐστὶ, τὸ καλεῖν ἀπὸ τῶν ἐν τῷ τόπῳ καὶ αὐτοὺς τοὺς τόπους.

Δεῖγμα.[3] τόπος ἦν ἐν Πειραιεῖ, ἔνθα πολλοὶ συνήγοντο ξένοι καὶ πολῖται, καὶ ἐλογοποίουν. τὸ δὲ τῶν δικῶν προσέθηκεν Ἀριστοφάνης, ἵνα δείξῃ καὶ διαβάλλῃ τοὺς Ἀθηναίους ὡς φιλοδίκους. Οἷον ἀργαλεωτάτων ἤκουσ' ἐν τῷ Δείγματι τῶν δικῶν ἀντιλεγόντων.

Δεῖγμα. καὶ ἡ ἔνδειξις.[4] Ἀριστοφάνης· Τοῦ βίου δ' ἐξέβαλλε δεῖγμα πρὸ τῶν θυρῶν πτερά. οἷον τῆς παρ' αὐτῷ ἔνδον τρυφῆς σημεῖον καὶ ἀπόδειξις πρὸ τῶν θυρῶν αὐτοῦ τὰ τῶν ὀρνίθων πτερὰ, ἃ τιλθέντων καὶ τυθέντων πρὸς εὐωχίαν προέβαλλε.

Δεδέχατ' ἀλλήλους.[5] Ὅμηρος.

Δειδία.[6] ἡ σκοτία νύξ. Δείδια δὲ, φοβοῦμαι. καὶ δείδιεν, ἐφοβεῖτο. δείω, δεδίω· ὡς πείθω, πεπίθω. δεδίω, δέδια· πλεονασμῷ τοῦ ι, δείδια. καὶ δείδιθι, φοβήθητι. καὶ δειδιὼς, φοβούμενος.

Δειδίσκω. δεικνύω.

Δειδίσσω. ἐκφοβῶ.

Δείδω. τὸ φοβοῦμαι.

Δειελινόν. τὸ δειλινόν. καὶ δείελον, τὸ δειλινόν.

Δείκελον. εἴδωλον. ἄγαλμα. ἢ ὁμοίωμα. ἐν Ἐπιγράμματι·

Ῥείης[7] πυργοφόρου δείκελον εἰσορόων.

Δείκηλα. μιμήματα. εἰκάσματα. τὸ δει δίφθογγον.[8] κυρίως τὸ ὁμοίωμα καὶ εἴκελον τῷ Διΐ. καταχρηστικῶς δὲ πᾶν ὁμοίωμα.

Δειλάκρα.[9] Ἀριστοφάνης Πλούτῳ·

Ἐγὼ δὲ κατακέκνισμαι δειλάκρα.

σκώπτει κατωρῶσαν τὴν γραῦν. δειλάκρα δὲ, ἄκρως ἀθλία. καὶ δειλακρίων, ὁ ἄκρως δειλός. ὁ ἐλεεινός. ὁ ταλαίπωρος. ἢ ὁ ἐπίπονος. ὁ αὐτὸς[10] Ἀριστοφάνης· Ὦ δειλακρίων. ὦ γλίσχρων, ὁρᾷς, ὡς οὐκέτ' εἶναι δοκῶ μιαρώτατος; [11] δειλακρίων ὁ Ἑρμῆς ἐλέγετο, ὡς

gnificationes, I. Oportet. II. Opus eſt. [Ut Demoſthenes:] *Opus eſt pecunia, ſine qua nihil eorum fieri poteſt, quæ oportet.* III. Ligat. Vincit. Et abſque contractione dicitur δέει. IV. Abeſt. Apud Ariſtophanem δεῖ dicitur pro δῆσον, liga, vinci. *Manus a tergo liga.*

Δεῖγμα. Proprie ſic vocatur ſpecimen rerum, quæ venduntur. Erat etiam locus quidam Athenis in foro, ſic vocatus, in quem ſpecimina rerum venalium deferebantur. Atticorum vero eſt, locis nomina imponere a rebus, quæ in iis geruntur.

Δεῖγμα. Locus in Piræo, quo multi peregrini & cives convenire & ſermones inter ſe conferre ſolebant. Vocem vero δικῶν addidit Ariſtophanes, ut Athenienſes tanquam litium & judiciorum amantes perſtringeret. [*Senes quoſdam*] *moroſiſſimos in Digmate judiciario audivi verbis inter ſe contendentes.*

Δεῖγμα. Argumentum. Indicium. Signum. Ariſtophanes: *Projecit foras pennas, quæ victus ejus indicium præbent.* Id eſt, avium convivii cauſa vulſarum & mactatarum pennæ, quas ante fores projecit, ſignum ſunt epularum, quibus domi fruitur.

Δεδέχατ' ἀλλήλους. *Se invicem invitarunt* [*aureis poculis.*] Homerus.

Δειδία. Nox obſcura. Δείδια vero, metuo. Et δείδιεν, metuebat. A δείω fit δεδίω, ut a πείθω, πεπίθω. A δεδίω formatur δέδια, & inſerto ι, δείδια. Et δείδιθι, time. Et δειδιὼς, timens.

Δειδίσκω. Oſtendo. Demonſtro.

Δειδίσσω. Terreo.

Δείδω. Metuo.

Δειελινόν. Pro δειλινόν. Veſpertinum tempus. Et δείελον, idem.

Δείκελον. Idolum. Simulacrum. Effigies. In Epigrammate: *Rheæ turriferæ ſimulacrum intuens.*

Δείκηλα. Effigies. Imagines. Simulacra. Syllaba δει per diphthongum ſcribitur. Proprie autem δείκηλον eſt ſimulacrum Jovis, quaſi Διῒ εἴκελον. Abuſive vero quælibet effigies.

Δειλάκρα. Infeliciſſima. Ariſtophanes *Pluto: Ego vero infeliciſſima pruritu amoris miſere vexor.* Ridet anum, ut ſubantem & libidine prurientem. Δειλάκρα vero eſt ſumme miſera. Et δειλακρίων, ſumme miſer, miſerabilis, ærumnoſus, multis laboribus & moleſtiis obnoxius. Idem Ariſtophanes: *O miſer,* [*quomodo huc veniſti?*] *O guloſe, vides me non am-*

---

[1] Δεῖγμα. κυρίως μὲν τὸ δεικν.] Ex Harpocratione.

[2] Ἀττικὸν δὲ ἔθος ἐστὶ, τὸ καλεῖν ἀπὸ τ.] Sic Attice dicebatur ἰχθύες pro ἰχθυοπωλεῖον, i. e. forum piſcarium, ut apud Ariſtophanem *Veſpis*, & Athen. lib. III. pag. 104. τοὔψον pro τὸ ὀψοπωλεῖον, ut apud Æſchinem orat. contra Timarchum, pag. 179. κρόμμυα pro κρομμυοπωλεῖον, teſte Heſychio: χύτραι pro χυτροπωλεῖον, teſte eodem; multaque alia hujus generis. Vide Iſaac. Caſaub. ad *Charact.* Theophr. cap. περὶ ἀναισθησίας; & præcipue celeberrimum Grævium *Lection. Heſiod.* cap. XIX. ad verſ. 312. qui plura hujus generis exempla collegit.

[3] Δεῖγμα. τόπος ἦν ἐν Πειρ.] Ex Scholiaſta Ariſtoph. ad *Equit.* Pag. 346. (243. Ed. Baſ. *P.*)

[4] Ἀριστοφάνης] *Acharnenſ.* pag. 418. ubi locus hic rectius ita legitur:

Τοῦ βίου δ' ἐξέβαλε δεῖγμα τὰ πτερὰ πρὸ τῶν θυρῶν.

Sic & apud Suidam ſcribendum eſt.

[5] Ὅμηρος] Il. Δ. v. 4.

[6] Δειδία. ἡ σκοτία νύξ] Confer Etymologum & Euſtathium.

[7] Ῥείης πυργοφόρου δείκελον εἰσ.] Fragmentum hoc legitur Anthol. lib. VII. pag. 593.

[8] Κυρίως τὸ ὁμοίωμα καὶ εἴκελον τῷ Δ.] Idem docet Scholiaſta Apollonii Rhodii ad lib. I. v. 746. Δείκηλον κυρίως τὸ τῷ Διῒ ἐοικὸς ἄγαλμα. καταχρηστικῶς δὲ καὶ πᾶν ὁμοίωμα.

[9] Ἀριστοφάνης Πλούτῳ] Pag. 95. (47. Ed. Baſ. *P.*)

[10] Ἀριστοφάνης] In *Pace* pag. 636. (440. Ed. Baſ. *P.*

[11] Δειλακρίων ὁ Ἑρμῆς ἐλέγετο] Scribe, γλίσχρων ὁ Ἑρμ. Apud Ariſtophanem enim loco laudato Trygæus Mercurium vocat γλίσχρωνα, ob rationem, quam Suidas hoc loco reddit. Vide quæ notavimus ſupra v. Γλίσχρος.

λίχνος. κρεαδίων γὰρ ἐπιδεικνυμένων αὐτῷ, κατήρχετο αὐτίκα.

Δειλανδεία. καὶ δειλανδρῶ.

Δείλαιος. ἄθλιος.

Δείλη ὀψία. ἡ περὶ δύσιν ἡλίου. Δείλη πρωΐα, ἡ περὶ ἀρίστου ὥρα. ἢ μετὰ τὸ ἄριστον. Ξενοφῶν· Ἡνίκα δὲ δείλη ἐγένετο, ἐφάνη κονιορτός. καὶ κλίνεται δείλης.

Δείλης πρωΐας, καὶ δείλης ἑσπέρας. οὕτω λέγουσιν Ἀττικοί.

Δειλία. ὁ φόβος. Δειλία ἐστὶ κακία ἐν ἐνδείᾳ τῇ περὶ τάδε τινὰ τὰ πάθη, ἐναντία τῇ ἀνδρείᾳ καὶ τῇ θρασύτητι. καὶ κατὰ μὲν τὸ κακία εἶναι, καὶ ἀσυμμελεία. περὶ δὲ τὰ πάθη, ἐναντία ἐστὶ τῇ ἀνδρείᾳ. κατὰ δὲ τὸ ἐν ἐνδείᾳ περὶ τάδε εἶναι, τῇ θρασύτητι. οὔτε γὰρ τῇ θρασύτητι ἐναντία ἡ δειλία κατὰ τὸ κακία εἶναι· κοινωνεῖ γὰρ αὐτῇ τούτου· οὔτε τῇ ἀνδρείᾳ, κατὰ τὸ ἐνδείᾳ εἶναι κατὰ τάδε. οὐ γάρ ἐστιν ἐναντίον τὸ περὶ τάδε ἐνδεὲς τῷ περὶ τὰ αὐτὰ μέσῳ.

Δειλινήσας.[1] δείλης τοῦτο ποιήσας. καὶ δειλινός, δείλης.

Δειλοκομπήσας.[2] ἐξαπατήσας. Ἕρμιππος.

Δειλότερος τοῦ παρακύπτοντος. ἐπὶ τῶν σφόδρα δειλῶν. ἀνὴρ γάρ τις ἐγένετο δειλός· ὃς παρακύψας ἐκ σπηλαίου,[3] καὶ ἰδὼν τὸν Ἡρακλέα, κατέδυ εἰς τὸ σπήλαιον, καὶ διὰ δειλίαν ἀπέθανεν. καὶ ἑτέρα παροιμία·[4] Δειλότερος Πεισάνδρου.

Ἔνθα[5] καὶ Πείσανδρος ἦλθεν
Δεόμενος ψυχὴν ἰδεῖν, ἣ
Ζῶντ' ἐκεῖνον προὔλιπεν.

δειλὸς γὰρ ἦν καθ' ὑπερβολήν.

Δείλοψ. ὄνομα ἔθνους.

Δεῖμα. φόβος. Ἀρριανός· Τοσόνδε αὐτοὺς δεῖμα, ὡς προσαγόντων τῶν δεινῶν, κατέσχεν, ὥστε μὴ δύνασθαι ἀποστῆσαι τῆς ἐκπλήξεως.

Δειμαλέος. εὐλαβής. καὶ ὁ δειλίας καὶ φόβου ἐμποιητικός.

Κέρβερε δειμαλέην ὑλακὴν νεκύεσσιν ἰάλλων,
Ἤδη φρικαλέον δείδιθι καὶ σὺ νέκυν.

Δειμάμενοι. οἰκοδομήσαντες. καὶ δείμασθαι, οἰκοδομεῖν. καὶ δειμᾶν, ὁμοίως.

Δειμαλώδης. ὁ φοβερός.

Δειμάτων. φόβων. καὶ[6] δειματοῦται, φοβεῖται.

plius tibi videri ſceleſtiſſimum? Hic Mercurius vocatur γλίσχρων, tanquam guloſus & catillo. Cum enim carnes ei oſtenderentur, illico deſcendit.

Δειλανδρία. Ignavia. Pavor. Et δειλανδρῶ, meticuloſus ſum.

Δείλαιος. Miſer. Infelix.

Δείλη ὀψία. Tempus veſpertinum, quo Sol ad occaſum vergit. Et δείλη πρωΐα, tempus ante prandium, vel poſt prandium. Xenophon: *Circa tempus veſpertinum nubes pulveris apparuit.*

Δείλης πρωΐας. Tempore matutino. Et δείλης ἑσπέρας, tempore veſpertino. Sic Attici dicunt.

Δειλία. Timiditas. Metus. Timiditas eſt vitium, quod in defectu quorundam affectuum verſatur, contrarium fortitudini & audaciæ. Et quatenus quidem eſt vitium, eſt quædam inconcinnitas. Quatenus vero circa affectus verſatur, contraria eſt fortitudini. Et denique quatenus eſt defectus, [contraria eſt] audaciæ. Non enim timiditas contraria eſt audaciæ, quatenus eſt vitium; (id enim utrique commune eſt) neque fortitudini, quatenus in defectu verſatur. Defectus enim affectuum non eſt contrarius eorum medio.

Δειλινήσας. Qui aliquid tempore veſpertino fecit. Et δειλινός, veſpertinus.

Δειλοκομπήσας. Qui decepit. Hermippus.

Δειλότερος τοῦ παρακ. *Timidior es eo, qui corpore inclinato proſpectat.* Dicitur in homines valde meticuloſos. Fuit enim vir quidam valde timidus, qui ex ſpelunca proſpectans, & Herculem conſpiciens, in eam ſe abdidit, & præ metu mortuus eſt. Et aliud proverbium: *Timidior Piſandro.* [Ariſtophanes:] *Illuc & Piſander venit, cupiens videre animam, quæ viventem illum deſeruerat.* Erat enim ſupra modum timidus.

Δείλοψ. Dilops. Nomen gentis.

Δεῖμα. Terror. Metus. Pavor. Arrianus: *Tantus enim metus quaſi malis jam appropinquantibus eos occupaverat, ut a conſternatione ſe recolligere non poſſent.*

Δειμαλέος. Timidus. Item qui metum ac timorem incutit. Terribilis. *Cerbere, qui terribilem mortuis latratum reddis, jam terribilem tu quoque mortuum metue.*

Δειμάμενοι. Qui ædificarunt. Et δείμασθαι, ædificare. Et δειμᾶν, idem.

Δειμαλώδης. Terribilis.

Δειμάλων. Terrorum. Et δειμαλοῦται, metuit.

---

[1] Δειλινήσας] Hesychius, δειελιήσας. Et ſic Homerus Odyſſ. P. v. 599. ubi vide veterem Enarratorem.

[2] Δειλοκομπήσας] Hesychius δειλοκοπήσας.

[3] Καὶ ἰδὼν τὸν Ἡρακλέα, κατέδυ εἰς τὸ σπ.] Priores Editt. plura habent, quippe in quibus locus hic ita legitur: Καὶ ἰδὼν τὸν Ἡρακλέα [ἀπελιθώθη, καὶ διέμεινεν ἔτι καὶ νῦν ὁ λίθος ἀνθρωποειδής. φοβούμενος γὰρ τὸν Ἡρακλέα,] κατέδυ &c. Sed verba duobus uncis incluſa in hac Editione prætermiſi, quoniam non ſolum in optimo & antiquiſſimo MS. Pariſ. deſunt, ſed etiam ſenſum inconcinnum reddunt. Non enim cohæret, ſi dicas, virum aliquem timidum, cum ex ſpelunca proſpectaret, & Herculem videret, in ſaxum diriguiſſe: & de eodem poſtea affirmes, eum metu Herculis in ſpeluncam ſe abdidiſſe, ibique mortuum eſſe. Quare exiſtimem, duplicem hic miſceri hiſtoriam, dicique debuiſſe, virum illum timidum ſecundum nonnullos quidem viſo Hercule in lapidem mutatum fuiſſe: ſecundum alios vero, in ſpeluncam ſe abdidiſſe & præ metu mortuum fuiſſe.

[4] Δειλότερος Πεισάνδρου] Vide infra v. Εἴ τι Πεισάνδρου, & v. Πεισάνδρου.

[5] Ἔνθα καὶ Πείσανδρος ἦλθε δεόμενος ψ.] Hæc ſunt verba Ariſtophanis *Avibus* pag. 612. (426. Ed. Baſ. P.)

[6] Δειματοῦται] Sic MSS. Pariſ. At priores Editt. corrupte exhibent δειμᾶ τοῦτον.

Δειμαίνει. Φοβεῖται. [1] Προκόπιος· Οὐδέ τι πρὸς τοῦ ξυνοικοῦντος δειμαίνουσα δέος, οὔτε αἰδῶ τινα ἔργου ἐλάμβανε πώποτε. † Πάντες δειμαίνοντες τοῦ εὐνούχου Εὐτροπίου τὴν ἀκοήν, ἐξεστήκεσαν, καθάπερ οἱ μνηστῆρες, τὸν Ὀδυσσέα γυμνωθέντα τῶν ῥακίων ἰδόντες. καὶ δειμαίνοντα, φοβούμενον.

Δεῖμος, [2] καὶ Φόβος, καὶ Κυδοιμός, ὑπηρέται τοῦ Ἄρεος, υἱοὶ τοῦ πολέμου· οἳ καὶ αὐτοὶ συμπεπόνθασι τῷ Ἄρει, τοῦ Ἡφαίστου αὐτοὺς μὴ φοβηθέντος.

Δείμωμεν. οἰκοδομῶμεν.

Δεῖν. δεσμεύειν. καὶ δεῖν Ἀριστοφάνης ἀντὶ τοῦ δεῖσθαι. Δεῖν δ' ἔοικε. καὶ ἀντὶ τοῦ ὀφείλειν. καὶ μικροῦ δεῖν· ἀντὶ τοῦ, παρ' ὀλίγον.

Δεῖν ᾠήθην. δέον εἶναι ὑπέλαβον. ἀναγκαῖον ἐνόμισα.

Δεινά. Οὐχὶ δεινὰ ταῦτα τύπτειν τουτονί. ἀντὶ τοῦ μεγάλα. καὶ [3] Σοφοκλῆς·

Γνοὺς δ' ὁ ἐξ Ἀθηνῶν δεινὸς ἡνιοστρόφος,
Ἔξω παρασπᾷ, κἀνακωχεύει.

ἀντὶ τοῦ ἔμπειρος. † [4] Δεινὰ μὲν οὖν, δεινὰ ταράσσει σοφὸς οἰωνοθέτας, οὔτε δοκοῦντ', οὔτ' ἀποφάσκονθ'. ὅ, τι λέξω δ' ἀπορῶ· πέτομαι δ' ἐλπίσιν, οὔτ' ἐνθάδ' ὁρῶν, οὔτ' ὀπίσω.

Δείναρχος, Κορίνθιος, ῥήτωρ, τῶν μετὰ Δημοσθένους ἐγκριθέντων εἷς. [5] υἱὸς τίνος ἐστίν, οὐχ ἱστόρηται. γράψας κατὰ μέν τινας λόγους τοὺς πάντας ρξ'. κατὰ δὲ τὸ ἀληθέστερον, μόνους ξ', τοὺς πάντας δικανικούς· ὧν οἱ μὲν εἰσι δημόσιοι, οἱ δὲ, ἰδιωτικοί. ἐτελεύτησε δὲ οὗτος, ἐπιμελητὴς Πελοποννήσου κατασταθεὶς ὑπὸ Ἀντιπάτρου, μετὰ τὸ τελευτῆσαι Ἀντίπατρον, Πολυσπέρχοντος αὐτῷ ἐπιβουλεύσαντος.

Δεινῆς ἀνάγκης οὐδὲν ἰσχυρότερον. ἀνάγκη γὰρ καὶ Θεοὺς βιάζεται. καὶ Πλάτων φησίν· [6] Ἀνάγκην δὲ οὐδὲ Θεοὺς βιάζεσθαι.

Δεινιάδαι. ὄνομα πόλεως, ἢ τόπου.

Δεινίας. ὄνομα κύριον.

Δεινοκράτης, [7] Μεσσήνιος, οὐ μόνον κατὰ τὴν τριβὴν, ἀλλὰ καὶ κατὰ τὴν φύσιν αὐλικὸς καὶ στρατιωτικὸς ἄνθρωπος. τὸν δὲ πραγματικὸν τρόπον ὑπέφαινε μὲν τέλειον· ἦν δὲ ψευδεπίγραφος καὶ ῥωπικός. ἔν τε γὰρ τοῖς πολεμικοῖς κατὰ μὲν τὴν εὐχέρειαν καὶ τὴν τόλμαν πολὺ διέφερε τῶν ἄλλων, καὶ λαμπρὸς ἦν ἐν τοῖς κατ' ἰδίαν κινδύνοις. ὁμοίως δὲ καὶ κατὰ τὴν ἄλλην διάθεσιν. ἐν μὲν ταῖς ὁμιλίαις εὔχαρις καὶ πρόθυμος ἦν, περί τε τὰς συνουσίας εὐ-

Δειμαίνει. Timet. Formidat. Procopius: *Nec maritum verebatur, nec ullius flagitii eam pudebat.* † *Omnes Eutropii Eunuchi nomen metuentes, terrore perculſi ſunt, ut proci, Ulyſſem laceris pannis exutum conſpicati.* Et δειμαίνοντα, timentem.

Δεῖμος καὶ Φόβ. Metus & Terror & Tumultus Martis miniſtri, & belli filii: qui etiam ſimul cum Marte vincula paſſi ſunt, quod Vulcanus eos non formidaret.

Δείμωμεν. Ædificemus.

Δεῖν. Ligare. Vincire. Et δεῖν Ariſtophanes poſuit pro δεῖσθαι, indigere. Ut, *Indigere vero videtur.* Item pro debere. Et μικροῦ δεῖν, parum abeſt.

Δεῖν ᾠήθην. Exiſtimavi oportere. Neceſſarium putavi.

Δεινά. Gravia. Atrocia. Indigna. Magna. *Nonne indignum facinus eſt hunc verberare?* Et Sophocles: *Peritus autem ille Athenienſis auriga, hoc conſpicatus, ad latus exterius deflectit, & curſum inhibet.* Δεινὸς hic ſignificat peritus. [Idem:] *Graviter enim, graviter ſane me turbat ſapiens augur, cum nec pro veris credere, nec ut falſa rejicere audeam ea,* [*quæ dicit.*] *Quid autem dicturus ſim neſcio. Incerta interim ſpe feror, nec præſentia cernens, nec præterita.*

Δείναρχος. Dinarchus, Corinthius, unus ex x. illis oratoribus, in quorum numero etiam ponitur Demoſthenes. Cujus vero filius fuerit, non traditur. Scripſit ſecundum quoſdam orationes CLX. vel, quod verius videtur, LX. omnes forenſes: quarum aliæ ſunt publicæ, aliæ vero privatæ. Hic obiit, Peloponneſi præſes ab Antipatro conſtitutus, Polyſperchonte poſt Antipatri obitum ei inſidiante.

Δεινῆς ἀνάγκης οὐδὲν ἰσχ. *Gravi neceſſitate nihil eſt potentius.* Nam neceſſitas vel ipſos Deos cogit. Et Plato dicit: *Neceſſitas ne a Diis quidem cogi poteſt.*

Δεινιάδαι. Diniadæ. Nomen urbis, vel loci.

Δεινίας. Dinias. Nomen proprium.

Δεινοκράτης. Dinocrates, Meſſenius, non uſu tantum, ſed etiam natura aulicus erat & militaris: prudentiam vero in rebus gerendis ſpecie quidem omnibus numeris abſolutam præferebat, re ipſa autem adumbrata quædam & fucata civilis prudentiæ imago in ipſo inerat. Namque in bellicis rebus alacritate atque audacia cunctos anteibat, & in ipſo pugnæ diſcrimine erat conſpicuus. Similiter, quod ad reliquam vitæ rationem attinet, in ſermonibus quidem venuſtus prom-

---

[1] Προκόπιος] *Hiſtor. Arc.* cap. 1. ubi hiſtoricus ille de Antonina Beliſarii uxore verba facit.

[2] Δεῖμος καὶ Φόβος——ὑπηρέται τοῦ Ἄρεως] Aliter Artemidorus lib. II. cap. IV. qui Δεῖμον & Φόβον filios Martis facit: cui ſuffragatur Scholiaſta Homeri ad Il. Δ. v. 440.

[3] Σοφοκλῆς] *Electra* pag. 114. ut Portus monuit.

[4] Δεινὰ μὲν οὖν, δεινὰ ταράσσει σοφ.] Hæc ſunt verba ejuſdem Sophoclis *Oedip. Tyran.* pag. 172. ut itidem Portus obſervavit.

[5] Υἱὸς τίνος ἐστὶν οὐχ ἱστ.] Imo, Plutarchus in *Vit.* x. *Orat.* tradit, Dinarchum hunc filium fuiſſe Soſtrati, vel, ſecundum alios, Sophoclis.

[6] Ἀνάγκην δὲ οὐδὲ Θεοὺς βιάζεσθαι] Schottus ad Zenobium recte monuit, legendum eſſe, ἀνάγκην δὲ οὐδὲ Θεὸς δυνατός ἐστι βιάζεσθαι.

[7] Δεινοκράτης, Μεσσήνιος, οὐ μόνον κατὰ τὴν τρ.] Hæc, & quæ ſequuntur uſque ad finem articuli, ſunt verba Polybii, quæ leguntur in Collectaneis Conſtantini, a Valeſio editis, pag. 114. unde ea Suidas deſcripſit.

τράπελος καὶ πολιτικός. ἅμα δὲ τούτοις φιλέραστος. περὶ κοινῶν δὲ ἢ πολιτικῶν πραγμάτων ἀτενίσαι καὶ προϊδέσθαι τὸ μέλλον ἐμφρόνως, ἔτι δὲ παρασκευάσασθαι καὶ διαλεχθῆναι πρὸς πλῆθος ἐς τέλος ἀδύνατος. καί ποτε κεκινηκὼς ἀρχὴν μεγάλων κακῶν τῇ πατρίδι, τελείως οὐδὲν ᾤετο ποιεῖν· ἀλλὰ τὴν αὐτὴν ἀγωγὴν ἦγε τοῦ βίου, προορώμενος οὐδὲν τῶν μελλόντων, ἐρῶν δὲ γὰρ καὶ κωθωνιζόμενος ἀφ' ἡμέρας, καὶ τοῖς ἀκροάμασι τὰς ἀκοὰς ἀνατεθεικώς. βραχεῖάν τέ τινα τῆς περιστάσεως ἔμφασιν ὁ Τίτος αὐτὸν ἠνάγκασε λαβεῖν. ἰδὼν γὰρ αὐτὸν παρὰ πότον ἐν μακροῖς ἱματίοις ὀρχούμενον, παραυτὰ μὲν ἐσιώπησε. τῇ δ' αὔριον ἐντυγχάνοντος αὐτοῦ, καί τι περὶ τῆς πατρίδος ἀξιοῦντος, ἐγὼ μὲν, ὦ Δεινόκρατη, πᾶν, ἔφη, ποιήσω τὸ δυνατόν· ἐπὶ δὲ σοῦ θαυμάζω, πῶς δύνῃ παρὰ πότον ὀρχεῖσθαι, τηλικούτων πραγμάτων ἀρχὴν κεκινηκὼς ἐν τοῖς Ἕλλησι. δοκεῖ δὲ τότε βραχύ τι συσταλῆναι, καὶ μαθεῖν, ὡς ἀνοίκειον ὑπόθεσιν τῆς ἰδίας αἱρέσεως καὶ φύσεως ἀποδέδωκε. πλὴν τό γε παρεῖναι εἰς τὴν Ἑλλάδα μετὰ τοῦ Τίτου, πεπεισμένος ἐξ ἐφόδου τὰ κατὰ τὴν Μεσσήνην χειρωθήσεσθαι κατὰ τὴν αὐτοῦ βούλησιν.

ptuſque, in conſuetudine autem & convictu urbanus atque civilis, neque ab amore alienus. In rebus autem publicis ac civilibus animum intendere, & futura prudenter providere, ſeque adeo præmunire, & ad populum verba facere prorſus non poterat. Qui cum maximorum cauſas malorum in patria excitaviſſet, nullius momenti eſſe arbitrabatur quæ ageret, ſed idem vitæ inſtitutum tenebat, nihil in futurum proſpiciens, ſed amoribus ac poculis de die indulgens, ac ſymphoniacorum cantibus aures commodans. Tandem vero Titus ad ſtatum, in quo res eſſent, leviter attendere eum coegit. Conſpicatus enim hominem longa & ad talos demiſſa veſte in convivio ſaltantem, tacuit tum quidem. Poſtridie vero, cum adiiſſet eum Dinocrates, & neſcio quid patriæ cauſa rogaret: Equidem, inquit Titus, quod in me erit præſtabo: cæterum te miror, Dinocrates, quo pacto in convivio tibi ſaltare lubeat, cum tantos motus in Græcia excitaris. Tum quidem pauliſper ad ſe rediiſſe viſus eſt, atque agnoſſe tandem, argumentum longe ab inſtituto ingenioque ſuo abhorrens abs ſe ſuſceptum fuiſſe. Cæterum, tunc temporis inter Titi comites in Græciam venerat, perſuaſus, res Meſſeniorum ex arbitratu ſuo quamprimum conſtituendas eſſe.

Δεινόλοχος, Συρακούσιος, ἢ Ἀκραγαντῖνος, κωμικός. ἦν ἐπὶ τῆς ογ' Ὀλυμπιάδος, υἱὸς Ἐπιχάρμου· ὡς δέ τινες, μαθητής. ἐδίδαξε δράματα ιδ' Δωρίδι διαλέκτῳ.

Δεινόλοχος, Dinolochus, Syracuſanus, aut Argentinus, Comicus, vixit Olympiade LXXIII. filius Epicharmi, aut, ut quidam tradunt, diſcipulus. Docuit fabulas XIV, Dorica dialecto [ſcriptas.]

Δεινομάχη. ὄνομα κύριον. καὶ Δεινόμαχος, ὄνομα κύριον.

Δεινομάχη. Dinomache. Nomen proprium. Et Dinomachus, nomen proprium.

Δεινόν.

Δεινὸν[1] μὲν, τὸ πάλαι κείμενον ἤδη κακὸν,
Ὦ ξεῖν', ἐπεγείρειν.

τουτέστι,[2] τὸ ἐπεγείρειν καὶ ἀνακινεῖν τὰ πάλαι συμβάντα, δυσχερές. ὅμως δὲ μαθεῖν ἐπιθυμῶ τὴν αἰτίαν τῆς πηρώσεως. καὶ Καλλίμαχος·

--- Τί δάκρυον εὗδον ἐγείρεις·

Ἀριστοφάνης·[3]

Δεινὸν γὰρ, οὕτως ὀμφακίαν πεφυκέναι
Τὸν θυμὸν ἀνδρῶν, ὥστε βάλλειν καὶ βοᾶν,
Ἐθέλειν τ' ἀκοῦσαι μηδὲν ἴσον ἴσῳ φέρον.

ἀντὶ[4] τοῦ ὠμὸν καὶ σκληρόν. μεταφορικῶς ἀπὸ τῶν ὀμφάκων. οὕτω δὲ αἱ σταφυλαὶ δριμεῖαι οὖσαι καὶ οὔπω πέπειροι καλοῦνται. ἐκ γὰρ τοῦ ἐναντίου πεπανὸν τὸ ὥριμον καὶ ἡδύ. θηλυκῶς δὲ τὰς ὄμφακας. καὶ Πλάτων ὁ κωμικὸς ἐν δράματι Ἑορταῖς·

Καὶ τὰς ὀφρῦς χάσασθαι, καὶ τὰς ὄμφακας.

ἴσον δὲ ἴσῳ φέρον· ἀντὶ τοῦ, δίκαιον, καὶ ἐξ ἴσου. ἀπὸ μεταφορᾶς τοῦ κιρναμένου οἴνου πρὸς ἴσον ὕδωρ. λέγει δὲ κατ' ἴσον εἰπεῖν καὶ ἀκοῦσαι. Καὶ αὖθις· Ἀνθρώπους [6] ἐσθίειν βλέποντας, καὶ δεινοὺς κατὰ γαστέρα· λέ-

Δεινόν. Grave. [Sophocles:] *Grave eſt, hoſpes, malum jam olim ſopitum rurſus excitare.* [Scholiaſta:] Moleſtum quidem eſt, eorum, quæ olim acciderunt, memoriam renovare: ſed tamen cæcitatis cauſam cognoſcere cupio. Et Callimachus: *Quid lacrymam dormientem excitas?* Ariſtophanes: *Moleſtum enim eſt, adeo duro & intractabili homines eſſe animo, ut lapidibus petant, & clamitent, & nihil æqui bonique audire velint.* Ὀμφακίαν hic ſignificat immitem & durum: per tranſlationem ductam ab uvis acerbis & immaturis, quæ ὄμφακες vocantur. Contra vero, quod eſt maturum, molle eſt & ſuave. Dicitur autem & genere fœminino τὰς ὄμφακας. Plato Comicus in fabula Ἑορταῖς: *Supercilia ſubduc & uvas immaturas.* Ἴσον ἴσῳ φέρον vero eſt juſtum & æquum: per metaphoram ductam a vino, quod cum pari aquæ quantitate miſcetur. Intelligit autem æquam dicendi & audiendi poteſtatem. Et iterum: *Homines voraces, & ventri maxime deditos: Cliſophos* γω δὴ Κλεισόφους τε, καὶ Θήρωνας, καὶ Στρουθίας, καὶ Χαιρεφῶντας.

---

[1] Δεινὸν μὲν, τὸ πάλαι κείμ.] Fragmentum hoc legitur apud Sophoclem *Oedip. Colon.* pag. 289. ut Portus monuit.

[2] Τουτέστι, τὸ ἐπεγείρειν καὶ ἀνακ.——ἐγείρεις] Hæc ſunt verba Scholiaſtæ ad modo indicatum locum Sophoclis.

[3] Ἀριστοφάνης] *Acharnenſibus* pag. 388. (289. Ed. Baſ. P.)

[4] Ἀντὶ τοῦ ὠμὸν καὶ σκληρόν. μεταφ.—— εἰπεῖν καὶ ἀκοῦσαι] Hæc ſunt verba Scholiaſtæ ad modo indicatum locum Ariſtophanis.

[5] Ἐσθίειν βλέποντας] Infra v. Κλεισόφος, ubi fragmentum hoc repetitur, rectius legitur ἐσθίειν εἰδότας.

Δεινοπαθεῖ. δεινῶς ἔχει. χαλεπὰ πάσχει.

Δεινόπους[1] ἀραί. ἡ διὰ ποδῶν δέος ἐμποιοῦσα.

Δεινός. πανοῦργος. ἱκανός. ἀκολάκευτος. σοφός. ἔμπειρος.

Λέγειν[2] σὺ δεινός· μανθάνειν δ' ἐγὼ κακὸς
Σοῦ. δυσμενῆ γὰρ καὶ βαρύν σ' εὕρηκ' ἐμοί.

ὁ νοῦς· Σὺ μὲν δεινὸς ἐν τῷ λέγειν· ἐγὼ δὲ οὐ μετ' εὐνοίας σου ἀκούω διὰ τὴν δυσμένειαν.

Δεινός. ὅτι[3] Δεκέβαλος, ὁ τῶν Δακῶν βασιλεύς, δεινὸς μὲν ἦν συνεῖναι τὰ πολέμια, δεινὸς δὲ καὶ πρᾶξαι, καὶ ἐπελθεῖν εὔστοχος, ἀναχωρῆσαι καίριος, ἐνέδρας τεχνίτης, μάχης ἐργάτης· καὶ καλῶς μὲν νίκῃ χρήσασθαι, καλῶς δὲ ἧτταν διαθέσθαι ἠπίστατο. ἀφ' οὗ δὴ καὶ ἀνταγωνιστὴς ἀξιόμαχος ἐπιπολὺ τοῖς Ῥωμαίοις ἐγένετο.

Δεινός. λέγεται καὶ κατὰ τὴν τῶν λόγων δύναμιν.

Δεῖνος.[4] περισπωμένως, ὁ ψηκτήρ, ὃ παρ' ἡμῖν ψηκτεῖον λέγεται.

Δεῖν ᾠήθην. δέον εἶναι ὑπέλαβον.

Δεινότητα. τήν τε τῶν λόγων δύναμιν δηλοῖ, τήν τε πανουργίαν.

Δεινουμένην. πατουμένην.

Δεινουμένην[5] ὑπὸ βουσὶν ἐμὴν ἐφύλασσον ἅλωα.

Δείνων. ὄνομα κύριον.

Δείνωσις. δεινότης. [6] σκότωσις.

Δεινωποί.[7] δειματώδεις. φοβεροί.

Δεινοί. ἔμπειροι. σοφοί. [8] Διὸ ἄμφω ἅπαντας ἀλλήλοιν ὠμοσάτην, ὅσοι δὴ ἐν Χριστιανοῖς δεινότατοι ὅρκοι εἰσί τε καὶ ὀνομάζονται, μή ποτε ἀλλήλων καταπροήσεσθαι ἄχρι τῶν ἐς τὸν ὄλεθρον φερόντων κινδύνων.

Δεινοὶ πλέκειν τὰς μηχανὰς Αἰγύπτιοι. ἐπὶ τῶν σφόδρα κακουργούντων. τοιοῦτοι γὰρ οἱ Αἰγύπτιοι. καὶ [9] Ὅμηρος· Δεινὸς ἀήτης. ὡς, Κλυτὸς Ἱπποδάμεια.

dico, & Therones, & Struthias, & Chærephontes.

Δεινοπαθεῖ. Graviter vexatur. Magnas moleſtias patitur.

Δεινόπους ἀραί. Diræ terribiles. Quaſi, quæ pedibus terrent.

Δεινός. Callidus. Ad aliquid faciendum aptus. Qui nullis blanditiis flectitur. Sapiens. Peritus. [Sophocles:] *Dicendi quidem peritus es: at ego ægre te audio. Inimicum enim & moleſtum mihi te expertus ſum.* [Scholiaſta:] Ipſe quidem eloquens es & facundus; at te, ut inimicum mihi, æquis auribus audire non poſſum.

Δεινός. Decebalus, Dacorum Rex, in rebus bellicis intelligendis acutus, & gerendis ſtrenuus erat: idemque hoſtem prudenti ratione aggredi, & opportuno tempore ſeſe recipere, inſidiaſque ſtruere, & prœlium inire, & victoria recte uti, acceptamque cladem reſarcire optime norat. Quamobrem adverſus Romanos bella gerens, diu eis multum negotii faceſſivit.

Dion Cass. LXVII. p. 1105.

Δεινός. Hoc vocabulum etiam dicitur de eo, qui facultate dicendi pollet.

Δεῖνος. Cum circumflexo in priore ſyllaba, idem ſignificat quod ψηκτήρ, ſive, ut apud nos dicitur, ψηκτήριον.

Δεῖν ᾠήθην. Oportere putavi.

Δεινότητα. Et facultatem dicendi ſignificat, & calliditatem.

Δεινουμένην. Calcatam. *Calcatam a bobus meam cuſtodiebam aream.*

Δείνων. Dinon. Nomen proprium.

Δείνωσις. Indignitatis exaggeratio. Vertigo.

Δεινωποί. Terribiles. Formidabiles.

Δεινοί. Periti. Sapientes. *Quare juramentis omnibus, quæ apud Chriſtianos ſanctiſſima habentur, adhibitis, alter alteri fidem ſuam adſtrinxit, non deſerturos ſe eſſe invicem, etiamſi ſupremum vitæ diſcrimen ſubeundum ſit.*

Δεινοὶ πλέκειν τὰς μηχ. *Ægyptii callidi ſunt technarum & fraudum artifices.* Dicitur de hominibus callidis & improbis. Tales enim ſunt Ægyptii. Et Homerus: *Vehemens ventus.* Dictum eſt ut κλυτὸς Ἱπποδάμεια, i. e. *Inclyta Hippodamia.*

Δείξαντες. Οἱ δὲ [10] αἰφνιδίως ἐπεκθέουσι τῷ τάγματι, καὶ διὰ τῆς φάραγγος δείξαντες, προσπίπτουσι τοῖς Ῥωμαίοις.

Δείξαντες. *Illi vero repente legionem invadunt, &, cum vallem tranſiiſſent, in Romanos impetum faciunt.*

Polybius. Fragm. Gr. Vol. V. p. 82. Not. 33.

---

[1] Δεινόπους ἀραί. ἡ διὰ τῶν ποδῶν δ.] Ex Scholiaſta Sophoclis ad *Oedip. Tyran.* pag. 169. ut Portus etiam obſervavit.

[2] Λέγειν σὺ δεινός. μανθ.] Duo hi ſenarii leguntur apud Sophoclem *Oedip. Tyran.* pag. 175.

[3] Ὅτι Δεκέβαλος, ὁ τῶν Δακῶν βασ. δεινὸς μὲν ἦν συνεῖναι τὰ πολ.] Fragmentum hoc legitur apud Xiphilinum, vel potius Dionem in *Domitiano* pag. 330. 331.

[4] Δεῖνος. περισπωμ.] De ſignificatione hujus vocis vide Athen. lib. XI. pag. 467.

[5] Δεινουμένην] Vox hæc corrupta eſt, cujus loco Portus putabat ſcribendum eſſe δινουμένην. Sed quid hoc? Omnino & ſenſus & metrum requirunt, ut legatur θεινομένην, a θείνω, tundo, vel verbero: ſed quæ vox alio loco ponenda eſt.

[6] Σκότωσις] Hæc interpretatio referenda eſt ad vocem δίνωσις, non δείνωσις: quarum illa ducta eſt a δίνη, hæc vero a δεινός.

[7] Δεινωποί. δειματώδεις. φοβεροί. † Δεινοί. ἔμπ.] Sic locum hunc ex MSS. Pariſ. ſupplevimus & diſtinximus, qui in prioribus Editt. ita legitur: Δεινωποί. δειματώδεις, φοβεροί. ἔμπειροι, &c. Excidit ibi nimirum vox δεινοί, & cætera, quæ ſequuntur, præcedentibus invito ſenſu continuantur: quam confuſionem auctoritate MStorum ex hoc loco ſuſtulimus.

[8] Διὸ ἄμφω ἅπαντας ἀλλήλοιν ὠμοσ.] Fragmentum hoc legitur apud Procopium *Hiſtor. Arc.* cap. 2. ejuſque pars repetitur infra v. Καταπροήσεσθαι.

[9] Ὅμηρος] Il. Ο. v. 626.

[10] Οἱ δὲ αἰφνιδίως ἐπεκθ.] Fragmentum hoc Valeſius ad Polybium refert; qui etiam recte monuit, pro δείξαντες hic ſcribendum eſſe διήξαντες. Nam alteram lectionem ſenſus omnino reſpuit.

Δείξεις.[1] Ὁ δὲ Ἀρκεσίλαος ἐς[2] τὰς ἀργυρεικὰς δείξεις ἀπήντα πρῶτος, συχνοῖς τε ἐπήρκει, καὶ συνηράνιζε.

Δείξεις. *Arceſilaus vero ad menſas argentariorum primus accedebat, plurimiſque ſuppeditabat ſumptus, & pecunia collatitia eos adjuvabat.*

Δειπνητός. ὁ καθ' ἡμᾶς ἀρίστου καιρός. Δειπνίζω ἕτερον· δειπνῶ δὲ ἐγὼ αὐτός. καὶ δειπνεῖν. Καί τοι τὸν Ἀγαμέμνονα ἐποίησεν Ὅμηρος δειπνίζοντα τοὺς ἀρίστους. καὶ αὖθις· Ὑπόδεξαι ἡμᾶς καὶ δείπνισον.

Δειπνητός. Tempus prandii, quod nos καιρὸν ἀρίστου vocamus. Δειπνίζω eſt, alterum cœna excipio: δειπνῶ vero, cœno. *Quanquam Homerus Agamemnonem facit cœna excipientem [Græcorum] principes.* Et iterum: *Hoſpitio & cœna nos excipe.*

Δειπνολόχον. κλεπτοτρόφον.

Δειπνολόχον. Furem ciborum.

Δεῖπνόν τοι ὦ Σκύθα. ζήτει ἐν τῷ Ἀκκιζόμενος.

Δεῖπνόν τοι ὦ Σκ. Ecce tibi cœnam, Scytha. Quære in v. Ἀκκιζόμενος.

Δεῖπνον.[3] τὸ πρωϊνὸν ἄριστον, ὅπερ ἀκρατισμὸς λέγεται. εἶτα περὶ ὥραν τρίτην, ἄριστον· παρὰ τὸ εἰς ἀριστείαν προέρχεσθαι. καὶ δεῖπνος, μεθ' ὃν δεῖ πονεῖν. εἶτα τὸ ἑσπερινὸν, δόρπος, παρὰ τὸ δόρυ παύειν. καὶ Ἀριστοφάνης· Δειπνεῖν με δίδασκε. ἐπὶ τῶν ἀδδηφάγων.

Δεῖπνον. Cibus, quem veteres mane ſumebant, vocabatur ἀκρατισμός. Deinde circa horam tertiam ἄριστον, i. e. jentaculum, ita dictum, quod eo ſumpto ad ἀριστείαν, i. e. ſtrenue pugnandum exirent. Inde δεῖπνος, prandium, ita dictum, quod eo ſumpto laborandum eſſet. Denique δόρπος, cœna, ſic dicta, quod tunc haſta quieſceret. Et Ariſtophanes: *Cœnare me doce.* Dicitur de hominibus voracibus.

Δειπνοσοφισταί. βιβλίον ἐστὶν οὕτως ἐπιγραφόμενον (Ἀθήναιος δὲ ὁ γεγραφὼς ὄνομα) ὅ ἐστιν ἐπωφελές. Οὐλπιανὸς,[4] εἷς τῶν Δειπνοσοφιστῶν. ὃς Κειτούκειτος ἐκλήθη, διὰ τὸ συνεχῶς[5] προβάλλειν, εἰ κεῖται ὥρα ἐπὶ τοῦ τῆς ἡμέρας μορίου· καὶ εἰ ὁ μέθυσος ἐπὶ ἀνδρός· ἢ μήτρα ἐπὶ τοῦ ἐδωδίμου βρώματος· σύαγρός τε εἰ κεῖται ἐπὶ τοῦ συός. καὶ νόμον εἶχεν ἴδιον μηδενὸς ἀπογεύεσθαι, πρὶν εἰπεῖν κεῖται ἢ οὐ κεῖται.

Δειπνοσοφισταί. Eſt liber, qui ſic inſcribitur, valde utilis, cujus Athenæus auctor eſt. Ulpianus autem eſt unus Dipnoſophiſtarum, qui Κειτούκειτος appellabatur, quod crebro in ore habere ſoleret [κεῖται ἢ οὐ κεῖται: quærens ſcilicet, an vox] ὥρα apud ſcriptorem aliquem pro parte diei poſita inveniretur: an μέθυσος pro viro ebrio: an μήτρα pro edulio; & an σύαγρος pro apro, vel ſue. Idem hanc ſibi legem indixerat, ne de ullo cibo comederet, prius quam dixiſſet, κεῖται ἢ οὐ κεῖται, i. e. exſtat ne an non?

Δειπνοφόροι.[6] αἱ φέρουσαι τοῖς κατακεκλιμένοις ἐν τῷ τῆς Ἀθηνᾶς ἱερῷ τὰ δεῖπνα.

Δειπνοφόροι. Sic vocabantur illæ, quæ in Minervæ templo accumbentibus cœnam miniſtrabant.

Δειρά. καὶ δειράδες, οἱ τραχώδεις τόποι τῶν ὀρῶν.

Τὸν[7] πάρος Ὀρβηλοῖο μεμυκότα δειράσι ταῦρον.

Δειρά. [Pro δειρὴ,] collum, cervix. Et δειράδες, juga montium. [In Epigrammate:] *Taurum, qui ante in Orbeli montis jugis mugiit.*

Δειραπιώτης.[8] δῆμός ἐστι τῆς Λεοντίδος Δειράδες. ἀφ' οὗ ὁ δημότης Δειραπιώτης.

Δειραπιώτης. Diratiotes. Dirades, eſt populus tribus Leontiæ: cujus popularis dicitur Diratiotes.

Δειραχθές. τὸ τὴν δειρὴν ἀλγῦνον.[9] Δειραχθὲς εὔβροχον ἅμμα πελειῶν.

Δειραχθές. Quod collum ſtringit & premit. [In Epigrammate:] *Bene nexum vinculum aucupatorium, collum avium ſtringens.*

Δειρή. ὁ τράχηλος.

Δειρή. Cervix. Collum.

Δεῖσα. ἡ ὑγρασία.

Δεῖσα. Humor. Humiditas.

Δεισαλέα. κοπρώδη. δεῖσα γὰρ, ἡ κόπρος.

Δεισαλέα. Stercorea. Δεῖσα enim eſt ſtercus.

Δείσαντες. φοβηθέντες. καὶ δείσας, φοβηθείς. Ἡρόδοτος· Ὁ δὲ δείσας περὶ τοῖς Ἕλλησι, μὴ οὐ δύνωνται τὸν βάρβαρον ὑπερβαλέσθαι. καὶ Ἀππιανός· Δείσας ὁ Καῖσαρ περὶ τῷ Κικέρωνι, ὑπέστρεφεν εἰς τοὐπίσω. Καὶ αὖθις· Ὁ δὲ δείσας περί τε οἱ αὐτῷ καὶ τῇ πόλει.

Appian. IV. Fragm. XX. Vol. I. p. 91. Schweigh.

Δείσαντες. Metuentes. Et δείσας. Metuens. Herodotus: *Ille vero metuens, ne Græci Barbarum ſuperare non poſſent.* Et Appianus: *Cæſar Ciceroni metuens, reverſus eſt.* Et iterum: *Ille vero & ſibi ipſi & civitati metuens.*

---

[1] Ὁ δὲ Ἀρκεσίλαος ἐς τὰς ἀργ.] Fragmentum hoc legitur apud Laertium lib. IV. Segm. XXXIV.

[2] Ἐς τὰς ἀργυρεικὰς δ.] Loci hujus ſenſum optime exponit Salmaſius *de Fœn. Trapezit.* pag. 547. 548. quem vide.

[3] Δεῖπνον. τὸ πρωϊνὸν ἄριστον, ὅπερ ἀκρ.] Vide Scholiaſtam Homeri ad Il. Ω. v. 124. & Athen. lib. I. cap. IX.

[4] Οὐλπιανὸς, εἷς τῶν Δειπνοσοφιστῶν· ὃς Κειτ.] Hæc, & quæ ſequuntur, ſumpta ſunt ex proœmio, quod libris Athenæi præfixum eſt; eademque repetuntur infra v. Κειτούκειτος.

[5] Προβάλλειν, εἰ κεῖται ὥρα ἐπὶ τοῦ τ.] Sic locum hunc ex MSS. ſupplevi, qui in prioribus Editt. ita legitur, προβάλλειν κεῖται ἐπὶ τοῦ τ. &c.

[6] Δειπνοφόροις. αἱ τοῖς κατακ.] Plenius hac de re Harpocratio: ex quo Suidas. Vide etiam Meurſ. *Græc. Fer.* v. Ὀσχοφόρια.

[7] Τὸν πάρος Ὀρβηλ.] Hexameter hic eſt pars Epigrammatis, quod integrum legitur Antholog. lib. VI. cap. XV. Epigr. XXIII.

[8] Δειραπιώτης] Scribe Δειραδιώτης, ut habet Harpocratio, ex quo Suidas.

[9] Δειραχθὲς εὔβροχον ἅμμα πτ.] Fragmentum hoc legitur Antholog. lib. VI. cap. XV. Epigr. VII.

Δεισιδαιμονία. εὐλάβεια περὶ τὸ θεῖον. δειλία. ἀμφιβολία περὶ τὴν πίστιν. καὶ δεισιδαίμων, οἱονεὶ δεδοικώς. ὁ Ἀπόστολος· Ἄνδρες Ἀθηναῖοι, ὡς δεισιδαιμονεστέρους ὑμᾶς θεωρῶ. ἀντὶ τοῦ θεοσεβεῖς. καὶ Κρίτων ἐν τοῖς Γετικοῖς φησίν· Οἱ δὲ βασιλεῖς τῶν Γετῶν ἀπάτῃ καὶ γοητείᾳ δεισιδαιμονίαν ἐνεργασάμενοι αὐτοῖς καὶ ὁμόνοιαν, μεγάλων ἤδη ἐφίεντο. καὶ Πολύβιος ὁ Μεγαλοπολίτης περὶ Τιμαίου φησίν· [1] Οὗτος γὰρ ἐν μὲν ταῖς τῶν πέλας κατηγορίαις πολλὴν ἐπιφαίνει δεινότητα καὶ τόλμαν· ἐν δὲ ταῖς ἰδίαις ἀποφάσεσιν, ἐνυπνίων καὶ τεράτων καὶ μύθων ἀπιθάνων, καὶ συλλήβδην, δεισιδαιμονίας ἀγεννοῦς καὶ τερατείας γυναικώδους ἐστὶ πλήρης. † [2] Ἀσκληπιόδοτος ὅσιος ἦν καὶ εὐσεβής· καὶ τὰ μὲν πρῶτα δεισιδαίμων ἐγεγόνει καὶ εὐλαβὴς οὕτω σφόδρα, ὥστε μήτε θύειν ἀνέχεσθαι, μήτε τινὸς ἀποῤῥήτου μηδενὸς ἀκούειν. οὐ γὰρ εἶναι ταῦτα τῆς γενέσεως ἄξια, ἀλλὰ τοῦ Ὀλύμπου καὶ τῶν ἐν Ὀλύμπῳ διαζῆν ἡγουμένων. † Ἡ εὐσέβεια μέση τυγχάνει ἀσεβείας καὶ δεισιδαιμονίας. † Ὅτι δεισιδαιμονία ἡ ἄκαιρος [3] παῤῥησία. [4] Ὁ Πύῤῥος γὰρ συλῶν τὰ χρήματα τῆς Περσεφόνης, ἐπισκώψας ἔφη· Ἡ ἄκαιρος θεοσέβεια δεισιδαιμονία ἐστὶ, καὶ τὸ συλλέξαι πλοῦτον ἄπονον, εὐβουλία.

Δεισιδαίμων. θεοσεβής. ἢ ἀμφίβολος περὶ τὴν πίστιν, καὶ οἱονεὶ δεδοικώς. καὶ δεισιδαιμονίας, ἀντὶ τοῦ θεοσεβείας, εὐλαβείας περὶ τὸ θεῖον· ἢ δειλίας. [5] Ὁρῶν δὲ τοὺς στρατιώτας δεισιδαιμονοῦντας ἐπὶ τοῖς σημείοις, ἐφιλοτιμεῖτο διὰ τῆς ἰδίας ἐπινοίας καὶ στρατηγίας μεταθεῖναι τὰς τοῦ πλήθους εὐλαβείας.

Fragm. gr. V. p. 82.

Δεῖ σοι. πρέπει.

Δεῖται. προσδεσμεύεται. ἢ χρήζει.

Δή. ἀντὶ τοῦ νῦν. Ἀριστοφάνης Νεφέλαις· Φρόντιζε δὴ καὶ διάθρει. Σωκράτης λέγει πρὸς τὸν πρεσβύτην. τὸ δὴ ἰσοδύναμον τῷ νῦν.

Δηβελτός.[6] πόλις Θρακική.

Δήγηρες. οἱ στρουθοί.

Δήετε. εὑρήσετε.

Δηθά. ἐπὶ πολὺν χρόνον.

Δηθάκις. πλειστάκις.

Δηθαίωνες. οἱ μακρόβιοι.

Δῆθεν. ὡς δή φησι. τοῦτο δὲ προσποίησιν ἀληθείας ἔχει, δύναμιν δὲ ψεύδους. λαμβάνεται δὲ τὸ θεν, ὡς παραπληρωματικόν. Ὁ δὲ Σερτώριος παρῄνει, ὡς δῆθεν αὐτοῖς παραδοῦναι τὴν πόλιν. † Ὁ δὲ Κῦρος ὡς ἐπὶ Πισιδίας δῆθεν ἐπορεύετο, ἐφ' οὓς στρατεύειν προεφασίζετο. Καὶ αὖθις· Προέτεινε τὰς χεῖρας, ἱκετεύων δῆθεν.

Δηθύνω. ἐγχρονίζω. βραδύνω.

Δήεις. εὑρήσεις. ἐν Ἐπιγράμματι· Γραψάμενος δήεις.

Δεισιδαιμονία. Metus Numinis. Superſtitio. Dubitatio de fide. Et δεισιδαίμων, metuens Numinis. Apoſtolus [Paulus inquit:] *Viri Athenienſes, video vos nimis eſſe ſuperſtitioſos.* Et Crito in *Geticis* ait: *Reges vero Getarum, cum impoſtura & præſtigiis magicis animis illorum religionem incuſſiſſent, & ad concordiam eos redegiſſent, magna jam animo agitabant.* Et Polybius Megalopolitanus de Timæo inquit: *In aliorum vitiis objurgandis magnam gravitatem & audaciam oſtendit: in ſuis vero narrationibus ipſe ſomniis & prodigiis refertus eſt, & fabulis ab omni fide remotis, ac poſtremo degeneri ac muliebri ſuperſtitione.* † *Aſclepiodotus religioſus erat & pius & initio ſuperſtitioſus adeo, ut neque ſacrificare ſuſtineret, neque arcanum ullum audire. Neque enim hæc mundo digna eſſe cenſebat, ſed cœlo, & iis, qui ſe in cœlo vivere exiſtimarent.* † Pietas media eſt inter impietatem & ſuperſtitionem. † Superſtitio eſt intempeſtiva religio. Pyrrhus enim, cum templum Proſerpinæ expilaret, cavillans dixit, intempeſtivam religionem eſſe ſuperſtitionem; pecuniam vero paratam nullo labore capere, viri eſſe prudentis.

Polyb.

2. conf. supr. V. Ἀσκληπιόδοτος, p. 353.

Δεισιδαίμων. Religioſus. Superſtitioſus. In fide dubius. Timidus. Et δεισιδαιμονίας, ſuperſtitionis, religionis, vel metus. *Ille autem videns, prodigia militum animis religionem injeciſſe, commento aliquo & arte metum multitudinis in fiduciam vertere ſtudebat.*

Δεῖ σοι. Decet te.

Δεῖται. Ligatur. Vincitur. Vel, indiget.

Δή. Pro νῦν, nunc. Ariſtophanes *Nubibus*: *Meditare nunc & diſpice.* Hæc Socrates ad [Strepſiadem] ſenem dicit. Τὸ δὴ ibi idem valet ac τὸ νῦν, nunc.

Δηβελτός. Debeltus, urbs Thraciæ.

Δήγηρες. Paſſeres.

Δήετε. Invenietis.

Δηθά. Diu.

Δηθάκις. Sæpe.

Δηθαίωνες. Longævi.

Δῆθεν. Scilicet. Tanquam. Hæc vox ſpeciem habet veritatis, at vim mendacii. Syllaba vero θεν aſſumitur ut particula expletiva. *Sertorius vero ſuadebat, ut ipſis urbem ſcilicet dederet.* † *Cyrus vero præ ſe ferebat, quaſi Piſidiam petere, & expeditionem adverſus eos ſuſcipere vellet.* Et iterum: *Manus protendebat, utpote ſupplex.*

Δηθύνω. Diu maneo. Moror. Cunctor.

Δήεις. Invenies. In Epigrammate: *Cum ſcripſeris, invenies.*

---

[1] Οὗτος γὰρ ἐν μὲν ταῖς τῶν π.——ἐστὶ πλήρης] Fragmentum hoc Polybii legitur in Collectaneis Conſtantini Imperatoris a Valeſio editis pag. 57. unde id Suidas deprompſit.

[2] Ἀσκληπιόδοτος ὅσιος ἦν —— ζῆν ἡγουμένων] Ex Damaſcio.

[3] Παῤῥησία] Scribendum εὐσέβεια, vel θεοσέβεια, ſenſus loci ſuadet.

[4] Ὁ Πύῤῥος γὰρ συλῶν τὰ χρήματα τῆς Περσ.] Hæc ſunt verba Appiani, quæ leguntur in Excerptis a Valeſio editis, pag. 554.

[5] Ὁρῶν δὲ τοὺς στρατιώτας δεισιδ.] Fragmentum hoc Valeſius ad Polybium refert.

[6] Δηβελτός.] Vide ſupra v. Δεβελτός.

Δηΐα.[1] καταπεπολεμημένη. κατακεκαυμένη. ἢ δηΐα, πεπονθυῖα. κοινῶς, πολεμία. Ἀττικῶς, δύστηνε. Σοφοκλῆς·

Ὦ δαΐα Τέκμησσα, δύσμορον γένος.

Δηϊάνειρα. ὄνομα κύριον.

Δηϊδάμεια. ὄνομα κύριον.

Δηϊόκεω. ὅτι [2] Ἀλυάττης Κυαξάρῃ τε τῷ Δηϊόκεω ἀπογόνῳ ἐπολέμησε, καὶ Μήδοισι, Κιμμερίους τε ἐκ τῆς Ἀσίας ἐξήλασε.

Δηϊονεύς. ὄνομα κύριον.

Δηϊοπίστης.[3] ὄνομα κύριον.

Δήϊος. ὄνομα κύριον.

Δηϊοτῆτος. μάχης.

Δηϊώ. ὄνομα κύριον.

Δηΐων. διακόπτων.

Δηΐπυλος. ὄνομα κύριον.

Δηΐπυρος.[4] ὄνομα κύριον.

Δηΐφοβος. ὄνομα κύριον.

Δηλαδή. φανερῶς.

Δηλαϊστή. ἐλεεινή. ἀθλία.

Δηλάτωρ. ὁ κατήγορος. καὶ δηλάτωρες. Ἀναστάσιος ὁ βασιλεὺς Ῥωμαίων τὸ τῆς δηλατωρείας πάθος τιμωρεῖται πρὸς τοῖς ἄλλοις ἔργοις.

Δηλατωρεῖαι. αἱ τῆς καταστάσεως τοῦ δημοσίου φόρου ἀποδείξεις. παρὰ Ῥωμαίοις αἱ εἰσαγγελίαι.

Δήλεια. καὶ Δηλιάς.

Δηλίου[5] κολυμβητοῦ. τοῦτο ἐρρέθη εἰς βίβλον Ἡρακλείτου, διὰ τὸ δυσνόητον, Δηλίου τινὸς δεῖσθαι κολυμβητοῦ, ὃς οὐκ ἀποπνιγήσεται ἐν αὐτῷ. ἐπιγράφουσι δὲ αὐτὸ, οἱ μὲν, Μούσας· οἱ δὲ, Περὶ Φύσεως· Διόδοτος δὲ, Ἀκριβὲς οἰάκισμα πρὸς στάθμην βίου· ἄλλοι, [6] Γνώμην ἠθῶν· [7] Κόσμον τρόπων ἑνὸς τῶν ξυμπάντων. ἢ οὕτως. Δηλίου κολυμβητοῦ. ἐπὶ τῶν ἄκρως νηχομένων. Σωκράτει γὰρ δόντος τοῦ Εὐριπίδου Ἡρακλείτου τοῦ Σκοτεινοῦ σύγγραμμα, ἐρέσθαι, τί δοκεῖ; τὸν δὲ φάναι· Ἃ μὲν συνῆκα, γενναῖα· οἶμαι δὲ καὶ ἃ μὴ συνῆκα. πλὴν Δηλίου δεῖται κολυμβητοῦ, εἰς τὸ μὴ ἀποπνιγῆναι ἐν αὐτῷ. καὶ παροιμία· Δήλιος κολυμβητής. ἐπὶ τῶν πάνυ ἐμπείρων νήχεσθαι.

Δηΐα. Bellis vexata. Combusta. Vel, quæ mala passa est. Communiter ita vocatur hostis. Attice vero, infelix, misera. Sophocles: *O misera Tecmessa, genus infelix.*

Δηϊάνειρα. Deianira. Nomen proprium.

Δηϊδάμεια. Deidamea. Nomen proprium.

Δηϊόκεω. Deiocis. Alyattes Cyaxari, Deiocis nepoti, Medisque bellum intulit, & Cimmerios ex Asia expulit.

Δηϊονεύς. Deioneus. Nomen proprium.

Δηϊοπίστης. Deopistes. Nomen proprium.

Δήϊος. Deius. Nomen proprium.

Δηϊοτῆτος. Pugnæ. Prœlii.

Δηϊώ. Deio. Nomen proprium.

Δηΐων. Dissecans.

Δηΐπυλος. Deipylus. Nomen proprium.

Δηΐπυρος. Deipyrus. Nomen proprium.

Δηΐφοβος. Deiphobus. Nomen proprium.

Δηλαδή. Palam. Manifeste.

Δηλαϊστή. Miseranda. Misera.

Δηλάτωρ. Delator. Et δηλάτωρες, delatores. Anastasius Imperator Romanorum præter alia etiam delationis crimen ultus est.

Δηλατωρεῖαι. Indicia, quæ deferuntur de publico tributo alicubi instituto. Apud Romanos ita vocantur delationes & accusationes.

Δήλεια. Delia. [Festum.] Et Δηλιὰς, Deliaca.

Δηλίου κολυμβητοῦ. Delii natatoris. De libro Heracliti, qui valde obscurus erat & intellectu difficilis, dicebatur, Delium natatorem esse oportere, qui in eo non submergatur. Hunc librum alii inscribunt, *Musas*: alii, *de Natura*. Diodotus vero, *certam vitæ dirigendæ rationem secundum normam* [*virtutis.*] Alii, *Regulam morum.* [Alii,] *Ornamentum morum.* Vel sic. *Delii natatoris.* Dicebatur de iis, qui natandi peritissimi erant. Euripides enim, cum Heracliti Σκοτεινὸς vocati librum Socrati [legendum] dedisset, interrogasse fertur, quid ei videretur? Illum vero respondisse: *Ea quidem, quæ intellexi, præclara sunt: puto item & ea, quæ non intellexi: sed Delium natatorem esse oportet, qui in iis non suffocetur.* Et proverbium: *Delius natator.* Dicitur de iis, qui sunt natandi peritissimi.

Δηληγατίων. κατὰ Ῥωμαίους ἡ ἐκταγὴ τοῦ σιτοπομπείου, καὶ ἡ ἀννονῶν μετακομιδή.

Δήλημα. βλάβη. δηλήμων, ὁ βλαπτικός. δηλήσεται, βλάψει, διαφθερεῖ. καὶ δήλησις, ἡ βλάβη.

Δηληγατίων. Delegatio. Sic apud Romanos vocatur procuratio rei frumentariæ, & annonæ transportatio.

Δήλημα. Damnum. Læsio. Δηλήμων. Qui lædit. Qui nocet. Δηλήσεται. Lædet. Perdet.

---

[1] Δηΐα. καταπεπολ.] Ex Scholiasta Sophoclis ad *Ajacem* pag. 47. ut Portus etiam monuit.

[2] Ὅτι Ἀλυάττης Κυαξάρῃ τε τῷ Δηϊόκ.] Hæc sunt verba Herodoti libro 1. pag. 4.

[3] Δηϊοπίστης] Imo Δηϊοπίτης. Vide Homerum Il. Λ. v. 420.

[4] Δηΐπυρος] Ejus meminit Homerus Il. I. v. 83.

[5] Δηλίου κολυμβητοῦ ——— ἑνὸς τῶν ξυμπάντων] Hæc leguntur apud Laertium *Heraclito*, Segm. xii. unde Suidas.

[6] Γνώμην ἠθῶν] Malim Γνώμονα ἠθῶν, i. e. *Indicem morum.*

[7] Κόσμον τρόπων ἑνὸς τῶν ξυμπάντων] Quamvis sic etiam legatur apud Laertium, locum hunc tamen suspectum habeo, qui sic fortasse scribendus & distinguendus est: Κόσμον τρόπων. Ἓν ἀντὶ ξυμπάντων. i. e. *Ornamentum morum. Unum instar omnium.* Videtur enim liber Heracliti præter alios titulos splendidos & ambitiosos etiam hunc habuisse, Εἷς ἀντὶ ξυμπάντων: quasi liber iste esset unus instar omnium, & qui eum legeret, reliquis carere facile posset. Hæc est mea de loco isto conjectura, quam tamen non ita probo & amplector, ut non eam indictam velim, si quis sit, qui meliora docere me voluerit.

Λῃσταὶ ἐπελθόντας ἐπὶ δηλήσει τῶν βοῶν Θεσπιάδου.

Δηλητήριον. Φάρμακον.

Δηλιάς.[1] ἡ ναῦς. καὶ ἡ Δημήτηρ. καὶ κύριον ὄνομα.

Δηλιασταί.[2] οἱ εἰς Δῆλον ἐξελθόντες θεωροί. οὕτω Λυκοῦργος.

Δήλιος. ὁ ἀπὸ τῆς Δήλου. Δῆλος γὰρ ἡ νῆσος τοῦ Ἀπόλλωνος.

Δήλων.[3] ὁράσεων. καὶ δῆλοι, ὁράσεις, ἐνύπνια.

Δημαγωγεῖ. στρατηγεῖ. ἄρχει τοῦ δήμου.

Ὃς[4] ἑπτέτης ὢν οὐκ ἔφυσε φράτορας.
Νυνὶ δὲ δημαγωγεῖ.

τουτέστιν, οὐκ ἐνεγράφη εἰς τοὺς φράτορας.

Δημαγωγικός. στρατηγικός. [5] Πολύβιος· Μολπαγόρας, ἀνὴρ λέγειν καὶ πράττειν ἱκανός, κατὰ δὲ τὴν αἴτησιν[6] δημαγωγικὸς καὶ πλεονέκτης· ὃς μοναρχικὴν ἐξουσίαν ἑαυτῷ περιποιησάμενος, ἀνῃρέθη παρά τινων. Καὶ αὖθις· Ἡ[7] δημαγωγία δὲ οὐ πρὸς μουσικοῦ ἐστιν ἀνδρός, οὐδὲ χρηστοῦ τοὺς τρόπους, ἀλλ' εἰς ἀμαθῆ καὶ βδελυρόν. Ἀριστοφάνης φησί.

Δημαγωγός. Ἀνδρὸς δημαγωγοῦ μεταπείσαντος αὐτόν. τουτέστι, τοῦ δήμου ἄρχοντος. Ὁ[8] Φλαμίνιος ὀχλοκόπος καὶ δημαγωγὸς τέλειος, πρὸς ἀληθινῶν δὲ καὶ πολεμικῶν πραγμάτων χειρισμὸν οὐκ εὐφυής.

Δημάδης, Ἀθηναῖος, ῥήτωρ, καὶ δημαγωγὸς πανοῦργος καὶ εὐτυχής· [9] πρότερον ναύτης ὤν. ἔγραψεν[10] ἀπολογισμὸν πρὸς Ὀλυμπιάδα τῆς ἑαυτοῦ δωδεκαετίας. ἱστορίαν περὶ Δήλου, καὶ τῆς γενέσεως τῶν τῆς Λητοῦς παίδων. οὗτος κατέλυσε τὰ δικαστήρια καὶ τοὺς ῥητορικοὺς ἀγῶνας. τελευτᾷ δὲ ἐπὶ Ἀντιπάτρου.

Δημάδης, μετ'[11] Ἀντίπατρον βασιλεύσας, Θήβας ἀνέστησε, Δημαίου ναύτου, ναύτης αὐτός, καὶ ναυπηγὸς καὶ πορθμεύς. ἀποστὰς δὲ τούτων ἐπολιτεύσατο, καὶ ἦν προδότης, καὶ ἐκ τούτου εὔπορος παντός, καὶ κτήματα ἐν Βοιωτίᾳ παρὰ Φιλίππου δωρεὰν ἔλαβεν. οὗτος Δημοσθένει λέγοντι ὑπὲρ Ὀλυνθίων ἀντέλεγεν· Εὐθυκράτη δὲ τὸν Ὀλύνθιον, ἀτιμωθέντα παρὰ

Corrumper. Et δήλησις. Læſio. Damnum. *Latrones, qui advenerant, ut Theſpiadis boves læderent.*

Δηλητήριον. Venenum.

Δηλιάς. Navis Deliaca. Eſt etiam epithetum Cereris. Item nomen proprium.

Δηλιασταί. Sic vocabantur legati, qui [quotannis] ſacrorum cauſa in Delum inſulam mittebantur. Sic Lycurgus.

Δήλιος. Qui eſt ex Delo. Delus enim erat inſula, Apollini ſacra.

Δήλων. Viſionum. Et δῆλοι, viſiones, ſomnia.

Δημαγωγεῖ. Eſt populi dux. Populum regit. [Ariſtophanes:] *Qui cum ſeptennis eſſet, non edidit tribules. Nunc vero orator eſt apud populum gratioſus.* Id eſt, in album tribulium relatus non eſt.

Δημαγωγικός. Qui facultate dicendi multum apud populum valet. Polybius : *Molpagoras erat vir ad dicendum & ad agendum promptus, &, quod ad vitæ ejus inſtitutum attinet, orator popularis, & ſupra cæteros eminere ſtudens. Hic cum regiam poteſtatem ſibi comparaſſet, a quibuſdam interfectus eſt.* Et iterum: *Reipubl. & populo non amplius præſunt viri eruditi & probi; ſed res iſta ad viros indoctos & flagitioſos recidit.* Ariſtophanes inquit.

Δημαγωγός. Qui gratia & auctoritate multum apud populum valet. Orator popularis. *Cum vero orator popularis eum a ſententia dimoviſſet.* † *Flaminius quidem erat plebicola, & populi favorem quovis modo aucupabatur: ſed ad rem bellicam adminiſtrandam & vera certamina ineptus erat.*

Δημάδης. Demades, Athenienſis, orator, & plebicola, homo callidus & fortunatus: qui ante nauta fuerat. Scripſit orationem ad Olympiadem, in qua duodecennii ſui rationes reddit. Item, hiſtoriam Deli, & de ortu liberorum Latonæ. Idem judicia & certamina oratorum ſuſtulit, & ſub Antipatro obiit.

Δημάδης. Demades, Demææ nautæ filius, & ipſe nauta, & naupegus, & portitor: ſed qui eo inſtituto vitæ relicto ad negotia Reip. tractanda poſtea ſe contulit, & ob venalem fidem opulentiſſimus evaſit, Philippo poſſeſſiones in Bœotia ipſi donante. Hic contra Demoſthenem Olynthiorum cauſam agentem dixit, & Euthycratem Olynthium, ab A-

---

[1] Δηλιάς. ἡ ναῦς] Hæc navis etiam dicebatur Θεωρίς. Vide infra v. Θεωρίς.

[2] Δηλιασταί. οἱ εἰς Δῆλον ἐξελθ.] Ex Harpocratione.

[3] Δήλων. ὁράσεων] Hoc ſenſu vox iſta accipitur apud LXX Interpretes, ad quos Suidas reſpexit.

[4] Ὃς ἑπτέτης ὢν οὐκ ἔφ.] Hæc ſunt verba Ariſtoph. *Ranis* pag. 231. (147. Ed. Baſ.)

[5] Πολύβιος. Μολπαγόρας ἀνὴρ λέγ.] Fragmentum hoc Polybii legitur in Excerptis a Valeſio editis, p. 65. unde id Suidas deprompſit. Confer etiam infra v. Μολπαγόρας.

[6] Αἴτησιν] In Excerptis modo laudatis legitur *αἵρεσιν*, uti etiam hic apud Suidam legendum eſt.

[7] Ἡ δημαγωγία δὲ οὐ πρὸς μουσ.] Locus hic ex Ariſtoph. *Equit.* pag. 297. (200. Ed. Baſ. *P.*) ſic ſcribendus & diſtinguendus eſt:
Ἡ δημαγωγία γὰρ οὐ πρὸς μουσικοῦ
Ἔτ' ἐστὶν ἀνδρὸς, οὐδὲ χρηστοῦ τοὺς τρόπους,
Ἀλλ' εἰς ἀμαθῆ καὶ βδελυρόν.

[8] Ὁ Φλαμίνιος ὀχλοκόπος καὶ δημαγωγ.] Fragmentum hoc legitur apud Polybium lib. III. cap. LXXX. ejuſque pars repetitur infra v. Ὄχλου.

[9] Πρότερον ναύτης ὤν] Idem teſtatur Syrianus in Hermogenem: Οἷον Δημάδου, τοῦ ἀπὸ τῆς κώπης ἀνίπτοις τὸ τοῦ λόγου χερσὶν ἐπὶ τὸ βῆμα πηδήσαντος. i. e. *Ut Demadis, qui a remo illotis, ut ajunt, manibus ad tribunal tranſiluit.* Et Quintilianus lib. II. cap. XVII. *Ad cujus rei confirmationem afferunt Demadem remigem & Æſchinem hypocriten oratores fuiſſe.* Hæc duo loca etiam ante me obſervaſſe video Meurſium in *Bibliotheca Attica*.

[10] Ἔγραψεν ἀπολογισμὸν πρὸς Ὀλυμπ. τῆς ἑαυτοῦ δωδεκ.] Hujus orationis fragmentum hodie adhuc exſtat inter orationes veterum oratorum Græcorum.

[11] Μετ' Ἀντίπατρον βασιλεύσας, Θήβας ἀνέστησε] Hæc verba oſcitantia librariorum loco movit, quæ collocanda ſunt poſt vocem ultimam articuli præcedentis, & ſic legenda, ὃς μετ' Ἀλέξανδρον βασιλεύσας, Θήβας ἀνέστησε.

Ἀθηναίοις, ἐψηφίσατο ἐπίτιμον εἶναι καὶ πρόξενον Ἀθηναίοις. λόγους δὲ διδοὺς ἀρχῆς, θορυβηθεὶς ἀπεδήμησεν, οὔτε ἑαυτῶν, εἰπὼν, ἐστὲ κύριοι, οὔτε ἐμοῦ. ἐπέστελλε δὲ Φιλίππῳ, καὶ τὸν υἱὸν ἔπεμπε πρὸς αὐτόν. ἱπποτρόφει δὲ καὶ ἠγωνίζετο Ὀλυμπιάσι, καὶ ἐνίκα. ἔγραψε δὲ καὶ ψήφισμα, τῷ Φιλίππῳ τοὺς Ἕλληνας ὑπακούειν. ἐν Χαιρωνείᾳ δὲ αἰχμάλωτος γενόμενος, ἀφείθη, καὶ [1] πρεσβευτὴς ὑπὲρ τῶν αἰχμαλώτων ἀπεστάλη, οὓς ἀνῆκε Φίλιππος. δὶς δὲ παρανόμων ἑάλω. ἐπολιτεύσατο δὲ καὶ ἐπ' Ἀλεξάνδρου.

Δημάδης, Λακιάδης, Ἀθηναῖος, ῥήτωρ. τοῦτον εἰσεποίησεν ὁ πρότερος Δημάδης, ὁ καὶ δημαγωγὸς, ἀπὸ αὐλητρίδος τεχθέντα. πατὴρ δὲ καὶ αὐτὸς Δημαίου τοῦ ῥήτορος γέγονε, καὶ ἀπώλετο ῥιφεὶς εἰς τὴν Ἀμφιπόλεως λίμνην ὑπὸ Ἀντιπάτρου, τοῦ Κασάνδρου πατρὸς, καὶ διαδόχου.

Δημάρατος, Πατροκλέους ἀπόγονος, ὑπὸ Κλεομένους τοῦ Εὐρυσθέως ἀπογόνου, ὃς Ἱππίαν καθεῖλε συμβασιλεύων, [2] ἐκβέβληται ὡς νόθος· διότι τεχθέντος αὐτοῦ, καὶ ἀγγελθέντος Ἀρίστωνι τῷ πατρὶ, λογισάμενος ὁ πατὴρ τὸν ἀπὸ γάμου χρόνον ἐλάττονα δέκα μηνῶν ὄντα, οὐκ ἐμὸς παῖς οὗτός ἐστιν, ἔφη. ἐκπεσὼν δὲ, εἰς Πέρσας ἀνῆλθε, καὶ τελευτήσαντος Δαρείου, συμπράξας εἰς τὴν βασιλείαν τῷ Ξέρξῃ, ἐπὶ τὴν Ἑλλάδα στρατεύειν αὐτὸν ἔπεισεν.

Δημαρχία. ὅτε ὁ δῆμος ἄρχει. καὶ ὄνομα ἀξιώματος.

Δήμαρχος. ἑκάστου δήμου τῶν ἐν Ἀθήναις κατάρχων, δήμαρχος ἐλέγετο. [3] οὗτοι δὲ τὰς ἀπογραφὰς ἐποιοῦντο τῶν προσόντων ἑκάστῳ δήμῳ χωρίων. ἔτι δὲ καὶ τὰ ληξιαρχικὰ γραμματεῖα παρ' αὐτοῖς ἦν. ἀλλὰ καὶ συνῆγον τοὺς δήμους, ὁπότε δέησαι, καὶ ψῆφον αὐτοῖς ἐδίδοσαν, καὶ ἐνεχυρίαζον δὲ οὗτοι.

Δήμαρχοι. ὁ δῆμος εἰς τὴν προτέραν ἐπανελθὼν εὐκοσμίαν, δημάρχους εἵλετο Σικίννιον καὶ Βροῦτον, οἳ τοῖς ὑπάτοις εἰς τὸ αὐτὸ τῆς δυνάμεως καθιστάμενοι, ἐνιαυτῷ τε ταύτην καρπούμενοι τὴν ἐξουσίαν, ἐδημαγώγουν τὸ πλῆθος τοῖς καθ' ἡδονὴν πολιτεύμασιν. † Ὄνομα δὲ πολιτείας οἱ δήμαρχοι παρὰ τοῖς Ἀθηναίοις, οἱ πρώην Ναύκραροι καλούμενοι· οἷς ἐξῆν ἐνεχυράζειν. καὶ Φερεκράτης·

Ὑπέλυσε [4] δήμαρχός τις ἐλθὼν εἰς χορόν.

οἱ κατὰ δῆμον ἄρχοντες. οὗτοι δὲ διεκόσμουν τὴν ἑορτὴν τῶν Παναθηναίων.

Δημαίνετος. ὄνομα κύριον.

Δημελέητος. ἐλεεινός.

Δημεύσας. δημοσιεύσας.

thenienſibus ignominia notatum, decreto ſuo in integrum reſtituit, & publicum Athenienſium hoſpitem effecit. Cum autem magiſtratus a ſe geſti rationes redderet, ob metum urbe ceſſit, *Nec ipſi veſtrum*, [*Athenienſes*,] inquiens, *nec mei eſtis domini*. Scripſit ad Philippum, filiumque ad eum miſit. Idem etiam equos aluit, & in ludis Olympiacis certans vicit. Decretum quoque ſcripſit, ut Græci Philippo parerent. Idem in pugna Chæronenſi captus eſt. Dimiſſus vero legationem captivorum gratia obiit, quos Philippus dimiſit. Bis decretorū contra leges factorum reus peractus eſt. Rempublicam etiam ſub Alexandro geſſit.

Δημάδης. Demades, Laciades, Athenienſis, orator: quem ſuperior Demades, qui & Demagogus fuit, ex tibicina natum adoptavit. Fuit & ipſe pater Demeæ oratoris. Periit in lacu Amphipolitano, in quem ab Antipatro Caſſandri patre & [Alexandri] ſucceſſore conjectus fuit.

Δημάρατος. Demaratus, a Patrocle oriundus, arte & dolo Cleomenis (qui ab Euryſtheo genus ducebat, & Hippiam regni ſocium poteſtate regia privavit) ut ſpurius patria ejectus fuit. Pater enim ejus Ariſto, cum eum natum eſſe audiviſſet, negavit hunc eſſe filium ſuum, quod ſubducta ratione temporis deprehendiſſet, nondum x. menſes a nuptiis effluxiſſe. Ejectus igitur, ad Perſas ſe contulit, & Xerxi, quem defuncto Dario in obtinendo regno adjuverat, perſuaſit, ut Græciæ bellum inferret.

Δημαρχία. Imperium, quod eſt penes populum. Item, nomen dignitatis. Tribunatus.

Δήμαρχος. Cujuſque populi Attici princeps vocabatur δήμαρχος. Hi agros & loca ad ſingulos populos pertinentia deſcribebant, tabulas lexiarchicas cuſtodiebant, populoſque, cum res poſtularet, convocabant, & in ſuffragia mittebant. Iidem etiam pignora capiebant.

Δήμαρχοι. Tribuni plebis. Populus [Romanus] ſeditionibus & diſſidiis inteſtinis compoſitis Tribunos plebis creavit Sicinnium & Brutum, qui poteſtate Conſulibus æquati, & annum magiſtratum gerentes, certis artibus plebem arbitratu ſuo gubernabant. † Δήμαρχοι, nomen magiſtratus apud Athenienſes, antea *Naucrari* vocati: quibus pignora capere licebat. Et Pherecrates: * * * * Sic autem appellabantur, qui ſingulis populis [Atticis] præfecti erant. Hi feſtum Panathenæorum curabant.

Δημαίνετος. Demænetus. Nomen proprium.

Δημελέητος. Miſerandus.

Δημεύσας. Qui publicavit.

---

[1] Καὶ πρεσβευτὴς ὑπὲρ τῶν αἰχμαλώτων ἀπ.] Hujus rei ipſe Demades meminit in ante laudata oratione ὑπὲρ δωδεκαετίας, pag. 179.

[2] Ἐκβέβληται ὡς νόθος] Hiſtoria eſt apud Herodotum lib. vi. pag. 222. 223.

[3] Οὗτοι δὲ τὰς ἀπογραφὰς ἐπ.] Ex Harpocratione. Vide etiam Scholiaſtam Ariſtoph. ad *Nubes* pag. 125. apud quem eadem leguntur.

[4] Ὑπέλυσε δήμαρχός τις ἐλθ.] Fragmentum hoc ἀνερμήνευτον reliqui, quoniam ſenſus ejus eſt omnino mutilus & imperfectus.

Δημηγόρος. ἐπὶ τοῦ δήμου λαλῶν.

Δημήτηρ. ἡ γῆ. οἱονεὶ Γημήτηρ τις οὖσα. [1] Ἐπεὶ δὲ ἕδρα πάσης πόλεως ἡ γῆ ἐστιν, ὡς βαστάζουσα τὰς πόλεις, πλάττεται πυργοφόρος. καὶ αὖθις· Ὤικουν δὲ γῆν εὐδαίμονα μάλιστα, καὶ καρποὺς ἐνεγκεῖν οὖσαν ἀγαθήν, οἶνόν τε ἡδὺν καὶ πολὺν ἔχουσαν.

Δήμητρα. ὄνομα Θεᾶς.

Δημήτριος καρπός. ὁ τῆς Δήμητρος. ὅτι Ἀπολλώνιον βραχέως, τὸ ἱερὸν τοῦ Ἀπόλλωνος (οὕτω καὶ παρὰ Θουκυδίδῃ ἀναγνωστέον) καὶ Ποσειδώνιον, τὸ τοῦ Ποσειδῶνος· ὡς Ἀθήναιον, τὸ τῆς Ἀθηνᾶς, καὶ Διονύσιον, καὶ Δημήτριον, καὶ πάντα τὰ τοιαῦτα ὁμώνυμα τοῖς ἀνθρωπωνυμικοῖς. τὸ δὲ Ποσειδάνειον δῆλον ὅτι Δωριέων.

Δημήτριος,[2] Φανοστράτου, Φαληρεύς· Φάληρον δὲ λιμὴν τῆς Ἀττικῆς· ὃς τὸ πρῶτον Φανὸς ἐκαλεῖτο· φιλόσοφος Περιπατητικός. γέγραφε φιλόσοφά τε, καὶ ἱστορικά,[3] καὶ ῥητορικά, καὶ πολιτικά, καὶ περὶ ποιητῶν. ἠκροάσατο δὲ Θεοφράστου, καὶ δημαγωγὸς Ἀθήνησι γέγονε. συνέγραψε δὲ συχνὰ βιβλία. οὗτος δὲ ἦν σφόδρα εὐπρεπής, ὡς καὶ διαβολὴν λαβεῖν, ὅτι γέγονεν ἐρώμενος [4] νέος ὤν, καὶ [5] προσαγορευθῆναι ὑπό τινων αὐτὸν Λαμπετὼ καὶ Χαριτοβλέφαρον. εἰς μέγα δὲ ἀρθεὶς δόξης καὶ ἐπικρατείας, ὑπὸ τοῦ φθόνου κατεστρατηγήθη, καὶ ἐξελαθεὶς ὑπὸ Ἀθηναίων, εἰς Αἴγυπτον ἦλθεν, καὶ παρὰ τῷ Σωτῆρι Πτολεμαίῳ διατρίβων, δηχθεὶς ὑπὸ ἀσπίδος ἀπέθανε, καὶ ἐτάφη ἐν τῷ Βουσιρίτῃ νομῷ, πλησίον Διοσπόλεως τῆς ἐν τοῖς ἕλεσι. † [6] Ὅτι τοῦ πατρὸς ἤδη γεγηρακότος Δημητρίου τοῦ Πολιορκητοῦ, αἱ τῆς βασιλείας ἐλπίδες ἐς τὴν τούτου διαδοχὴν ἦγον ἅμα τὴν ἀρχὴν καὶ τὴν τῶν [7] ὄχλων εὔνοιαν. ἦν δὲ τῷ κάλλει καὶ μεγέθει διάφορος· ἔτι δὲ καὶ κεκοσμημένος ὅπλοις βασιλικοῖς εἶχε πολλὴν ὑπεροχὴν καὶ κατάπληξιν, δι' ἧς εἰς ἐλπίδας ἀδρὰς ἦγε τοὺς πολλούς. πρὸς δὲ τούτοις πραότης τις ἦν περὶ αὐτόν, ἁρμόζουσα νέῳ βασιλεῖ, δι' ἧς εἰς προθυμίαν ἐξεκαλεῖτο πάντας, ὥστε καὶ τοὺς ἐκτὸς τάξεως συνδραμεῖν ἐπὶ τὴν ἀκρόασιν, συναγωνιῶντας τῇ νεότητι, καὶ τῇ μελλούσῃ γίνεσθαι κρίσει διὰ τῆς παραλάξεως.

Δημήτριος,[8] ὁ ἐπίκλην Ἰξίων, γραμματικός, Ἀτραμυττηνός, γεγονὼς κατὰ τοὺς Αὐγούστου τοῦ Καίσαρος χρόνους· ὃς διέτριψεν ἐν Περγάμῳ. ἐπεκλήθη δὲ τοῦτο, ὡς μέν τινες, διότι λεπίδας χρυσᾶς κλέπτων

Δημηγόρος. Qui ad populum verba facit.

Δημήτηρ. Ceres. Tellus. Quaſi dicas Γημήτηρ. *Quoniam autem terra omnes urbes ſuſtinet & geſtat, fingitur turrifera.* Et iterum: *Incolebant autem terram beatam, frugumque feraciſſimam, & vini ſuaviſſimi copia abundantem.*

Δήμητρα. Cererem. Nomen Deæ.

Δημήτριος καρπός. Fructus Cerealis. Fruges. † Ἀπολλώνιον, templum Apollinis, penultimam brevem habet; (& ſic apud Thucydidem ſcribendum eſt) & Ποσειδώνιον, templum Neptuni, & Ἀθήναιον, templum Minervæ, & Διονύσιον, Bacchi, & Δημήτριον, Cereris. Omnia enim hujuſmodi vocabula eodem modo efferuntur, quo nomina virorum ejuſdem originis. Ποσειδάνειον vero Dorice dici [pro Ποσειδώνιον] manifeſtum eſt.

Δημήτριος. Demetrius, Phanoſtrati filius, Phalereus, (Phalerum autem eſt portus Atticæ) ante Phanus appellatus, philoſophus Peripateticus: qui Philoſophica, Hiſtorica, Rhetorica, Politica, itemque de Poetis ſcripſit. Theophraſtum quoque audivit, & orator popularis Athenis fuit, pluresque libros ſcripſit. Idem adeo formoſus fuit, ut male audiret, quaſi in adoleſcentia impudicus fuiſſet, & a quibuſdam Lampeto & Charitoblepharus vocatus fuiſſet. Ad magnam poſtea gloriam & potentiam evectum invidi artibus & dolis ſuis ſubruerunt. Athenis igitur pulſus in Ægyptum venit, & apud Ptolemæum Soterem degens, morſu aſpidis periit, & in præfectura Buſiritide prope Dioſpolin in paludibus ſitam ſepultus eſt. † Cum pater Demetrii Poliorcetæ jam conſenuiſſet, ſpes regni, quod ſucceſſionis jure ad eum pertinebat, benevolentiam populi ei conciliavit. Hic egregia forma & ſtatura præditus erat, &, cum inſuper armis regiis ornatus eſſet, majeſtatem quandam imperatoriam præ ſe ferebat, quæ intuentes percellebat, & ſimul in ſpem præclaram erigebat. Adhæc clementia, rege juvene digna, in eo elucebat, quæ in omnium animis alacritatem quandam & fiduciam excitabat, adeo ut magno ſtudio concurrerent ad eum audiendum, ſolliciti de ipſius adoleſcentia & futuri conflictus eventu.

Δημήτριος. Demetrius, cognomento *Ixion*, Grammaticus, Atramyttenus, qui Auguſti Imperatoris tempore Pergami vixit, & ſecundam quoſdam *Ixion* ideo vocatus eſt, quod deprehenſus eſſet in furto, quo aureas braτοῦ ἐν Ἀλεξανδρείᾳ τῆς Ἥρας ἀγάλματος ἐφωράθη. ὡς δὲ ἄλλοι, ὅτι ἀπεσύλησεν Εὐριπίδειον Φιλότιμον τὸ δρᾶμα ἔχον τὸν Ἰξίονα. ἕτεροι δὲ, ὅτι τῷ διδασκάλῳ Ἀριστάρχῳ ἀντήρισεν, ὥσπερ ὁ Ἰξίων εὐεργετήσασιν αὐτὸν τοῖς Θεοῖς ἀχαριστεῖν ἐπεχείρησεν. ἔγραψε δὲ περὶ τῶν εἰς μι ληγόντων ῥημάτων· καὶ ἄλλα περὶ ἀντωνυμιῶν. εἰς Ὅμηρον ἐξήγησιν. εἰς Ἡσίοδον ὁμοίως.

---

[1] Ἐπεὶ δὲ ἕδρα πάσης πόλεως ἡ γῆ ἐς. —— πυργοφόρος.] Eadem leguntur etiam apud Codinum *de Origin. CPol.* pag. 14.

[2] Δημήτριος, Φανοστρ.] De hoc Demetrio plura lege apud Laertium.

[3] Καὶ ῥητορικά] Hæc ex 2 MSS. Pariſ. revocavi. Deſunt enim in prioribus Editt.

[4] Νέος ὤν] MSS. Pariſ. habent Νέωνος. Sed legendum eſt Κλέωνος, auctoritate Laertii, qui lib. V. Segm. LXXVI. teſtatur, Demetrium noſtrum a Cleone in deliciis habitum fuiſſe.

[5] Προσαγορευθῆναι ὑπό τινων αὐτὸν Λαμπ.] Idem tradit Laertius loco laudato; itemque Athenæus lib. XIII. pag. 593.

[6] Ὅτι τοῦ πατρὸς ἤδη γεγηρακότος Δημητρ.] Hæc, & omnia quæ ſequuntur uſque ad finem articuli, ſunt verba Diodori Siculi lib. XIX. pag. 721.

[7] Ὄχλων] Sic ex Diodoro Siculo reſcripſi, cum antea male legeretur ὅπλων; quam vocem miror Wolfium & Portum de mendo ſuſpectam non habuiſſe.

[8] Δημήτριος, ὁ ἐπίκλην Ἰξ.] Laertius lib. V. Segm. LXXXIV. varios Demetrios recenſens, etiam Ixionis hujus meminit his verbis: Δημήτριος, Ἀδραμυττηνός, γραμματικός, ἐπικληθεὶς Ἰξίων, διὰ τὸ ἀδικῆσαί τι δοκεῖν περὶ τὴν Ἥραν. Vide ibi Menagium. Heſychius Mileſius: Δημήτριός τις ἕτερος Ἰξίων ἐπεκλήθη, διότι λεπίδας χρυσᾶς κλέπτων τοῦ ἐν Ἀλεξανδρείᾳ τῆς Ἥρας ἀγάλματος ἐφωράθη. Ixionem hunc ἐν ταῖς Ἀττικαῖς Λέξεσι citat Enarrator Comici ad *Aves* pag. 614. & Athenæus lib. IX. cap. XI. ἐν τῷ περὶ τῆς Ἀλεξανδρέων διαλέκτου: & lib. III. cap. I. ἐν πρώτῃ ἐτυμολογουμένων. Præterea, abſque nomine operis idem laudatur a Scholiaſta Ariſtophanis ad *Ranas* pag. 227. & ab Euſtathio ad Il. Ε. pag. 518. 18.

Δημήτριος, ὁ Ἀντιγόνου, καὶ Πτολεμαῖος, ὡμολόγησαν φιλίαν σφίσιν ἔνσπονδον εἶναι ἐπ’ ἐλευθερώσει τῆς πάσης Ἑλλάδος, καὶ ἐπὶ τῷ τῇ ἀλλήλων ἐπιμαχεῖν· καὶ ἅμιλλα ἦν αὐτοῖς, πότερος μᾶλλον τὰ δόξαντα ἔργῳ ἐμπεδώσει. καὶ ὁ Μακεδονικὸς ἄρχων οὐ διὰ σχολαιότητος ἀφικνεῖται, καὶ τήν τε εἰς Μουνυχίαν οὖσαν φρουρὰν ἐκβάλλει, καὶ Διονύσιον, τὸν ἐπιτεταγμένον αὐτῇ, κτείνει, καὶ Δημήτριον τὸν Φαληρέα μεθίστησιν, ὃς δὴ τὰ Ἀθήνησιν ἦγεν εἰς ὀλιγαρχίαν, καὶ αὐτονομεῖσθαι, καθότι πάτριον, Ἀθηναίοις τε καὶ Μεγαρεῦσιν ἔδωκε, φυλάττειν τε ὅσα ἦν σφίσιν ἐκ τῆς εἰς τὸ ἀρχαῖον πολιτείας νόμιμα. ὁ δὲ Πτολεμαῖος, ἅτε διαφερόντως τρόπου πρᾳότητα καὶ φιλανθρωπίαν ἔργοις δηλώσας, ἐπῆρε τοὺς Ἕλληνας τῇ τοῦ ἐλευθερωθῆναι ἐλπίδι ἐνδιδόναι σφᾶς ἔτι μᾶλλον· ἐπεὶ καὶ τὰ ἐφολκὰ τῶν λόγων, καὶ ὧν ἔπραττε, θαρσεῖν ἐποίει, πιστεύοντας, ὡς ἐπὶ σαφεῖ τῶν Ἑλλήνων ἐλευθερώσει, καὶ οὐκ ἀρχῆς ἐπιθυμίᾳ, τὰ πραττόμενα γίγνοιτο. αὐτονόμους τε δὴ τὰς πλείστας τῶν Ἑλληνίδων πόλεων ἀφίησι, καὶ τὰς Ἰσθμιάδας σπονδὰς ἐπήγγελε, κελεύων οἷα ἐπ’ ἐλευθερώσει θαλλοφοροῦντας θεωρεῖν εἰς τὰ Ἴσθμια. ἄρας δὲ ἐντεῦθεν, ἀπέπλευσεν ἐπ’ Αἴγυπτον, Λεωνίδην ἐπὶ τῇ Ἑλληνικῇ ἀρχῇ ἐπιστήσας· καὶ Λιβύης πάσης ἐκράτησεν, Ὀφέλλα τοῦ Κυρηναίου δυνάστου πρὸς[1] Ἀγαθοκλέους κατὰ Σικελίαν ἀναιρεθέντος δόλῳ. διέμεινε δὲ ἄρα οὐκ ἐπὶ πολὺ Πτολεμαίῳ καὶ Δημητρίῳ ἡ ὁμολογία τῆς ξυμβάσεως πέρι.

Δήμιον. δημόσιον.

Δημιόπρατα.[2] ἃ ὁ δῆμος πιπράσκει. τὰ δημοσίᾳ πιπρασκόμενα. Ἀριστοφάνης·

Ἐπίπαστα λείξας δημιόπραθ’ ὁ βάσκανος.

Δήμιος. ὁ κολάζων τοὺς παρανόμους.

Δημιουργεῖ. τὰ μὴ ὄντα ποιεῖ.

Δημιουργός. χειροτέχνης. ὁ τὰ μὴ ὄντα ποιῶν. ὁ τὰ δημώδη ἐργαζόμενος. Ἅδης[3] δημιουργὸς ἄγριος. † Καὶ[4] μηκέτι δέχεσθαι τοὺς κατ’ ἔτος ἐκπεμπομένους Κορινθίων Ἐπιδημιουργοὺς κελεύοντες. † Ἑαυτόν τε

ctꝫeas ſimulacri Junonis Alexandrinæ ſurripere conabatur. Ut vero alii dicunt, quod Euripidio Philotimo Ixionem fabulam abſtuliſſet: aut, ut alii, quod cum Ariſtarcho magiſtro contendiſſet; quemadmodum Ixion adverſus Deos, qui beneficiis ipſum affecerant, ſe ingratum præbere non dubitarit. Scripſit de Verbis in μι. De Pronominibus. Commentarium in Homerum & Heſiodum.

Δημήτριος. Demetrius, Antigoni filius, & Ptolemæus amicitiam & fœdus inter ſe pepigerunt, quo cautum erat, ut Græciam totam in libertatem aſſererent, & alter alteri in bello opem ferret. Itaque cum certamen inter eos eſſet, uter majore ſtudio exequeretur ea, quæ inter ipſos convenerant; Rex Macedoniæ ſine cunctatione in Atticam profectus, præſidium Munychia ejecit, Dionyſio, qui ei præfectus erat, interfecto; & Demetrium Phalereum, qui ſummam rerum Athenis a populo ad pauciores transferre ſtudebat, urbe expulit, patriamque Athenienſibus & Megarenſibus libertatem reſtituit, iiſque permiſit, ut legibus ſuis & priſcis majorum inſtitutis uterentur. Ptolemæus vero, cum inſignem clementiam & humanitatem re ipſa demonſtraſſet, in majorem etiam libertaris ſpem Græcos erexit. Verbis enim blandis & factis popularibus efficiebat, ut Græci optimam de rebus ſuis ſpem conciperent, perſuaſi, palam eum omnia, quæ ageret, Græciæ liberandæ cauſa, at nulla imperii cupiditate impulſum facere. Quare pleraſque urbes Græciæ libertate donavit, fœduſque Iſthmiacum promulgavit, & Græcos ob libertatem recuperatam ramos olivæ manibus tenentes Iſthmia ſpectare juſſit. Inde in Ægyptum navigavit, poſtquam Leonidem Græciæ præfeciſſet: totaque Libya potitus eſt, Ophella Cyrenæo Dynaſta per inſidias ab Agathocle in Sicilia interfecto. Cæterum, Demetrius & Ptolemæus non diu ſteterunt conditionibus fœderis, quod inter ſe pepigerant.

Δήμιον. Publicum.

Δημιόπρατα. Quæ populus vendit. Quæ publice venduntur. Ariſtophanes: *Adſperſa placentis condimenta, publice ante vendita, peſſimus ille lingens.*

Δήμιος. Publicus miniſter, qui maleficos punit. Carnifex.

Δημιουργεῖ. Qui facit ea, quæ non ſunt. Qui creat.

Δημιουργός. Opifex. Creator. Qui facit ea, quæ non ſunt. [Proprie,] qui publica opera fabricat. [Sophocles:] *Orcus crudelis opifex.* † *Præcipientes, ne amplius reciperent Corinthiorum Epidemiurgos, qui quotan-*

---

[1] Πρὸς Ἀγαθοκλέους κατὰ Σικελίαν ἀναιρ.] Imo in Africa cædes illa Ophellæ contigit,ut teſtatur Diodorus Siculus lib. xx. pag. 779. quem vide.

[2] Δημιόπρατα. ἃ ὁ δῆμος πιπρ.] Ex Scholiaſta Ariſtophanis ad *Equit.* pag. 294 (197. Edit. Baſ. *P.*)

[3] Ἅδης δημιουργὸς ἄγριος] Sic habent MSS. Pariſ. itemque Sophocles *Ajace* pag. 59. unde verba hæc a Suida deprompta ſunt. In prioribus vero Editt. totus hic locus corrupte ſic legitur: Δημώδη ἐργαζόμενος εἴδη. δημιουργὸς ἄγριος.

[4] Καὶ μηκέτι δέχεσθαι——κελεύοντες] Fragmentum hoc legitur apud Thucydidem lib. I. cap. LVI. ut Portus etiam monuit.

παρέχων ὑπόδειγμα, ὥσπερ οἱ πλαστικώτεροι τῶν δημιουργῶν, τὸν χαλκὸν ἄμορφον παραλαβόντες καὶ ἀειδέστερον, εἰς μορφὴν ἐκλείνουσι καὶ κατασχηματίζουσι.

Δημιουργοί.[1] οἱ κεραμεῖς. οἱ σκευοποιοί. Δημιουργοὺς ἐκάλουν καὶ τὰς νῦν λεγομένας ὑπονυμφίδας· τουτέστι [2] τὴν παρεστῶσαν τῇ νύμφῃ γυναῖκα. ὅθεν ἐστὶ καὶ Μενάνδρῳ Δημιουργός. κοινῶς δὲ ἔλεγον δημιουργοὺς, τοὺς τὰ δημόσια ἐργαζομένους. ποτὲ δὲ καὶ τοὺς ἀρχιτέκτονας. [3] Ἀριστοφάνης ἐν Εἰρήνῃ. καὶ δημιουργικῶς, ἀντὶ τοῦ, τεκτονικῶς. Δημιουργοὶ γὰρ, [4] οἱ τέκτονες.

Δημοβόρος. ὁ τὰ δημόσια ἐσθίων.

Δημογέροντες. οἱ τοῦ δήμου ἐντιμότατοι.

Δημόδοκος. ἀοιδός. ζήτει ἐν τῷ Ἀοιδός.

Δημόθοινα, καὶ δημοθοινία. ἡ τοῦ δήμου εὐωχία. ἢ θυσία.

Δημοκήδης, Καλλιφῶντος, ἱερέως ἐν Κνίδῳ γενομένου Ἀσκληπιοῦ, Κροτωνιάτης, ἰατρός· ὃς ἐν Αἰγίνῃ ἰάτρευσέ τε, καὶ ἔγημε, καὶ Πολυκράτην τὸν Σάμου τύραννον ἰάτρευσεν ἐπὶ χρυσίου ταλάντοις δύο· καὶ ὑπὸ Δαρείου τοῦ Πέρσου μετεπέμφθη, καὶ συνεγένετο αὐτῷ χρόνον ἱκανόν. ἔγραψεν ἰατρικὸν βιβλίον. † Ὅτι [5] Δαρεῖος ὁ βασιλεὺς, ἐν ἄγρῃ θηρῶν, ἀποθρώσκων ἀπὸ ἵππου, ἐστράφη τὸν πόδα καίκως ἰσχυροτέρως. ὁ γὰρ οἱ ἀστράγαλος ἐξεχώρησεν ἐκ τῶν ἄρθρων. νομίζων δὲ καὶ πρότερον περὶ ἑωυτὸν ἔχειν τοὺς δοκέοντας Αἰγυπτίων εἶναι πρώτους τὴν ἰατρικὴν, τούτοισιν ἐχρῆτο. οἱ δὲ στρεβλοῦντες καὶ βιώμενοι τὸν πόδα, κακὸν μεῖζον εἰργάζοντο. ἐφ' ἑπτὰ μὲν δὴ ἡμέρας καὶ ἑπτὰ νύκτας ὑπὸ τοῦ παρεόντος κακοῦ ὁ Δαρεῖος ἀγρυπνίῃ συνείχετο. τῇ δ' ὀγδόῃ ἡμέρῃ ἔχοντι οἱ φλαύρως, παρακούσας τις πρότερον ἔτι ἐν Σάρδισι τοῦ Κροτωνιήτεω Δημοκήδου τὴν τέχνην, ἀγγέλλει τῷ Δαρείῳ. ὁ δὲ ἄγειν μιν τὴν ταχίστην παρ' ἑωυτὸν ἐκέλευε. τὸν δὲ ὡς ἐξεῦρον ἐν τοῖσιν Ὀροίτεω ἀνδραπόδοισιν ὅκου δὴ ἀπημελημένον, παρῆγον εἰς μέσον, πέδας τε ἕλκοντα καὶ ῥάκεσιν ἐσθημένον. σταθέντα δὲ ἐς μέσον ἠρώτα ὁ Δαρεῖος, τὴν τέχνην εἰ ἐπίσταιτο. ὁ δὲ οὐκ ἀπεδέχετο, ὀῤῥωδέων μὴ ἑωυτὸν ἐκφήνας τοπαράπαν τῆς Ἑλλάδος ᾖ ἀπεστερημένος. κατεφάνη τε τῷ Δαρείῳ τεχνάζειν ἐπιστάμενος· καὶ τοὺς ἀγαγόντας αὐτὸν ἐκέλευσε μάστιγάς τε καὶ κέντρα παραφέρειν εἰς τὸ μέσον. [6] ὁ δὲ ἐν ἑωυτῷ δὴ ὢν ἐκφαίνει, φὰς, ἀτρεκέως μὲν οὐκ ἐπίστασθαι, ὁμιλήσας δὲ ἰητρῷ φλαύρως ἔχειν τὴν τέχνην. μετὰ δὲ, ὡς ἐπέτρεψεν, Ἑλληνι-

nis ad ipſos mitti ſolebant. † *Se ipſum præbens exemplar, quemadmodum peritiores ſtatuarii, qui æs rude & informe fingunt & formant.*

Δημιουργοί. Figuli. Vaſorum fabri. Δημιουργοὺς etiam vocabant fœminas eas, quæ nunc ὑπονυμφίδες appellantur; id eſt, mulieres, quæ ſponſæ adſtant. Unde & Menander ſcripſit fabulam, Δημιουργός vocatam. Communiter autem δημιουργοὺς vocabant eos, qui publica opera faciebant. Interdum architectos: ut Ariſtophanes in *Pace*. Et δημιουργικῶς, more periti artificis, vel architecti. Δημιουργοὶ enim dicuntur artifices & fabri.

Δημοβόρος. Qui bona populi conſumit. Qui bona populi devorat.

Δημογέροντες. Qui in populo ſunt [ſeniores, ac propter ætatem] honoratiores.

Δημόδοκος. Domodocus, cantor. Quære in voce Ἀοιδός.

Δημόθοινα, & δημοθοινία. Epulum publicum. Sacrificium publicum.

Δημοκήδης. Democedes, filius Calliphontis (qui Cnidi Æſculapii ſacerdos fuit) medicus, Crotoniates, Æginæ artem medicam exercuit, & uxorem duxit: idemque Polycratem Sami tyrannum pacta mercede duorum talentorum curavit; & a Dario Perſa accerſitus diu cum illo fuit. Scripſit librum medicum. † Darius Rex, in venatu ex equo deſiliens, graviter diſtorſit pedem, ut talus e juncturis emoveretur. Exiſtimans igitur, ſe medicos Ægyptios præſtantiſſimos ſecum habere, eos adhibuit. At illi pedem torquentes & violentius tractantes, malum exaſperarunt: adeo ut ſeptem noctes totidemque dies præ cruciatu inſomnes exigeret. Octavo die eidem male habenti quidam ſignificat ea, quæ Sardibus ante de arte & peritia Democeditis Crotoniatæ audiviſſet. Darius igitur hominem quamprimum ad ſe adduci juſſit. Quem cum neſcio ubi inter Orœtæ mancipia neglectum repeririſſent, in medium produxerunt, vinctum compedibus & laceris veſtibus indutum. Eum adſtantem Darius rogat, an artem medicam noſſet? Negat ille, veritus, ne ſi ſe prodidiſſet, reditu in Græciam omnino privaretur. Verum cum Darius animadverſa ejus diſſimulatione juſſiſſet eos, qui ipſum adduxerant, flagra & ſtimulos in medium proferre; tunc ſe quidem accurate artem illam non ſcire, ſed cum medico verſatum, exiguam ejus notitiam ſe habere dixit. Poſtea facta ei poteſtate curandi, Græcis medicamentis utens, & remedia maximam leniendi vim habentia adhibens, & ſomnum Regi conciliavit, & ſanitatem brevi

---

[1] Δημιουργοί. οἱ κερ.——ἀντὶ τοῦ τεκτονικῶς] Ex Scholiaſta Ariſtophanis ad *Equit.* pag. 237. (226. Ed. Baſ. *P.*)

[2] Τὴν παρεστῶσαν τῇ νύμφῃ γυν.] Lege, τὰς παρεστώσας τῇ νύμφῃ γυναῖκας, ut habet Enarrator Comici loco laudato.

[3] Ἀριστοφάνης ἐν Εἰρήνῃ] Pag. 651. (448. Ed. Baſ. *P.*)

[4] Οἱ τέκτονες] In prioribus Editt. poſt vocem τέκτονες hæc adduntur: Οἱ παλαιοὶ δημιουργοὶ συμμεμυκότας τοὺς ὀφθαλμοὺς ἐποίουν. ὁ δὲ Δαίδαλος ἀνεπέτασεν αὐτοὺς, καὶ τοὺς πόδας διέστησε. καὶ Ὅμηρός φησιν· Ὃς χερσὶν ἐπίστατο δαίδαλα πάντα τεύχειν. Sed verba iſta hic inducenda putavi, tum quoniam in uno MS. Pariſ. deſunt, & in altero margini adſcripta ſunt; tum quia eadem αὐτολεξεὶ leguntur ſupra v. Δαιδάλου ποιήματα, & proinde eorum repetitio hic eſt ſupervacanea.

[5] Ὅτι Δαρεῖος ὁ βασιλεὺς ἐν ἄγρῃ θηρῶν ἀποθρ.] Hæc, & omnia quæ ſequuntur uſque ad finem articuli, leguntur apud Herodotum lib. III. pag. 132. 133. ut Portus etiam monuit.

[6] Ὁ δὲ ἐν ἑωυτῷ δὴ ὢν] Herodotus habet, ὁ δὲ ἐνταῦθα δὴ ὢν ἐκφ. quæ lectio præferenda eſt.

κοῖσι[1] ῥήμασι χρεώμενος, καὶ φάρμακα τὰ ἰσχυρὰ προσάγων, ὕπνου τε μεταλαγχάνειν ἐποίεε, καὶ ἐν χρόνῳ ὀλίγῳ ὑγιέα μιν ὄντα ἀπέδειξεν, οὐδαμὰ ἔτι ἐλπίζοντα ἀρτίπουν ἔσεσθαι. οὕτω φησὶν Ἡρόδοτος ὁ λογοποιός. † Ὅτι καὶ Ἄτοσσα, ἡ Κύρου μὲν θυγάτηρ, Δαρείου δὲ γυνὴ, ἐπὶ τοῦ μαστοῦ ἔσχε φῦμα. μετὰ δὲ ἐκραγὲν ἐνέμετο πρόσω. ὅσον μὲν δὴ χρόνον ἦν ἔλασσον, ἡ δὲ κρύπτουσα καὶ αἰσχυνομένη ἔφραζεν οὐδενί. ἐπεί τε δὴ ἐν κακῷ ἦν, μετεπέμψατο τὸν Δημοκήδην, καί οἱ ἐπέδειξεν. ὁ δὲ φὰς ὑγιέα ποιήσειν, ἐξορκοῖ μιν, ἦ μὴν οἱ ἀντυπουργήσειν ἐκείνην τοῦτο, ὃ ἂν αὐτῆς δεηθῇ. δεήσεσθαι δὲ οὐδενὸς τῶν ὅσα ἐς αἰσχύνην φέρει. καὶ ᾐτήσατο τὴν εἰς Ἑλλάδα ἄφιξιν.

Δημοκλείδας.[2] ξένους, καὶ μοιχούς. τοιοῦτος ὁ Δημοκλῆς.

Δημοκοπεῖν. καὶ ἑλληνοκοπεῖν. [3] Πολύβιος· Ὁ δὲ Περσεὺς τὴν πρὸς Ῥωμαίους φιλίαν ἀνανεωσάμενος, ἑλληνοκοπεῖν ἐπεβάλλετο. λέγεται καὶ δημοκοπία, ἡ δοξοκοπία. Ὑπάτους αἱροῦνται, ἐκ δόξης πολεμικῆς, Λεύκιον· ἐκ δὲ δημοκοπίας, Τερέντιον.

Δημόκομπος. ὁ στωμύλος.

Δημοκρατία. ὅτι [4] Πολύβιός φησιν, ὡς δημοκρατία ἐπανελομένη τοὺς ἐπιβουλεύοντας, οὐκέτι μισθοφόροις τηρεῖ τὴν ἑαυτῆς ἐλευθερίαν.

Δημόκριτος, Ἡγησιστράτου (οἱ δὲ Ἀθηνοκρίτου, ἢ Δαμασίππου) γεγονὼς ὅτε καὶ Σωκράτης ὁ φιλόσοφος, κατὰ τὴν οζ΄ Ὀλυμπιάδα, (οἱ δὲ κατὰ π΄ φασίν·) Ἀβδηρίτης, ἐκ Θρᾴκης, φιλόσοφος, μαθητὴς κατά τινας Ἀναξαγόρου καὶ Λευκίππου· ὡς δέ τινες, καὶ Μάγων, καὶ Χαλδαίων Περσῶν. ἦλθε γὰρ καὶ εἰς Πέρσας καὶ Ἰνδοὺς καὶ Αἰγυπτίους, καὶ τὰ παρ᾽ ἑκάστοις ἐπαιδεύθη σοφά. εἶτα ἐπανῆλθε, καὶ τοῖς ἀδελφοῖς συνῆν Ἡροδότῳ καὶ Δαμάστῃ. ἦρξε δὲ ἐν Ἀβδήροις, διὰ τὴν ἑαυτοῦ σοφίαν τιμηθείς. μαθητὴς δὲ αὐτοῦ διαφανὴς ἐγένετο Μητρόδωρος ὁ Χῖος· οὗ πάλιν ἀκροαταὶ, Ἀνάξαρχος, καὶ Ἱπποκράτης ὁ ἰατρός. ἐπεκλήθη δὲ Σοφία Δημόκριτος, καὶ Γελασῖνος, διὰ τὸ γελᾷν πρὸς τὸ κενόσπουδον τῶν ἀνθρώπων. γνήσια δὲ αὐτοῦ βιβλία εἰσὶ δύο· ὅ, τε μέγας Διάκοσμος· καὶ τὸ περὶ φύσεως κόσμου. ἔγραψε δὲ καὶ Ἐπιστολάς.

Δημόκριτος. [5] Δημόκριτος ὁ Ἀβδηρίτης οὐκ ἦλθεν εἰς Ἀθήνας, ἀλλὰ τοσαύτης πόλεως ὑπερεφρόνησεν, οὐκ ἐκ τοῦ τόπου λαβεῖν δόξαν βουλόμενος, ἀλλὰ τῷ τόπῳ δόξαν περιθεῖναι προελόμενος. Ἐλθόντα[6] Ἱπποκράτην πρὸς Δημόκριτον κελεῦσαι κομισθῆναι γάλα, καὶ θεασάμενον τὸ γάλα, εἰπεῖν

tempore reſtituit, non amplius ſperanti, ſe pedibus integris uſurum eſſe. Hæc narrat Herodotus hiſtoricus. † Atoſſa, Cyri filia, Darii uxor, tuber in mamma habuit: quod, cum erupiſſet, latius ſerpebat. Et quamdiu quidem id minus erat, rem pudore diſſimulavit, nec ulli indicavit. Cum vero malum creſceret, Democedem accerſivit, eique tuber oſtendit: qui ſe illam ſanaturum pollicitus, obteſtatur, ut ſibi viciſſim gratificetur in eo, quod petere velit. Nihil autem ſe petiturum eſſe, quod turpe ſit. Petiit igitur reditum in Græciam.

Δημοκλείδας. Democlidas. Id eſt, peregrinos & adulteros. Talis enim erat Democles.

Δημοκοπεῖν. Populi gratiam captare. Et ἑλληνοκοπεῖν, Græcorum benevolentiam aucupari. Polybius: *Perſeus vero renovata cum populo Romano amicitia, Græcos ſibi conciliare omnibus modis cœpit.* Dicitur etiam δημοκοπία, inanis gloriæ ſtudium. *Conſules eligunt, Lucium, bellicæ fortitudinis laude celebrem; & Terentium, qui apud populum gratioſus erat.*

Δημόκομπος. Garrulus. Loquax.

Δημοκρατία. Democratia. Reſpublica. Polybius ait, *Rempubl. inſidiatoribus ſublatis, non amplius mercenariis militibus libertatem ſuam ſervare.*

Δημόκριτος. Democritus, Hegeſiſtrati, vel, ut alii tradunt, Athenocriti, vel Damaſippi filius: vixit eodem tempore, quo Socrates Philoſophus, Olympiade LXXVII, vel, ſecundum alios, LXXX. Abderita, Thrax, Philoſophus, & diſcipulus, ut quidam tradunt, Anaxagoræ & Leucippi: quinetiam, ut alii ſcribunt, Magorum & Chaldæorum in Perſia. Adiit enim & Perſas & Indos & Ægyptios, & ſingulorum ſapientiam addidicit. Deinde domum reverſus, cum fratribus Herodoto & Damaſte vixit. Præfuit & Abderitarum Reipubl. qui honor propter ſapientiam ipſi habitus fuit. Diſcipulus ejus illuſtris fuit Metrodorus Chius: cujus viciſſim auditores fuerunt Anaxarchus & Hippocrates medicus. Idem cognominatus fuit Sapientia, & Gelaſinus, i. e. *Riſor*; quod inania hominum ſtudia ridere ſoleret. Germani ejus libri ſunt duo: *Magnus Diacoſmus*; &, *de Natura Mundi.* Scripſit etiam Epiſtolas.

Δημόκριτος. Democritus Abderita non adiit Athenas, ſed tantam urbem contempſit; ut qui non a loco gloriam mutuari, ſed loco gloriam conciliare vellet. † Cum Hippocrates ad Democritum veniſſet, juſſit afferri lac: quod conſpicatus, dixit eſſe capræ nigræ, quæ primum peperiſſet. Hippocra-

---

[1] Ἑλληνικοῖσι ῥήμασι χρεώμενος, καὶ φάρμακα τὰ ἰσχ.] Apud Herodotum rectius legitur, Ἑλληνικοῖσι ἰήμασι χρεώμενος, καὶ ἤπια μετὰ τὰ ἰσχυρὰ πρ.

[2] Δημοκλείδας. ξένους καὶ μοιχ.] Vide Heſych. v. Δημοκλείδαι.

[3] Πολύβιος· Ὁ δὲ Περσεὺς τὴν πρὸς Ῥωμ.] Fragmentum hoc Polybii legitur in Collectaneis Conſtantini a Valeſio editis, pag. 125. unde id Suidas deprompſit. Vide etiam infra v. Καταγελῶν, & v. Περσεύς.

[4] Ὅτι Πολύβιός φησιν] Lib. XI. cap. XI.

[5] Δημόκριτος ὁ Ἀβδηρίτης οὐκ ἦλθεν εἰς Ἀθήνας, ἀλλὰ τοσ.] Hæc, & quæ ſequuntur, deſcripta ſunt ex Laertio.

[6] Ἐλθόντα Ἱπποκράτην] Conſtructio requirit ἐλθόντος Ἱπποκράτους, ut legitur etiam apud Laertium.

αἰγὸς εἶναι πρωτοτόκου καὶ μελαίνης· καὶ τὴν ἀκρίβειαν αὐτοῦ θαυμάσαι τὸν Ἱπποκράτην. ἀλλὰ καὶ τὴν κόρην, τὴν μετὰ Ἱπποκράτους πρὸς αὐτὸν ἐλθοῦσαν, τῇ μὲν πρώτῃ ἡμέρᾳ ἀσπάσασθαι οὕτω· Χαῖρε κόρη. τῇ δὲ ἐρχομένῃ, Χαῖρε γύναι. καὶ ἦν ἡ κόρη τῆς νυκτὸς διεφθαρμένη. ἤδη δὲ ὑπέργηρων ὄντα πρὸς τῷ καταστρέφειν εἶναι. τὴν οὖν ἀδελφὴν λυπεῖσθαι, ὅτι ἐν τῇ τῶν Θεσμοφορίων ἑορτῇ μέλλει τεθνήξεσθαι, καὶ τῇ Θεῷ τὸ καθῆκον αὐτὴν οὐ ποιῆσαι· τὸν δὲ θαῤῥεῖν εἰπεῖν, καὶ κελεῦσαι αὐτῷ προσφέρειν ἄρτους θερμοὺς ὁσημέραι· τούτους δὴ ταῖς ῥισὶ προσφέρων, διεκράτησεν ἑαυτὸν εἰς τὴν ἑορτήν. ἐπεὶ δὲ παρῆλθον αἱ ἡμέραι, τρεῖς δὲ ἦσαν, ἀλυπότατα τὸν βίον προήκατο.

Δημόκοινον. δημόσιον. τὸ τοῦ δημοσίου. καὶ [1] δημόκοινος, δημόσιος βασανιστὴς, ἢ ὁ δήμιος.

Δημονιάδης. ὄνομα κύριον.

Δημοποίητος. ὁ ὑπὸ τοῦ δήμου εἰσποιηθεὶς, καὶ γεγονὼς πολίτης. Περικλῆς γὰρ ὁ Ξανθίππου, [2] νόμον γράψας, τὸν μὴ ἐξ [3] ἀμφοῖν ἀστυπολίτην μὴ εἶναι, οὐ κατὰ μακρὸν τοὺς γνησίους ἀποβαλὼν, ἄκων δὲ στένων καὶ λύσας τὸν ἑαυτοῦ νόμον, καὶ ἀσχημονήσας, ἐλεεινὸς ἅμα καὶ μισητὸς ἔτυχεν, ὧν ἠβούλετο. ὅμως γε μὴν ἀντιβολοῦντος καὶ δεκάσαντος τοὺς ἐντεῦθεν ζῶντας, ὀψὲ καὶ μόλις τὸν νόθον οἱ παῖδα ἐκ τῆς Ἀσπασίας τῆς Μιλησίας ἐποίησε δημοποίητον. Δημοποίητος οὖν, ὁ φύσει ξένος, ὑπὸ τοῦ δήμου δὲ πολίτης γεγονώς.

a populo donaretur. Δημοποίητος igitur eſt, pulo civis factus.

Δῆμος. παρὰ [4] Ἀριστοφάνει ἡ κώμη. ἢ ἡ νῆσος. σημαίνει δὲ καὶ τὸν τῶν Ἀθηναίων δῆμον.

Ἕκτῳ σ' ἔτει προσεῖπον ἐς
Τὸν δῆμον ἐλθών.

Δημός. τὸ λίπος.

Δημοῦ [5] βοείου θρίον ἐξωπτημένον.

σκεύασμά τι μετὰ ἐγκεφάλου γινόμενον ἐν τοῖς θρίοις· τουτέστι τοῖς φύλλοις τῆς συκῆς.

Δημοσθένης, Ἀθηναῖος, υἱὸς Δημοσθένους καὶ Κλεοβούλης, ῥήτωρ, τὸν δῆμον Παιανιεύς· ἐπιμελὴς μᾶλλον, ἢ εὐφυὴς, ὡς Ἕρμιππος ἱστορεῖ. καὶ τὰς ἡδονὰς ἀκόλαστος, ὡς αὐτός φησιν. [6] ὅθεν καὶ νέος μὲν ὢν, Βάταλος ἐκλήθη, ὡς γυναικείᾳ ἐσθῆτι πολλάκις χρησάμενος. [7] Ἀργᾶς δὲ, μετὰ τὸ εἰς ἄνδρας τελέσαι· ὅπερ ἐστὶν ὄνομα ὄφεως. ἐπεθύμησε δὲ ῥητορικῆς, Καλλίστρατον θεασάμενος τὸν ῥήτορα ὑπὲρ Ὠρωπίων λέγοντα. διήκουσε δὲ Ἰσαίου, τοῦ Ἰσοκράτους μαθητοῦ, καὶ τοῖς λόγοις ἐχρῆτο [8] Ζωΐλου τοῦ Ἀμφι-

tes igitur accuratam ejus cognitionem rerum admiratus eſt. Idem puellam, quæ cum Hippocrate venerat, primo die ita ſalutavit: *Salve puella.* Poſtridie vero, *Salve mulier.* Noctu enim ſtuprata fuerat. Idem cum ſenio jam confectus & morti vicinus eſſet, ſororem mœſtam conſpicatus, quod Theſmophoriis obiturus eſſet, & ipſa proinde debitum officium Deæ præſtare non poſſet; eam bono animo eſſe juſſit, & quotidie panes calentes ſibi afferri præcepit: quibus ad nares admotis, vitam ad feſtum uſque produxit. Poſtea vero, cum tres illius feſti dies præteriiſſent, placide & abſque ullo dolore vitam finiit.

Δημόκοινον. Publicum. Quod ad Rempub. pertinet. Item δημόκοινος, publicus tortor, vel carnifex.

Δημονιάδης. Demoniades. Nomen propriū.

Δημοποίητος. Qui a populo in civitatem adſcriptus & civis factus eſt. Pericles enim Xanthippi filius, cum legem tuliſſet, ne quis civis eſſet, niſi qui utroque parente cive natus eſſet, non multo poſt legitimis liberis amiſſis, invitus & dolens legem ſuam ſolvit, & indigna ſe faciens, miſerabiliſque ſimul & inviſus ea impetravit, quæ volebat. Cum enim & humiliter oraſſet & muneribus corrupiſſet eos, qui ex illo quæſtu vivebant, ſero tandem & ægre effecit, ut filius nothus, quem ex Aſpaſia Mileſia ſuſceperat, jure civitatis qui ortu quidem peregrinus eſt, ſed a po-

Δῆμος. Apud Ariſtophanem, vicus, vel oppidum. Vel, inſula. Significat etiam populum Athenienſium. *Sexto nunc anno te alloquor, ut vicum meum adeas.*

Δημός. Pinguedo. Pingue. *Pingue bubulum in folio ficulneo aſſatum.* Erat edulium quoddam, quod cum cerebro parabatur in foliis ficus.

Δημοσθένης. Demoſthenes, Athenienſis, Demoſthenis & Cleobulæ filius, orator, populo Pæanienſis: qui majore diligentia & ſtudio quam ingenii felicitate præditus fuit, ut auctor eſt Hermippus. Idem intemperans & libidinoſus fuit, ut itidem Hermippus tradit. Quare, cum adoleſcens eſſet, Batalus vocatus eſt, quod muliebri veſte ſæpe uteretur. Cum vero ad ætatem virilem perveniſſet, Argas; quod eſt nomen ſerpentis. Ad ſtudium eloquentiæ animum appulit, cum Calliſtratum pro Oropiis dicentem viπολίτου, σοφιστεύοντος ἐν Ἀθήναις, καὶ Πολυκράτους, καὶ Ἀλκιδάμαντος, τοῦ Γοργίου μαθητοῦ, καὶ αὐτοῦ μέντοι Ἰσοκράτους. συνεφιλολόγησε δὲ Αἰσίωνι τῷ Ἀθηναίῳ, καὶ Θεοπόμπῳ τῷ Χίῳ φιλοσόφῳ. [1] διηκροάσατο δὲ καὶ Εὐβουλίδου τοῦ Διαλεκτικοῦ, καὶ Πλάτωνος. ἐτελεύτησε φυγὼν εἰς Καλαυρείαν ἐν τῷ τοῦ Ποσειδῶνος ἱερῷ, διὰ τὸν Μακεδόνα Ἀντίπατρον, προσενεγκάμενος φάρμακον τὸ ἐν τῷ δακτυλίῳ, ἔτη βιώσας δύο καὶ ἑξήκοντα.

---

[1] Δημόκοινος, δημόσιος βασαν.] Ex Harpocratione. Vide etiam Helladium apud Photium pag. 1589.

[2] Νόμον γράψας, τὸν μὴ ἐξ ἀμφοῖν ἀστυπ.] Hujus legis meminit etiam Ælianus *Var. Hiſt.* lib. VI. cap. X. Περικλῆς, στρατηγῶν Ἀθηναίοις, νόμον ἔγραψεν, ἐὰν μὴ τύχῃ τις ἐξ ἀμφοῖν ὑπάρχων ἀστῶν, τούτῳ μὴ μετεῖναι τῆς πολιτείας. Lege ibi & ſequentia. Idem lib. XIII. cap. XXIV. Καὶ Περικλῆς ἔγραψε, μὴ εἶναι Ἀθηναῖον, ὃς μὴ ἀμφοῖν γέγονεν ἀστοῖν. Vide ad utrumque locum eruditiſſimum Perizonium.

[3] Ἐξ ἀμφοῖν ἀστυπολίτην] Scribendum eſſe, ἐξ ἀμφοῖν ἀστοῖν πολίτην, recte monuit Petitus *de Leg. Att.* pag. 138. & ante eum Wolfius.

[4] Παρὰ Ἀριστοφάνει] *Acharnenſ.* pag. 384. (273. Ed. Baſ. *P.*)

[5] Δημοῦ βοείου θρίον ἐξωπτ.] Senarius hic legitur apud Ariſtophanem *Equit.* pag. 345. (242. Ed. Baſ. *P.*) Vide etiam infra. v. Θρίον.

[6] Ὅθεν καὶ νέος μὲν ὢν Βάταλος ἐκλ.] Æſchines ἐν τῷ περὶ παραπρεσβ. pag. 260. Ἐν παισὶ μὲν γὰρ ὢν (Δημοσθένης) ἐκλήθη δι' αἰσχρουργίαν τινὰ ἢ κιναιδίαν ΒΑΤΑΛΟΣ· ἐκ παίδων δὲ ἀπαλλαττόμενος, ΑΡΓΑΣ ἐκλήθη. Ad hunc locum Suidas reſpexit. Vide etiam ſupra v. Βάταλος.

[7] Ἀργᾶς] Vide ſupra h. v.

[8] Ζωΐλου τοῦ Ἀμφιπολίτου] Eandem rem narrans Plutarchus pro Ζωΐλου ſcribit Ζήθου. Sed mendum in codices Plutarchi irrepſiſſe recte monuit Reineſius *Var. Lect.* lib. III. pag. 328. quem vide.

Δημοσθένης, ὁ ῥήτωρ, ἀνὴρ ἦν γνῶναί τε καὶ εἰπεῖν, ὅσα ἐνθυμηθείη, δυνατώτατος. ὅθεν καὶ δεινότατος ἔδοξε τῶν καθ' αὑτόν· οἷα δὴ ἱκανώτατος τὸ ἀφανὲς εἰκάσαι, καὶ τὸ γνωσθὲν ἐξηγήσασθαι. καὶ ἐν οἷς ὑπὲρ τῶν κοινῶν λέγειν τι ἢ πράττειν ἐπεχείρησε, καιρῷ μὲν ἐπιτηδείῳ οὐ μάλα ἐχρήσατο ἐς δόξαν τῶν δημαγωγούντων. πλεῖστα δὲ εἷς ἀνὴρ οὗτος τῶν καθ' αὑτὸν Ἀθηναίων καὶ τοῖς Μακεδόνων τυράννοις σὺν παῤῥησίᾳ ἀντειπὼν, παρὰ τοῖσδε ἀδωρότατος ἔδοξεν εἶναι· ὅτε δὴ συνέβαινε τοὺς ἐν ταῖς ἄλλαις πόλεσιν, οἷα δὴ τῶν κερδῶν ἐφιεμένους μᾶλλον τοῦ ἐς τὸ κοινὸν λυσιτελοῦντος, ἐξωνηθέντας χρημάτων δόσει, τὸ κατὰ σφᾶς, ὡς ἐδόκουν, ἐν τῷ παραυτίκα, κέρδους τοῦ σφετέρου εἵνεκα, πρὸ τοῦ ἐς τὰ κοινὰ συμφέροντος τίθεσθαι. ὅθεν αὐτῷ καὶ ἐφ' οἷς ὕστερον ἠτιάθη συγγνόντες οἱ Ἀθηναῖοι, κατεδέξαντό τε αὖθις, καὶ ἐς πάντα συμβούλῳ ἐχρήσαντο. καὶ αὐτῷ ἡ τελευτὴ γενναία ἐπιγενομένη μάλιστα, ἐς μεταμέλειαν ἤγαγεν αὐτοὺς οὐκ ἀφανῆ τῶν γνωσθέντων. οὐ πολλῷ γοῦν ὕστερον ἢ ἐξαγγελθῆναι τεθνηκότα Δημοσθένην, μετεγίνωσκον ἐφ' οἷς δέει τῶν Μακεδόνων μᾶλλον, ἢ γνώμῃ τῇ δικαιοτάτῃ ἔκριναν, καὶ ἀτέλειάν τε τῷ πρεσβυτάτῳ γένει τοῦ Δημοσθένους ψηφίζονται, καὶ χαλκοῦν στῆναι αὐτὸν ἐν ἀγορᾷ, καὶ ἐλεγεῖον τῇ βάσει τοῦ ἀνδριάντος ἐπέγραψαν·

Εἴπερ ἴσην ῥώμην γνώμῃ, Δημόσθενες, εἶχες,
Οὔποτ' ἂν Ἑλλήνων ἦρξεν Ἄρης Μακεδών.

diſſet. Audivit Iſæum, Iſocratis diſcipulum; uſuſque eſt orationibus Zoili Amphipolitæ, qui Athenis eloquentiam docuit, itemque Polycratis, & Alcidamantis, Gorgiæ diſcipuli, & ipſius Iſocratis. In eloquentiæ ſtudio ſocios habuit Æſionem Athenienſem, & Theopompum Chium philoſophum. Præterea audivit Eubulidem Dialecticum, & Platonem. Deceſſit in Calabria, quo metu Antipatri Regis Macedoniæ [Athenis] fugerat, hauſto in æde Neptuni veneno, quod in annulo circumferebat; poſtquam vixiſſet annos LXII.

Δημοσθένης. Demoſthenes, orator, vir fuit & judicio ſingulari, & in dicendis iis, quæ animo cogitaſſet, eloquentia ſumma præditus. Quare etiam omnium ætatis ſuæ oratorum præſtantiſſimus habitus eſt, cum & in rebus obſcuris conjectura aſſequendis mire ſagax, & in exponendis iis, quæ mente teneret, admodum facundus eſſet. Alieno autem tempore & eloquentiam & operam ſuam Reip. navare cœpit, quoniam tunc oratorum ſiniſtra erat apud populum fama. Cæterum, unus hic vir omnium Athenienſium maxime Macedonum Regibus dicendi libertate reſtitit, nec ulla ab iis munera accepiſſe viſus eſt: cum reliquarum tunc civitatum oratores, lucri ſui majorem habentes rationem quam publicæ utilitatis, largitione pecuniæ corrupti, ut rei privatæ (ſic enim putabant) in præſens conſulerent, emolumentum proprium Reipubl. commodo præferrent. Quamobrem Athenienſes illis etiam delictis, quorum poſtea accuſatus fuit, ignoverunt, eumque ab exilio revocarunt, & conſiliis ejus in omnibus uſi fuerunt. Poſtea mors ejus, quam generoſo & virili animo ſibi conſciverat, effecit, ut eos decretorum ſuorum non obſcure pœniteret. Paulo enim poſt allatum de morte ejus nuntium pœnituit eos ſententiæ, quam metu Macedonum potius, quam ſuo judicio & pro meritis viri tulerant: eamque ob cauſam natu maximo filiorum Demoſthenis immunitatem decreverunt, & ipſi ſtatuam in foro erigendam cenſuerunt, his verbis baſi inſcriptis: *Si pares animo vires, Demoſthenes, habuiſſes; nunquam Macedones armis Græciam ſubjugaſſent.*

Δημοσθένης, μαχαιροποιὸς, Παιανιεύς· οὗ Δημοσθένης ὁ ῥήτωρ. ὀρφανὸς καταλειφθεὶς, ἐπιτρόπους ἔσχε τρεῖς, Ἄφοβον, Δημοφῶντα, Θηριππίδην. ὧν [2] ἀμελούντων αὐτοῦ καὶ τῆς οὐσίας, αὐτὸς αὑτὸν ἐνεχείρισε διδασκάλῳ Ἰσαίῳ. φιλόπονος δὲ οὕτως ἦν, ὥστε φασὶν ἑαυτὸν οἴκοι καθείρξαντα, ἑαυτοῦ ξυρῆσαι τῆς κεφαλῆς μέρος, ἵνα μήτε προΐοι, μήτε δέχοιτό τινα. παιδευθεὶς δὲ εἷλε τῆς ἐπιτροπῆς τοὺς ἐπιτρόπους. σοφιστεύειν βουληθεὶς ἀπέστη, διαβληθεὶς ἐπὶ Μόσχῳ μειρακίῳ τῶν εὐγενῶν. λογογραφεῖν δὲ ἀρξάμενος, διεβλήθη πάλιν, ὡς ἐναντίους λόγους ἐκδοὺς Ἀπολλοδώρῳ καὶ Φορμίωνι. καὶ τούτου οὖν ἀποστὰς, ἤρξατο πο-

Δημοσθένης. Demoſthenes, gladiorum faber, Pæanienſis, cujus filius fuit Demoſthenes orator. Hic pupillus a patre relictus tres habuit tutores, Aphobum, Demophontem, & Theripidem: qui cum & ipſum & patrimonium ejus negligerent, ipſe ſe Iſæo erudiendum tradidit. Idem adeo ſtudioſus fuit, ut domi ſe concluderet, capitiſque partem raderet, ne in publicum prodiret, nec quenquam ad ſe admitteret. Literis inſtitutus tutores male adminiſtratæ tutelæ reos peregit. Rhetoricam docere cum vellet, inſtituto illi renuntiavit, ſiniſtro rumore ob Moſchum nobilem adoleſcentem de eo ſparſo.

---

[1] Διηκροάσατο δὲ καὶ Εὐβουλίδου τοῦ Διαλ.] Idem teſtantur Laertius lib. II. Segm. CVIII. & Apulejus in *Apologia.* Poſterioris verba hæc ſunt: *Ita ille ſummus orator cum a Platone Philoſopho facundiam hauſiſſet, ab Eubulide Dialectico argumentationes edidiciſſet,* &c.

[2] Ὧν ἀμελούντων αὐτοῦ καὶ τῆς οὐσ.] Hinc cum ad ætatem adultam perveniſſet Demoſthenes, dicam tutoribus ſuis ſcripſit: quo nomine eum reprehendit Æſchines ἐν τῷ περὶ παραπρεσβ. 206.

λιτεύεσθαι. τραυλὸς δὲ ὤν, καὶ τὸν ὦμον ἀπρεπῶς ἐκίνει, καὶ τὴν ἀκοὴν ἀσθενής, καὶ τὸ πνεῦμα οὐ διαρκής· ἅπερ ἀσκήσει διωρθώσατο. τήν τε ὑπόκρισιν οὐκ ὢν ἄκρος, ὑπ' Ἀνδρονίκῳ καὶ ταύτην ἐξήσκησεν. ἐχορήγησε δὲ, καὶ ἐτριηράρχησε, καὶ αἰχμαλώτους ἐλύσατο, καὶ θυγατέρας συνεξέδωκεν. ὅτε δὲ ἐχορήγει, [1] τυπτηθεὶς ὑπὸ Μειδίου, τρισχιλίαις, ὥς φασιν, ἐπείσθη. καὶ Δημαίνετον ἀνεψιὸν γραψάμενος τραύματος, ὥς φασι, διελύσατο. αἰτησάμενος δὲ Χαβρίου τοῦ στρατηγοῦ γυναῖκα, Χαβρίου τελευτήσαντος, Κτησίππου θυγατέρα ἔγημεν. ἐπολιτεύσατο δὲ κατὰ Φίλιππον· οὗ Θηβαίοις ἐπιόντος, πείθει συμμαχῆσαι· καὶ κατὰ Χαιρώνειαν ἡττῶνται, χιλίων ἀποθανόντων, καὶ μ', καὶ δισχιλίων αἰχμαλώτων. ἀγαπητὴν δὲ ἔχων θυγατέρα, τελευτήσασαν ἐπένθησε· καὶ ἑβδομαίου τοῦ πάθους ὄντος, ἀγγελθέντος ἀνῃρῆσθαι Φίλιππον ὑπὸ Παυσανίου, μετημφιάσατο, καὶ τοῖς Θεοῖς ἔθυσεν. ἐπολιτεύσατο δὲ καὶ κατὰ Ἀλεξάνδρου τοῦ Φιλίππου. οὗ Ἅρπαλος πολλὰ νοσφισάμενος χρήματα, ὡς Ἀθηναίους κατέφυγεν· ὧν καὶ Δημοσθένης εἰληφέναι μέρος ἔδοξε. καὶ ἔφυγεν εἰς Τροιζῆνα. Ἀλεξάνδρου δὲ ἐν Βαβυλῶνι τελευτήσαντος, ὁ Δημοσθένης κατῆλθε κληθείς. Ἀντίπατρος δὲ ἄρξας τῶν Ἑλλήνων, [2] πέμψας ἐξαιτεῖ τοὺς δέκα ῥήτορας. ἐκδόντων Ἀθηναίων, ὁ Δημοσθένης εἰς Καλαβρίαν ἔφυγεν. Ἀρχίας δὲ ὁ ὑποκριτὴς ἀποσταλεὶς ἐπ' αὐτὸν ὑπ' Ἀντιπάτρου, βίᾳ ἀποσπᾷ ἀπὸ τοῦ ἱεροῦ Ποσειδῶνος, ὃ ἦν ἄσυλον. ὁ δὲ ὑπὸ τῇ σφραγῖδι φάρμακον ἔχων, μυζήσας ἀπέθανε.

Poſt, orationes ſcribere aggreſſus, cum & tunc male audire cœpiſſet, quaſi Apollodoro & Phormioni contrarias orationes edidiſſet, eo etiam ſtudio relicto Rempubl. capeſſivit. Quamvis autem eſſet balbus, humerumque indecore moveret, & minus acute audiret, & ſpiritus eum dicentem cito deficeret: ea tamen omnia exercitatione correxit. Cum etiam actionem & pronuntiationem haberet non optimam, eam quoque exercuit, Andronico uſus magiſtro. Fuit etiam choragus & trierarcha, & captivos redemit, & aliorum filias, cum elocarentur, dote inſtruxit. Cum choragus eſſet, a Midia verberatus, ter mille drachmis, ut ajunt, placatus fuit. Cum Demæneto item conſobrino, quem vulneris inflicti accuſaverat, in gratiam rediit. Idem cum Chabriæ ducis uxorem ambiiſſet, eo mortuo, Cteſippi filiam duxit. Rempubl. geſſit ſub Philippo: quo Thebanis bellum inferente, auctor Athenienſibus fuit, ut Thebanis opem ferrent. Iis igitur ad Chæroneam victis mille & XL interfecti, & bis mille capti fuerunt. Filiam habuit unicam: quam defunctam lugens, ſeptimo poſt obitum ejus die, cum nuntiatum eſſet, Philippum a Pauſania cæſum eſſe, veſte mutata Diis ſacrificavit. In gerenda republica adverſatus eſt etiam Alexandro Philippi filio; cui cum Harpalus magnam pecuniæ ſummam ſurripuiſſet, ad Athenienſes confugit. Hujus pecuniæ partem Demoſthenes quoque accepiſſe putabatur: qui proinde cum Trœzenem exulatum abiiſſet, in patriam revocatus eſt, Alexandro Babylone mortuo. Poſtea Antipater, cum in Græcia regnare cœpiſſet, legatos miſit ad depoſcendos x oratores. Quos cum Athenienſes dedidiſſent, Demoſthenes in Calabriam fugit: ad quem comprehendendum Archias hiſtrio ab Antipatro miſſus eſt; qui eum ex æde Neptuni vi abſtraxit, quamvis ibi ſupplices violare ob religionem loci nefas haberetur. Ille vero veneno, quod in annulo circumferebat, exſucto obiit.

Δημοσθένης Θρᾷξ. οὗτος ἔγραψε μετάφρασιν Ἰλιάδος πεζῷ λόγῳ. Ἐπιτομὴν [3] Δαμαγήτου τοῦ Ἡρακλεώτου. Περὶ διθυραμβοποιῶν. Μετάφρασιν εἰς τὴν Ἡσιόδου Θεογονίαν.

Δημοσιεύω. δωρεὰν ἐργάζομαι. [4] Ἀριστοφάνης·

Ἀλλ' ὦ πόνηρ', οὐ δημοσιεύων τυγχάνω.

οἱ γὰρ δημοσίᾳ χειροτονούμενοι ἰατροὶ, καὶ δημόσιοι, προῖκα ἐθεράπευον. οἷον, οὐ κοινῇ ἐσπεισάμην, ἀλλ' ἐμαυτῷ, καὶ μόνῳ, καὶ ἀμισθὶ οὐ μεταδίδωμί σοι.

Δημόσιον. τὸ τοῦ δήμου.

Δημόσιος. [5] Δημοσίους ἔλεγον τοὺς τῆς πόλεως δούλους. [6] Ἡ βασιλεία κτῆμα τῶν κοινῶν· ἀλλ' οὐ τὰ δημόσια τῆς βασιλείας κτήματα. διὸ τὰς ἐξ ἀνάγκης καὶ μεθ' ὕβρεως εἰσπράξεις ὥσπερ τυραννικὰς ἀ-

Δημοσθένης. Demoſthenes Thrax. Hic ſcripſit metaphraſin Iliadis, oratione ſoluta. Epitomen Damageti Heracleotæ. De poetis Dithyrambicis. Metaphraſin Theogoniæ Heſiodeæ.

Δημοσιεύω. Operam meam gratis alicui navo, [tanquam publicus miniſter vel medicus.] Ariſtophanes: *Sed o miſer, non ſum publicus miniſter,* [*ut gratis operam tibi navem.*] Medici enim publice electi ægrotos gratis curabant. Senſus igitur eſt: Non omnibus, ſed mihi ſoli fœdus pepigi, cujus proinde gratis te participem non faciam.

Δημόσιον. Quod ad populum pertinet. Publicum.

Δημόσιος. Publicus. Δημοσίους vocabant ſervos publicos. †*Regnum poſſidetur a Republica: non autem Reſp. a regno. Quamobrem violentæ & ſuperbæ exactiones odio dignæ ſunt, ut quæ a tyrannica regni licentia* κολασίας μισεῖν δεῖ· τὰς δὲ σὺν λόγῳ καὶ φιλανθρωπίᾳ τὴν εἰσφορῶν ἀπαιτήσεις ὥσπερ κηδεμονίας τιμᾶν.

---

[1] Τυπτηθεὶς ὑπὸ Μειδίου] Hac de cauſa Demoſthenes orationem contra Midiam ſcripſit, quæ hodie adhuc exſtat.

[2] Πέμψας ἐξαιτεῖ τοὺς δέκα ῥήτορας] Vide quæ diximus ſupra ad v. Ἀντίπατρος.

[3] Δαμαγήτου τοῦ Ἡρακλεώτου. Περὶ διθυρ.] Pearſonius teſtatur, ſe in codice quodam MS. locum hunc abſque diſtinctione ſic ſcriptum reperiſſe, Δαμαγήτου τοῦ Ἡρακλεώτου περὶ διθυρ. Ejus ergo codicis ſi ſequenda eſt auctoritas, Damagetus Heracleota de poetis Dithyrambicis ſcripſerit, idque opus Demoſthenes Thrax in compendium redegerit: quod mihi admodum fit veriſimile.

[4] Ἀριστοφάνης] *Acharnenſ.* pag. 420. (301. Ed. Baſ. *P.*)

[5] Δημοσίους ἔλεγον τοὺς τῆς πόλεως δ.] Ex Harpocratione.

[6] Ἡ βασιλεία κτῆμα τῶν κοινῶν· ἀλλ' οὐ τὰ δημ.] Totum hoc fragmentum αὐτολεξεὶ etiam legitur ſupra v. Βασιλεία.

Δημοσίων πραγμάτων διοικητής. οἷον φροντιστὴς χορηγίας, τριηραρχίας, καὶ τῶν τοιούτων. ἰδίως δὲ, οἷον εἰ ἀδικοῖτό τις καὶ δικάζοιτο πρός τινα, αὐτὸς ἐφρόντιζεν. [1] ἀπεχθάνη δὲ, διότι ἀλλοτρίοις πράγμασιν ἐπιχειροῦντες μισοῦνται.

Δημοσιώνης. εὐτελής. Οἱ μὲν ἄλλοι ἀποδοχῆς ἐτύγχανον· οὗτος δὲ δοκῶν εἶναι δημοσιώνης, παρεθεωρεῖτο.

Δημοτελῆ. δημοσίαν. [2] Δημοτελῆ καὶ δημοτικὰ ἱερὰ διέφερον ἀλλήλων, καὶ τῶν ὀργεωνικῶν, καὶ τῶν γενικῶν.

Δημοτελῶς. παντὶ τῷ δήμῳ.

Δημοτευόμενος. μετὰ τῶν δημοτῶν. Φησὶ Δημοσθένης.

Δημοτεύεσθαι. [3] ἔστι τὸ τοῦδε τινὸς δήμου κοινωνεῖν, καὶ χρηματίζειν ἀπ' αὐτοῦ.

Δημότης. πολίτης.

Δημοτικά. τὰ τοῖς πολλοῖς ἐμπρέποντα.

Ὁ [4] δὲ ἔλεξε δημοτικωτάτους λόγους·
Ὁρᾶτε μέν με σωτηρίας δεόμενον.

Δημοῦσθαι. δημοκοπεῖν. καὶ [5] ἀντιπαίζειν.

Δημοφάνης. ὄνομα κύριον.

Δημόφιλος, [6] Ἐπίσκοπος Κωνσταντίνου πόλεως, ἄνθρωπος [7] ἦν, οἷος ἐμπεσὼν ὁμοῦ σύμπαντα φύρειν ἀκόσμῳ φορᾷ, καθάπερ ἄτακτος χειμάῤῥους, πολὺν ἐν τοῖς λόγοις τὸν συρφετὸν ἄγων, ὡς εἴσεταί τις ἐκ γοῦν τῆς ἐν τοῖς ἔτι σωζομένοις ὑπομνήμασιν αὐτοῦ γεγονυίας δημηγορίας, ἔνθα καὶ μᾶλλον εἰκὸς ἦν ἀσφαλείας αὐτὸν φροντίδα θέσθαι τινὰ, ὡς ἐγγράφοις [8] μνήμαις ἀναλαμβανομένων τῶν λεγομένων. ἐν τούτοις γοῦν ἄλλα τε πολλὰ διείλεκται ἄναρθρα, διαῤῥήδην τε ἐν τοῖς περὶ Πατρὸς καὶ Υἱοῦ λόγοις. Φησὶ γάρ· Υἱὸς μὲν Πατρὸς θελήσει γεγέννηται μόνου, ἀχρόνως, ἀμεσιτεύτως, ἵνα διάκονος γένηται καὶ ὑπηρέτης βουλημάτων τοῦ Πατρός. [9] ἐπειδὴ γὰρ ὁ προγινώσκων Θεὸς, ἃ ἔμελλε πράττειν, ἀδύνατα ἦν τῆς ἀκρατήτου τάξεως τοῦ μέλλοντος αὐτὰ ποιεῖν Θεοῦ ἐν τῷ γενέσθαι μέλλοντα. ἢ γὰρ ἔδει αὐτὰ πάντα Θεοὺς γενέσθαι πρὸς ἀξίαν τοῦ ποιοῦντος, καὶ ἐκ τούτων ἔμελλον εἶναι Θεοί· ἢ ἔδει αὐτὰ γενόμενα λύεσθαι, ὥσπερ κηρὸν πυρὶ θερμῷ προσαγόμενον. γέγονε μὲν οὖν μεσίτης τῶν τε ἐσομένων, καὶ τοῦ γεγεννηκότος αὐτὸν Θεοῦ, ὁ Υἱὸς, ἵνα

proficiſcuntur. At principi, qui tributa moderate & humaniter imperat, tanquam patri patriæ cum debito honore parendum eſt.

Δημοσίων πραγμ. Qui publicas res adminiſtrat; veluti choragus, trierarcha, & ſimiles. Peculiariter vero, ſi quis eum, a quo injuria affectus fuerat, in jus vocaret, is ejus rei curam gerebat. Inviſus autem erat, quoniam qui aliena negotia curant, odio haberi ſolent.

Δημοσιώνης. [Publicanus.] Homo contemptus. *Alii quidem cum honore excipiebantur: ſed iſte, quod publicanus eſſe videretur, contemnebatur.*

Δημοτελῆ. Publicam. Sacra publica & popularia tum inter ſeſe, tum ab orgeonicis & gentilitiis differebant.

Δημοτελῶς. Publice. Publicis impenſis.

Δημοτευόμενος. Qui cum popularibus verſatur. Sic Demoſthenes.

Δημοτεύεσθαι. Populo alicui accenſeri, & ab eo nuncupari.

Δημότης. Popularis. Civis.

Δημοτικά. Popularia. Quæ populo jucunda ſunt. *Ille vero verbis maxime popularibus uſus eſt: Videtis me ſalutis egentem?*

Δημοῦσθαι. Gratiā populi aucupari. Et, ludere.

Δημοφάνης. Demophanes. Nomen proprium.

Δημόφιλος. Demophilus, Epiſcopus Conſtantinopolitanus, vir fuit, qui inconſiderato & temerario impetu ruens, omnia miſceret, & rapidi vagique torrentis inſtar plurimum luti & ſordium in ſermonibus ſuis veheret; ut quivis facile deprehendet ex [prima,] quā habuit, concione, in commentariis ejus adhuc exſtante: qua quidem in concione veriſimile eſt eum accuratiorem ac diligentiorem fuiſſe, quippe cum hujuſmodi ſermones a notariis excipi ſoleant. In iis igitur commentariis multa differit confuſa atque indiſtincta, & de Patre ac Filio loquens diſertis verbis ita pronuntiat: Filius ſolius Patris voluntate genitus eſt, ſine tempore, ac ſine medio, ut juſſorum Patris miniſter ſit ac famulus. Prævidebat enim Deus, ea, quæ facturus erat, non poſſe conſiſtere, quippe quæ puri ac impermixti ordinis futura eſſent, perinde ac ipſe Deus, qui ea fecerat. Nam prorſus neceſſe erat, ut vel omnia Dii eſſent, juxta dignitatem ejus, qui illa condiderat: ex quo eventurum erat, ut omnia Dii eſſent: vel certe neceſſe erat, ut, poſtquam facta fuerant, συντάξας ἑαυτὸν καὶ συγκαταβαίνων τοῖς γινομένοις, ἀποτελέσῃ τὸ βούλημα τοῦ πατρὸς, καὶ μεσίτης γένηται τοῦ Θεοῦ, καὶ ἡμῶν, τῶν δι' αὐτοῦ γενομένων. ἐλάνθανε δὲ διὰ τούτων τοῦ Θεοῦ τῶν ὅλων ἀσθένειαν καὶ βασκανίαν καταψευδόμενος, καὶ τὸν Υἱὸν πάντων τῶν κτισμάτων ἀποφαίνων καταδεέστερον. ὁ μὲν γὰρ ἀσθενὴς ἂν ἦν κατὰ Δημόφιλον, εἰ βουληθεὶς, ἔπειτα ἀπόρως εἶχε τοῖς πᾶσι τὸ εἶναι δωρήσασθαι. Φθόνου δ' οὐκ ἀπήλλακτο ἂν, εἰ ἐξὸν αὐτῷ Θεοὺς τὰ πάντα ποιεῖν, ὁ δὲ ἐφαίνετο μηχανώμενος, ὅπως μὴ ταύτης αὐτῷ τύχῃ τὰ γενησόμενα τῆς ἀξίας. τοῦ δέ γ' αὖ παιδὸς οὐκ ἦν τῶν κτισμάτων οὐδὲν, ὃ μὴ ἄμεινον ὑπάρχειν ἐδείχθη ἂν, εἴπερ γε μὴ δι' ἑαυτὸν ἐκεῖνον ἔτυχε γεγονὼς, ἀλλὰ διὰ σκοπὸν καὶ χρείαν τῆς τούτων γενέσεως. ἅπαν γέ τοι τὸ δι' ἑτέρων γινόμενον χρείαν, ἔλαττον ὑπάρχειν ἐκείνων ἀνάγκη, δι' ἃ τοῦ εἶναι τυγχάνει. καὶ ἄλλα δὲ ἐληρώδει πολλά.

---

[1] Ἀπεχθάνη] Senſus & conſtructio requirunt, ut ſcribatur ἀπηχθάνετο.

[2] Δημοτελῆ καὶ δημοτικὰ ἱερὰ διέφ.] Ex Harpocratione. Docte Heſychius: Δημοτελῆ καὶ δημοτικὰ ἱερά. (Sic enim apud eum ſcribendum eſt) καὶ δημοτελῆ μὲν, εἰς ἃ θύματα δίδωσιν ἡ πόλις. δημοτικὰ δὲ, εἰς ἃ οἱ δῆμοι.

[3] Δημοτεύεσθαι. ἔστι τὸ τοῦδε τινὸς δήμου κοιν.] Ex Harpocratione.

[4] Ὁ δὲ ἔλεξε δημοτικωτάτους λ.] Metrum hujus fragmenti prorſus eſt ſolutum & turbatum, quod ex Ariſtoph. *Ecclеſ.* pag. 736. unde id Suidas depromſit, ſic in integrum reſtituendum eſt:
Κᾄπειτ' ἔλεξε δημοτικωτάτους λόγους.
Ὁρᾶτε μέν με δεόμενον σωτηρίας.

[5] Ἀντιπαίζειν] Sic habent omnes Editt. ſed male. Scribendum enim eſt, ἀντὶ τοῦ παίζειν. Grammatici enim τὸ δημοῦσθαι etiam interpretantur παίζειν, ut vel ex Heſychio conſtat.

[6] Δημόφιλος, Ἐπίσκοπος Κωνσταντ.] Integrum hunc locum de Demophilo ex Philoſtorgio deſcriptum eſſe ſuſpicatur Valeſius, qui proinde eum inter fragmenta Philoſtorgiana refert.

[7] Ἄνθρωπος ἦν] Hæ duæ voces a prioribus Editt. abſunt, quas ex 2 MSS. Pariſ. revocavi. Eaſdem etiam agnoſcit codex Vatic. teſte Pearſonio; nec prætermiſit eas Suidas infra v. Οἷον, ubi locus hic repetitur.

[8] Μνήμαις] Abeſt a prioribus Editt. ſed legitur in 2 MSS. Pariſ.

[9] Ἐπειδὴ γὰρ ὁ προγινώσκων Θεὸς, ἃ ἔμελλε πρ.] Lego cum Porto, ἐπειδὴ γὰρ ἃ ὁ προγ. Θεὸς ἔμελλε πρ. Aliter enim conſtructio hujus loci erit manca & mutila.

ſtatim diſſolverentur, perinde ac cera ardentiſſimo igni admota. Idcirco Filius inter creaturas, quæ condendæ erant, & inter Patrem, ex quo genitus erat, medius exſtitit: ut is ſeſe demittens, ſeque adjungens & ſocians iis, quæ creanda erant, voluntatem Patris adimpleret, eſſetque mediator inter Deum atque inter nos, qui per illum facti ſumus. Sed non animadvertit Demophilus, ſe his verbis ſummo omnium Deo infirmitatem & invidiam falſo affingere, & Filium deterioris conditionis facere, quam reliquas omnes creaturas. Nam Pater quidem infirmus fuerit ſecundum Demophili ſententiam, quippe qui, cum voluiſſet cunctis eſſentiam largiri, id poſtea perficere non potuerit. Ab invidia autem nequaquam alienus fuerit, ſi, cum ipſi liceret cunctas creaturas Deos efficere, ipſe ſtudioſe cavit, ne creaturæ ejuſdem cum ipſo conditionis ac dignitatis eſſent. Jam vero Filio nulla eſt creatura quæ non potior ac beatior jure merito eſſe videatur: ſi quidem ille non propter ſemetipſum, ſed ob contemplationem atque uſum creaturarum factus fuerit. Quicquid enim ob aliorum utilitatem fit, inferius ſit neceſſe eſt iis, quorum cauſa factum eſt. Multa quoque alia hujuſmodi proferebat deliria.

Δημοφῶν. ὄνομα κύριον.

Δημοχάρης. ἀδελφιδοῦς Δημοσθένους. [1] περὶ οὗ Τίμαιός φησιν, [2] ἡταιρηκέναι μὲν τοῖς ἄνω μέρεσι τοῦ σώματος· οὐκ εἶναι δὲ ἄξιον [3] τὸ ἱερὸν πῦρ φυσᾶν· ὑπερβεβηκέναι δὲ τοῖς ἐπιτηδεύμασι τὰ Βότρυος ὑπομνήματα, καὶ [4] Φιλαινίδος, καὶ τῶν ἄλλων ἀναισχυντογράφων. Πολύβιος δὲ λέγει πρὸς Τίμαιον· Ταύτην δὲ τὴν λοιδορίαν καὶ τὰς ἐμφάσεις οὐχ οἷον ἄν τις διέθετο πεπαιδευμένος ἀνὴρ, ἀλλ' οὐδὲ τῶν [5] ἀπὸ τέγους ἄχρι τοῦ σώματος εἰργασμένων οὐδείς. [6] οὐδ' ἵνα πιστὸς φανῇ κατὰ τὴν αἰσχρολογίαν καὶ τὴν ἄλλην ἀναισχυντίαν, καὶ προσκατέψευσται τἀνδρὸς, [7] κωμικόν τινα μάρτυρα προσεπισπασάμενος ἀνώνυμον. ἠξιώθη δὲ ὁ Δημοχάρης καὶ στρατηγίας παρ' Ἀθηναίοις, καὶ τῶν ἄλλων τιμῶν, ὧν οὐδὲν αὐτῷ συνεξέδραμε, τοιαύταις ἀτυχίαις παλαίοντι.

Δημοφῶν. Demophon. Nomen proprium.

Δημοχάρης. Demochares, Demoſthenis ex ſorore nepos. Hunc Timæus ſcribit ſuperioribus corporis partibus impudicum fuiſſe, neque dignum, qui ignem ſacrum flatu accenderet: eundemque Botryis ac Philænidis aliorumque hujuſmodi laſciviæ ſcriptorum commentarios obſcœnitate ſua ſuperaſſe. Timæo vero Polybius ita reſpondet: *Iſtud vero convitium atque eam turpitudinem non ſolum nemo paulo humanior protulerit, ſed ne ullus quidem ex iis, qui in fornice quæſtum corpore faciunt. Hic deinde ut obſcœnis ſuis atque impudentibus maledictis fidem adſtrueret, mendacium quoque adverſus eundem virum confinxit, Comico quodam abſque nomine teſte advocato. At vero Demochares hic non ſolum prætura, ſed etiam cæteris honoribus ab Athenienſibus ornatus eſt; quod profecto non adeptus eſſet, ſi hujuſmodi probris contaminatus fuiſſet.*

Δημώ. ὄνομα κύριον. Ἐξένισεν [8] ἡ Βαβὼ τὴν Δημώ. Δημῷ δὲ, τῷ λίπει.

Δημωδέστερος. ἀσχημονέστερος. διὰ τὸ ἐν ὄψει πάντων γινόμενον, διὰ τὸν δῆμον.

Δημώναξ. ὄνομα κύριον.

Δημωφελής. δῆμον ὠφελῶν.

Δήν. ἐπίρρημα. ἐπὶ πολὺν χρόνον.

Δημώ. Demo. Nomen proprium. Babo Cererem hoſpitio excepit. Δημῷ vero, pinguedine.

Δημωδέστερος. Inhoneſtior. Turpior. Ideo, quod in omnium conſpectu fiat, & vidente populo.

Δημώναξ. Demonax. Nomen proprium.

Δημωφελής. Qui populo prodeſt.

Δήν. Adverbium. Diu. Ad multum tempus.

---

[1] Περὶ οὗ Τίμαιός φησιν, ἡταιρηκέναι μὲν τοῖς ἄνω μέρ.] Hæc, & quæ ſequuntur, leguntur in Excerptis Polybii a Valeſio editis, pag. 53. unde ea Suidas deſcripſit.

[2] Ἡταιρηκέναι μὲν τοῖς ἄνω μέρεσι τοῦ σ.] Intelligit τὸ τῷ στόματι μολύνεσθαι; quam obſcœnitatem Græci vulgo vocant αἰσχρουργίαν, vel ἀρρητοποιΐαν: cujus infamia præter alios etiam Ariſtyllus olim flagrabat. Vide ſupra h. v.

[3] Τὸ ἱερὸν πῦρ φυσᾶν] Vide infra v. Ὦ τὸ ἱερὸν πῦρ φυσ.

[4] Φιλαινίδος] Inter ſcriptores obſcœnos celebre eſt nomen Philænidis, quæ olim de ſchemis Venereis ſcripſerat; uti etiam Elephantis & Aſtyanaſſa, teſte Suida ſupra v. Ἀστυάνασσα. Philænidem tamen ab hoc probro vindicat Æſchrion apud Athenæum lib. VIII. quem vide.

[5] Ἀπὸ τέγους] Sic ex 2 MSS. Pariſ. reſcripſi, cum antea peſſime legeretur, ἀπὸ τέλους. Significat autem τέγος lupanar, ſive cellam, in qua mulieres impudicæ proſtant: & αἱ ἐπὶ τέγους προεστῶσαι vocantur meretrices. Euſtathius ad Il. I. pag. 741. 28. Ἀντιφάνης κασωρῖτιν ἔφη τὴν ἐπὶ τέγους προεστῶσαν. i. e. meretricem, quæ in lupanari proſtat. Suidas infra: Κασαλβάδες. ἑταῖραι. τουτέστιν αἱ ἐπὶ τέγους καὶ οἰκήματος προεστῶσαι γυναῖκες. Euſebius *Hiſtor. Eccleſ.* lib. II. cap. XIII. fœminam, quæ corpore quæſtum fecerat, & publice in lupanari proſtiterat, ἐπὶ τέγους σταθεῖσαν vocat. Vide ibi Valeſium.

[6] Οὐδ' ἵνα] Legendum eſt, ὁ δ' ἵνα.

[7] Κωμικόν τινα μάρτυρα] Comicus hic eſt Democlides, ut diſcimus ex iis, quæ leguntur apud Suidam infra, v. Ὦ τὸ ἱερὸν πῦρ φ.

[8] Ἐξένισεν ἡ Βαβὼ τὴν Δημώ] Locum hunc emendavimus & illuſtravimus ſupra v. Βαβώ, ante v. Βάψαι: quo Lectorem remittimus.

Δηνάριον. εἶδος ἀργυρίου, [1] ὁλοκοτίνου ἴσην ἔχον ἰσχύν.

Δηναδίπτρα. κατὰ Ῥωμαίους δωρεὰ βασιλικὴ, στρατιώταις διδομένη.

Δηναιόν. τὸ ἐνιαύσιον. τὸ μακροχρόνιον. καὶ δηναιὸν, ἐπὶ πολὺν χρόνον.

Δηνέον. τὸ βούλευμα.

Δήομεν, εὑρήσομεν.

Δηοῦν. πολεμεῖν. πορθεῖν. Δηίουν δὲ, διέκοπτον, ἐτίτρωσκον.

Δηώ. Δηοῦς κλίνεται. ἡ Δημήτηρ.

Δηώσας. πραιδεύσας. ἀνελών. κατεκτονώς.

Δήπου. ὡς δή.

Δήπουθεν. δηλονότι. ἢ ἔκ τινος τόπου. Καὶ χρὴ πείθεσθαι δήπουθεν. † Καὶ τὴν σχολὴν δήπουθεν ἐκείνην ἐπαινῶν.

Δηριάασθον.

Δηριγευόμενος.[2] ὀφικευόμενος. ἔστι δὲ ἡ λέξις Ῥωμαϊκή.

Δῆρις, δήρεως, δήρει. καὶ δῆριν, μάχην, ἢ φιλονεικίαν. ἐν Ἐπιγράμμασι·

> Μέλλον ἄρα στυγερὰν κἀγώ ποτε δῆριν Ἄρηϊ
> Ἐκπρολιποῦσα, χορῶν παρθενίων ἀΐειν.

Καὶ αὖθις·

> Φεῦγε[3] Λάκων ποτὲ δῆριν, ὑπαντιάσασα δὲ μάτηρ.

Δηρόν. ἐπιπολύ.

Δήσαντες. δεσμεύσαντες.

Δῆτα. οὕτως.

Δηφενσίων. ὁ ἔκδικος χάρτης. καὶ Δηφένσωρ, ὁ ἔκδικος.

Δήφηλα. πόλις παρὰ Ἰωσήπῳ.

Δί. ἐπέκτασις.

Δία. τὸν Δία. Δῖα δὲ ἡ ἔνδοξος. καὶ δῖος, ὁ ἔνδοξος.

Διαβάλλεται.[4] χρῶνται ἐπὶ τοῦ ἐξαπατᾷν. Ἄρχιππος·

> Τὸν γὰρ γέροντα διαβαλοῦμεν τήμερον.

Διαβάλλεταί σ᾽ ὁ θεῖος, ὦ πόνηρε σύ.

Διαβάλλειν. τὸ ἐξαπατᾷν καὶ παραλογίζεσθαι. Θουκυδίδης ά, καὶ Κράτης. καὶ διαβάλλειν τὸ πέλαγος, τὸ διαπερᾷν. Ἐντεῦθεν ἐνόει διαβάλλειν τὸ ἐν μέσῳ πέλαγος, καὶ λῃστεύειν τὰς νήσους. καὶ Ἀῤῥιανός· Αὐτόν τε κυβερνῶντα τὴν στρατηγίδα ναῦν διαβάλλειν ἐπιχειροῦντι Ἀλεξάνδρῳ τὸν Ὦξον ποταμόν. ἀντὶ τοῦ περᾷν. καὶ διαβάλλω, αἰτιατικῇ. Διαβάλλει τὸν ἀεὶ προτετιμημένον.

Διαβάσης. ἐπελθούσης. Ῥωμαϊκῆς δυνάμεως ἐπ᾽ αὐτοὺς διαβάσης.

Δηνάριον. Denarius. Genus nummi, holocotino parem habens valorem.

Δηναδίπτρα. Donativum, ſive donum, quod Imperator militibus dabat.

Δηναιόν. Annuum. Diuturnum. Item δηναιὸν, [adverbium,] diu.

Δηνέον. Conſilium.

Δήομεν. Inveniemus.

Δηοῦν. Bellum inferre. Vaſtare. Δηίουν vero, diſſecabant, vulnerabant.

Δηώ. In genitivo Δηοῦς. Ceres.

Δηώσας. Prædatus. Populatus. Qui interfecit.

Δήπου. Utique. Certe.

Δήπουθεν. Videlicet. Scilicet. Utique. Vel, ex aliquo loco. *Et parere utique oportet.* † *Et illud otium ſcilicet laudans.*

Δηριάασθον. Contenditis. Dimicatis.

Δηριγευόμενος. Qui in pompis præcedit. Dux pompæ. Eſt vox Latina.

Δῆρις. Pugna. Declinatur δήρεως, δήρει. Et δῆριν, pugnam, prœlium. In Epigrammate: *Et ego aliquando, inviſo bello Marti relicto, choros virgineos auditura eram.* Et iterum: *Lacon olim ex prœlio fugiens, a matre obviam ipſi veniente [occiſus eſt.]*

Δηρόν. Diu. Ad multum tempus.

Δήσαντες. Qui ligarunt.

Δῆτα. Sic. Ita.

Δηφενσίων. Defenſio. Et δηφένσωρ, defenſor.

Δήφηλα. Dephela. Urbs apud Joſephum.

Δί. Eſt ſyllaba, quæ vocibus quibuſdam in fine addi ſolet.

Δία. Jovem. Δῖα vero, [cum circumflexo,] illuſtris. Et δῖος, [genere maſculino,] illuſtris, clarus, divinus.

Διαβάλλεται. Hoc verbo ſcriptores etiam utuntur pro decipere. Archippus: *Senem enim decipiemus hodie.* † *Decipit te patruus, o miſer.*

Διαβάλλειν. Decipere. Fallere. Thucydides lib. 1. & Crates. Et διαβάλλειν τὸ πέλαγος, mare trajicere. *Hinc mare, quod erat in medio, trajicere, & inſulas latrociniis infeſtare ſtatuerat.* Et Arrianus· *Ille vero Alexandro, navem prætoriam gubernanti, & Oxum trajicere volenti, [reſtitit.]* Et διαβάλλω, accuſativo jungitur. Criminor. Accuſo. *Semper criminatur eum, qui ipſi præfertur.*

Διαβάσης. Trajiciente. *Cum exercitus Romanus fluvium trajeciſſet, ut eos invaderet.*

---

[1] Ὁλοκοτίνου] De hac voce vide Dufrenium in Gloſſario Græco.

[2] Δηριγευόμενος] Sic recte habet codex Vatic. teſte Pearſonio: cujus loco in prioribus Editt. legitur δηριγούμενος. Meurſius in Gloſſario ſcribendum putabat δηριγευομονὸς, a δηριγεύειν & μονή: ſed quam conjecturam merito rejicit Dufrenius in Gloſſario Græco.

[3] Φεῦγε Λάκων ποτὲ δ.] Hexameter hic decerptus eſt ex Epigrammate, quod integrum legitur Anthol. lib. 1. cap. v.

[4] Διαβάλλεται. χρῶνται ἐπὶ τοῦ ἐξαπ.] Ex Scholiaſta Ariſtoph. ad *Aves* pag. 616.

Διαβασιλίζεται. τῆς βασιλείας ἀντιποιεῖται.

Διαβάσκει. περιέρχεται. περιέπει.

Διαβηνός. ὄνομα κύριον.

Διαβησείοντας. ἐρωτικῶς ἔχοντας τοῦ διαβῆναι. [1] Ἀγαθίας· Ὁ δὲ πύργους ἐποίησεν, ἀπείργειν τοὺς Ῥωμαίους διαβησείοντας.

Διαβήτης. [2] ἐργαλεῖον ὁ διαβήτης, εὔχρηστος τέχναις πολλαῖς, τῷ λάμβδα στοιχείῳ παρεοικός. τούτου τὸ ἓν μέρος ἐνπηθέντες, τὸ δὲ ἕτερον περιάγοντες, κύκλους ποιοῦσι. [3] σημαίνει δὲ καὶ ὄνομα καιροῦ παρασιτικόν.

Διάβολος. ἐν τῷ Σατανᾶς.

Διάβολος. διὰ τοῦτο, ὡς δυνάμενος βάλλειν, καὶ ἐχθροὺς ποιεῖν τοὺς φίλους. καί ἐστιν ἐν τῷ Δύναμις.

Διαβούλιον. ὁ διαλογισμός. Δαβίδ· Συλλαμβάνονται ἐν διαβουλίοις, οἷς διαλογίζονται. καὶ οἷον διαβούλια, τὰ ἐκ λογισμῶν ἀτόπων πλάσματα.

Διαβούλομαι. ἀναπείσω. Θουκυδίδης.

Διὰ βραχέων. ἐν συντόμῳ.

Διάβροχος. οἰνωμένος. Ὡς δὲ ἐμέθυεν ὁ πορνοβοσκὸς, καὶ διάβροχος ἦν πάνυ, τί μέλλομεν ἔφη·

y. Fragm. Gr. 34.
p. 82.

Διαβιασάμενος. προσαναγκασθείς. Πολύβιος· Διαβιασάμενος δὲ τὴν ἀσθένειαν τῇ συνηθείᾳ τῇ πρὸ τοῦ, παρῆν ἐξ Ἄργους εἰς Μεγαλόπολιν αὐθημερόν.

Διὰ [4] γὰρ μαχαιρῶν καὶ πυρὸς ῥίπτειν δεῖ. ἐπὶ τῶν παραβαλλομένων καὶ ῥιψοκίνδυνα ποιούντων.

Διαγεγονότος. παρελθόντος. Μετὰ τὸν πρῶτον ἀνοικισμὸν τῆς πόλεως τοὺς διαγεγονότας. Διαγινώσκειν δέ ἐστι, τὸ δι᾽ ἀκριβείας ἐπιστημονικῆς τὸ πρᾶγμα εἴσεσθαι μετὰ τὴν προλαβοῦσαν γνῶσιν.

Διαγέγραπται. [5] κατέξυσται. ἀνῄρηται ἀπὸ τῆς τοῦ γραμματέως δέλτου, ὅπου αἱ δίκαι ἀνεγράφοντο, καὶ αἱ εἰσαγωγαὶ τῶν δικῶν. Ἀριστοφάνης Νεφέλαις·

—— Ἥδομαι,
Ὅτι πεντετάλαντός μοι διαγέγραπται δίκη.

Διαγγέλλων. καὶ διαγγελλομένους, προκελευομένους. Ξενοφῶν· Ἐγίνωσκον αὐτοὺς ἀπιέναι βουλομένους, καὶ διαγγελλομένους. ἢ ἀντὶ τοῦ φανερουμένους. δήλους γινομένους.

Διάγειν. [6] Οὐδὲ δίηγε τοὺς λόγους, οὐδὲ λεπτολογίᾳ ἐδίδου, οὐδὲ εἰρωνευομένου τις ἤκουσε. περὶ Ἀπολλωνίου φησὶ Φιλόστρατος ὁ Λήμνιος.

Διαγκωνισάμενος. ἐπ᾽ ἀγκῶνος καθίσας. [7] Ὁ δὲ διαγκωνισάμενος ἐπὶ τοῦ σκίμποδος, ἀποβλεψάμενος εἰς τὸ ἄγαλμα τοῦ Ἀσκληπιοῦ, εἶπεν· Ὦ δέσποτα, τί ἐκέλευσας.

Διαβασιλίζεται. Regnum ſibi vendicat.

Διαβάσκει. Circumit. Obit. Curat.

Διαβηνός. Diabenus. Nomen proprium.

Διαβησείοντας. Trajicere cupientes. Agathias: *Ille vero turres ædificavit, quæ Romanos trajicere volentes arcerent.*

Διαβήτης. Circinus. Inſtrumentum, ad multas artes utile, & literæ Λ ſimile: cujus alteram partem immotam tenentes, alteram vero circumagentes, circulos deſcribunt.

Διάβολος. Diabolus. Quære in v. Σατανᾶς.

Διάβολος. Diabolus. Ideo ſic dictus, quod homines calumniis petere, & ex amicis inimicos facere poſſit. Quære in v. Δύναμις.

Διαβούλιον. Conſultatio. Conſilium. David: *In conſiliis, quæ animo agitant, comprehenduntur.* Id eſt, ipſi ſibi abſurdis & ſtultis conſiliis malum accerſunt.

Διαβούλομαι. Perſuadeo. Thucydides.

Διὰ βραχέων. Breviter. Compendioſe.

Διάβροχος. Vino madidus. Ebrius. *Cum leno ebrius eſſet, & vino prorſus madidus, quid, inquit, cunctamur?*

Διαβιασάμενος. Qui coegit. Qui vim attulit. Polybius: *Cum autem infirmitatem vi viciſſet, propter ſuperioris temporis conſuetudinem, Argis Megalopolin eodem die pervenit.*

Διὰ γὰρ μαχ. *Per enſes & ignem ruere oportet.* Dicitur de hominibus, qui inconſulte & temere ſeſe periculis offerunt.

Διαγεγονότος. Præteriti. [*Annos*] *poſt primam urbis ædificationem præteritos.* Διαγνώσκειν vero eſt, rem, quam ante didiceris, accurate & ſecundum præcepta artis cognoſcere.

Διαγέγραπται. Eraſa eſt. Deleta eſt ex tabula ſcribæ, in qua ſcribebantur lites & cauſæ, quæ in Judicium introducebantur. Ariſtophanes *Nubibus*: *Gaudeo valde, expunctam mihi eſſe dicam quinque talentorum.*

Διαγγέλλων. Denuncians. Divulgans. Et διαγγελλομένους, de quibus fama aliquid divulgat. Xenophon: *Cognoverant, eos abire velle, & rumorem de iis jam ſparſum eſſe.*

Διάγειν. *Neque prolixitatem in ſermonibus affectabat, neque ſubtilitati verborum ſtudebat, neque ironice loquentem quiſquam audiebat.* Sic Philoſtratus Lemnius de Apollonio inquit.

Διαγκωνισάμενος. Cubito innitens. *Ille vero cubito innitens, & in grabatum reclinatus, oculis in Æſculapii ſimulacrum conjectis dixit, Domine, quid imperas?*

---

[1] Ἀγαθίας] Lib. 11. pag. 39.

[2] Διαβήτης. ἐργαλεῖον ὁ διαβήτης, εὔχρ.] Hæc, & quæ ſequuntur, deſcripta ſunt ex Scholiaſta Ariſtoph. ad *Nubes* pag. 133.

[3] Σημαίνει δὲ καὶ ὄνομα καιροῦ παρας.] Quid hæc verba ſibi velint, dicant alii. Ego enim ſenſum illorum me ignorare fateor.

[4] Διὰ γὰρ μαχαιρῶν καὶ π.] Vide infra v. Διὰ μαχαιρῶν.

[5] Διαγέγραπται. κατέξυσται. ἀνῄρ.] Ex Scholiaſta Ariſtophanis ad *Nubes* pag. 170. (101. Ed. Baſ. *P.*)

[6] Οὐδὲ δίηγε τοὺς λόγους, οὐδὲ λεπτ.] Fragmentum hoc legitur apud Philoſtratum *de Vita Apoll.* lib. 1. cap. XIII. idemque repetitur infra v. Κατεστωμυλισμένον.

[7] Ὁ δὲ διαγκωνισάμενος ἐπὶ τοῦ σκ.] Fragmentum hoc depromptum eſt ex Damaſcio, quod longe auctius legitur infra v. Δομνῖνος.

Διαγνώμη. [1] Διάγνωσις, καὶ διάκρισις. [2] Ὥσπερ καὶ καταβοή. ἡ λέξις ἰδικὴ Θουκυδίδου.

Διαγνώμων. Διακρίνων. Διαγινώσκων. [3] Ὁ μὲν δὴ Ἡραΐσκος αὐτοφυὴς ἐγένετο διαγνώμων τῶν τε ζώντων καὶ τῶν μὴ ζώντων ἀγαλμάτων. εὐθὺς γὰρ ἐμβλέπων, ἐπιτρώσκετο τὴν καρδίαν ὑπὸ τοῦ θειασμοῦ, καὶ ἀνεπήδα τό, τε σῶμα καὶ τὴν ψυχὴν, ὥσπερ ὑπὸ τοῦ Θεοῦ κατάσχετος. εἰ δὲ μὴ κινοῖτο τοιοῦτον, ἄψυχον ἦν ἐκεῖνο τὸ ἄγαλμα, καὶ ἄμοιρον θείας ἐπιπνοίας. οὕτω διέγνω τὸ ἄρρητον ἄγαλμα τοῦ Αἰῶνος, ὑπὸ τοῦ Θεοῦ κατεχόμενον, ὃ Ἀλεξανδρεῖς ἐτίμησαν, Οσιριν ὄντα καὶ Ἄδωνιν ὁμοῦ, κατὰ μυστικὴν θεοκρασίαν. ἐνῆν δὲ τοῦ Ἡραΐσκου τῇ φύσει καὶ τὸ τοὺς μολυσμοὺς τῆς φύσεως ἀναινόμενον. εἰ γοῦν αἴσθοιτο φθεγγομένης ὅπως δὴ καὶ ὅθεν γυναικὸς ἀκαθάρτου τινὸς, ἤλγει παραχρῆμα τὴν κεφαλήν· καὶ τοῦτο σημεῖον ἐποιεῖτο τῆς ἀφεδρείας. ἦν δὲ καὶ ἡ πρώτη αὐτοῦ γένεσις μυστική. λέγεται γὰρ κατελθεῖν ἀπὸ τῆς μητρὸς, ἐπὶ τοῖς χείλεσιν ἔχων τὸν κατασιγάζοντα δάκτυλον, οἷον Αἰγύπτιοι μυθολογοῦσι Ὧρον καὶ Ἥλιον. τοιγαροῦν, ἐπεί οἱ συνεπεφύκει τοῖς χείλεσιν ὁ δάκτυλος, ἐδεήθη τομῆς, καὶ διέμεινεν ἀεὶ τὸ χεῖλος ὑποτετμημένος.

Διαγόρας, Τηλεκλείδου, ἢ Τηλεκλύτου, Μήλιος, φιλόσοφος, καὶ ᾀσμάτων ποιητής· [4] ὃν εὐφυᾶ θεασάμενος Δημόκριτος ὁ Ἀβδηρίτης, ὠνήσατο αὐτὸν δοῦλον ὄντα μυρίων δραχμῶν, καὶ μαθητὴν ἐποιήσατο. ὁ δὲ καὶ τῇ λυρικῇ ἐπέθετο, τοῖς χρόνοις ὢν [5] μετὰ Πίνδαρον καὶ Βακχυλίδην, [6] Μελανιππίδου δὲ πρεσβύτερος. ἤκμαζε τοίνυν οή Ὀλυμπιάδι· [7] ἐπεκλήθη δὲ Ἄθεος. ἔγραψε τοὺς Ἀποπυργίζοντας λόγους, ἔκπτωσιν ἔχοντας τῆς περὶ τὸ θεῖον δόξης. κατοικήσας δὲ Κόρινθον Διαγόρας, αὐτόθι τὸν βίον κατέστρεψε.

Διαγόρας ὁ [8] Μήλιος. ἐπὶ τῶν ἀθέων καὶ ἀπι-

Διαγνώμη. Ratio res dignoſcendi & dijudicandi. Eſt vox Thucydidi peculiaris: uti & καταβοή.

Διαγνώμων. Dignoſcens. Dijudicans. Diſcernens. Heraiſcus abſque ulla diſciplina ipſo naturæ inſtinctu animata & inanimata ſimulacra dignoſcere poterat. Quamprimũ enim ea conſpexiſſet, cor ejus quaſi vulnerabatur, & ipſe extra ſe raptus, animo & corpore exultabat, quaſi Numine quodam afflatus eſſet. Quod ſi ea ratione non commoveretur, inanimatum erat ſimulacrum illud, & divini afflatus expers. Sic cognovit arcanum ſimulacrum Æternitatis, a Deo inſeſſum, quod Alexandrini ſub Oſiridis ſimul & Adonidis nomine colebant, myſtica quadam ratione uno Numine ex duobus Diis conflato. In ejuſdem Heraiſci natura quiddam etiam inerat, quod pollutiones naturæ averſaretur. Nam ſi mulierem aliquam impuram utcunque & undecunque loquentem audiviſſet, confeſtim caput ipſi dolebat: quod ipſi erat indicium menſtruorum. Fuit autem & primus ejus ortus vere myſticus. Fertur enim in lucem editus eſſe, digito ſilentii indice labiis ejus admoto, quemadmodum Ægyptii Orum & Solem natos eſſe fabulantur. Quare cum digitus ille labiis firmiter adhæreſceret, ſectione ei opus fuit: & Heraiſcus labium inciſum ſemper retinuit.

Διαγόρας, Diagoras, Teleclidæ, vel Teleclyti filius, Melius, Philoſophus, & canticorum ſcriptor: quem, cum eſſet ſervus, Democritus Abderita egregio ingenio præditum cernens, decem millibus drachmarum emit, & in diſcipulorum ſuorum numerum recepit. Hic poeſi Lyricæ operam etiam dedit, Pindaro & Bacchylide poſterior, at Melanippide antiquior; ita ut vixerit Olympiade LXXVIII. Cognominatus fuit Atheus; ſcripſitque orationes, quæ vocantur Ἀποπυργίζοντες, in quibus rationes reddit, quare ab opinione de Deo deſciverit. Habitavit Corinthi, ibique vitam finiit.

Διαγόρας ὁ Μήλιος. Diagoras Melius. De

---

[1] Διαγνώμη. Διάγνωσις, καὶ διάκρ.] Ex Scholiaſta Thucydidis ad lib. I. cap. LXXXVII.

[2] Ὥσπερ καὶ καταβοή] Hæc verba ex margine in textum irrepſerunt, quæ vel delenda ſunt, vel collocanda poſt vocem Θουκυδίδου.

[3] Ὁ μὲν δὴ Ἡραΐσκος αὐτοφυὴς ἐγένετο διαγν.] Totus hic locus legitur etiam infra v. Ἡραΐσκος.

[4] Ὃν εὐφυᾶ θεασάμενος Δημόκριτος ὁ Ἀβδ.] Hæc, & quæ ſequuntur, totidem pene verbis etiam leguntur apud Heſychium Mileſium.

[5] Μετὰ Πίνδαρον καὶ Βακχυλ.] Scribendum eſt, κατὰ Πίνδαρον καὶ Βακχ. ut ſit ſenſus, eum Pindari & Bacchylidis æqualem fuiſſe. Paulo poſt enim additur, Diagoram floruiſſe Olympiade LXXVIII; in quam ætas Pindari incidit, quippe qui, teſte Suida, natus eſt Olymp. LXV. & ſecundum quoſdam vitam produxit uſque ad Olymp. LXXXV. Bacchylide vero Diagoras adeo non fuit poſterior, ut potius eo antiquior fuerit; quippe quem Euſebius in Chronicis ad Olymp. LXXXII refert. Potuit tamen Bacchylides etiam ante illud tempus vixiſſe, & jam Olymp. LXXVIII inclaruiſſe, adeout cum ratione temporis non videatur pugnare, ſi dicas, Diagoram Bacchylidis æqualem fuiſſe. Enarrator Comici ad *Ranas* pag. 227. Diagoram hunc non Bacchylidis, ſed Simonidis & Pindari æqualem facit. Ait enim: Ἦν δὲ οὗτος Τηλεκλύτου παῖς, Μήλιος τὸ γένος, τῶν χρόνων κατὰ Σιμωνίδην καὶ Πίνδαρον. Natus autem fuit Simonides Olymp. LVI, vel LXII, teſte Suida: obiit vero Olymp. LXXVIII, ut idem auctor eſt. Quare Simonidem ſenem Diagoras adoleſcens videre potuit.

[6] Μελανιππίδου δὲ πρεσβύτερος. ἤκμαζε τοίνυν οή Ὀλυμπιάδι] Hæc verba abſunt a prioribus Editt. quæ ex 2 MSS. Pariſ. revocavi. Eadem etiam leguntur in codice Vaticano, ut teſtis eſt Pearſonius. Cæterum in uno MS. Pariſ. ſcriptum eſt Μελανιππίδης; quam lectionem etiam agnoſcit codex Vaticanus, teſte Pearſonio. At in optimo & antiquiſſimo MS. Pariſ. eadem vox breviate ſcripta eſt, ita ut Lectori integrum ſit, pro ratione ſenſus & conſtructionis eam in quemcunque caſum flectere. Cum igitur ratio conſtructionis genitivum potius quam nominativum requirat, Μελανιππίδου in hac Editione excudendum curavi. Neque ſenſus & temporis ratio lectioni huic refragantur, ſi verba iſta de Melanippide juniore intelligas, quippe qui paulo poſt Diagoram circa Olymp. LXXXVIII vel XC floruit, ut ex Suida colligi poteſt.

[7] Ἐπεκλήθη δὲ Ἄθεος. ἔγραψε τοὺς Ἀποπυργίζοντας λόγους, ἔκπτ. ἔχοντας τῆς περὶ τὸ θεῖον δόξης] Locus hic in 2 MSS. plenius ita legitur: Ἐπεκλήθη δὲ Ἄθεος, διότι τοῦτο ἐδόξαζεν, ἀφ' οὗ τις ὁμότεχνος αἰτιαθεὶς ὑπ' αὐτοῦ, ὡς παιᾶνα ἀφελόμενος, ὃν αὐτὸς ἐπεποιήκει, ἐξωμόσατο μὴ κεκλοφέναι τοῦτον. μικρὸν δὲ ὕστερον ἐπιδειξάμενος αὐτὸν, εὐημέρησεν. ἐντεῦθεν ὁ Διαγόρας λυπηθεὶς, ἔγραψε τοὺς καλουμένους Ἀποπυργίζοντας λόγους, ἀναχώρησιν αὐτοῦ καὶ ἔκπτωσιν &c. Sic etiam legitur in codice Vatic. teſte Pearſonio; eademque totidem verbis habet Heſychius Mileſius in v. Διαγόρας.

[8] Ὁ Μήλιος] Apud Plutarchum *de Placit. Philoſ.* lib. I. cap. VII. Diagoras hic corrupte vocatur Μιλήσιος: quod mendum eſſe vetuſtiſſimum inde patet, quod Theodoretus *Therap.* III. pag. 506. loco iſto Plutarchi fretus, Diagoram hunc Mileſium appellat; ut ante nos etiam obſervavit Cl. Bentlejus ad Fragm. Callim. LXXXVI.

στων καὶ ἀσεβῶν. [1] οὗτος δὲ μετὰ τὴν ἅλωσιν Μήλου ᾤκει ἐν Ἀθήναις· τὰ δὲ μυστήρια οὕτως ηὐτέλιζεν, ὡς πολλοὺς ἐκτρέπειν [2] τῆς τελετῆς. τοῦτο οὖν [3] ἐκήρυξαν κατ' αὐτοῦ Ἀθηναῖοι, καὶ ἐν χαλκῇ στήλῃ ἔγραψαν, τῷ [4] μὲν ἀποκτείναντι, τάλαντον λαμβάνειν· τῷ δὲ ἄγοντι, δύο. ἐκηρύχθη δὲ τοῦτο διὰ τὸ ἀσεβὲς αὐτοῦ, ἐπεὶ τὰ μυστήρια πᾶσι διηγεῖτο, κοινοποιῶν αὐτὰ, καὶ μικρὰ ποιῶν, καὶ τοὺς βουλομένους μυεῖσθαι ἀποτρέπων. Φησὶν οὖν [5] Ἀριστοφάνης ἐν Ὄρνισι·

Τῇδε μέντοι δ' ἡμέρᾳ μάλιστ' ἐπαναγορεύεται·
Ἤν ἀποκτείνῃ τις ὑμῶν Διαγόραν τὸν Μήλιον,
Λαμβάνειν τάλαντον. ἤν τε τῶν τυράννων τις τινὰ
Τῶν τεθνηκότων ἀποκτείνῃ, καὶ τάλαντον λαμβάνειν.

τεθνηκότων. τουτέστι, τῶν ἐπὶ θανάτῳ φευγόντων. ἐν ὑπερβολῇ δὲ εἴρηται, τοὺς τεθνηκότας ἀποκτείνειν.

atheis & infidelibus & impiis hominibus dicitur. Hic poſt captam Melum Athenis habitavit, & myſteria adeo contempſit, ut multos induceret, ne ſacra ſuſciperent. Quare Athenienſes eo proſcripto non ſolum voce præconis pronuntiari, ſed etiam æreæ columnæ inſcribi juſſerunt, eum, qui Diagoram occidiſſet, talentum; qui vero vivum adduxiſſet, duo talenta accepturum eſſe. Hoc autem Athenienſes fecerunt propter ejus impietatem, quod myſteria omnibus enuntiaret, eaque evulgans & deſpiciens, illos etiam, qui ſacris initiari volebant, a propoſitio iſto dehortaretur. Quare Ariſtophanes in *Avibus* inquit: *Hoc quidem die potiſſimum præconis voce pronuntiatur: Si quis veſtrum Diagoram Melium interfecerit, talentum accipiet: & ſi quis aliquem tyrannorum mortuorum occiderit, item talentum accipiet.* Τεθνηκότων, id eſt, eorum, qui capitalis criminis rei ſunt. Per hyperbolen vero dictum eſt, mortuos occidere.

Διαγορεύων. [6] ἀντὶ τοῦ, διάφορα καὶ οὐ τὰ αὐτὰ λέγων. οὕτως Ἰσαῖος. τὸ δὲ ἐναντίον συναγορεύειν· ὥσπερ ἐναντίον καὶ τὸ συμφέρεσθαι πρὸς τὸ διαφέρεσθαι· καὶ τὸ συμφωνεῖν πρὸς τὸ διαφωνεῖν.

Διαγορεύων. Diverſa, nec eadem dicens. Sic Iſæus. Contrarium vero eſt συναγορεύειν, i. e. eadem dicere. Quemadmodum contraria ſunt συμφέρεσθαι & διαφέρεσθαι: & συμφωνεῖν & διαφωνεῖν.

Διαγωνιάσαντες. διενθυμηθέντες. Οἱ [7] δὲ διαγωνιάσαντες, μὴ διὰ τὸ προηττῆσθαι δόξωσι καταπεπλῆχθαι τοῖς ὅλοις, ἐξῆγον ἅμα φωτί. ἀντὶ τοῦ εὐλαβηθέντες.

Διαγωνιάσαντες. Vehementer metuentes. *Illi vero vehementer metuentes, ne univerſo bello jam victi viderentur, & penitus perculſi; prima luce copias ex caſtris [in aciem] eduxere.*

Διάγραμμα. τὸ μίσθωμα. διέγραφον δὲ οἱ ἀγορανόμοι, ὅσον ἔδει λαμβάνειν τὴν ἑταίραν ἑκάστην.

Διάγραμμα. Merces meretricum. Ædiles enim ſtatuebant, quantum unamquamque meretricem accipere oporteret.

Διάγραμμα. [8] τὸ ταττόμενον ἐν ταῖς συμμορίαις, ὁπόσον ἕκαστον εἰσφέρειν δεῖ. ἐτάττετο δὲ οὐ τὸ αὐτὸ πᾶσιν, ἀλλὰ πρὸς τὴν τιμὴν τῆς οὐσίας. [9] Διαγραφεὺς μέντοι ἐστὶν, ὁ καθιστάμενος ἐν ταῖς συμμορίαις ἐπὶ τῷ διακρῖναι, πόσον ἕκαστος εἰσενεγκεῖν ὀφείλει.

Διάγραμμα. Statutum & definitum tributum, quod unumquemque in Symmoriis conferre oportebat. Non idem autem tributum omnibus imperabatur, ſed aliis aliud, pro cenſu facultatum. Et διαγραφεὺς dicebatur ille, qui in Symmoriis conſtitutus erat, ut dijudicaret & ſtatueret, quantum quiſque conferre deberet.

Διαγράμματα. ὅταν εἰσφορᾶς δεήσειεν εἰς τὸ κοινὸν, πολέμου ὄντος, τὸ ἑκάστῳ ἐπιγραφόμενον ἀργύριον διάγραμμα καλεῖται.

Διαγράμματα. Quum tempore belli tributo in commune collato opus erat, portio pecuniæ, ſingulis aſſignata, διάγραμμα vocabatur.

Διαγραφεύς. ὁ καθιστάμενος ἐν ταῖς συμμορίαις, ἐπὶ τῷ διακρῖναι, πόσον ἕκαστος εἰσενεγκεῖν ὀφείλει.

Διαγραφεύς. Sic vocatur ille, qui in Symmoriis conſtitutus eſt, ut ſtatuat, quantum quiſque conferre debeat.

Διαγραφή. [10] ἡ διατύπωσις τῶν πιπρασκομένων μετάλλων, δηλοῦσα διὰ γραμμάτων, ἀπὸ ποίας ἀρχῆς μέχρι πόσου πέρατος πιπράσκεται.

Διαγραφή. Metallorum, quæ venduntur, deſcriptio, literis indicans, a quo initio ad quem uſque terminum vendantur.

Διαγραφή. καὶ τοῦτο ἐπὶ Ἰουστινιανοῦ ἐγένετο, ζημίαις πολλαῖς καθυποβάλλεσθαι τὴν πόλιν.

Διαγραφή. Et hoc ſub Juſtiniano contigit, ut urbs multis afficeretur damnis.

---

[1] Οὗτος δὲ μετὰ τὴν ἅλωσιν Μήλου ᾤκει ἐν Ἀθ.] Hæc, & quæ ſequuntur, deſcripta ſunt ex Scholiaſta Ariſtophanis ad *Aves* pag. 592. (410. Ed. Baſ. *P.*)

[2] Τῆς τελετῆς] Sic habet MS. Pariſ. A. & Enarrator Comici loco laudato: at priores Editt. minus recte ἀρετῆς.

[3] Ἐκήρυξαν κατ' αὐτοῦ Ἀθηναῖοι καὶ ἐν χαλκ.] Huc ſpectant verba Scholiaſtæ ad *Ranas* pag. 227. Ὅθεν καὶ Ἀθηναῖοι, ὡς χλευάζοντος τοὺς Θεοὺς καταψηφισάμενοι, ἀνεκήρυξαν, τῷ μὲν ἀναιρήσοντι, ἀργυρίου τάλαντον· τῷ δὲ ζῶντα κομίσαντι, δύο. Vide etiam Meurſium ad Lycophronem v. 1172.

[4] Τῷ μὲν ἀποκτείναντι —— τῷ δὲ ἄγοντι] Conſtructio requirit ut legatur, τὸν μὲν ἀποκτείναντα —— τὸν δὲ ἄγοντα: ut recte legitur apud Scholiaſtam Ariſtophanis ad *Aves*, loco eo, quem paulo ante indicavimus.

[5] Ἀριστοφάνης ἐν Ὄρνισι] Pag. 592. (410. Ed. Baſ. *P.*)

[6] Διαγορεύων. ἀντὶ τοῦ διάφ.] Ex Harpocratione.

[7] Οἱ δὲ διαγωνιάσαντες, μὴ διὰ τὸ πρ.] Fragmentum hoc legitur apud Polybium lib. XI. cap. XXX. ut Jac. Gronovius recte obſervavit. Apud Polybium tamen hodie legitur, μὴ προηττῆσθαι δόξωσι καὶ καταπεπλῆχθαι &c.

[8] Διάγραμμα. τὸ ταττόμενον ἐν ταῖς συμμ.] Ex Harpocratione. Vide etiam ſupra v. Ἀνασύνταξις.

[9] Διαγραφεὺς μέντοι ἐστὶν, ὁ καθισ.] Iidem etiam vocabantur Ἐκλογεῖς, Ἐπιγραφεῖς, & Ἐπιγνώμονες, ut docet Suidas infra ſuis locis.

[10] Διαγραφή. ἡ διατύπωσις τῶν πιπρ.] Ex Harpocratione.

Διαγραφὴ δίκης. ὅταν ἀπαλλαγῇ τοῦ ἐγκλήματος ὁ φεύγων, ἢ κατὰ συγχώρησιν τοῦ διώκοντος, ἢ κατὰ διάγνωσιν τυχόντος, καὶ μηκέτι παρὰ μηδενὸς ἐγκαλῆται, διαγραφὴ δίκης λέγεται.

Διαγράψαντος.[1] τινὲς μὲν ἀντὶ τοῦ καταβαλόντος καὶ καταθέντος. ἔνιοι δὲ, ἀντὶ τοῦ [2] διὰ τραπέζης ἀριθμήσαντος, ὡς λέγομεν ἐν τῇ συνηθείᾳ.

Διαγράψασθαι.[3] ἀντὶ τοῦ ἀνελέσθαι τὸ ἔγκλημα.

Διὰ δακτυλίου δεῖ σε ἑλκυσθῆναι. ἐπὶ τῶν διὰ νόσον ἢ λύπην λεπτῶν καὶ ἰσχνῶν γινομένων.

Διάδημα. τὸ βασιλικὸν ἔνδυμα. τὸ στέμμα.

Διαδιδράσκει. διαφεύγει. καὶ διαδιδρᾶναι.

Διαδικασάμενος. ὀνειδίσας. ἐξελέγξας. Ὃς διαδικασάμενος αὐτῷ περὶ τῆς ἀποστασίας, ἀπέκτεινεν αὐτοῦ τοὺς παῖδας.

Διαδικασία. διαδικασία ἐστὶν, ἣν ποιοῦνταί τινες τοῖς μέλλουσι χορηγεῖν, οὓς ἂν ὁρισθῆναι βούλωνται, πότε χρὴ λειτουργεῖν αὐτούς.

Διαδορατίζω.

Διαδόσεις.[4] τὰς ἐκ διαιρέσεως ἴσης ἐπιβαλλούσας δόσεις. Λυσίας.

Διαδρᾶναι. διαφυγεῖν.

Διαδρασιπολίτας. ἀντὶ τοῦ δειλούς. ἀποδιδράσκοντας τὴν πολιτείαν.

Διαδρομαί. ἐπὶ τῶν ἐπὶ παρατάξει κινημάτων. Καὶ ἦγε ἵππος παρήλασε πρώτη εὐτάκτως τε καὶ σὺν κόσμῳ· εἶτα διῃρέθησαν, καὶ ἀλλήλοις ἀντιπρόσωποι στάντες, μαχομένων σχήματα ἐπεδείξαντο. κᾆτα ἐνόπλιοι διαδρομαί τινες ἐγίνοντο, καὶ ἑλελίξεις, καὶ περίοδοι.

Διαζεύγνυμι. γενικῇ.

5. Polybius. Fragm. Hist. 61. Vol. V. p. 71.

Διαζηλοτυπούμενοι. φθονερῶς διακείμενοι. [5] Οἱ δὲ διαζηλοτυπούμενοι πρὸς τὸν Σκιπίωνα, ἐπεβάλοντο διασύρειν τὰς πράξεις αὐτοῦ.

Διάζωμα.[6] τὸ περὶ τὰ αἰδοῖα σκέπασμα.

Διαείδεται. γνωρίζεται. φαίνεται. [7] Ἔνθ' ἀρετὴ διαείδεται ἀνδρῶν, κατὰ τὸν ποιητήν· μᾶλλον δὲ, ὅπου ζητεῖται τὸ μέγεθος τῆς ἀρετῆς.

Διαήσει. διαπέμψει. διάησι δὲ, διέρχεται. παρ' Ἡσιόδῳ.

Διαθέουσα. διατρέχουσα.

Διαθέσθαι. ἀντὶ τοῦ ἀποδόσθαι.

Διάθεσις. [8] Ἐπειδὴ οὐκ ἄσχετός ἐστιν ὁ δεσμὸς τῆς ψυχῆς πρὸς τὸ σῶμα, ἀλλὰ συμπαθής. διαβαίνει

Διαγραφὴ δίκης. Quum reus abſolvitur, vel actore jus ſuum remittente, vel judice litem dijudicante, ita ut non amplius a quoquam accuſetur, id διαγραφὴ δίκης, i. e. litis expunctio, vocatnr.

Διαγράψαντος. Alii vocem hanc accipiunt de eo, qui [pecuniam aliquam] ſolvit & numerat. Alii vero de eo, qui, ut vulgo dicere ſolemus, ex menſa ſolvit.

Διαγράψασθαι. Actionem expungere.

Διὰ δακτ. *Per annulum te trahi oportet.* Dicitur de iis, qui morbo vel mœrore emaciati & confecti ſunt.

Διάδημα. Diadema. Ornamentum regium. Corona.

Διαδιδράσκει. Effugit. Et διαδιδρᾶναι, effugere.

Διαδικασάμενος. Qui exprobravit. Qui redarguit. *Cum defectionem ipſi exprobraſſet, ejus liberos interfecit.*

Διαδικασία. Dijudicatio litis inter eos, qui choragi munere functuri ſunt, cum tempus definiri volunt, quando publicum munus ipſis obeundum ſit.

Διαδορατίζω. Haſta dimico.

Διαδόσεις. Portiones, quæ ex æquali rerum diviſione alicui obtingunt. Lyſias.

Διαδρᾶναι. Diffugere. Effugere.

Διαδρασιπολίτας. Timidos. Qui negotia Reipubl. fugiunt.

Διαδρομαί. Diſcurſus militum in acie. *Equitatus autem primus compoſite & ordine præteriit. Deinde in duas diviſi partes, & frontibus adverſis inter ſe ſtantes, pugnantium ſpeciem præbuerunt: militeſque armati diſcurrere, & circuire, & ordines evolvere cœperunt.*

Διαζεύγνυμι. Disjungo. Cum genitivo.

Διαζηλοτυπούμενοι. Invidia affecti. Invidentes. *Illi vero Scipioni invidentes, res ab ipſo geſtas elevare cœperunt.*

Διάζωμα. Tegumentum partium genitaliũ.

Διαείδεται. Cognoſcitur. Apparet. Perſpicitur. *Ubi virorum virtus & fortitudo perſpicitur, ſecundum Poetam. Vel potius, ubi virtutis magnitudo requiritur.*

Διαήσει. Dimittet. At διάησι, tranſit. Apud Heſiodum.

Διαθέουσα. Diſcurrens. Percurrens.

Διαθέσθαι. [Interdum ſignificat] vendere.

Διάθεσις. Affectio. Anima ita juncta eſt corpori, ut inter ea ſit mutua quædam conοὖν ἐκ τῶν τῆς ψυχῆς κινημάτων ἴχνη πρὸς τὸ σῶμα, καὶ ἐκ τοῦ σώματος πρὸς τὴν ψυχήν. ἄλλο γοῦν τὸ εἶδος τοῦ διανοουμένου, καὶ ἄλλο τοῦ λυπουμένου. καὶ ἐπὶ τῶν λοιπῶν ἐμφαίνεται ἴχνος ἐν τῷ σώματι τῆς κινήσεως τῆς ψυχῆς. ὅθεν καὶ οἱ φυσιογνώμονες ἐκ τῆς τοῦ σώματος ἰδέας τεκμαίρονται τὰς τῆς ψυχῆς διαθέσεις. ὅτι δὲ ἐκ τῶν παθῶν τοῦ σώματος διαβαίνει τι καὶ πρὸς τὴν ψυχήν, πρόδηλον. ἀλγοῦντι γὰρ συναλγεῖ, καὶ εὐθυμοῦντι συνήδεται. ὅτι δὲ καὶ ἐμποδίζει αὐτῇ τὸ σῶμα, τοίως ἢ τοίως διακείμενον, οὐδεὶς ἀγνοεῖ. ὅπερ οὐκ ἂν ἐγένετο τὸ ἐμποδίζεσθαι αὐτὴν ὑπ' αὐτοῦ, εἰ μὴ διέβαινεν ἀπὸ τῆς πρὸς αὐτὸ σχέσεως συμπάθειά τις ἐπὶ τὴν ψυχήν· οὕτως ὡς τοῦ ἐγκεφάλου κοιλίας μὲν παθούσης τῆς ὄπισθεν, τὸ μνημονευτικὸν πάσχειν· ἄλλης δέ, αὐτὸ τὸ λογιστικόν. καὶ τοίως μὲν διακειμένου, ἀφάνταστον εἶναι τὴν ψυχήν· τοίως δέ, δυσφάνταστον. καὶ αἱ διάφοροι δὲ τῶν ψυχῶν ἐπιτηδειότητες, καὶ τὸ εἰς τάδε πάθη ἐπιρρεπῶς ἔχειν, ἐκ τῆς πρὸς σῶμα σχέσεως καὶ συμπαθείας παραγίνεται. ὅθεν καὶ νενομίκασί τινες, ταῖς τοῦ σώματος κράσεσιν ἕπεσθαι τὰς τῆς ψυχῆς δυνάμεις.

---

[1] Διαγράψαντος. τινὲς μὲν ἀντὶ τοῦ καταβ.] Ex Harpocratione.

[2] Διὰ τραπέζης] Id eſt, per menſarium. Uſitatiſſimum enim erat apud veteres, pecuniam aliquam per menſarium ſolvere vel numerare: cui opponebatur ſolutio, quæ dicebatur *ex arca.* Vide Salmaſium *de Fœn. Trapez.* pag. 30.

[3] Διαγράψασθαι. ἀντὶ τοῦ ἀνελέσθαι τὸ ἔγκλ.] Ex Harpocratione.

[4] Διαδόσεις. τὰς ἐκ τῆς διαιρ.] Ex Harpocratione.

[5] Οἱ δὲ διαζηλοτ.] Fragmentum hoc Polybio aſſignat Valeſius.

[6] Διάζωμα] Ejuſmodi ſubligaculo, ſive velamine partium genitalium, utebantur olim athletæ, cum nudi in certamen deſcenderent. Thucydides lib. 1. cap. vi. Τὸ δὲ πάλαι καὶ ἐν τῷ Ὀλυμπικῷ ἀγῶνι διαζώματα ἔχοντες περὶ τὰ αἰδοῖα οἱ ἀθληταὶ ἠγωνίζοντο. i. e. *Olim vero & in Olympiaco certamine athletæ ſubligacula circa pudenda habentes certabant.* Hunc locum ideo attuli, quia Suidam eo reſpexiſſe puto.

[7] Ἔνθ' ἀρετὴ διαείδεται ἀνδρῶν] Hæc ſunt verba Homeri Il. Ν. v. 277.

[8] Ἐπειδὴ οὐκ ἄσχετός ἐστιν ὁ δεσμὸς τῆς ψυχ.——τῆς τῆς ψυχῆς δυνάμεως] Totus hic locus deſcriptus eſt ex Joanne Philopono in lib. 1. Ariſtotelis *de Anima*, Ε. 4.

Διάθεσις, καὶ διατίθεσθαι. ἑκάτερον αὐτῶν κεῖται ἐπὶ τοῦ διαθήκας γράφειν. Ἰσαῖος ἐν τῷ πρὸς Ἀριστογείτονα· Μετὰ ταύτην τοίνυν τὴν ἀπόκρισιν ἑτέραν ἐκόμισαν διαθήκην, ἣν ἔφασαν Ἀρχέπολιν ἐν Λήμνῳ διαθέσθαι. καὶ Λυσίας ἐν τῷ πρὸς Τιμωνίδην· Πῶς δ' ἂν τῆς διαθέσεως τοῦ τελευτηκότος ἀμελήσαιμεν, ἣν ἐκεῖνος διέθετο, οὐ [1]παρανοῶν, οὐδὲ [2]γυναικὶ πεισθείς; Ἐχρήσαντο δὲ καὶ ἐπὶ τοῦ πωλεῖν ἑκατέρῳ αὐτῶν. παρ' Ἰσοκράτει δὲ ἐπὶ τοῦ πάσχειν κεῖται τὸ διατίθεσθαι· ὅς φησιν ἐν Ἑλένης ἐγκωμίῳ· Γνοίη δ' ἄν τις κἀκεῖθεν, ὅσον διαφέρει τῶν ὄντων, ἐξ ὧν αὐτοὶ διατιθέμεθα πρὸς ἕκαστον τῶν καλῶν. Ἀντιφῶν δὲ τῇ διαθέσει ἐχρήσατο ἐπὶ γνώμης, ἢ διανοίας. ὁ αὐτὸς καὶ ἐπὶ τοῦ διαθεῖναι λόγον, τουτέστιν, ἐπὶ τοῦ ἐξαγγεῖλαί τι. [3]Ἐν τῷ δευτέρῳ τῆς ἀληθείας ὁ αὐτὸς κέχρηται αὐτῷ καὶ ἐπὶ τῆς διακοσμήσεως.

Διάθεσις.[4] Ἰσοκράτης ἀντὶ τοῦ πράσις. Ἀντιφῶν δὲ ἀντὶ τοῦ διοίκησις. καὶ διαθέσθαι, ἐπὶ τοῦ διοικῆσαι. παραλαμβάνεται δὲ τὸ διαθέσθαι καὶ ἀντὶ τοῦ συνθέσθαι, ὡς [5]Ὑπερείδης καὶ Δημοσθένης. † Διαθέσεις οὐ μόνον αἱ ἐπιστῆμαι, ἀλλὰ καὶ αἱ ἀρεταί. ὑπάρχει δὲ τῇ τέχνῃ τὸ φαῦλον καὶ τὸ σπουδαῖον. τῶν γὰρ τεχνῶν αἱ μέν εἰσι φαῦλαι, αἱ δέ, σπουδαῖαι. τῷ δὲ τῆς ἐπιστήμης ὀνόματι Ἀριστοτέλης ἀντὶ τῆς τέχνης χρῆται κοινότερον. ὑπάρχοι δ' ἂν καὶ τῇ διαθέ-

ſenſio, & altera ab altero afficiatur. Ex motibus enim animæ veſtigia quædam ad corpus tranſeunt, & viciſſim ex corpore ad animam. Quare alius eſt vultus cogitantis, & alius dolentis: & ſic reliquorum etiam motuum animi veſtigia quædam in corpore apparent. Hinc phyſiognomones ex habitu vultus animi affectiones conjiciunt. Viciſſim ex motibus corporis aliquid etiam ad animum pervenire manifeſtum eſt. Cum dolente enim dolet, &, cum voluptatem idem percipit, una lætatur. Jam corpus aliter atque aliter affectum animum impedire nullus ignorat. Quod profecto non accideret, niſi propter mutuum, quod inter duo iſta intercedit, vinculum, anima eorum, quæ corpus afficiunt, particeps eſſet. Hinc, cum poſterior ventriculus cerebri læſus eſt, læditur & vis memoriæ: at cum anterior, ipſa facultas mentis. Præterea, cum hoc vel illo modo corpus affectum eſt, anima nulla viſa concipit: at cum aliter, triſtia ei viſa obverſantur. Quin etiam diverſæ animorum proprietates, atque ad hos vel illos affectus propenſiones, ex conjunctione & conſenſione cum corpore oriuntur. Unde etiam quidam exiſtimarunt, animi facultates temperamentis corporis conſentaneas eſſe.

Διάθεσις. Teſtamentum. Et διατίθεσθαι, teſtamentum ſcribere. Iſæus in oratione adverſus Ariſtogitonem: *Poſt hoc reſponſum alterum teſtamentum attulerunt, quod ab Archepoli in Lemno conditum dicebant.* Et Lyſias in oratione adverſus Timonidem: *Non video, quare teſtamentum defuncti negligere debeamus, quod ille nec a ſana mente alienus, nec ab uxore perſuaſus fecit.* Utroque vocabulo etiam uſi ſunt pro vendere. Apud Iſocratem τὸ διατίθεσθαι ſignificat ab aliquo affici, vel certo modo affectum eſſe. Is enim in *Helenæ Encomio* inquit: *Quantum autem pulchritudo omnibus rebus antecellat, e noſtris affectionibus erga formoſos quivis intelligat.* Antipho vero vocem διάθεσις accepit pro ſententia vel cogitatione. Apud eundẽ τὸ διαθεῖναι λόγον ſignificat rumorem differre vel divulgare. Idem in oratione ſecunda *de Veritate* hoc vocabulo uſus eſt pro apta rerum diſpoſitione & ordinatione.

Διάθεσις. Iſocrati ſignificat venditionem. Antiphonti vero adminiſtrationem. Et διαθέσθαι, adminiſtrare. Accipitur etiam pro paciſci: ut apud Hyperidem & Demoſthenem. † Diſpoſitiones non ſolum ſunt ſcientiæ & artes, ſed etiam virtutes. Arti autem ineſt malum & bonum, quoniam artium aliæ ſunt bonæ, aliæ vero malæ. Ariſtoteles vero ſcientiæ nomine pro arte communiter utitur. Diſpoſitioni autem, quæ eſt genus artis, itidem bonum & malum ineſt. † Diſpoſitioσει, γένος οὔσῃ τέχνης, τὸ φαῦλόν τε καὶ σπουδαῖον. † [1] Διαθέσεις λέγονται, ἅ ἐστιν εὐκίνητα, καὶ ταχὺ [2] μεταβάλλονται· οἷον θερμότης, καὶ ψύξις, καὶ νόσος, καὶ ὑγεία. διάκειται μὲν γάρ πως [3] κατ' αὐτὴν ὁ ἄνθρωπος· ταχὺ δὲ μεταβάλλει ἐκ θερμοῦ εἰς ψυχρὸν, καὶ ἐκ τοῦ ὑγιαίνειν εἰς τὸ νοσεῖν. εἰ μή τις διὰ χρόνου πλῆθος ἤδη πεφυσιωμένη ἀνίατός ἐστιν, ἢ δυσκίνητος· ἣν ἄν τις ἴσως ἕξιν ἤδη προσαγορεύοι. καὶ διαφέρει ἕξις διαθέσεως. ἡ μὲν γὰρ ἕξις δυσκίνητος· ἡ δὲ διάθεσις, εὐκίνητος.

---

[1] Παρανοῶν] Sic recte habent MSS. Pariſ. itemque Editt. Mediol. & Aldina. At in Editt. Baſil. & Genev. male excuſum eſt παρανομῶν.

[2] Γυναικί] Sic MSS. Pariſ. cujus loco priores Editt. male exhibent γυναικεῖον.

[3] Ἐν τῷ δευτέρῳ τῆς ἀληθείας ὁ αὐτὸς κέχρηται αὐτῷ καὶ ἐπὶ τῆς διακ.] Hæc Harpocratio non ad vocem διάθεσις ſed διάστασις refert. Sed malim Suidam ſequi.

[4] Διάθεσις. Ἰσοκράτης ἀντὶ τοῦ πρ.——καὶ Δημοσθένης] Ex Harpocratione.

[5] Ὑπερείδης καὶ Δημοσθένης] Apud Harpocrationem legitur Ὑπερείδης κατὰ Δημοσθένους, uti etiam hic legendum eſt.

Διαθέτης. διοικητής. ἐπιμελητής. [4] Ἦν δὲ καὶ τἄλλα σοφὸς οἴκου διαθέτης, καὶ πολύ τι τῆς ἡμέρας μέρος εἰς ταῦτα ἀνήλισκε, τὰ μὲν αὐτουργῶν, τὰ δὲ διατάττων.

Διαθείη. διαπράξοι.

Διαθηγή.[5]

Διαθήκη. διχῶς ἐκφωνεῖται. ἡ μὲν ἐπὶ θνησκόντων διατάξεως, καὶ ἐνταλμάτων χαρακτῆρα φέρουσα. θατέρα δὲ διαθήκη, καὶ ἡ Θεοῦ πρὸς Ἀβραὰμ καὶ τοὺς λοιποὺς προπάτορας γενομένη ἐπαγγελία, ἐκ τοῦ σπέρματος αὐτῶν ἀναστήσειν τὸν Κύριον ἡμῶν καὶ Θεὸν Ἰησοῦν Χριστόν. καὶ [6] παρὰ Ἀριστοφάνει διαθήκη ἡ συνθήκη.

Ἢν μὴ διάθωνταί γ' οἵδε διαθήκην ἐμοί.

καὶ διατίθεμαι, ἀντὶ τοῦ συντίθεμαι.

Διαθήκη. καὶ ὁ νόμος. [7] Δαβίδ· Ἐβεβήλωσαν τὴν διαθήκην αὐτοῦ. εἴρηκε γὰρ, Ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτόν. οἱ δὲ οὐκ ἤκουσαν αὐτοῦ.

Διαθήκην διαθώμεθα, ἣν διέθετο Πίθηκος τῇ γυναικί. ἀντὶ τοῦ συνθήκην. [8] αἰσχρὸς γάρ τις τὴν ὄψιν συνεχῶς τῇ γυναικὶ [9] διαπληκτιζόμενος, διέθετο ἐπὶ φίλων, μήτε τύπτειν, μήτε τύπτεσθαι· μήτε δάκνειν, ὡς αὐτὸν φιλοῦντα, μήτε δάκνεσθαι. οἷον, σὺ μὲν οὐχ ἑλκύσεις τῶν ὀρχιπέδων, οὐδὲ ἐγὼ τῶν τριχῶν. ἔοικε δὲ Παναίτιον κωμῳδεῖν· ὡς καὶ ἐν Νήσοις· Καλαλιπὼν Παναίτιον πίθηκον. ἔνθα καὶ μαγείρου πατρὸς εἶναι λέγει αὐτόν. Πίθηκον μὲν, διὰ τὸ πανοῦργον. μαχαιροποιὸν δὲ, τὸν μαχαίραις ἐργαζόμενον, ὡς μάγειρον. αὐτόθεν οὖν φησὶν αὐτὸν μαχαιροποιόν. ὁ γὰρ Παναίτιος μάγειρος μικροφυὴς ἦν. διαβάλλει δὲ αὐτὸν Ἀριστοφάνης, ὡς καταλαβόντα τὴν γυναῖκα αὐτοῦ μοιχευομένην. ἐδυναστεύετο γὰρ ὑπ' αὐτῆς μεγάλης οὔσης.

Διαθλίβειν. ἔστιν ἐν τῷ Βλιμάζειν.

nes vocantur eæ, quæ facile moventur, & celeriter mutantur: ut caliditas & frigefactio; morbus & ſanitas. Illis enim homo certo quodam modo afficitur, & celeriter ex calido fit frigidus; & ex ſano æger. Niſi forte quædam diſpoſitio propter longitudinem temporis in naturam jam abierit, & ideo vel prorſus non, vel difficulter ſaltem tolli & mutari queat: quam quis forſan jam habitum appellarit. Differt autem habitus a diſpoſitione: quod ille difficulter; hæc vero facile mutetur.

Διαθέτης. Adminiſtrator. Procurator. *Erat autem & in cæteris prudens adminiſtrator rei domeſticæ, & magnam diei partem in hæc impendebat, partim ipſe manibus ſuis opus faciens, partim aliis,* [*quæ facienda erant,*] *præſcribens.*

Διαθείη. Peregerit. Confecerit.

Διαθηγή. Ordo. Diſpoſitio.

Διαθήκη. Duplici ſenſu accipitur. Interdum enim ſignificat ſupremam voluntatem morientis, & vim mandati habet. Altero vero ſenſu ſic appellatur promiſſio, qua Deus Abrahamo & reliquis Patribus promiſit, ſe ex ſemine illorum excitaturum eſſe Dominum noſtrum & Deum Jeſum Chriſtum. Et apud Ariſtophanem διαθήκη ſignificat fœdus & pactionem. *Niſi iſti pactionem mecum faciant.* Et διατίθεμαι, pactionem facio.

Διαθήκη. Sic etiam Lex [Dei] vocatur. David: *Ipſius legem profanarunt.* Dixit enim: *Diliges proximum tuum ut te ipſum.* Illi vero ipſi non obtemperarunt.

Διαθήκην διαθ. *Niſi pactionem mecum faciant, qualem Pithecus cum uxore fecit.* Διαθήκην enim hic idem ſignificat, quod συνθήκην. Homo autem quidam deformis perpetuo cum uxore rixans & manus conſerens, coram amicis hanc cum ea pactionem fecit, ne vel verberaret, vel verberaretur; neque præ amore morderet, nec morderetur. Ait igitur: Nec tu prehenſis teſticulis me trahes; nec ego te, capillis. Videtur autem Panætium comice perſtringere; quem & in *Inſulis* perſtrinxit his verbis: *Relicto Panætio. Simio.* Ibi & coqui filium eum eſſe dicit. Simium vero illum vocat, propter aſtutiam. Μαχαιροποιὸν vero, quod cultris ad artem ſuam exercendam uteretur, ut coquus. Panætius enim coquus parva corporis ſtatura præditus erat: quem Ariſtophanes perſtringit, quod uxorem ſuam in adulterio deprehendiſſet. Illa enim, cum grandis eſſet ſtaturæ, virum parcere ſibi cogebat.

Διαθλίβειν. Premere. Vide in v. Βλιμάζειν.

---

[1] Διαθέσεις λέγονται, ἅ ἐστιν εὐκίνητα——ἤδη προσαγορεύοι] Hæc ſunt verba Ariſtotelis in *Categoriis*, cap. περὶ ποιότητος, p. 15.

[2] Μεταβάλλονται] Apud Ariſtotelem loco laudato rectius legitur μεταβάλλοντα.

[3] Κατ' αὐτήν] Scribe κατ' αὐτάς: ut apud Ariſtotelem. Refertur enim ad διαθέσεις.

[4] Ἦν δὲ καὶ τἄλλα σοφὸς οἴκου διαθ.——διατάττων] Hæc verba ex Damaſcio deprompta eſſe diſcimus ex Photio, apud quem idem fragmentum in Excerptis ex illo ſcriptore pag. 1032. legitur, ut Pearſonius recte obſervavit.

[5] Διαθηγή] Hac voce Democritum philoſophum peculiariter olim uſum fuiſſe pro διάταξις, docet Suidas infra v. Ῥυσμός.

[6] Παρὰ Ἀριστοφάνει] *Avibus* pag. 561. (385. Ed. Baſ. *P.*)

[7] Δαβίδ] Pſalm. LIV. 21. ubi vide Theodoretum; cujus interpretationem hic ſecutus eſt Suidas.

[8] Αἰσχρὸς γάρ τις τὴν ὄψιν συνεχ.] Hæc, & quæ ſequuntur, deſcripta ſunt ex Enarratore Comici ad *Aves* pag. 562. (385. Ed. Baſ. *P.*)

[9] Διαπληκτιζόμενος] Apud Scholiaſtam Ariſtophanis hodie minus recte legitur πλησιαζόμενος.

Διαθλοῦντες. πονοῦντες.

Διαθρύπτεται. χαυνοῦται. διαλύεται.

Διακαυνίσασθαι.[1] διακληρώσασθαι. Καῦνος γὰρ ὁ κλῆρος.

Διακεκαυμένον. πῦρ ἐν ἑαυτῷ ἔχον.[2] Ἀριστοφάνης·

Δός μοι σπυρίδιον διακεκαυμένον λύχνῳ.
Τί δ' ὦ τάλας γε τοῦδ' ἔχει πλέκους χρέος;
Χρέος μὲν οὐδέν· βούλομαι δ' ὅμως λαβεῖν.

οἱ γὰρ πρεσβύτεροι, διὰ τὸ μόλις βαδίζειν, ἐν σπυρίδι ἔκρυπτον τὸν λύχνον, ὥστε σώζειν τὸ πῦρ.

Διακεκναισμένη. διεφθαρμένη. καὶ [3] διακεκναισμένος, ἠμαυρωμένος. Εἰ γενοίμην ὠχρὸς, ὡς οἱ περὶ τὸν Σωκράτην, καὶ ἀνυπόδετος, καὶ ῥυπῶν. οἱ γὰρ ἱππεῖς εὔχροι, καὶ ὑποδεδεμένοι, καὶ ἐν γυμνασίοις ἐξεταζόμενοι καὶ παλαίστραις. καὶ [4] ἐν Ἱππεῦσι·

Μὴ φθονεῖθ' ἡμῖν κομῶσι, μηδ' ἀπεστλεγγισμένοις.

τουτέστι, λιπῶσι. τοῦτο οὖν καὶ νῦν ὁ νεανίσκος δεδοικέναι φησὶ, τὸ ἀπέχθεσθαι τοῖς περὶ τὴν ἱππικὴν ἔχουσιν, εἰ καταλιπὼν τὸ κοσμεῖν τὸ σῶμα, καὶ μετιέναι τὰ τῶν ἱππέων ἐπιτηδεύματα, τὰ τῶν φιλοσόφων μετέλθοι. καὶ ἐν Νεφέλαις·

-- Οὐ γὰρ ἂν τλαίην ἰδεῖν
Τοὺς ἱππέας, τὸ χρῶμα διακεκναισμένος.

Διακέκοπται. οἷον ἀδόκιμόν ἐστι. διέκοπτον γὰρ τὸ ἀδόκιμον νόμισμα οἱ παλαιοί.

Διακεκορῆσθαι. διαπεπαρθενεῦσθαι. [5] τετμῆσθαι τῇ μίξει.

Διακεκριμένως. διακεχωρισμένως.

Διακενῆς. ἄνευ τινὸς προφάσεως. Δαβίδ· Αἰσχυνθήτωσαν οἱ ἀνομοῦντες διακενῆς.

Διάκενος. ἡ κενή.

Διακεχαραγμένος. ξίφεσι πεπληγμένος. Ὁ δὲ διεσώθη εἰς τὸν Ναρσῆν, διακεχαραγμένος τὸ σῶμα.

Διακεχείρικε. Ὥσθ' ἅπαντα τὸν βίον ὑπεύθυνον εἶναι ὁμολογῶν, ὧν διακεχείρικεν, ἢ πεπολίτευται παρ' ἡμῖν. Διαχειρίζω δὲ, αἰτιατικῇ. Καὶ αὐτὸς ἑαυτὸν διεχειρίσατο. † Καὶ διαχειρίσας ὀρθῶς τὴν οὐσίαν παρέδωκε τοῖς υἱέσιν.

Διακεχρημένον.[6] ἀντὶ τοῦ κατὰ μέρος δεδανεισμένον.[7] Δημοσθένης.

Διακεχυμένοι. ἐκλελυμένοι τὴν ψυχὴν ὑπὸ χαρᾶς.[8] Τινὲς δὲ τῶν νεανίσκων ἀπήντων πρὸς Γάϊον,

Διαθλοῦντες. Laborantes. Certantes.

Διαθρύπτεται. Luxu enervatur. Diſſolvitur.

Διακαυνίσασθαι. Sortiri. Καῦνος enim eſt ſors.

Διακεκαυμένον. Ignem in ſe continens. Ariſtophanes: *Da mihi ſportulam, in qua ſit accenſa lucerna. Quis ſportulæ hujus uſus tibi erit, homo miſer? Uſus quidem nullus: volo tamen accipere.* Senes enim, quod ægre incederent, lucernam in ſportula occultabant, ut ignem ſervarent.

Διακεκναισμένη. Perdita. Corrupta. Et διακεκναισμένος, corruptus, obſcuratus, vitiatus. Si ſim pallidus, ut Socrates, & ſine calceis incedam, & ſordibus ſqualeam. Equites enim bono colore erant prædití, & calceati, & in gymnaſiis & palæſtris ſe exercebant. Et in *Equitibus: Ne invideatis nobis comatis & terſis nitidiſque.* Hoc igitur & nunc adoleſcens ſe metuere dicit, ne in odium incurrat equitum, ſi neglecto cultu corporis & ſtudio rei equeſtris, philoſophiæ operam dare cœperit. Et in *Nubibus: Haud enim poſſim aſpicere equites, adeo pallidus & macie confectus.*

Διακέκοπται. [Per metaphoram ſignificat,] adulterinum eſt. Adulterinam enim monetam veteres pertundere ſolebant.

Διακεκορῆσθαι. Stupratam eſſe. Coitu diviſam eſſe. [De virgine dicitur.]

Διακεκριμένως. Diſcrete. Diſtincte.

Διακενῆς. Sine ulla cauſa. Temere. David: *Erubeſcant, qui ſine cauſa impia facinora patrant.*

Διάκενος. Inanis.

Διακεχαραγμένος. Gladiis vulneratus. *Ille vero ad Narſem fuga ſe recepit, gladiis toto corpore vulneratus.*

Διακεχείρικε. Adminiſtravit. Tractavit. *Quare confitetur, ſe per totam vitam obnoxium fore rationibus reddendis illarum rerum, quas adminiſtravit, aut publice apud nos geſſit.* † *Et patrimonium, quod recte adminiſtravit, filiis tradidit.* Item διαχειρίζω, interficio. *Et ipſe ſe interfecit.*

Διακεχρημένον. Dicitur de pecunia, quam quis per partes aliis fœnori dat. Demoſthenes.

Διακεχυμένοι. Quorum animi gaudio diffuſi ſunt. *Quidam vero adoleſcentum Cajo obvi-*

---

[1] Διακαυνίσασθ. διακληρ.] Ex Scholiaſta Ariſtophanis ad *Pacem* pag. 704. (475. Ed. Baſ. *P.*) ubi legitur διακαυνιάσαι, uti & hic apud Suidam legendum eſt.

[2] Ἀριστοφάνης] *Acharnenſibus* pag. 393. (280. Ed. Baſ. *P.*)

[3] Καὶ διακεκναισμένος, ἠμαυρ.] Hæc, & quæ ſequuntur, deſcripta ſunt ex Scholiaſta Ariſtophanis ad *Nubes* pag. 130. (65. Ed. Baſ. *P.*)

[4] Καὶ ἐν Ἱππεῦσι] Pag. 322. (222. Ed. Baſ. *P.*)

[5] Τετμῆσθ. τῇ μίξει] Hæc Suidas ideo addit, ut innuat, τὸ διακορεῖν proprie ſignificare virginem penetrare & dividere; propter vim præpoſitionis διά. Sic τὸ διαμηρίζειν, quod proprie ſignificat femora dividere, itidem de coitu venereo dici conſtat. Apud Latinos quoque vox *dividere* obſcœno ſenſu interdum accipitur.

[6] Διακεχρημένον] Scribendum potius eſt διακεχρησμένον, ut monuit etiam Salmaſius *de Modis Uſur.* pag. 191.

[7] Δημοσθένης] Locus Demoſthenis, ad quem Suidas hic reſpexit, exſtat in orat. 1. contra Aphobum, pag. 549.

[8] Τινὲς δὲ τῶν νεανίσκων ἀπήντων πρὸς Γάϊον, διακεχ.] Fragmentum hoc legitur apud Polybium lib. VIII. cap. XXII. ut Jac. Gronovius obſervavit.

διακεχυμένοι, καὶ τι προσπαίζοντες ἀλλήλοις.

Διακλιμακίσας. διαπαλαίσας. κλίμαξ γὰρ καὶ κλιμακισμὸς, πάλαισμα ποιόν.

Διακλεισθέντες. ἐξαπορήσαντες. κωλυθέντες. εἰρχθέντες. [1] Καὶ πάσης ἀθρόον ἀγορᾶς διακλεισθέντες ἐν ἀκαρεῖ χρόνῳ, ἐκινδύνευον διαφθαρῆναι.

Διακλῶν. διαθρύπτων.

Διακναιόμενος. ξεόμενος. ἢ λυπούμενος. [2] Ἀριστοφάνης· Ἄτοπος δ' ἔγκειταί μοι τις πόθος, ὅς με διακναίσας ἔχει.

Διακναισθήσεται. [3] διαφθαρήσεται. Διακναίειν ἐστὶ κυρίως τὸ ξύειν τυρὸν τῇ κνήστι.

Διακομισθείς. διελθών.

Διακόνιον. οἱ μὲν τὴν τοῦ πλακοῦντος κρηπῖδα. Μενεκλῆς δὲ ἐν τῷ Γλωσσοκόμῳ ταῦτα εἴρηκε· περὶ αὐτοῦ· Ἀθηναῖοι τῷ Ἀπόλλωνι τὴν καλουμένην εἰρεσιώνην ὅταν ποιῶσι, πλάττοντες [4] λύραν τε, καὶ κοτύλην, καὶ κλῆμα, καὶ ἄλλα τὰ κυκλοτερῆ πέμματα, ταῦτα καλοῦσι διακόνιον. [5] λέγεται δ' ἐπί τινος ἐγκρατοῦς. ὁμοίως δὲ καὶ Ἀμερίας διακόνια τὰ κατὰ τὴν εἰρεσιώνην τῷ Ἀπόλλωνι πλασσόμενα πέμματα. τινὲς δὲ λέγουσι ζωμὸν ποιόν. τινὲς δὲ, μάζαν.

Διάκονος. μακρὸν τὸ α. Ὁ δὲ ἦν ἱερεὺς, διάκονος τὴν τιμήν. Καὶ Φιλοκτήτης·

Ἀλλ' [6] ἢ τέθνηκεν, ἢ τὰ τῶν διακόνων,
Ὡς εἰκὸς οἶμαι, τοὐμὸν ἐν σμικρῷ μέρει
Ποιούμενοι, τὸν οἴκαδ' ἤπειγον στόλον.

Διακορῆσαι. διαπαρθενεῦσαι. [7] οἱονεὶ διατεμεῖν.

Διακορεῖς. πεπληρωμένους. Ἰδὼν αὐτοὺς διακορεῖς μέθης ὄντας.

Διακορεῖς. μεμεστωμένοι.

Διακορῶ. κόρην διαφθείρω.

Διακόσμησις. τοῦ παντὸς ἡ διάθεσις. [8] Μέση ἡ γῆ, κέντρου λόγον ἔχουσα. μεθ' ἣν τὸ ὕδωρ σφαιροειδὲς, ἔχον τὸ αὐτὸ σχῆμα τῇ γῇ· ὥστε τὴν γῆν ἐν ὕδατι εἶναι. μετὰ τὸ ὕδωρ δὲ, ἀὴρ ἐσφαιρωμένος. κύκλοι δέ εἰσιν ἐν τῷ οὐρανῷ πέντε.

Διακούω. γενικῇ. Διακούετε ἀνὰ μέσον τῶν ἀδελφῶν ὑμῶν, καὶ κρίνετε δικαίως. ὁ Μωϋσῆς φησιν ἐν τῷ Δευτερονομίῳ.

Διακορεάζεσθαι. ἀτενὲς βλέπειν. διὰ τὸ τοὺς ὀφθαλμοὺς κόρας λέγεσθαι.

Διακωδωνίζω. διαφημίζω. καὶ διακωδωνισθέν-

am venerunt, gaudio diffuſi, & inter ſe nonnihil jocantes.

Διακλιμακίσας. Qui ſupplantavit. Qui lucta vicit. Κλίμαξ enim & κλιμακισμὸς eſt quoddam luctæ genus.

Διακλεισθέντες. Ad inopiam redacti. Interclusi. Prohibiti. *Omni prorſus commeatu brevi temporis momento intercluſi, parum aberat quin perirent.*

Διακλῶν. Frangens. Comminuens.

Διακναιόμενος. Qui laceratur. Qui pungitur. Aut, qui dolore afficitur. Ariſtophanes: *Vehemens animum meum cepit amor, qui me vexat & moleſtia afficit.*

Διακναισθήσεται. Lacerabitur. Perdetur. Διακναίειν vero proprie ſignificat, caſeum radula radere.

Διακομισθείς. Qui per aliquem locum tranſit.

Διακόνιον. Quidam ſic vocant placentæ crepidinem. Menecles vero in *Gloſſocomo* de voce iſta ſic ſcribit: *Athenienſes Ereſionen, ita dictam, Apollini parantes, lyram, & cotylam, & clema, aliaſque placentas rotundas conficiunt, eaſque diaconium vocant.* Sic autem & placenta quædam vocatur. Similiter etiam Amerias διακόνια vocat placentas, quas [Athenienſes,] cum Ereſionen pararent, Apollini conficere ſolebant. Quidam vero jus quoddam ita appellant. Alii, mazam.

Διάκονος. Miniſter. Τὸ α longum eſt. *Ille vero erat ſacerdos, & honoris gradu Diaconus.* Et Philoctetes [apud Sophoclem:] *Sed vel mortuus eſt, vel miniſtri, ut veriſimile eſt, conditionis meæ exiguam rationem habentes, domum conſcenſis navibus properarunt.*

Διακορῆσαι. Virginem vitiare. Virginem ſtuprare. Quaſi, [coitu] dividere.

Διακορεῖς. Satiatos. *Videns eos vino ad ebrietatem uſque repletos eſſe.*

Διακορεῖς. Satiati. Repleti.

Διακορῶ. Virginem vitio.

Διακόσμησις. Univerſitatis hujus apta & concinna diſpoſitio. Terra [in hoc Univerſo] eſt media, centri rationem obtinens. Poſt hanc aqua globoſa, eandem habens figuram, quam terra: ita ut terra ſit in aqua. Aquam excipit aer, itidem globoſus. Circuli autem in cœlo ſunt quinque.

Διακούω. Genitivo jungitur. Attente audio. *Audite cauſam fratrum veſtrorum, & juſte judicate.* Sic Moſes in *Deuteronomio* inquit.

Διακορεάζεσθαι. Intentis & fixis oculis intueri. Pupillæ enim oculi appellantur κόραι.

Διακωδωνίζω. Diffamo. Sermonibus differo.

---

[1] Καὶ πάσης ἀθρόον ἀγ.] Præcedentia hujus fragmenti lege apud Suidam infra v. Ἐδωδίμων.

[2] Ἀριστοφάνης] *Eccleſ.* 752. (506. Ed. Baſ. *P.*)

[3] Διακναισθήσεται. διαφθ.] Ex Enarratore Comici ad *Pacem*, pag. 639. (443. Ed. Baſ. *P.*)

[4] Λύραν] Sic apud Græcos ſpecies quædam πέμματος appellabatur. Stephanus Byzantius v. Πάταρα: Ἔστι δὲ ταῦτα πέμματα, λύραι τε, καὶ τόξα, καὶ βέλη. Vide etiam Euſtathium ad Dionyſium, pag. 23.

[5] Λέγεται δ' ἐπί τινος ἐγκρατοῦς] Hæc procul dubio corrupta ſunt, quæ ſic legenda exiſtimo, λέγεται δὲ καὶ ἐπί τινος πλακοῦντος. Διακόνιον enim placentæ quoddam genus fuiſſe ex Grammaticis conſtat.

[6] Ἀλλ' ἢ τέθνηκεν, ἢ τὰ τῶν διακ.] Hæc ſunt verba Sophoclis *Philoctete* pag. 403. ut Portus monuit.

[7] Οἱονεὶ διατεμεῖν] Vide quæ notavimus ſupra ad vocem Διακηνορῆσαι.

[8] Μέση ἡ γῆ, κέντρου λόγον ἔχ.] Hæc ſunt verba Laertii lib. VII. Segm. CLV. ut Pearſonius etiam obſervavit.

τες, διαφημισθέντες. ὡς ἐπὶ τὸ πλεῖστον δὲ ἐπὶ τῶν ἐμπαιζομένων λαμβάνεται.

Διακωδωνίσαντες. δοκιμάσαντες. Διακωδωνίσας δὲ ὁ παιδευτὴς τὰ μειράκια, λέγε, ἔφη, ὅ, τι βούλει, πρὸς Ἱππόδρομον διαλεγόμενος τὸν σοφιστήν.

Διακωδωνίσω. οἷον δοκιμάσω. Ἀριστοφάνης. [1]διότι τινὰ τῶν ὀρνέων δοκιμάζεται τῷ τοῦ κώδωνος ψόφῳ. καὶ τοὺς ἵππους οὕτως ἐδοκίμαζον κώδωσιν, εἰ ψοφοδεεῖς εἶεν. ἢ ἀπὸ τῶν ὀρτύγων. οἱ γὰρ ὑπομένοντες τὸν ἦχον τοῦ κώδωνος, ἐπιτηδείως ἔχουσι πρὸς μάχην. τινὲς δὲ ἀπὸ τῶν ἀγγείων τῶν σαθρῶν· ἐπεὶ οὕτω δοκιμάζουσι διακρούοντες. τινὲς δὲ ἀπὸ τῶν φυλακῶν. βέλτιον δὲ τὸ ἐπὶ τῶν ἵππων καὶ τῶν ἀγγείων. τὰ δ' ἄλλα ἐσχεδίασται. τὸ δὲ τοὺς φύλακας ἐγρηγορέναι, κώδωσι διεσήμαινον, ὅπως ἀντιφθέγγωνται. καὶ Ἰάμβλιχος· Ἐπειδὴ διακωδωνίζων ἕκαστον τῶν ποιμένων, οὐχ οἷός τε ἦν ἀκοῦσαι καὶ μαθεῖν, οἵ τινες ἦσαν οἱ παῖδες.

Et διακωδωνισθέντες, diffamati. Plerumque autem [malo ſenſu] dicitur de illis, qui deridentur.

Διακωδωνίσαντες. Qui explorarunt. Qui examinarunt. *Cum autem ludimagiſter adoleſcentes examinaſſet, Dic, inquit, quicquid vis, cum Hippodromo Sophiſta colloquens.*

Διακωδωνίσω. Explorabo. Ariſtophanes. Aves enim quædam ſono tintinnabuli explorantur. Equos itidem tintinnabulis explorabant, an ſtrepitum expaveſcerent. Vel [tranſlatio ducta eſt] a coturnicibus. Illæ enim, quæ ſonum tintinnabuli ferre poſſunt, ad pugnam aptæ ſunt. Quidam vero [tranſlationem ductã putant] a vaſis vitioſis, quæ pulſu explorari ſolent. Quidã vero ab excubiis. Præſtat autem dicere ab equis & vaſis ductum eſſe. Reliqua enim perfunctoria ſunt & auctoritate carent. Qui vero excubitores explorabant, an vigilarent, tintinnabulis ſignum dabant, ut [ad illorum ſonum] reſponderent. Et Iamblichus: *Cum omnes paſtores ſciſcitaretur, nec ex quoquam audire & cognoſcere poſſet, quinam eſſent illi pueri.*

Διακωχή. διάλειψις.

Διακραδαίνων. σείων.

Διακριδόν. διακεκριμένως.

Διακριθέν. διαχωρισθέν. διϋλισθέν. Καὶ μὴν τοι διακριθὲν πρότερον ὑπὸ τοῦ λεγομένου ἠθμοῦ.

Διακρίνεται. ἀμφιβάλλει. ἀπιστεῖ. διαχωρίζεται. καὶ διακρίνομαι, τὸ χωρίζω.

Διακρούεσθαι. ἐξωθεῖν. ἢ ὑπερτίθεσθαι, καὶ ἄλλοτε ἄλλως διαναβάλλεσθαι.

Διάκτωρ. διάκονος. ἄγγελος. ἀπαγγέλλων.

Διακυκῶσι. διαταράττουσι.

Διαλαβών. διαδεξάμενος. Διαλαβόντες, ὅσα χρυσοῦ καὶ ἀργυρίου εἶχον, καὶ συγχωνεύσαντες.

Διαλαβών. προκαταλαβών. Ὁ δὲ διαλαβὼν τὰς ὁδοὺς φυλακαῖς.

Διαλλαγή. εἰρήνη.

Ὦ [2]Κύπριδι τῇ καλῇ, καὶ Χάρισι ταῖς φίλαις
Ξύντροφε διαλλαγή.

ἐπειδὴ γάμοι καὶ ἑορταὶ ἐν καιρῷ τῆς εἰρήνης ἄγονται. ἢ ὅτι ἡδίστη καὶ ἐπίχαρίς ἐστι.

Διαλλαγῆναι.[3] τὸ δι' αὐτοῦ τοῦ ἐχθροῦ παρακληθῆναι καὶ φιλιωθῆναι. Ἐναλλαγῆναι δὲ, τὸ ἀπὸ φιλίας εἰς φιλίαν ἄλλου μεταπηδῆσαί τινος, [4]ἐχθροῦ ὄντος τὸ πρότερον.

Διαλαγχάνειν.[5] διαμερίζεσθαι. διακληροῦσθαι. τὸ διαιρεῖσθαι κλήρῳ. Διάληξις δὲ, τὸ πρᾶγμα.

Διαλλακτής. φιλιωτής. Ἀριστοφάνης· Διαλλάττεσθε καὶ ξυμβαίνετε. ἀντὶ τοῦ φιλιοῦσθε.

Διαλαμβάνει. ὑπονοεῖται. Ἡ δὲ εὐμηχάνως δια-

Διακωχή. Intermiſſio. Ceſſatio. Induciæ.

Διακραδαίνων. Quatiens. Agitans. Movens.

Διακριδόν. Diſcrete. Diſtincte.

Διακριθέν. Diſcretum. Separatum. Percolatum. *Cum ante per colum percolatum eſſet.*

Διακρίνεται. Dubitat. Non credit. Diſcernitur. Et διακρίνομαι, ſeparo.

Διακρούεσθαι. Expellere. Vel, differre, & identidem procraſtinare

Διάκτωρ. Miniſter. Nuncius. Internuncius.

Διακυκῶσι. Confundunt. Perturbant.

Διαλαβών. Qui excepit. Qui accepit. *Cum omnem auream & argenteam ſupellectilem accepiſſent, & in maſſam conflaſſent.*

Διαλαβών. Qui præoccupavit. *Ille vero, cum vias præſidiis præoccupaſſet.*

Διαλλαγή. Reconciliatio. Pax. [Ariſtophanes:] *O pax, Veneris formoſæ & Gratiarum amicarum contubernalis.* Nuptiæ enim & feſta tempore pacis celebrantur. Vel, quia pax eſt jucundiſſima & ſuavitatis plena.

Διαλλαγῆναι. Ipſi inimico reconciliari, & cum eo in gratiam redire. Ἐναλλαγῆναι vero, ab amicitia alicujus tranſire ad amicitiam alterius, qui priori amico inimicus eſt.

Διαλαγχάνειν. Dividere. Diſtribuere. Sorte dividere. Et διάληξις, diviſio, quæ ſorte fit.

Διαλλακτής. Qui aliquos reconciliat, & ad amicitiam revocat. Ariſtophanes: *Reconciliemini, & in gratiam redeatis.*

Διαλαμβάνει. Suſpicatur. *Illa autem facile* λαμβάνει, καὶ δεῖται τῶν Καβείρων, τιμωρῆσαι αὐτῇ, καὶ μετελθεῖν τὸν ἐπίορκον.

---

[1] Διότι τινὰ τῶν ὀρνέων δοκιμ.——ὅπως ἀντιφθέγγωνται] Hæc deſcripta ſunt ex Scholiaſta Ariſtophanis ad *Ranas* pag. 214. (133. Ed. Baſ. P.) Vide etiam v. Ἀκωδώνιστον, v. Διεκωδώνισε, v. Ἐκωδωνίζοντο, & v. Κωδωνίσαι.

[2] Ὦ Κύπριδι τῇ καλ.] Fragmentum hoc legitur apud Ariſtoph. *Acharn.* pag. 418. (300. Ed. Baſ. P.)

[3] Διαλλαγῆναι. τὸ δι' αὐτοῦ τοῦ ἐχθρ.] Ex Scholiaſta Thucydidis ad lib. 1. cap. cxx. ut Portus etiam obſervavit.

[4] Ἐχθροῦ ὄντος τὸ πρότερον] Scribe ex Scholiaſta Thucyd, ἐχθροῦ ὄντος τῷ πρώτῳ φίλῳ.

[5] Διαλαγχάνειν. διαμερ.] Ex Harpocratione.

Διαλαμβάνων. ὑπομνηματίζων. συγγράφων.

Διαλλάττειν.

Καὶ [1] διαλλάττειν πρὸς ἡμᾶς ἀνδράσιν Λακωνικοῖς,
Οἷσι [2] πιστὸν οὐδὲν, εἰ μὴ περ λύκῳ κεχηνότι.

Ἡ παροιμία ἐπὶ τῶν τὰ ἀλλότρια διαρπαζόντων. ὃν γὰρ τρόπον λύκοις οὐκ ἔστι πίστις, οὐδὲ τούτοις. τὸ δὲ κεχηνότι, ἐπὶ τῶν μάτην χαινόντων.

Διαλλάττω. δοτικῇ. [3] Ὕπαγε, πρῶτον διαλλάγηθι τῷ ἀδελφῷ σου. Αἰτιατικῇ δέ· Διαλλάξαντες τὰ ὅπλα πρὸς ἀλλήλους.

Διαλαχεῖν. τὸ διανεμεῖσθαι οἱ ῥήτορες εἰρήκασιν. Ἀπολαχεῖν δὲ, τὸ διανείμασθαι τὰ πατρῷα. ἔστιν ἐν τῷ Ἀπολαχεῖν.

Διὰ λαίλαπος.

Διαλέγεσθαι. τὸ συνουσιάζειν. καὶ διαλέγομαι, δοτικῇ.

Διαλέγουσαν. [4] διοικοδομοῦσαν. [5] λέγειν γὰρ τὸ οἰκοδομεῖν. καὶ διαλέγου. διορύττου. Θουκυδίδης.

Διαλέγοιντο γυναιξίν. ὁμιλοῖεν, ἢ συνουσιάζοιεν. οὕτως Ἱεροκλῆς.

Διαλεκτική. ἡ ἀποδεικτική. ὀλίγα Διαλεκτικῆς ἀψάμενος. [6] Διαλεκτική ἐστιν ἐπιστήμη ἀληθῶν, καὶ ψευδῶν, καὶ οὐδετέρων. [7] τυγχάνει δ' αὐτὰ ἐπισημαίνοντα καὶ σημαινόμενα. ἢ οὕτω. [8] Μέθοδος δι' ἐνδόξων περὶ παντὸς τοῦ προκειμένου συλλογιστική. καλεῖται δὲ Διαλεκτικὴ ἀπὸ τοῦ διαλέγεσθαι. τὸ δὲ διαλέγεσθαι, ἐν ἐρωτήσει τε καὶ ἀποκρίσει. διαφέρει ἡ Διαλεκτικὴ τῆς Ῥητορικῆς. καὶ ἔστιν ἐν τῷ Διεξοδικούς.

Διάλογος. [9] λόγος ἐξ ἐρωτήσεως καὶ ἀποκρίσεως συγκείμενος, περί τινος τῶν Φιλοσοφουμένων καὶ πολιτικῶν, μετὰ τῆς πρεπούσης ἠθοποιΐας τῶν παραλαμβανομένων προσώπων, καὶ τῆς κατὰ τὴν λέξιν κατασκευῆς. Διαλεκτικὴ δέ ἐστι τέχνη λόγων, δι' ἧς ἀνασκευάζομέν τι ἢ κατασκευάζομεν, ἐξ ἐρωτήσεως καὶ ἀποκρίσεως τῶν προσδιαλεγομένων.

Διάλεξις. [10] Ἀριστοφάνης Νεφέλαις· Διάλεξιν ἡμῖν παρέχουσιν. τουτέστι, λόγων ἐμπειρίαν. καὶ νοῦν, τουτέστι τὰ νοηθέντα φράζειν. διαφέρει δὲ διάλεξις δια-

rem ſuſpicata, Cabiros orat, ut injuriam ſibi illatam ulciſcantur, & pœnas a perjuro expetant.

Διαλαμβάνων. Commentans. Conſcribens.

Διαλλάττειν. Reconciliare. [Ariſtophanes:] *Et ſuadent, ut pacem faciamus cum Lacedæmoniis, qui non magis fidem ſervant, quam lupus hians.* Hoc proverbium dicitur de illis, qui aliena diripiunt. Sicut enim lupis nulla ineſt fides, ita nec iſtis. Vox κεχηνότι vero dicitur de hominibus, qui vana ſpe lactantur.

Διαλλάττω. Reconcilio. Dativo jungitur. *Abi, & primum reconciliare fratri tuo.* Accuſativo vero [junctum ſignificat permuto.] *Cum inter ſe arma permutaſſent.*

Διαλαχεῖν. Apud Oratores ſignificat diſtribuere. Ἀπολαχεῖν vero, bona paterna dividere. Vide in v. Ἀπολαχεῖν.

Διὰ λαίλαπος. Per procellam.

Διαλέγεσθαι. Cum fœmina coire. Item διαλέγομαι, cum dativo, colloquor.

Διαλέγουσαν. Ædificantem. Λέγειν enim eſt ædificare. Et διαλέγου. Perfodiaris. Thucydides.

Διαλέγοιντο γυναιξίν. Cum mulieribus colloquantur, vel coeant. Sic Hierocles.

Διαλεκτική. Dialectica. Ars argumentis aliquid demonſtrandi. *Cum Dialecticam leviter attigiſſet.* Dialectica eſt ſcientia veri & falſi & neutrius. Verſatur autem circa ea, quæ ſignificant & ſignificantur. Vel ſic. [Dialectica eſt] methodus probabilibus rationibus de qualibet re propoſita argumentandi. Dicitur vero Dialectica a διαλέγεσθαι, i. e. diſſerere. Diſſeritur autem interrogando & reſpondendo. Differt autem Dialectica a Rhetorica: ut exponitur infra v. Διεξοδικούς.

Διάλογος. Dialogus eſt oratio, ex interrogatione & reſponſione conſtans, de rebus philoſophicis vel politicis, apte exprimens & imitans mores & affectus perſonarum, quæ colloquentes introducuntur, & argumento, de quo tractatur, accommodata. Dialectica vero eſt ars ſermonis, per quam aliquid refutamus, vel confirmamus. Ea autem conſtat ex interrogatione & reſponſione eorum, qui inter ſe diſſerunt.

Διάλεξις. Ratio loquendi. Dicendi peritia. Ariſtophanes *Nubibus*: *Dicendi peritiam nobis ſuppeditant.* Et νοῦν, i, e. facultatem animi ſenſa feliciter exprimendi. Difλέκτου. ὅτι διάλεκτος μέν ἐστι φωνῆς χαρακτὴρ ἐθνικός. διάλεξις δὲ, τῆς συνήθους φωνῆς ἐκτροπὴ ἐπὶ τὸ σεμνότερον καὶ ἀγροικότερον.

---

[1] Καὶ διαλλάττειν πρὸς ἡμᾶς τἀνδρ.] Hæc ſunt verba Ariſtophanis *Lyſiſtrata* pag. 876. (555. Ed. Baſ. *P.*)

[2] Οἷσι πιστὸν οὐδὲν] Perfidiam Ariſtophanes etiam alibi Lacedæmoniis exprobrat. In *Acharnenſ.* enim pag. 386. ſic de iiſdem inquit:

Οἷσιν οὔτε βωμὸς, οὔτε πίστις, οὔθ' ὅρκος μένει.

Id eſt. *Qui nec fœdera, nec jusjurandum, nec fidem ſervant.* Scholiaſta ad eum locum: Ἐπὶ ἀπιστίᾳ γὰρ διεβάλλοντο οἱ Λακεδαιμόνιοι. Καὶ Εὐριπίδης ἐν Ἀνδρομάχῃ·

Σπάρτης ἔνοικοι, δόλια βουλευτήρια. Lege ibi & ſequentia.

[3] Ὕπαγε, πρῶτον διαλλ.] *Matth.* cap. v. v. 24.

[4] Διαλέγουσαν. διοικ.] Reſpexit Suidas ad locum illum Ariſtophanis *Lyſiſtr.* pag. 883.

Τὴν μέν γε πρώτην διαλέγουσιν τὴν ὀπήν.

Scholiaſta ineditus τὸ διαλέγουσιν ibi exponit διορύττουσιν.

[5] Λέγειν γὰρ τὸ οἰκοδομεῖν] Sic etiam Heſychius. Et Suidas infra, Ἐσκατελέγησαν, ἀντὶ τοῦ ἐσκατῳκοδομήθησαν. Et alibi: Λιθολόγοι, οἰκοδόμοι.

[6] Διαλεκτική ἐστιν ἐπιστήμη ἀληθῶν καὶ ψευδ. καὶ οὐδετ.] Sic Stoici Dialecticam definiebant, ut patet ex Laert. lib. VII. Segm. XLII. unde locum hunc depromſit Suidas.

[7] Τυγχάνει δ' αὐτὰ ἐπισημ.] Pearſonius legendum putabat, τυγχάνει δ' αὐτὴ περὶ σημαίνοντα καὶ σημ. quod verum puto.

[8] Μέθοδος δι' ἐνδόξων περὶ παντὸς τοῦ προκ.] Locus hic depromptus eſt ex Alexandro Aphrodiſeo in *Topica* pag. 4. ut Pearſonius obſervavit.

[9] Διάλογος. λόγος ἐξ ἐρωτήσεως καὶ ἀποκρ.] Hæc, & quæ ſequuntur, ſunt verba Laertii lib. III. Segm. XLVIII. ut itidem Pearſonius monuit.

[10] Ἀριστοφάνης Νεφέλαις] Pag. 143. (78. Ed. Baſ. *P.*) Vide ibi veterem Enarratorem, cujus verba Suidas hic deſcripſit.

Διαλεπτολογοῦμαι. διαλέγομαι. ὥσπερ καὶ ὁ Σωκράτης ἔφη· [1] Ἀεροβατῶ, καὶ περιφρονῶ τὸν ἥλιον· ἵνα μὴ ἕλκῃ τὴν ἰκμάδ' ἐς τὰ κάρδαμα. οὕτω καὶ ὁ πρεσβύτης·

Διαλεπτολογοῦμαι [2] ταῖς δοκοῖς τῆς οἰκίας.

Διάλειμμα. διάστημα. καὶ διαλείποντα. διαχωρήματα. Ἀρριανός· Φυλακαὶ δὲ ἐπὶ τὰ διαλείποντα τῆς τάφρου ἐτετάχατο.

Διαλείμματος. διαχωρισμοῦ.

Διαλείπουσαι. ἀλλήλων ἀπέχουσαι. [3] Ἀρριανός· Διαλείπουσαι ὅσον ξύμμετρον, εἰς τὸ συνορᾷν τε ἀλλήλους, καὶ κατακούειν εὐπετῶς.

Διαλειπούσῃ. διακοπτομένῃ. [4] Ὑφειμένῃ οὖν καὶ διαλειπούσῃ πολλαχῇ τῇ φωνῇ ἐδεῖτό οἱ ξυγγνῶναι βασιλέα.

Διάληξις. [5] Διαλαγχάνειν μέν ἐστι τὸ διαιρεῖσθαι κλήρῳ. διάληξις δὲ, τὸ πρᾶγμα.

Διάληψις. ἐνθύμησις. ἡ γνῶσις. Πολύβιος· [6] Διὰ γὰρ τὴν ὑπερβάλλουσαν ἐπὶ τοῦτο τὸ μέρος ἐπιθυμίαν ἦν ὑπὲρ αὐτοῦ διάληψις, ὡς οὐδὲν προὐργιαίτερον ποιουμένου κατὰ τὸν βίον τοῦ κυνηγετεῖν. † Οἱ [7] γὰρ πολλοὶ τῶν ἀνθρώπων, οὐκ ἐκ τοῦ κατὰ λόγον, ἀλλ' ἐκ τῶν συμβαινόντων ἀγαθοὶ ποιεῖσθαι τὰς διαλήψεις. (τὰς τοῦ [8] νοὸς ὁρμάς) ἄρτι γὰρ δι' αὐτὸ τοῦτο [9] προκεχειρισμένοι τὸν [10] Πεισίστρατον, διὰ τὸ πρᾶξιν ἔχειν τινὰ καὶ τόλμαν, παραχρῆμα μετέπιπτον ἐς τἀναντία ταῖς γνώμαις, διὰ τὴν περιπέτειαν. Καὶ αὖθις· Παραπλησίως καὶ τὰ πλήθη ὁμοίως τούτοις ἔχει τὰς διαλήψεις ὑπὲρ τῶν κοινῶν, τῆς φύσεως αὐτοὺς διδασκούσης. Καὶ [11] Πολύβιος· Οἱ δὲ Ῥωμαῖοι οὐκ ἐκ καταφορᾶς, ἀλλ' ἐκ διαλήψεως χρώμενοι ταῖς μαχαίραις, πρακτικοῦ τοῦ κεντήματος περὶ αὐτὰς ὑπάρχοντος, τύπτοντες ἐς τὰ στέρνα καὶ ἐς τὰ πρόσωπα, διέφθειραν πάντας.

Διαλογή. διάλεξις. ὁμιλία. [12] Δαβίδ· Ἡδυνθείη αὐτῷ ἡ διαλογή μου.

Διαλοιδορεῖται. δοτικῇ συντάσσεται. [13] ὁ γὰρ Ἀριστοφάνης οὐ τόσον φιλῶν Πρόδικον ταῦτά φησιν, ὅσον

fert autem διάλεξις a διάλεκτος. Nam διάλεκτος eſt character ſermonis, genti alicui proprius. Διάλεξις vero, conſueti ſermonis ad ſublimius vel trivialius dicendi genus inflexio.

Διαλεπτολογοῦμαι. De rebus frivolis & levibus diſſero. Ut & Socrates dixit: *Aerem perambulo, & contemplor ſolem: ne humorem trahat in naſturtia.* Sic & ſenex: *Cum trabibus domus ſubtiliter diſputo.*

Διάλειμμα. Intervallum. Intercapedo. Et διαλείποντα. Intervalla. Intercapedines. Arrianus: *Iis vero in locis, ubi foſſa deficiebat, cuſtodiæ diſpoſitæ erant.*

Διαλείμματος. Interſtitii. Intervalli.

Διαλείπουσαι. A ſe invicem diſtantes. Arrianus: *Modico intervallo disjunctæ, ut alteri alteros facile conſpicere & audire poſſent.*

Διαλειπούσῃ. Interruptæ. *Submiſſa igitur & ſæpe interrupta voce Regem orabat, ut ſibi veniam daret.*

Διάληξις. Διαλαγχάνειν eſt rem ſorte dividere. Διάληξις vero diviſio, quæ ſorte fit.

Διάληψις. Cogitatio. Opinio. Vel cognitio. Polybius: *Quia enim ei ſtudio ſupra modum deditus erat, vulgo omnes opinabantur, venatione ipſum per omnem vitam nihil antiquius habere.* † *Plerique homines non ex conſilio & ratione, ſed ex eventu judicare ſolent. Cum enim nuper Piſiſtratum elegiſſent, quod ad agendum audendumque ſtrenuus eſſet, tum repente ob illum caſum in contrariam ſententiam omnes verſi fuerunt.* Et iterum: *Similiter & vulgus idem de Republ. ſentiebat, quod iſti, natura eos docente.* Et iterum Polybius: *Romani vero non cæſim feriendo, ſed punctim ſubinde rectis gladiis utendo, qui mucronibus valent,* [*crebro repetitis ictibus*] *pectora & facies* [*hoſtium*] *cædentes, illorum pleroſque obtruncarunt.*

Διαλογή. Colloquium. Oratio. David: *Ipſi oratio mea placeat.*

Διαλοιδορεῖται. Maledicit. Convitiis inſectatur. † Ariſtophanes enim non tam amans μισῶν Σωκράτην. ἐν γὰρ ταῖς Ὄρνισι διαλοιδορεῖται Προδίκῳ.

---

[1] Ἀεροβατῶ——κάρδαμα] Vide Ariſtoph. *Nubibus* pag. 136. (71. Ed. Baſ. P.) unde locum hunc confuſe & negligenter excerpſit Suidas.

[2] Διαλεπτολογοῦμαι ταῖς δοκ.] Senarius hic legitur apud Ariſtoph. circa finem *Nubium*.

[3] Ἀρριανός] Lib. v. pag. 332.

[4] Ὑφειμένῃ οὖν καὶ διαλ.] Fragmentum hoc repetitur infra v. Ὑφειμένοι.

[5] Διαλαγχάνειν μέν ἐστι τὸ διαιρ.] Ex Harpocratione.

[6] Διὰ γὰρ τὴν ὑπερβ.——κυνηγετεῖν] Caſaubonus fragmentum hoc Polybii pertinere putabat ad hiſtoriam de Demetrio obſide Roma fugiente, quæ habetur Legationum Fragmento cxiv. Valeſius vero in notis ad Excerpta a ſe edita, pag. 28. eadem verba de Scipione intelligenda eſſe exiſtimabat. Sed uterque vir ſummus fallitur. Scripſit enim iſta Polybius de Philemene Tarentino, ut patet ex lib. viii. cap. xx. ubi locus integer exſtat: quod & ante me recte obſervavit doctiſſimus Jac. Gronovius in notis ad Fragmenta Polybii a Caſaubono collecta.

[7] Οἱ γὰρ πολλοὶ τῶν ἀνθρώπων——διαλήψεις] Fragmentum hoc legitur in Excerptis Polybianis a Valeſio editis, pag. 110.

[8] Τὰς τοῦ νοὸς ὁρμάς] Hæc verba ſunt ſcholium & interpretatio vocis διαλήψεις, ſed alieno loco poſita, quoniam ſeriem orationis interrumpunt.

[9] Προκεχειρισμένοι] Sic habet MS. Pariſ. A. cujus loco in prioribus Editt. minus recte legitur προκεχειρισμένον.

[10] Πεισίστρατον] Hunc Livius Pauſiſtratum vocat lib. xxxiii. initio, & in fine libri xxxvi. & alibi.

[11] Πολύβιος· Οἱ δὲ Ῥωμ. οὐκ ἐκ καταφ.] Fragmentum hoc legitur apud Polybium lib. ii. cap. xxxiii.

[12] Δαβίδ] Pſalm. ciii. 34.

[13] Ὁ γὰρ Ἀριστοφάνης οὐ τόσον φιλῶν Πρ.] Hæc nota referenda eſt ad locum illum Ariſtophanis *Nubibus* pag. 147. (81. Ed. Baſ. P.)

Οὐ γὰρ ἂν ἄλλῳ γ' ὑπακούσαιμεν τῶν νῦν μετεωροσοφιστῶν,
Πλὴν ἢ Προδίκῳ· τῷ μὲν σοφίας καὶ γνώμης οὕνεκα &c.

Vide ibi veterem Enarratorem.

Διαλύω. Πνεῦμα μέν ἐστιν, ἀλλὰ διαλύων ὄρη.

Διαμαδῶντες. διαβρέχοντες.

Διαμαρτία. ἡ ἀποτυχία. καὶ διαμάρτοι. ἀποτύχοι. μέλλοντος σημασία.

Διαμάρτυραι. βεβαίωσαι. καὶ [1] διαμαρτυρεῖν, τὸ προλέγειν τῆς ἀπειθείας τὴν τιμωρίαν, καὶ τῆς εὐπειθείας τὴν ὠφέλειαν.

Διαμαρτυρία, καὶ διαμαρτυρεῖν. τρόπος τις ἦν ἡ διαμαρτυρία παραγραφῆς. πρὸ γὰρ τοῦ εἰσαχθῆναι τὴν δίκην εἰς τὸ δικαστήριον, ἐξῆν τῷ βουλομένῳ διαμαρτυρῆσαι, [2] ὡς εἰσαγώγιμός ἐστιν ἡ δίκη, ἢ οὐκ εἰσαγώγιμος. διαφέρει δὲ τῆς παραγραφῆς, τῷ τὴν μὲν διαμαρτυρίαν γίνεσθαι οὐ μόνον ὑπὸ τῶν φευγόντων, ἀλλὰ καὶ ὑπὸ τῶν διωκόντων. καὶ πρότερόν γε ὁ διώκων προὐβάλλετό τινα μαρτυροῦντα, εἰσαγώγιμον εἶναι τὴν δίκην. καὶ περὶ τούτου πρῶτον ἐγίνετο ἡ κρίσις [3] πρὸς αὐτὸν τὸν διαμαρτυρήσαντα, οὐ πρὸς τὸν ἐξ ἀρχῆς δικαζόμενον. εἰ δὲ μὴ προβάλλοιτο μάρτυρα ὁ διώκων, τότε ἐξῆν τῷ φεύγοντι προσαγαγεῖν τινα μαρτυροῦντα, οὐκ εἰσαγώγιμον εἶναι τὴν δίκην· καὶ πάλιν πρὸς τὸν διαμαρτυρήσαντα ὁ ἀγὼν ἐγίνετο. ἐπεσκήπτοντο δὲ ψευδομαρτυριῶν ϗ ταῖς διαμαρτυρίαις, ὥσπερ ταῖς μαρτυρίαις. τάχα δὲ ἐπὶ ταῖς τοῦ ἀποστασίου δίκαις ἐκεκώλυτο διαμαρτυρεῖν· ἐν δὲ ταῖς τοῦ ἀπροστασίου οὐκ ἔτι.

Διαμαρτάνω. γενικῇ. καὶ τοῦ σκοποῦ δοκοῦσιν ἔμοιγε διαμαρτάνειν.

Διαμαρτύρωμαί σοι. ἀντὶ τοῦ βεβαιώσω σε. μέλλοντα σημαίνει. ἐπὶ δὲ ἐνεστῶτος διὰ τοῦ ο μικροῦ· ὡς ἐν τῷ, [4] Ἄκουσον λαός μου, καὶ λαλήσω σοι Ἰσραὴλ, καὶ διαμαρτύρομαί σοι.

Διαμαρτυρομένους. προλέγοντας. ἀποτρέποντας. Ἀπέστειλε πρεσβευτὰς, διαμαρτυρομένους, μήτε τὴν πόλιν οἰκίζειν, μήτε παρὰ τὰς συνθήκας ποιεῖν μηδέν. καὶ διαμαρτύρασθαι, βεβαιῶσαι. Ἐβουλήθησαν οὖν καὶ διαμαρτύρασθαι τοῦτο τρόπον τινά.

Διὰ [5] μαχαιρῶν καὶ πυρὸς ῥιπτεῖν δεῖ. ἐπὶ τῶν παραβόλως τι ποιούντων.

Διὰ μάχης ἐλθεῖν. Οὐδενὸς τοπαράπαν θαῤῥήσαντος διὰ μάχης αὐτοῖς ἐλθεῖν, οὔτε μὴν ἀντιτάξασθαι ἐς τὸ παντελές.

Διαμέλλει. ἀναβολῇ χρῆται. Ὁ δὲ πρὸς ὀργὴν ὑπεριδὼν, καὶ μὴ πάνυ πιστεύσας, διεμέλλησεν.

Prodicum hæc dicit, quam odio proſequens Socratem. In *Avibus* enim Prodicum inſectatur.

Διαλύω. Diſſolvo. *Ventus quidem eſt, ſed montes diſſolvens.*

Διαμαδῶντες. Irrigantes. Rigantes.

Διαμαρτία. Aberratio. Et διαμάρτοι. Aberret. Futuri ſignificationem habet.

Διαμάρτυραι. Affirma. Aſſevera. Et διαμαρτυρεῖν. Prædicere contumaciæ pœnam, & obedientiæ fructum.

Διαμαρτυρία. Et διαμαρτυρεῖν. Διαμαρτυρία erat modus quidam exceptionis. Nam antequam cauſa in Judicium introduceretur, cuivis licebat teſtificari, cauſam per leges in Judicium introduci poſſe vel non poſſe. Differt autem ab exceptione, quod διαμαρτυρία non ſolum fiat a reis, ſed etiam ab actoribus. Et primum quidem actor aliquem producebat, qui teſtaretur, cauſam in Judicium introduci poſſe: de qua re primũ inſtituebatur diſceptatio adverſus ipſum teſtem, non adverſus actorem. Si vero actor nullum teſtem produceret, tunc reo licebat aliquem producere, qui teſtaretur, cauſam non poſſe in Judicium introduci: & rurſus diſceptatio erat adverſus ipſum teſtem. Actio autem falſi teſtimonii tam in διαμαρτυρίαις quam μαρτυρίαις locum habebat. In cauſa autem ἀποστασίου non videtur licitum fuiſſe διαμαρτυρεῖν: ſecus ac in cauſa ἀπροστασίου.

Διαμαρτάνω. Aberro. Genitivo jungitur. *Et a ſcopo mihi videntur aberrare.*

Διαμαρτύρωμαί σοι. Affirmabo tibi. [Serio te monebo.] Futuri ſignificationem habet. In præſenti vero per ο ſcribitur. Ut in hoc [dicto:] *Audi popule mi, & loquar tibi Iſrael, & ſerio te moneo.*

Διαμαρτυρομένους. Prædicentes. Interminantes. *Miſit legatos, interminaturos, ne urbem conderent, nec quidquam præter fœdus facerent.* Et διαμαρτύρασθαι, confirmare. *Voluerunt igitur & hoc teſtimonio ſuo quodam modo confirmare.*

Διὰ μαχ. *Per gladios & ignem ruere oportet.* De iis dicitur, qui temerarium aliquod facinus aggrediuntur.

Διὰ μάχης ἐλθεῖν. Pugnam cum aliquo committere. *Cum nemo prorſus pugnam cum ipſis committere, nec aciem inſtructam ipſis opponere auderet.*

Διαμέλλει. Cunctatur. Dilatione utitur. *Ille vero cum iratus eum neglexiſſet, nec rem omnino credidiſſet, cunctatus eſt.*

---

[1] Διαμαρτυρεῖν, τὸ προλέγειν τῆς ἀπειθ.] Hæc interpretatio ſumpta eſt ex Theodoreto ad Pſalmum LXXX. pag. 724.

[2] Ὡς εἰσαγώγιμός ἐστιν ἡ δίκη] Apud veteres Græcos, antequam actor reo litem intenderet, Judex cognoſcebat, utrum cauſa in Judicium introduci poſſet, an non. Hæc cognitio dicebatur δίκης ἀνάκρισις. Vide Harpocrationem v. Ἀνάκρισις, & Suidam infra v. Δίκης ἀνάκρισις.

[3] Πρὸς αὐτὸν τὸν διαμαρτ.] Vide Harpocrationem v. Αὐτομαχεῖν.

[4] Ἄκουσον λαός μου, ϗ λαλ.] Pſalm. XLIX. 7.

[5] Διὰ μαχαιρῶν ϗ π.] Vide ſupra v. Διὰ τῶν μαχαιρῶν.

‡

Διαμεμετρημένη[1] ἡμέρα. μέτρον τι ἐστὶν ὕδατος, πρὸς μεμετρημένον ἡμέρας διάστημα ῥέον. [2]ἐμετρεῖτο δὲ τῷ Ποσειδεῶνι μηνί· [3]ὡς δὴ τούτῳ ἠγωνίζοντο οἱ μέγιστοι καὶ περὶ τῶν μεγίστων ἀγῶνες. [4]διενέμετο δὲ εἰς τρία μέρη τὸ ὕδωρ· τὸ μὲν τῷ διώκοντι, τὸ δὲ τῷ φεύγοντι, τὸ δὲ τρίτον τοῖς δικάζουσιν. [5]ἐπισκεπτέον δὲ τὸ παρ' Ἰσαίῳ, ὃς μεμετρημένης ἡμέρας ὅτε μὲν χωρὶς ὕδατός φησι γίνεσθαι τοὺς ἀγῶνας, ὅτε δὲ πρὸς ὕδωρ.

Διὰ[6] μέσου τείχους. τριῶν ὄντων τειχῶν ἐν τῇ Ἀττικῇ, [7]ἀπὸ τοῦ Βορείου, καὶ τοῦ Νοτίου, καὶ τοῦ Φαληρικοῦ, διὰ μέσου τῶν παρ' ἑκάτερα τὸ Νότιον ἐλέγετο· οὗ μνημονεύει καὶ Πλάτων ἐν Γοργίᾳ.

Διάμετρος. [8]γεωμετρικόν τι εἶδος. Εὐνάπιος· Ὡς κατά τινας διαμέτρους κεραίας κεχιᾶσθαι τὴν γλῶτταν ταῖς ἀντιτύποις συμβολαῖς τῶν ἀκίδων. Δείναρχος δὲ διάμετρον λέγει τὸ ἐλλεῖπον ἀπὸ τοῦ δικαίως μετρηθέντος.

Διαμησάμενος. διορύξας. Διαμησάμενος γὰρ πᾶσαν τὴν ὑπὸ τὰ κράσπεδα τοῦ Ὀλύμπου ἄμμον, ὕδωρ πολὺ καὶ πότιμον εὗρε. καὶ αὖθις· [9]Διαμησάμενος τὴν χιόνα, τὴν ἐπ' αὐτῇ, ἐξῳκοδόμει τὸν κρημνόν.

Διαμῆσαι. διακόψαι.

Διαμώμενος. θερίζων. καὶ διαμώμενοι, διασκάπτοντες, ζητοῦντες. [10]Θουκυδίδης· Διαμώμενοι τὸν κάχληκα ἐπὶ τῇ θαλάσσῃ, ἔπινον οἷον εἰκὸς ὕδωρ. καὶ αὖθις· Οἱ δὲ ἐσκήνουν ἐπὶ τῆς χιόνος, διαμώμενοι καὶ μεταξὺ ἐκκαθαίροντες.

Διαμνημονεύω. αἰτιατικῇ συντάσσεται. Οὓς καὶ διαμνημονεῦσαι καθέκαστον ὁ λόγος διὰ τὸ πλῆθος, καὶ πρὸς ὄνομα διελθεῖν, παρῃτήσατο.

Διαμπάξ. διόλου. διαπαντός.

Διαφεῖναι. Dimittere. Et διαφεὶς, qui dimi-

---

[1] Ὁ δὲ τὰ φρονήματα καὶ τοὺς θυμοὺς στρ.] Ex Eunapio. Vide ſupra v. Ἀνηρέθιζε.

[2] Διαφανές φασιν εἶναι φύσιν ἐν κτλ.] Omnia, quæ Suidas hic habet, excerpta ſunt ex Philopono in lib. II. Ariſtot. *de Anima*. K. III. b. ut Pearſonius etiam monuit. Nonnulla tamen apud Philoponum paulo aliter leguntur.

[3] Διαφανῆ χιτώνια. οὐ τὰ λαμπρ.——τῶν γυναικῶν] Hæc ipſiſſimis verbis leguntur apud Scholiaſtam ineditum in *Lyſiſtratam* Ariſtophanis, ad locum illum, qui non procul initio modo laudatæ fabulæ legitur:

Χ' ἤγχουσαι, καὶ τὰ διαφανῆ χιτώνια.

Hinc ergo Suidam ſua deſcripſiſſe dubium non eſt.

[4] Πυνθανόμενος τὴν πόλιν ὀχυρ.] Fragmentum hoc exſtat apud Polybium lib. III. cap. XVIII. ut doctiſſimus Jac. Gronovius recte obſervavit. Apud Polybium tamen pro ὀχυρῶσθαι legitur ὀχυρὰν εἶναι.

πολύσας. ὁρίσας. Ὁ δὲ [1] διαφεὶς τοὺς ἡγεμόνας, ἐκίνει τὴν πρωτοπορείαν.

Διαφθονούμενος. Ὁ δὲ διαφθονούμενος Ζήνωνι, ἐν ἡσυχίᾳ ἔμενεν.

Διαφθορά. θάνατος. διάλυσις τοῦ συνθέτου σώματος. [2] Φθορὰ, διαφθορὰ, καὶ καταφθορά. καὶ φθορὰ μέν ἐστι σωμάτων νέκρωσις, καὶ ἀκινησία τῶν ὀργάνων τοῦ σώματος, τῆς ψυχῆς ἀπὸ τούτου χωρισθείσης. Διαφθορὰ δὲ, διάλυσις σώματος, καὶ παντελῶς ἀφανισμὸς, καὶ σκωλήκων κατάβρωμα. Καταφθορὰ δὲ, ὁ αἰώνιος θάνατος. ἢ παρανομίαι, καὶ παραβάσεις, καὶ ἀνομίαι. ὡς τὸ, Ὁ λαὸς ἐφθάρη ἐν ἀνομίαις. καὶ Φθορὰν μὲν ὑπέστη τὸ τοῦ Κυρίου σῶμα, διαφθορὰν δὲ οὔ.

Διάφορα.[3] ἀναλώματα. Θουκυδίδης.

Διαφορά. ἔχθρα. διαφορὰ, τὸ ἐν τῇ συνηθείᾳ, ἡ παραλλαγὴ, καὶ ἀνομοιότης.

Διαφορηθῶ. διασπασθῶ. καὶ διαφορηθῆναι, ἀντὶ τοῦ διασπασθῆναι.

Διαφόρημα. τὸ παίγνιον. καὶ διαφορήσει, διάφορος γενήσεται.

Διαφορῆσαι. [4] Τοὺς ἵππους εἶναι ἀγρίους, ὑπό τε τοῦ ἀήθους τοῦ δεσμοῦ, καὶ ὑπὸ τοῦ ἀπηρτημένου βάρους ἔτι μᾶλλον ἀνασοβηθέντας, διαφορῆσαι αὐτόν.

Διαφορότης. ἡ διαφορὰ [5] παρ' Αἰλιανῷ.

Διάφοροι. ἐχθροί. παρὰ τὸ διαφορεῖσθαι τὰς γνώμας. λέγεται δὲ καὶ διάφορον πρᾶγμα, τὸ τίμιον. Ἐστρέβλωσαν δὲ πολλοὺς τούτων, οἷς [6] ἠπίστησαν ἔχειν κεκρυμμένον [7] διάφορον, ἢ κατασκεύασμα, ἢ ἄλλο τι τῶν πλείονος ἀξίων.

Διαφορουμένης [8] τῆς κρόκης ὑπὸ τῶν ἀλεκτρυόνων. ἀντὶ τοῦ διασπωμένης. Ἀῤῥιανός· Τοὺς δὲ ἵππους ἀνασοβηθέντας διαφορῆσαι αὐτόν.

Διαφορήσετε.[9] διαπέμψετε.

Διὰ φροντίδος ἦν αὐτῷ. ἀντὶ τοῦ ἐβουλεύετο. ἐσκέπτετο. Αἰλιανός· Ὁ δὲ Θεὸς λέγει, ἐκείνους μὴ πολυπραγμονεῖν. αὐτῷ γὰρ εἶναι διὰ φροντίδος.

Διαφρυκτοῦν.[10] διαψηφίζειν. διακληροῦν. τὸν γὰρ κύαμον ἐκάλουν φρυκτόν. ἀντὶ δὲ ψήφων κυάμους ἐφόρουν οἱ τῶν Ἀθηναίων δικασταί.

Διαχειρίσαι. φονεῦσαι.

Διαχειροτονία.[11] διάκρισις τῆς χειροτονίας ἐν πλήθει γινομένης. οὕτω Δημοσθένης.

ſit, qui ſolvit. *Ille vero ducibus dimiſſis primum agmen movit.*

Διαφθονούμενος. Invidens. *Ille vero Zenoni invidens, quievit.*

Διαφθορά. Mors, ſive corporis compoſiti diſſolutio. Φθορὰ, διαφθορὰ, & καταφθορὰ [differunt.] Nam φθορὰ dicitur de corporibus vita privatis, & quorum membra motu carent, anima inde ſeparata. Διαφθορὰ vero eſt, cum corpus putreſit, & prorſus interit, & a vermibus conſumitur. At καταφθορὰ eſt mors æterna. Vel, iniquitates & peccata. Ut, *Populus iniquitatibus corruptus eſt.* Et corpus Domini φθορὰν quidem paſſum eſt, ſed non καταφθορὰν, i. e. corruptionem.

Διάφορα. Sumptus. Impenſæ. Thucydides.

Διαφορά. Diſſidium. Inimicitia. Item διαφορὰ vulgo dicitur differentia & diſſimilitudo.

Διαφορηθῶ. Dilacerer. Et διαφορηθῆναι, dilacerari, diſcerpi.

Διαφόρημα. Ludicrum. Ludibrium. Et διαφορήσει, diverſus fiet.

Διαφορῆσαι. Dilaceraſſe. Dilaniaſſe. [*Dicunt*] *equos natura feros, & vinculis inſuetos, & onere ipſis appenſo inſuper perterritos, eum dilaceraſſe.*

Διαφορότης. Apud Ælianum ponitur pro διαφορά. Differentia. Diſcrimen.

Διάφοροι. Inimici. Sic dicti, quod ſententiis & animis diſcrepent. Dicitur etiam διάφορον πρᾶγμα, res pretioſa. *Multos eorum tormentis cruciarunt, quos norant rem aliquam pretioſam, vel vas, vel aliquid aliud majoris pretii occultaſſe.*

Διαφορουμένης. Diſcerptæ. Diſſipatæ. [Ariſtophanes:] *Liciis a gallis gallinaceis diſcerptis.* Arrianus: *Equos vero turbatos eum diſtraxiſſe.*

Διαφορήσετε. Tranſmittetis.

Διὰ φροντ. Curæ ipſi erat. Curabat. Providebat. Ælianus: *Deus vero præcepit, ne de hac re curioſe ſolliciti eſſent. Sibi enim negotium iſtud curæ fore.*

Διαφρυκτοῦν. Suffragium ferre. Sorte dividere. Fabam enim vocabant φρυκτόν: quibus in ſuffragiis ferendis loco calculorum Judices Athenienſium olim utebantur.

Διαχειρίσαι. Interficere. Occidere.

Διαχειροτονία. Suffragiorum, quæ a populo porrectis manibus feruntur, diſtinctio. Sic Demoſthenes.

---

[1] Ὁ δὲ διαφεὶς τοὺς ἡγεμ.] Et hæc ſunt verba Polybii lib. VIII. cap. XXI. Vide etiam infra v. Κνέφας.

[2] Φθορὰ, διαφθορὰ, καὶ καταφθ.] Hæc, & quæ ſequuntur, deſunt in Edit. Mediolanenſi, itemque in 2 MSS. Pariſ. in tertio vero ad marginem ſcripta leguntur: quod arguit, notam iſtam a recentioribus ex ſcriptore quodam excerptam, & Collectaneis hiſce inſertam eſſe.

[3] Διάφορα. ἀναλώματα] Vide Caſaubonum ad *Charact.* Theophr. pag. 229.

[4] Τοὺς ἵππους εἶναι ἀγρίους] Idem fragmentum legitur etiam ſupra v. Ἀνασοβηθείς. Vide etiam paulo poſt v. Διαφορουμένης.

[5] Παρ' Αἰλιανῷ] *Var. Hiſt.* lib. II. cap. XXI.

[6] Οἷς ἠπίστησαν] Lego, οὓς ἠπίσταντο: vel, οἷς ἠπίστησαν μὴ &c.

[7] Διάφορον] Suidas vocem διάφορον hic interpretatur τίμιον. Sed rectius & magis ex mente ſcriptoris Anonymi dixiſſet ἀργύριον, i. e. pecuniam. Illo enim ſenſu vocabulum hoc apud Polybium, Dionyſium Halicarnaſſeum, alioſque ſcriptores Græcos interdum accipi, paulo doctiores non ignorant.

[8] Διαφορουμένης τῆς κρόκης ὑπὸ τῶν κτλ.] Locus hic apud Ariſtophanem *Lyſiſtrata*, pag. 892. unde eum deprompſit Suidas, ſic legitur & diſtinguitur:

Ὀλίγου μέλει σοι τῆς κρόκης φορουμένης
Ὑπὸ τῶν ἀλεκτρυόνων, &c.

[9] Διαφορήσετε. διαπέμψετε] Scholiaſta Ariſtophanis ad *Aves* pag. 550. Διαφρήσετε. διαφορήσετε. διαπέμψετε. Hinc Suidas ſua hauſit.

[10] Διαφρυκτοῦν. διαψ.] Confer Heſych. v. Διάφρυκτος, & Suidam infra v. Κυαμεῦσαι, & Κυαμοτρώξ.

[11] Διαχειροτονία. διάκρισις τῆς χειρ.] Ex Harpocratione: ad quem vide Valeſium.

Διαχεῖται. χαίρει. διαχέεται.

Διαχωρήματα.[1] τὰ διαλείποντα. Ἀῤῥιανός· Φυλακαὶ δὲ ἐπὶ τὰ διαλείποντα τῆς τάφρου ἐτετάχατο.

Διαχώρους. τὰ διαστήματα τῶν λόχων. Οὕτω τε ἀνεπλήρωσε τῇ πυκνότητι τοῦ στρατοῦ τοὺς διαχώρους.

Διὰ χρόνου. ἀντὶ τοῦ μετὰ πολὺν χρόνον.

Ἆρ'[2] ἂν βλαβείημι διὰ χρόνου τί σοι δοκῶ,
Ὦ δέσποθ' Ἑρμῆ, τῆς Ὀπώρας κατελάσας;
Οὐκ εἴγε κυκεῶν' ἐπιπίοις γληχωνίαν.

καὶ[3] γὰρ οἱ διὰ χρόνου ἐσθίοντες ὀπώραν πολλὴν, βλάπτονται· καὶ οἱ συνουσιάζοντες συνεχῶς. οἱ οὖν πολλὴν ὀπώραν ἐσθίοντες, ἐὰν γλήχωνα πίωσιν, οὐ βλάπτονται, διὰ τὸ ὑπὸ τοῦ ὀποῦ κατεσθίεσθαι[4] τὴν καρδίαν. ἵνα οὖν ἡ δριμύτης ἀποστύφῃ, γλήχωνα πίνουσιν.

Διάχυσις. χαρά. τέρψις.

Διαψαλάττεσθαι. τὸ διαστέλλεσθαι εἰς ἔρευναν. τὸ γὰρ ἀψάλακτον, ἄθικτον. οὕτω Κράτης.

Διάψαλμα. μέλους ἐναλλαγή.

Διαψᾶν. διορύττειν, διασκαλεύειν. Κελεῦσαι πάντας διαψᾶν τὴν ἄμμον, καὶ ποιεῖν βοθύνους εὐμεγέθεις.

Διαψαίρουσι.[5] διαπνέουσι. ψαίρειν γὰρ τὸ πνεῖν οἱ ναυτικοὶ λέγουσι.

Διαψεύδονται. ἐκπίπτουσιν. ἀποτυγχάνουσιν. Διὸ τοῦ μὲν καλοῦ διαψεύδονται, τοῦ δὲ παρ' αὐτοῖς συμφέροντος ὡς ἐπίπαν οὐκ ἐπιτυγχάνουσι.

Διαψήφισις,[6] καὶ ἀποψήφισις. οἱ πολῖται συνίασιν ἕκαστοι κατὰ τοὺς αὐτῶν δήμους, καὶ περὶ τῶν αἰτίαν ἐχόντων, ἢ παρεγγεγραμμένων εἰς τὴν πολιτείαν, ψῆφον φέρουσι κρύβδην· οἷον Ἀχαρνεῖς περὶ Ἀχαρνέων, καὶ περὶ Ἐλευσινίων οἱ Ἐλευσίνιοι, καὶ οἱ λοιποὶ δημόται παραπλησίως. καὶ τοῦτο διαψήφισις καλεῖται. οἱ μὲν οὖν πλειόνων ψήφων τυγχάνοντες, ἀναμφισβητήτως τὴν πολιτείαν ἔχουσιν. ὅσοι δ' ἂν ἐλάττονας ψήφους λάβωσιν, οὐκέτι νομίζονται. καὶ τοῦτό ἐστιν ἡ ἀποψήφισις.

Διαψήφισις.[7] ἰδίως ἐπὶ τῶν ἐν τοῖς δήμοις ἐξετάσεων, αἳ γίνονται περὶ ἑκάστου τῶν δημοτευομένων, εἰ τῷ ὄντι πολίτης καὶ δημότης ἐστὶν, ἢ ξένος ὢν παρεγγέγραπται.

Διβητήσια. διαβίκια.

Διγῆρες. οἱ λαμπροί. ἢ οἱ στρουθοί.

Δίγλωσσος. ὁ δύο γλώσσας ἐπιστάμενος. Ἀνάχαρσις Σκύθης ἦν, μητρὸς δὲ Ἑλληνίδος. διὸ καὶ δίγλωττος ἦν· ὃς ἔθηκε νόμους Σκύθαις.

Διαχεῖται. Lætatur. Gaudio diffunditur.

Διαχωρήματα. Intervalla. Interſtitia. Arrianus: *In foſſæ interſtitiis cuſtodiæ erant collocatæ.*

Διαχώρους. Manipulorum interſtitia. *Sic autem manipulorum interſtitia militibus denſe collocatis replevit.*

Διὰ χρόνου. Poſt longum tempus. [Ariſtophanes:] *An putas male mihi fore, Domine Mercuri, ſi poſt tantum temporis intervallum Oporam ſubigam? Non, ſi potionem pulegii ſumpſeris.* Qui enim poſt longum temporis intervallum multa poma edunt, valetudinem ſuam lædunt; itemque qui crebro coitu venereo utuntur. At pomorum eſus valetudini non nocet, ſi pulegium bibatur, quoniam a ſucco ejus poma conſumuntur. Ut igitur acrimonia aliqua [nimiam humorum copiam] adſtringat, pulegium bibunt.

Διάχυσις. Lætitia. Voluptas.

Διαψαλάττεσθαι. Dimitti ad ſcrutationem. Ἀψάλακτον enim intactum vocatur. Ita Crates.

Διάψαλμα. Cantus immutatio.

Διαψᾶν. Perfodere. Effodere. [*Dicunt eum*] *juſſiſſe omnes effodere arenam, & magnas foſſas facere.*

Διαψαίρουσι. Perflant. Ψαίρειν enim nautæ flare dicunt.

Διαψεύδονται. Excidunt. Fruſtrantur. Non aſſequuntur. *Quare nec honeſti rationem aſſequuntur, nec ejus, quod utile ipſis videtur, compotes fiunt.*

Διαψήφισις, & ἀποψήφισις. Singulorum populorum cives [apud Athenienſes] conveniunt, & de iis, qui criminis alicujus ſuſpecti habentur, aut in civium album falſo relati ſunt, clam ſuffragia ferunt: veluti Acharnenſes de Acharnenſibus, & Eleuſinii de Eleuſiniis, & pariter reliqui populares [de ſuis civibus.] Atque id vocabatur διαψήφισις. Qui igitur plura ſuffragia conſequuntur, jus civitatis abſque controverſia retinent: qui vero pauciora; non amplius cenſentur cives. Et hoc appellatur ἀποψήφισις.

Διαψήφισις. Proprie dicitur de examine, quod ſinguli populi de popularibus ſuis inſtituunt, inquirentes, utrum quis revera civis ſit & popularis, an vero peregrinus, & in civitatem falſo adſcriptus.

Διβητήσια. Diabicia.

Διγῆρες. Illuſtres. Splendidi. Vel, paſſeres.

Δίγλωσσος. Qui duas linguas novit. Bilinguis. Anacharſis erat Scytha, at matre Græca natus, & ideo bilinguis: qui etiam Scythis leges tulit.

---

[1] Διαχωρήματα. τὰ διαλ.] Supra inverſo verborum ordine rectius legitur, Διαλείποντα. τὰ διαχωρήματα. Non enim in hac nota exponitur vox διαχωρήματα, ſed διαλείποντα, quippe cujus gratia locus Arriani a Suida hic adductus eſt.

[2] Ἆρ' ἂν βλαβείημι διὰ χρ.] Ariſtoph. in *Pace* pag. 674. (460. Ed. Baſ. *P.*)

[3] Καὶ γὰρ οἱ διὰ χρ.] Hæc, & quæ ſequuntur, ſunt verba Scholiaſtæ ad modo indicatum locum Ariſtophanis: eademque leguntur ſupra v. Βληχωνία.

[4] Τὴν καρδίαν] Imo potius ὀπώραν.

[5] Διαψαίρουσι] Vox hæc legitur apud Ariſtophanem *Avibus* p. 618. ad quem locum Suidam hic reſpexiſſe puto.

[6] Διαψήφισις καὶ ἀποψήφισις] Vide omnino Petitum in Commentario ad Leges Att. pag. 134. & Scaligerum ἐν Συναγωγῇ ad Olympiadem xc. 2. itemque Suidam ſupra v. Ἀποψηφισθέντα, & infra v. Ἔκλεψις.

[7] Διαψήφισις. ἰδίως ἐπὶ τῶν ἐν τοῖς δ.] Ex Harpocratione.

Bos. Animadverſ.

Διὰ χρόνου, ἀντὶ τοῦ μετὰ πολλὴν χρόνον.] Subjungit Suid. locum Ariſtoph. in *Pace* p. 710.

Τρ. Ἆρ' ἂν βλαβῆναι διὰ χρόνου τί σοι δοκῶ, 151
Ὦ δέσποθ' Ἑρμῆ, τῆς Ὀπώρας κατελάσας;
Ἑρμ. Οὐκ εἴγε κυκεῶν' ἐπιπίοις γληχωνίαν.

poſt quæ addit Suidas verba Scholiaſtæ: καὶ γὰρ οἱ διὰ χρόνου ἐσθίοντες ὀπώραν πολλὴν, βλάπτονται· καὶ οἱ συνουσιάζοντες συνεχῶς. οἱ οὖν πολλὴν ὀπώραν ἐσθίοντες, ἐὰν γλήχωνα πίωσιν, οὐ βλάπτονται· διὰ τὸ ὑπὸ τοῦ ὀποῦ κατεσθίεσθαι τὴν καρδίαν. ἵνα οὖν ἡ δριμύτης ἀποστύφῃ, γλήχωνα πίνουσιν.] Ad quæ verba in Notis Vir Cl. pro τὴν καρδίαν potius ὀπώραν legendum cenſet. & vertit verba, - - - *at pomorum eſus valetudini non nocet, ſi pulegium bibatur, quoniam à ſucco ejus poma conſumuntur. Ut igitur acrimonia aliqua (nimiam humorum copiam) adſtringat, pulegium bibunt.* Ego vero retineo vocem καρδίαν, partim, quia nimium diſtant characteres vocum καρδίαν & ὀπώραν, partim, quia ſenſus omnino requirit καρδίαν, non ὀπώραν. Accedit, quod non tantum hic, ſed etiam ſupra in v. Βληχωνία Suidas habet καρδίαν, & Scholiaſtæ duo diverſi ad illum Comici locum: tertius vero Scholiaſta pro καρδίας voce habet ϛόμαχον. Non itaque voluit dicere *quod à ſucco pulegii poma conſumantur;* ſed quod ab *acri ſucco pomorum ſtomachus hominis qui m*[illegible] 150 *edit po-*

ma afficitur & conſumitur. hoc ſignifican
verba, διὰ τὸ ἀπὸ τοῦ ὀποῦ κατεσθίεσθαι τὴν κα
καρδίαν enim veteres medici ſtomachum
runt. Alterius Scholiaſtæ verba notanda
Τοὺς ὑπὸ τῆς ὀπώρας βαρυνομένους ἰᾶσθαι
εἰ ἀποβρέξαντες γλήχωνα εἰς ὕδωρ πίοιεν· ἰᾶσθαι
οὕτω τοὺς καρδιῶν πόνους. Ridiculus eſſet, qui
legeret τοὺς ὀπωρῶν πόνους.

Δίγνωμος. ὁ ἐπαμφοτερίζων τῇ γνώμῃ.

Δίγνωμος. Homo ancipitis & dubiæ mentis.

Διδαξάμενος. τελέσας τι ὑπὲρ ἑτέρου διδασκάλῳ.

Διδαξάμενος. Qui magiſtro pro altero inſtituendo mercedem ſolvit.

Διδάξομαι. [1] Ἀριστοφάνης Νεφέλαις·

Ἀλλ' εὐξάμενος τοῖσι Θεοῖσι, διδάξομαι.

ἀντὶ τοῦ διδαχθήσομαι. νῦν μὲν παθητικὸν ἀποδεκτέον. τουτέστι, διδαχθήσομαι. ἔστι δὲ τῶν μέσων, καὶ παθητικὸν μὲν ἔχει τὸν σχηματισμὸν, ἐνέργειαν δὲ δηλοῖ. εἴποι γὰρ ἄν τις διδάξομαι τὸν υἱὸν φιλοσοφεῖν κυριώτερον, ἢ διδάξω. Διδάξω μὲν γὰρ ὁ διδάσκαλος ἐρεῖ· διδάξομαι δὲ, ὁ πατὴρ, καὶ πᾶς ὁ παραδιδοὺς ἕτερον μανθάνειν. δυνατὸν οὖν καὶ νῦν μὲν εἶναι τὸ αὐτό· ἵν' ᾖ νοούμενον, διδάξομαι, ἐπεὶ οὐ τὸν υἱὸν, ἐμαυτόν. [2] τοῦ μέτρου οὐκ ἐπιτρέποντος εἰπεῖν ἐμαυτὸν διδάξας, ἔφη καὶ αὐτὸς βαδίζειν εἰς τὸ φροντιστήριον.

Διδάξομαι. Diſcam. Erudiendum me alteri tradam. Ariſtophanes *Nubibus: Sed Deos precatus, magiſtro erudiendum me dabo.* Hic τὸ διδάξομαι paſſive accipiendum eſt, pro διδαχθήσομαι. Eſt autem verbum medium, quod formam quidem habet paſſivam, at actionem ſignificat. Magis enim proprie dixeris, διδάξομαι τὸν υἱὸν φιλοσοφεῖν, i. e. filium præceptis philoſophiæ inſtituendum alteri dabo, quam διδάξω. Nam ipſe magiſter dicet διδάξω: at pater, & quilibet, qui aliquem in diſciplinam alteri tradit, διδάξομαι. Poteſt igitur & hic eodem modo res ſeſe habere, ut ſit ſenſus, me ipſe docendum alteri tradam, quoniam filium non potui. Quoniam autem metrum non permittebat, ut diceret διδάξομαι ἐμαυτὸν, tantum dixit διδάξομαι, i. e. docendum me dabo magiſtro, ipſe ludum literarium frequentans.

Διδασκαλεῖον. τὸ σχολεῖον. διδασκάλιον δὲ, αὐτὸ τὸ μάθημα.

Διδασκαλεῖον. Ludus literarius. Schola. Διδασκάλιον vero, ipſa diſciplina.

Διδάσκαλος. [3] ἰδίως διδασκάλους λέγουσι τοὺς ποιητὰς τῶν διθυράμβων, ἢ τῶν κωμῳδιῶν, ἢ τῶν τραγῳδιῶν. καὶ Σοφοκλῆς·

—— Οἱ δ' ἀκοσμοῦντες βροτῶν
Διδασκάλων λόγοισι γίγνονται κακοί.

Διδάσκαλος. Peculiariter διδασκάλους vocant poetas Dithyrambicos, vel Comicos, aut Tragicos. Et Sophocles: *Homines immodeſti magiſtrorum ſermonibus mali evadunt.*

Διδάσκαλος. δαίω, τὸ μανθάνω, δαίσω, δαΐσκω, καὶ ἀποβολῇ τοῦ ι, δάσκω (ἐπεὶ τὰ εἰς σκω κοινολεκτούμενα οὐ θέλουσι δίφθογγον ἔχειν) ἀναδιπλασιασμῷ, διδάσκω, καὶ ἐξ αὐτοῦ διδάσκαλος.

Διδάσκαλος. Doctor. Magiſter. [Hæc vox ita formatur.] Δαίω, diſco, δαίσω, δαΐσκω, & abjecto ι, δάσκω. Verba enim in σκω deſinentia diphthongum repudiant. Hinc per reduplicationem fit διδάσκω: unde διδάσκαλος.

Διδαχή. ἀντὶ τοῦ διδασκαλία. Ἡρόδοτος γ'.

Διδαχή. Diſciplina, doctrina. Herodotus lib. tertio.

Δίδημι. τὸ δεσμεύω.

Δίδημι. Ligo. Vincio.

Διδίας. ὄνομα κύριον.

Διδίας. Didias. Nomen proprium.

Διδοῦς. διδόντος. ἢ καὶ διδοῦντος.

Διδοῦς. Genitivum habet διδόντος. Vel etiam διδοῦντος.

Δίδραχμον. συντέλεσις. εἰσφορά. λειτουργία. ἔχει δὲ τὸ δίδραχμον [4] οὐγγίας ς'. [5] κ' ὀβολούς· γράμματα ς'.

Δίδραχμον. Didrachmum. Collatio. Tributum. Penſitatio publica. Habet autem didrachmum quartam partem unciæ, obolos viginti, & ſcrupulos ſex.

Δίδωμί σοι. παρέχω σοι.

Δίδωμί σοι. Do tibi. Præbeo tibi.

Διδυμαχίας. ὄνομα κύριον. ὅτι [6] Ἀσωπόδωρος καὶ Διδυμαχίας ὁ ἀδελφὸς αὐτοῦ ἐπὶ σμικρότητι σώματος διεβέβληντο.

Διδυμαχίας. Didymachias. Nomen proprium. Aſopodorus, & Didymachias ejus frater, ob exiguam corporis ſtaturam cavillis & dicteriis hominum exagitabantur.

Δίδυμον [7] ξύλον. ἢ παρὰ Ῥωμαίοις φοῦρκα. [8] Εὑρὼν δὲ Ἰλλοῦστον φθορέα, ἐκρέμασεν ἐπὶ διδύμου ξύλου. † Οὓς ζῶντας ἐκ διδύμων ξύλων ἀπαρτῶν.

Δίδυμον ξύλον. Geminum lignum, ſive, ut Romani appellant, furca. *Cum autem Illus ſtupratorem inveniſſet, eum ex furca ſuſpendit.* † *Quos vivos ex furcis ſuſpendens.*

---

[1] Ἀριστοφάνης Νεφέλαις] Pag. 130. (66. Ed. Baſ. *P.*) ubi vide Scholiaſtam, cujus verba hic more ſuo Suidas deſcripſit.

[2] Τοῦ μέτρου οὐκ ἐπιτρ] Totum hunc locum ſic conſtitue & lege: Τοῦ δὲ μέτρου οὐκ ἐπιτρέποντος εἰπεῖν, διδάξομαι ἐμαυτόν· ἔφη, διδάξομαι, αὐτὸς βαδίζων &c.

[3] Διδάσκαλος. ἰδίως διδασκ.] Ex Harpocratione. Hujus autem loci ampliorem enarrationem & illuſtrationem reperiet Lector apud Caſaubonum ad Athen. lib. VI. cap. VII. ubi prolixe & docte de ſignificatione vocis διδάσκαλος & διδασκαλία diſputat.

[4] Οὐγγίας ς'] Peſſime. [Corrigendum enim eſt ex Heſychio, τὸ τέταρτον τῆς οὐγγίας, i. e. quartam partem unciæ. Vide rei nummariæ ſcriptores.

[5] Κ' ὀβολούς] Imo potius ιβ' ὀβολούς, i. e. duodecim. Tot enim duæ drachmæ Atticæ continebant. Poteſt tamen lectio vulgata ſtare, ſi locus hic accipiatur de drachma Æginetica, quæ x obolos continebat.

[6] Ὅτι Ἀσωπόδωρος, καὶ Διδυμ.] Vide ſupra v. Ἀσωπόδωρος.

[7] Δίδυμον ξύλον] Lipſius in libello *de Cruce* τὸ δίδυμον ξύλον *crucem* ſignificare putat, reprehenditque Suidam, quod verba iſta de *furca* Romanorum exponat. Sed interpretationem Suidæ contra Lipſium recte defendit Caſaubonus adverſus Baronium Exercit. XVI. num. LXXVII. quem conſule.

[8] Εὑρὼν δὲ Ἰλλοῦστον φθορέα] Locus hic emendatur infra v. Ἰλλοῦστον: quo Lectorem remittimus.

Δίδυμος,[1] Ἀτήϊος, ἢ Ἄττιος χρηματίσας, φιλόσοφος Ἀκαδημαϊκός. Πιθανῶν καὶ σοφισμάτων λύσεις ἐν βιβλίοις β΄· καὶ ἄλλα πολλά.

Δίδυμος,[2] Διδύμου ταριχοπώλου, γραμματικὸς Ἀρισταρχεῖος, Ἀλεξανδρεύς, γεγονὼς ἐπὶ Ἀντωνίου καὶ Κικέρωνος, καὶ ἕως Αὐγούστου· Χαλκέντερος κληθεὶς, διὰ τὴν περὶ τὰ βιβλία ἐπιμονήν. Φασὶ γὰρ αὐτὸν [3] συγγεγραφέναι ὑπὲρ τὰ τρισχίλια καὶ πεντακόσια βιβλία.

Δίδυμος νέος, Ἀλεξανδρεύς, γραμματικός· ὃς ἐσοφίστευσεν ἐν Ῥώμῃ. ἔγραψε Πιθανά· Περὶ ὀρθογραφίας· καὶ ἄλλα πλεῖστα καὶ ἄριστα.

Δίδυμος, ὁ Κλαύδιος χρηματίσας, γραμματικός. Περὶ τῶν ἡμαρτημένων παρὰ τὴν ἀναλογίαν Θουκυδίδῃ. Περὶ τῆς παρὰ Ῥωμαίοις ἀναλογίας. Ἐπιτομὴν τοῦ Ἡρακλέωνος· καὶ ἄλλα τινά.

Δίδυμος, ὁ τοῦ Ἡρακλείδου, γραμματικός· ὃς διέτριψε παρὰ Νέρωνι, καὶ ἐχρηματίσατο· μουσικός τε ἦν λίαν, καὶ πρὸς μέλη ἐπιτήδειος.

Δίδυμος, Ἀλεξανδρεύς· Γεωργικὰ ἐν βιβλίοις ιέ. Δίδυμος καὶ ὁ Ἀπόστολος Θωμᾶς.

Δίδυμοι. συνήθως ἡμῖν καὶ οἱ συμφυεῖς. [4] ἰδίως οἱ μόνοι. ἢ διττῶς· καὶ Αὐλοῖσι διδύμοισι.

Δίδυμον τεῖχος. πόλις Καρίας. οἱ πολῖται, Διδυμοτειχῖται.

Δίδυμος. ὁ μεθ' ἑτέρου τεχθεὶς ἐκ μιᾶς συλλήψεως.

Διαίνεσθαι. βρέχεσθαι. διαίνω γὰρ, τὸ ὑγραίνω.

Διαίρεσις. ἡ διαχώρισις.

Διαιωνιεῖ. δι' αἰῶνος παραμενεῖ.

Διαιρῶν. αἰτιατικῇ. ἀναπτύσσων, δοκιμάζων, καὶ διακρίνων τὰ πράγματα, καὶ οἷον διαίρεσιν αὐτῶν ποιῶν.

Δίαιτα. ἡ καθ' ἑκάστην ἡμέραν τροφή. καὶ ἡ κρίσις. Τὴν τῶν ἐγκλημάτων δίαιταν ἐπίτρεψον ἄλλοις. † Διαίτης [5] οὖν ἐν ἡδονῇ καὶ τύφῳ τιθεμένης, [6] τὸ καλὸν ἐκὰς γενόμενον, καὶ τὴν ὑποτυφομένην ἀλαζο-

Δίδυμος. Didymus, Atejus, vel Attius cognominatus, Philoſophus Academicus. Scripſit Probabilium & Sophiſmatum ſolutiones libris duobus: & alia multa.

Δίδυμος. Didymus, Didymi ſalſamentarii filius, Alexandrinus, Grammaticus Ariſtarchius, qui vixit temporibus Antonii & Ciceronis uſque ad Auguſtum: Chalcenterus vocatus, propter aſſiduitatem, qua in libris legendis & ſcribendis eſt uſus. Ajunt enim eum ultra M. M. M. D. libros conſcripſiſſe.

Δίδυμος. Didymus Junior, Alexandrinus, Grammaticus, qui Romæ eloquentiam docuit. Scripſit Probabilia: De Orthographia; & alia plurima, eaque optima.

Δίδυμος. Didymus, cognomento Claudius, Grammaticus. Scripſit de iis, quæ præter Analogiam a Thucydide perperam dicta ſunt. De Analogia Latinorum. Epitomen Heracleonis: & alia quædam.

Δίδυμος. Didymus, Heraclidæ filius, Grammaticus, qui apud Neronem vixit, & magnas divitias ſibi comparavit, & Muſicus valde inſignis fuit, & ad carmina componenda aptus.

Δίδυμος. Didymus Alexandrinus. De re ruſtica libros xv. ſcripſit. † Apoſtolus Thomas cognominatus etiam fuit Didymus.

Δίδυμοι. Gemini. Gemelli. Proprie de fratribus dicitur. Interdum tamen ſimpliciter *duos* ſignificat. [Homerus:] *Geminis tibiis.*

Δίδυμον τεῖχος. Urbs Cariæ. Cives, Didymotichitæ.

Δίδυμος. Gemellus. Sive, qui cum altero ex una conceptione natus eſt.

Διαίνεσθαι. Rigari. Διαίνω enim, rigo, humecto.

Διαίρεσις. Diviſio. Separatio.

Διαιωνιεῖ. In æternum permanebit.

Διαιρῶν. Accuſativo jungitur. Explicans, explorans, dijudicans & diſcernens res, eaſque quaſi dividens.

Δίαιτα. Quotidianus cibus. Item judicium, ſive arbitrium, *Judicium de criminibus permitte aliis.* † *Vitæ igitur ratione ad voluptatem & ſuperbiam comparata, ab honeſtis ſtudiis re-*

---

[1] Ἀτήϊος] Jonſius *de Scriptor. Hiſt. Phil.* lib. III cap. I. pro Ἀτήϊος hic legendum cenſet Ἀρεῖος, fretus auctoritate Euſebii, qui lib. xv. *Præp. Euang.* c. xv. Didymi cujuſdam Ἀρείου mentionem facit. Sed cum non ſatis conſtet, utrum Didymus ille idem ſit cum eo, de quo Suidas hic agit, conjecturam hanc in medio relinquo. Præterea, etiamſi daretur, & Suidam & Euſebium de eodem Didymo loqui, incertum tamen foret, utrum Suidas ex Euſebio, an vero Euſebius ex Suida emendandus eſſet.

[2] Δίδυμος, Διδύμου ταρ.] Hic eſt celebris ille Didymus, cujus Grammatici veteres & Enarratores Poetarum Græcorum tam crebram mentionem faciunt. Fuit vir ſingularis induſtriæ & φιλοπονίας, ſcripſitque commentarios in pleroſque poetas Græcos: itemque in præcipuos oratores veteres, ut conſtat ex Harpocratione, qui ὑπομνήματα ejus in Demoſthenem, Iſæum, & Hyperidem laudat. Præterea ἐν τῷ περὶ διεφθορυίας λέξεως citatur a Scholiaſta Ariſtophanis ad *Aves* pag. 277. & Athen. lib. IX. pag. 368. Ἐν ταῖς πρὸς Ἴωνα ἀντεξηγήσεσιν, ab eodem, lib. XIV. pag. 634. Ἐν τῷ περὶ τοῦ ἀρκτεύειν καὶ δεκατεύειν, ab Harpocratione v. Δεκατεύειν. Ἐν ἑβδόμῳ τῆς ἀπορουμένης λέξεως, ab eodem, v. Δερμηστής. Ἐν τῷ περὶ Λυρικῶν ποιητῶν, ab Etymologo, v. Προσῳδίαι. Ἐν Συμποσιακοῖς, a Stephano Byzantio v. Ἠπία; Laertio in *Demetrio*, Segm. LXXVI; Etymologo, v. Σκολιά; & Clemente Alexandrino *Strom.* lib. IV. pag. 381. Ἐν τῇ περὶ τῶν ἀξόνων τῶν Σόλωνος ἀντιγραφῇ, a Plutarcho in Vita Solonis. Præterea, vocabula Comicorum & Tragicorum eum collegiſſe & expoſuiſſe diſcimus ex Præfatione Lexici Heſychiani, & Harpocratione v. Ξηραλοιφεῖν.

[3] Συγγεγραφέναι ὑπὲρ τὰ τρισχίλια καὶ πεντ.] Idem teſtatur Athenæus lib. IV. pag. 139.

[4] Ἰδίως οἱ μόνοι. ἢ διττῶς· καὶ Αὐλ.] Locus hic corruptus eſt, quem, ſi mei arbitrii res ſit, ſic legerim: ἰδίως Ὅμηρος ἀντὶ τοῦ, οἱ διττοί. ὡς τὸ, Αὐλοῖσι διδύμοισι. Apud Homerum enim Odyſſ. Τ. v. 227. ubi verba citata leguntur, τὸ δίδυμοι ſumitur pro διττοὶ, vel, ut Scholiaſta exponit, διπλοῖ. Pro οἱ μόνοι autem legendum eſſe Ὅμηρος nemo mirabitur, qui ſciet, nomen illud, quod breviate plerumque in veteribus codicibus ſcribi ſolet, imperitos librarios ſæpe corrupiſſe, & nunc in ὅμως, ut infra v. Ἦδος; nunc in ὅλως, ut v. Ἰδίειν; nunc in ὁμοίως, ut v. Ἀκιδνός; nunc in alias voces affines detorſiſſe.

[5] Διαίτης οὖν ἐν ἡδονῇ καὶ τύφῳ τιθεμ.] Hæc, & quæ ſequuntur, ſunt verba ſcriptoris cujuſdam de Zenone Imperatore, ut diſcimus ex Suida infra v. Ζήνων βασ. ubi locus hic repetitur.

[6] Τὸ καλὸν ἐκὰς γενόμενον] Infra v. Ζήνων rectius legitur, τοῦ καλοῦ ἐκὰς γενόμενος.

νείαν ἐπὶ τῇ βασιλικῇ καραδοκίᾳ διὰ τῶν προσώπων ἀπεμφαίνων, ἀκροβαλεῖν τε ἤρξατο, καὶ μετέωρον τὸν αὐχένα αἴρειν. καὶ συλλήβδην φάναι, προσέχων πᾶσιν ὥσπερ οἰκέταις ἀνθρώποις.

Διαίταις. ταῖς χωρὶς δικαστηρίου κρίσεσι.

Διαιτῆσαι. κρῖναι. γνῶναι. καὶ διαιτητής, ὁ κριτής.

Διαιτητάς. τοὺς ὑπὲρ πεντήκοντα ἔτη γεγονότας, καὶ καθαροὺς πάσης αἰτίας ὑπειλημμένους, ἀπὸ τοῦ ληξιαρχικοῦ γραμματείου κληρώσαντες, τὰς τῶν πολιτῶν διαίτας ἐποίουν. ξένοις μέντοι γε ἐπὶ τοῦτο ἐλθεῖν οὐ συγκεχώρητο. ἔξεστι δὲ καὶ τοῖς μεμφομένοις διαιτῶν, ἐκκαλεῖσθαι τὸ δημόσιον δικαστήριον.

Διαιτηταῖς.[1] ἕτεροι παρὰ τοὺς δικαστάς εἰσιν οἱ διαιτηταί. οἱ μὲν γὰρ ἐν δικαστηρίοις ἐδίκαζον, καὶ τὰς ἀπὸ τῶν διαιτητῶν ἐφεσίμους ἔκρινον. οἱ δὲ διαιτηταὶ πρότερον κλήρῳ λαχόντες, ἢ ἐπιλεψάντων αὐτοῖς[2] κρινομένοις, δίῃτων. καὶ εἰ μὲν ἤρεσκε τοῖς ἀντιδίκοις, τέλος εἶχεν ἡ δίκη. εἰ δὲ μή, τὰ ἐγκλήματα, καὶ τὰς [3]προβλήσεις, καὶ μαρτυρίας, ἔπι δὲ καὶ τοὺς νόμους, καὶ τὰς ἄλλας πίστεις ἑκατέρων ἐμβαλόντες εἰς [4]καδίσκους, [5]καὶ σημειωσάμενοι παρεδίδοσαν τοῖς εἰσαγωγεῦσι τῶν δικῶν.

Διαιτητήριον. ἐν ᾧ διαιτῶνται.

Διαιτῶν. δικάζων. καὶ διαιτῶν, τὸ ἴσον νέμων. δοτικῇ.

Δι' αἰφνιδίου ὀπός. τουτέστι, τῆς ἐνθουσιαστικῆς.

Διέβαλεν.[6] ἐξηπάτησεν. καὶ Θουκυδίδης οὕτως κέχρηται καὶ [7]Ἀριστοφάνης ἐν Θεσμοφοριαζούσαις. Καὶ διέβαλέ μ' ἡ γραῦς. ἀντὶ τοῦ ἐξηπάτησε.

Διεγείρωμεν. παροξύνωμεν.

Διέγνωκα. κέκρικα.

Διεγγύησιν.[8] ἀντὶ τοῦ, κατάστασιν ἐγγυητῶν. Δημοσθένης.

Διέδριον. τὸ καθέδριον. Ὡς δὲ οὐκ ἴσχυον τῇ εἰσόδῳ χρήσασθαι, ἄραντες αὐτὸν διεδρίῳ κατὰ τοὺς οἴκους τῶν λεγομένων σχολῶν εἰσεκόμιζον.

Διεδοιδύκησε.[9] διέγραψε τῇ χειρί, στρογγύλην αὐτὴν ποιήσας ὡς δοίδυκα.

Διέζευξε. διεχώρισε. καὶ παρὰ τοῖς μουσικοῖς διεζευγμένον λέγεται τὸ τετράχορδον. καὶ συνεζεῦχθαι λέγουσι τὸ ἐν τῷ αὐτῷ εἶναι.

Διέθει. διέτρεχε.

Διεθρόησε. [10]Θουκυδίδης· Οἱ δὲ πρέσβεις τῶν Ἀθηναίων διεθρόησαν, ὡς χρήματα πολλὰ ἴδοιεν. ἀντὶ τοῦ, διελάλησαν, διεθορύβησαν.

motus, & arrogantiam, quam ob ſpem imperii animo conceperat, vultu ipſo præ ſe ferens, ſuperbe incedere, & ſublimem cervicem erigere, ac, ut breviter dicam, omnes haud aliter ac ſervos tractare cœpit.

Διαίταις. Judiciis, quæ privatim fiunt. Arbitriis.

Διαιτῆσαι. Judicare. Cognoſcere. Et διαιτητής. Judex. Arbiter.

Διαιτητάς. Judices. Arbitros. Viros quinquagenariis majores, & nullius probri compertos, ex civium albo ſorte delectos, controverſiarum, quæ inter cives intercedebant, arbitros conſtituebant. Peregrinis vero apud arbitros diſceptare non licebat. Quod ſi quidam in arbitrorum ſententia non acquieſcerent, illis ad publicum judicium provocare licebat.

Διαιτηταῖς. Arbitris. Arbitri a Judicibus ſunt diverſi. Hi enim in dicaſteriis judicabant, & de appellationibus, quæ ab arbitris fiebant, cognoſcebant. Arbitri vero prius electi ſorte, vel litigantium arbitratu, judicabant. Et, ſi [ipſorum arbitrium atque judicium] adverſariis placebat, lis erat finita: ſin minus, crimina, & provocationes, & teſtimonia, præterea vero & leges, & alias utriuſque partis probationes in capſulas conjiciebant, & obſignatas tradebant cauſarum introductoribus.

Διαιτητήριον. Locus, in quo judicant arbitri.

Διαιτῶν. Judicans. Item, qui ſuum cuique tribuit. Dativo jungitur.

Δι' αἰφνιδίου ὀπός. Per vocem, quæ Numinis cujuſdam afflatu editur.

Διέβαλεν. Decepit. Sic & Thucydides hac voce uſus eſt. Et Ariſtophanes *Theſmophoriazuſis: Anus me decepit.*

Διεγείρωμεν. Incitemus. Impellamus.

Διέγνωκα. Cognovi. Judicavi.

Διεγγύησιν. Sponſorum exhibitionem. Demoſthenes.

Διέδριον. Biſellium. *Cum introire ipſis non liceret, eum biſellio impoſitum per ædes, quæ Scholæ vulgo appellantur, [in locum conſtitutum] intulerunt.*

Διεδοιδύκησε. Manu deſcripſit, rotundam eam faciens, ut piſtillum.

Διέζευξε. Disjunxit. Et apud Muſicos tetrachordum vocatur διεζευγμένον. Et συνεζεῦχθαι dicunt in eodem loco eſſe.

Διέθει. Diſcurrebat. Percurrebat.

Διεθρόησε. Divulgavit. Rumorem ſparſit. Thucydides: *Athenienſium vero legati divulgarunt, ſe magnam pecuniæ vim vidiſſe.* Vel, ſermonibus diſtulerunt, & cum ſtrepitu divulgarunt.

---

[1] Διαιτηταῖς, ἕτεροι παρὰ τοὺς δικαστάς εἰσιν οἱ διαιτ.] Ex Harpocratione. De toto autem hoc loco videndus eſt Petitus in Commentario ad *Leges Att.* lib. IV. Tit. V.

[2] Τοῖς κρινομένοις] Lege τῶν κρινομένων, ut apud Harpocrationem.

[3] Προβλέσεις] Harpocratio rectius προκλήσεις.

[4] Εἰς καδίσκους] Portus vertit, *in capſulas*. Melius, *in urnas*.

[5] Καὶ σημειωσάμενοι] Vide infra v. Ἐχῖνοι.

[6] Διέβαλεν. ἐξηπ.] Vide ſupra v. Διαβάλλειν.

[7] Ἀριστοφάνης ἐν Θεσμοφ.] Pag. 540. Ed. Baſ.

[8] Διεγγύησιν. ἀντὶ τοῦ κατ.] Ex Harpocratione.

[9] Διεδοιδύκησε. διέγραψε τῇ χ.] Eadem habet Etymologus.

[10] Θουκυδίδης] Lib. VI. cap. XLVI.

Διέκδυσιν. διεξέλευσιν. Τῶν δεσμωτῶν εἷς ἀπορρήξας τὰ δεσμὰ, καὶ διεκδὺς, εἶτα καταφεύγει ἐπὶ τὰ τῆς Δήμητρος πρόθυρα. ἀντὶ τοῦ, ὑπεξελθὼν, ἐκφυγών.

Διεκερμάτισε[1] τὴν δραχμὴν ἐν τοῖς ἰχθύσιν.

Διεκόρησας[2] τὴν παῖδα. διεπαρθένευσας.

Διεκορκορύγησε. κορκορυγεῖν λέγουσι τὸ λαλεῖν τὴν γαστέρα. ἐμιμήσατο δὲ τῇ φωνῇ τῶν ἐντέρων τὸν ἦχον. [3] Ἀριστοφάνης Νεφέλαις·

---Εἶτ' ἐταράχθης
Τὴν γαστέρα, καὶ κλόνος ἐξαίφνης αὐτὴν διεκορκορύγησε.

κλόνος δὲ, στρόφος, ἴλιγξ.

Διεκοσμήθησαν. διετάχθησαν.

Διεκωδώνισεν.[4] ἀντὶ τοῦ διεπείρασε, καὶ [5] ἐξήτασεν. ἡ δὲ μεταφορὰ ἢ ἀπὸ τῶν περιπολούντων τοῖς κώδωσι νυκτὸς τὰς φυλακάς· ἢ ἀπὸ τῶν δοκιμαζόντων τοὺς μαχίμους ὄρτυγας τῷ ἤχῳ τοῦ κώδωνος.

Διεκπατῆσαι. τοῦ πάτου παρεξελθεῖν. [6] Λέγουσιν Ἐπιμενίδην χρόνον ἕνα διεκπατῆσαι, ἀσχολούμενον περὶ ῥιζοτομίαν.

Διεκπέσαντες. [7] διεκτρυπήσαντες. διεκδραμόντες.

Δίεκπλοι.[8] τὸ ἐμβάλλειν καὶ διασχίζειν τὴν τῶν ἐναντίων τάξιν, καὶ πάλιν ὑποστρέφειν, καὶ αὖθις ἐμβάλλειν. ἀναστροφαὶ δέ εἰσιν, αἱ εἰς τοὐπίσω ὑποχωρήσεις.

Διεκπερδικίσαι.[9] διαδρᾶναι. ἐκφυγεῖν. ἐξαπατῆσαι. ἀπὸ τοῦ πέρδικος, πανούργου ὄντος καὶ ἀποδιδράσκοντος.

Διέκυψαν. Χόρτῳ παραπλησίως ἀπὸ τῆς γῆς διακύψαντες ἤνθησαν.

Διελέσθαι. διαμερίσαι.

Διέλιπεν. ἀφῆκε.

Διεμήρισαν[10] ἄνδρες ἐρασταί. καὶ [11] διαμηρίζοιμι, ἀντὶ τοῦ συνουσιάζοιμι. [12] Ἀριστοφάνης· Τῆς διακόνου πρώτης ἀνατείνας τὰ σκέλη διαμηριῶ.

Διέκδυσιν. Tranſitum per aliquem locum. *Captivorum aliquis ruptis vinculis, & fuga elapſus, ad Cereris veſtibulum confugit.* Διεκδὺς ſignificat, qui clam ſe ſubduxit, qui aufugit.

Διεκερμάτισε τὴν δρ. *Drachmam ærea moneta permutavit in foro piſcario.*

Διεκόρησας. Puellam ſtupraſti, vel vitiaſti.

Διεκορκορύγησε. Murmuravit. Κορκορυγεῖν ſignificat murmurare, & de ventre dicitur. Imitatus autem eſt voce illa ipſum inteſtinorum ſonum & murmur. Ariſtophanes Nubibus: *Deinde ventre tuo turbato, murmur repente ex eo audiri cœpit.* Vel κλόνος ſignificat dolorem inteſtinorum, ſive tormina.

Διεκοσμήθησαν. Diſpoſiti fuerunt. In ordinem redacti fuerunt.

Διεκωδώνισεν. Tentavit. Exploravit. Tranſlatio ducta eſt vel ab illis, qui noctu cum tintinnabulis excubias circumeunt: vel ab illis, qui tintinnabuli ſono pugnaces coturnices explorant.

Διεκπατῆσαι. Ab hominum conſortio recedere. *Ferunt Epimenidem ad aliquod tempus ab hominum conſortio receſſiſſe, in herbis legendis occupatum.*

Διεκπέσαντες. Qui per aliquem locum elapſi ſunt.

Δίεκπλοι. In hoſtes impetum facere, eorumque ordines perrumpere, & ad ſuos redire, & iterum impreſſionem facere, id διέκπλους dicitur. Ἀναστροφὴ vero eſt, cum retrocedimus & pedem referimus.

Διεκπερδικίσαι. Diffugere. Effugere. Decipere. Tranſlatio ducta eſt a perdice, quæ aſtuta eſt, & [aucupes] effugit.

Διέκυψαν. *Ex terra tanquam herba prorumpentes floruerunt.*

Διελέσθαι. Diviſiſſe. Diſtribuiſſe.

Διέλιπεν. Dimiſit.

Διεμήρισαν ἄνδρ. *Amatores [multos pueros] ſubegerunt.* Et διαμηρίζοιμι, ſubigam, coeam. Ariſtophanes: *Primæ miniſtræ diducens crura, [ipſam Iridem] ſubigam.*

---

[1] Διεκερμάτισε τὴν δραχμὴν ἐν τοῖς ἰχθ.] Hæc ſunt verba Ariſtophanis *Veſpis* pag. 487. quæ Portus peſſime ſic interpretatus erat: *In piſcibus drachmam lucrifecit. Vel, facta piſcium permutatione drachmam eſt lucratus.* Confer cum his verſionem noſtram, quæ longe aliud ſonat. Διακερματίζειν enim hic eſt, monetam argenteam vel auream moneta viliore, puta ærea, permutare: quod facere ſolemus, cum res vilioris pretii emimus. Vide etiam infra v. Κερματίζειν. Ἐν ἰχθύσιν vero hic non ſignificat *in piſcibus*, ut Portus putabat, ſed *in foro piſcario*. Attici enim locis nomina imponere ſolebant a rebus, quæ in illis erant vel gerebantur. Sic exempli cauſa dicebant ἐν τῷ μύρῳ, pro ἐν τῷ μυροπωλείῳ: ἐν ταῖς χύτραις, pro ἐν τῷ χυτροπωλείῳ: ἐν τῷ ὄψῳ pro ἐν τῷ ὀψοπωλείῳ, & ſexcenta alia hujus generis. Vide nos ſupra ad v. Δεῖγμα.

[2] Διεκόρησας] Vide ſupra v. Διακεκορῆσθαι.

[3] Ἀριστοφάνης Νεφέλαις] Pag. 149. (83. Ed. Baſ. P.) ubi vide Scholiaſtam, cujus verba Suidas hic deſcripſit.

[4] Διεκωδώνισεν. ἀντὶ τοῦ διεπ.] Ex Harpocratione. Huc pertinent verba Ulpiani in orat. Demoſth. περὶ παραπρ. pag. 119. Διεκωδώνιζεν. ἐδοκίμαζεν. ἐπείραζεν. ἀπὸ μεταφορᾶς τοῦ κώδωνος, οὗ (lege μεθ' οὗ) περιιάσιν νύκτωρ οἱ φύλακες, ἀποπειρώμενοι, εἰ ἐγρηγόρασιν οἱ περὶ τὰς πύλας φυλάττοντες. Vide etiam ſupra v. Ἀκωδώνιστον, & Διακωδωνίσαι.

[5] Ἐξήτασεν] Male priores Editt. habent ἐξηπάτησεν: cujus loco ſcribendum eſſe ἐξήτασεν vel ex ipſo Suida infra v. Κεκωδωνισμένος patet.

[6] Λέγουσιν Ἐπιμενίδην χρόνον ἕνα διεκπ.] Ex Laertio: apud quem legitur ἐκπατῆσαι, &, χρόνον τινά.

[7] Διεκπέσαντες] Confer paulo poſt v. Διεξέπεσε.

[8] Δίεκπλοι. τὸ ἐμβάλλειν——αὖθις ἐμβάλλειν] Ex Scholiaſta Thucydidis ad lib. 1. cap. XLIX. apud quem tamen verba illa, καὶ διασχίζειν τὴν τῶν ἐναντίων τάξιν non leguntur.

[9] Διεκπερδικίσαι] Ariſtophanes *Avibus* pag. 577.

Ὡς παρ' ἡμῖν οὐδὲν αἰσχρόν ἐστιν ἐκπερδικίσαι.

Huc Suidas reſpexit. Vide ibi veterem Enarratorem, qui vocem illam prolixe exponit. Confer etiam infra v. Ἐκπερδικίσαι, & Heſychium tum eadem voce, tum etiam v. Διαπερδικίσαι.

[10] Διεμήρισαν ἄνδρες ἐρασταί] Hæc ſunt verba Ariſtophanis *Avibus* pag. 574. (396. Ed. Baſ. P.) In prioribus autem Editt. pro ἐρασταί, quod non ſolum Ariſtophanes, ſed etiam 2 MSS. Pariſ. agnoſcunt, male legitur δικασταί.

[11] Διαμηρίζοιμι. ἀντὶ τοῦ συνουσιάζοιμι] Ex Scholiaſta Ariſtophanis ad *Aves* pag. 599. (415. Ed. Baſ. P.)

[12] Ἀριστοφάνης] *Avibus* pag. 599. (415. Ed. Baſ. P.) ubi locus hic recte ſic legitur & diſtinguitur:

——Τῆς διακόνου
Πρώτης ἀνατείνας τὼ σκέλει διαμηριῶ
Τὴν Ἶριν αὐτήν

Διεμπολᾷν.[1] τὰ πρὸς πραγματείαν ἐπιτήδεια ἀγοράζειν.

Διενέγκαντες. ὑπενέγκαντες. Πολλὰ γὰρ δὴ πράγματα διήνεγκαν μεθ᾽ ἡμῶν, εἰσβολάς τε καὶ μάχας. Καὶ αὖθις· Οὕτω δὲ διενέγκαντός μου ἐπὶ μῆνα ἡμερῶν.

Διενεγκεῖν. ἀγαγεῖν. Εὐνάπιος· Κατὰ τούτους τοὺς χρόνους ὑπὸ τῆς ἀνδρώδους γυναικὸς ἔργον κατετολμήθη καὶ συνεπράχθη γενναῖον οὕτω καὶ ἀνδρῶδες, ὥστε ἄπιστον εἶναι διενεγκεῖν εἰς τὴν διήγησιν.

Δι᾽ ἐνιαυτοῦ. ἀντὶ τοῦ δι᾽ ὅλου τοῦ ἐνιαυτοῦ. καὶ δι᾽ ἡμέρας· ἀντὶ τοῦ δι᾽ ὅλης τῆς ἡμέρας.

Διενοχλῶ σοι. καὶ αἰτιατικῇ.

Διεντέρευμα.[2] τὸ ἐρώτημα.

Διεξάγοντες. διοικοῦντες. [3] Μεθυσκομένους καὶ ῥᾳδίως διεξάγοντας τὰ κατὰ τὴν φυλακήν.

Διεξέπεσε. Τὰ ὅπλα ἀνελόμενος διεξέπεσε διὰ τῶν πολεμίων. τουτέστι, διήλασε, διῆλθε, διέφυγεν.

Διέξειν. ἀπείρξειν. Οὕτω γὰρ διέξειν τὰς χεῖρας, καὶ φροντιεῖν τοῦ μηδὲν ἀδίκημα ποιήσειν τὸν Προυσίαν εἰς αὐτούς.

Διεξήεσαν.

Δίεξιν. διέξοδον. διεξέλευσιν.

Διεξιφίσω.[4] διεμαχέσω περὶ τῆς χώρας. ἐν Μαραθῶνι πολεμήσας πρὸς τοὺς Μήδους τοῖς ξίφεσι κατ᾽ αὐτῶν ἐχρήσω. Μαραθὼν δὲ τόπος τῆς Ἀττικῆς, εἰς ὃν ἐνωρμίσαντο Δάτις καὶ Ἀρτάβαζος Μηδικοὶ σατράπαι, πεμφθέντες ὑπὸ Δαρείου βασιλέως καταδουλώσασθαι τὴν Ἑλλάδα. ἔνθα συμβαλόντες αὐτοῖς οἱ Ἀθηναῖοι Μιλτιάδου στρατηγοῦντος, μόνων Πλαταιέων συμμαχησάντων αὐτοῖς χιλίοις ἀνδράσι, καὶ οὕτω πληρωθέντος τοῦ ἀριθμοῦ τῆς [5] Ἑλληνικῆς δυνάμεως, τῆς τε Περσικῆς δυνάμεως περιεγένοντο, καὶ τοῖς Ἕλλησι τῆς ἐλευθερίας αἴτιοι κατέστησαν, μόνοι ἐξ ἁπάντων Ἑλλήνων πρώτους τῶν Περσῶν διαφθείραντες.

Διεξοδικούς. περὶ διαλεκτικῆς φησὶν ὁ Ἀφροδισιεὺς Ἀλέξανδρος, ὅτι [6] διαφέρει ἡ διαλεκτικὴ τῆς ῥητορικῆς, τῷ τὴν διαλεκτικὴν περὶ πᾶσαν ὕλην τῇ δυνάμει χρῆσθαι, καὶ μὴ διεξοδικοὺς ποιεῖσθαι τοὺς λόγους, ἀλλ᾽ ἐν ἐρωτήσει, καὶ ἀποκρίσει (ἀπὸ γὰρ τούτου καὶ ὅλον τὸ ὄνομα αὐτῇ) καὶ καθολικωτέρας καὶ κοινοτέρας τὰς ἀποφάσεις ποιεῖσθαι. τὴν δὲ ῥητορικὴν μήτε περὶ πᾶσαν ὕλην ὁμοίαν εἶναι τῇ διαλεκτικῇ (περὶ γὰρ τὴν πολιτικὴν μᾶλλον ὁ ῥήτωρ) καὶ διεξοδικῷ γε ὡς ἐπὶ τὸ πλεῖστον χρῆσθαι λόγῳ, καὶ

Διεμπολᾷν. Res ad negotiationem necessarias mercari.

Διενέγκαντες. Qui pertulerunt. Qui toleraruntur. *Qui multas nobiscum molestias pertulerunt, & irruptiones hostiles, & pugnas.* Et iterum: *Cum has molestias integrum mensem tolerassem.*

Διενεγκεῖν. Adducere. Referre. Eunapius: *His temporibus facinus quoddam a virilis animi muliere patratum & editum est, adeo generosum & virile, ut incredibile videatur, si referatur.*

Δι᾽ ἐνιαυτοῦ. Per totum annum. Et δι᾽ ἡμέρας, per totum diem.

Διενοχλῶ σοι. [Cum dativo. Molestus tibi sum.] Item cum accusativo.

Διεντέρευμα. Quæstio de intestino.

Διεξάγοντες. [Et διεξάγω, administro, curo.] *Ebrietati indulgentes, & negligenter admodum custodias agentes.*

Διεξέπεσε. Pervasit. Evasit. Effugit. *Cum arma cepisset, per medios hostes evasit.*

Διέξειν. Cohibiturum esse. *Sic enim se manus ejus cohibiturum esse, ne Prusias ullam injuriam ipsis inferret.*

Polybius. Fragm. Hist. 48.
Vol. V. p. 68.

Διεξήεσαν. Pervaserunt.

Δίεξιν. Transitum. Fugam, qua per mediam turbam evadimus.

Διεξιφίσω. Pugnasti pro patria. In Marathone cum Persis dimicans gladiis contra eos usus es. Marathon autem est locus Atticæ, in quem Datis & Artabazus Satrapæ Persarum appulerunt, a Dario Rege missi, ut Græciam subjugarent. Cum his Athenienses dicto loco Miltiade duce congressi, solis Platæensibus cum mille viris opem ipsis ferentibus, & sic numero exercitus Græcorum completo, Persas superarunt, & Græcis auctores libertatis exstiterunt, cum soli omnium Græcorum principes Persarum occidissent.

Διεξοδικούς. Prolixos. Amplos. Dialecticam Alexander Aphrodisiensis sic a Rhetorica differre ait, quod Dialecticæ facultas circa omne genus rerum versetur, nec perpetua & prolixa oratione utatur, sed interrogatione & responsione constet (inde enim nomen ipsi impositum est) & universales generalesque enuntiationes fere adhibeat. Rhetoricam vero dicit non in quavis materia versari, ut Dialecticam (oratorem enim res civiles magis tractare) perpetuaque & prolixa oratione plerumque uti, & de rebus singularibus po-

---

[1] Διεμπολᾷν. τὰ πρὸς πραγμ.] Ex Scholiasta Aristophanis ad *Acharnens.* pag. 418. (299. Ed. Bas. *P.*)

[2] Διεντέρευμα] Respexit ad locum illum Aristophanis *Nubibus* 132. (68. Ed. Bas. *P.*)
Ὦ τρισμακάριος τοῦ διεντερεύματος.
Vide ibi Scholiastam.

[3] Μεθυσκομένους καὶ ῥᾳδίως διεξ.] Fragmentum hoc excerpsit Suidas ex Polybii libro IV. cap. LVII. ubi pro ῥᾳδίως recte legitur ῥαθύμως.

[4] Διεξιφίσω. διεμαχέσω περὶ τῆς χώρας. ἐν Μαραθῶνι πολ.] Hæc, & quæ sequuntur, descripta sunt ex Scholiasta Aristophanis ad *Equit.* pag. 335. (233. Ed. Bas. *P.*)

[5] Τῆς Ἑλληνικῆς δυνάμεως] Hæ tres voces desunt in prioribus Editt. quas ex MSS. revocavi.

[6] Διαφέρει ἡ διαλεκτικὴ τῆς ῥητορικῆς——καὶ τὰ ἐγκώμια, καὶ αἱ δίκαι] Hæc omnia ad verbum descripta sunt ex Alexandro Aphrodisiensi in 1. *Topic.* Aristot. pag. 5.

περὶ τὴν καθέκαστα μᾶλλον λέγειν, καὶ πρὸς περιστάσεις καὶ τύχας καὶ καιροὺς καὶ τὰ πρόσωπα καὶ τοὺς τόπους καὶ τὰ τοιαῦτα τοὺς λόγους σχηματίζειν, ἅπερ ἐν τοῖς καθέκαστά ἐστι. περὶ τοιούτων γὰρ αἵ τε συμβουλαὶ καὶ τὰ ἐγκώμια καὶ αἱ δίκαι. Διεξοδικοὺς οὖν, ἀντὶ τοῦ πλατυτέρους, καὶ καθολικωτέρους. Διεξωδηκὸς δὲ, τὸ διωγκωμένον.

Διεξοδικῶς. λεπτομερῶς. καὶ διεξοδικώτερον, λεπτομερέστερον.

Διέξοδοι. ἐκπνοαί. ἐκβάσεις.

Λήγουσι [1] γάρ τοι καὶ ἀνέμων διέξοδοι
Θήλειαν ὄρνιν, πλὴν ὅταν τόκος παρῇ.

ἔστι δὲ ταῦτα ἐκ τοῦ Οἰνομάου Σοφοκλέους.

Διεξόδους [2] ὑδάτων. ἀντὶ τοῦ κρουνηδὸν ἐφέροντο τὰ δάκρυα. Δαβίδ· Διεξόδους ὑδάτων κατέδυσαν οἱ ὀφθαλμοί μου. διέξοδοι οὖν ὑδάτων, οἱ ὀχετοί.

Διεπεραιώθη. διειλκύσθη. διῆλθε.

Κολεῶν [3] ἐρυστὰ διεπεραιώθη ξίφη.

ἀντὶ τοῦ, ἐγυμνώθη. εἰ μὴ γὰρ εἰς πέρας ἑλκυσθῇ, οὐκ ἐξέρχεται.

Διέπεσεν. ἀπέτυχε. Καὶ ἡ μὲν κατὰ τὴν Βιθυνίαν ἐλπὶς τούτῳ τῷ τρόπῳ διέπεσεν.

Διέπει. ἐνεργεῖ. διοικεῖ. καθίσταται. διατάττει. διακοσμεῖ.

Διεπίμπρατο.

Διέπτυξε. διεσαφήνισε.

Διεπυνθάνετο. ἠρώτα.

Διερά. τὰ χείλη τῶν ποταμῶν καὶ ἄνδηρα λέγουσι, διὰ τὸ εἶναι ἔνικμα καὶ διερά.

Διεργάζεται. ἀναιρεῖ. κλείνει. [4] Ἰώσηπος· Πλήξας δὲ αὐτὸν κάτωθεν ἐπὶ τὸν βουβῶνα δόρατι, παραχρῆμα διεργάζεται. καὶ διεργασθείς, ἀναλωθείς.

Διερέττοντα. διακωπηλατοῦντα.

Διέῤῥει. δύο σημαίνει· τὸ διεφθείρετο, καὶ ἀντὶ τοῦ ἐπεφήμιστο. Καὶ διέῤῥει δὲ Φήμη, λέγουσα, καὶ εὐπατρίδην αὐτὸν εἶναι.

Διερειδόμεθα. στηριζόμεθα.

Διερὰν. δίυγρον. καὶ διερὸς, ὁ δίυγρος.

Διεῤῥικνοῦντο. διεκαμπυλοῦντο.

Διέῤῥιψαν. Τήν τε οὐσίαν καὶ τὰ ὀστᾶ αὐτοῦ, ἐπειδὴ φθάσας ἑαυτὸν προαπεχρήσατο, διέῤῥιψαν.

Διεῤῥωγώς. διεσχισμένος. καὶ διεῤῥωγότα.

Διεῤῥύη. διέδραμε. διῆλθε. Τὸ γάρ τοι κλέος τῶν τετολμημένων διεῤῥύη πολύ. λέγεται καὶ διέῤῥει. Αἰλια-

tius verba facere, & circumſtantiis & caſibus fortunæ & temporibus & perſonis & locis & ſimilibus orationem accommodare, quæ rerum ſingularium ſunt. In hujuſmodi enim rebus & conſultationes & laudationes & judicia verſantur. Διεξοδικοὺς igitur hic ſignificat ampliores & magis univerſales. Διεξωδηκὸς vero, quod intumuit, & inflatum eſt.

Διεξοδικῶς. Oratione prolixa & per ſingulas partes eunte. Et διεξοδικώτερον, oratione prolixiore & ampliore.

Διέξοδοι. Expirationes. Flatus. Exitus. *Latent enim & ventorum flatus avem fœmellam, niſi cum pullos peperit.* Ex Sophoclis *Oenomao.*

Διεξόδους ὑδάτων. Sic David vocat lacrymas ubertim ex oculis manantes. Ait enim: *Oculi mei rivos aquarum fuderunt.* Id eſt, lacrymæ ubertim & copioſe ex oculis meis manarunt. Proprie vero διέξοδοι ὑδάτων ſunt rivi aquarum.

Διεπεραιώθη. Diſtrictus eſt. Extractus eſt. Ex vagina eductus eſt. [Sophocles:] *Ex vaginis educti fuerunt gladii.* Διεπεραιώθη hic ponitur pro, vaginis nudati fuerunt, quoniam, niſi enſis ad finem uſque extrahatur, non exit e vagina.

Διέπεσεν. Ad irritum cecidit. *Et ſpes quidem de Bithynia hoc modo ad irritum cecidit.*

Διέπει. Operatur. Adminiſtrat. Alicui rei præpoſitus eſt. Diſponit. Ordinat.

Διεπίμπρατο. Adurebatur. Cremabatur.

Διέπτυξε. Explicavit. Explanavit.

Διεπυνθάνετο. Percontabatur. Interrogabat.

Διερά. Fluviorum crepidines & ripas etiam ἄνδηρα vocant, quod ſint humidæ & irriguæ.

Διεργάζεται. Interficit. Occidit. Joſephus: *Haſta vero ad imam ventris partem, qua inguen eſt, percuſſum confeſtim interfecit.* Et διεργασθεὶς, confectus, abſumptus.

Διερέττοντα. Remigando trajicientem, vel ſuperantem.

Διέῤῥει. Duo ſignificat: periit, ſive perditus eſt; & divulgatus eſt. *Et fama ſparſa erat, ipſum etiam eſſe patricium.*

Διερειδόμεθα. Fulcimur. Innitimur.

Διερὰν. Irriguam. Humidam. Et διερός. Humidus.

Διεῤῥικνοῦντο. Inflectebantur. Incurvabantur.

Διέῤῥιψαν. Disjecerunt. Projecerunt. *Et facultates & oſſa ejus projecerunt, quod ſe ipſe interfeciſſet.*

Διεῤῥωγώς. Diſruptus. Diviſus. Et διεῤῥωγότα. Diſrupta. Diviſa.

Διεῤῥύη. Dimanavit. Pervaſit. *Gloria facinorum ejus longe lateque dimanavit.* Dicitur

---

[1] Λήγουσι] Lege λήθουσι, ut infra recte v. Λήθω, ubi fragmentum hoc repetitur. Deinde pro καὶ ἀνέμων metri gratia ſcribendum eſt κἀνέμων; quod & Portus monuit.

[2] Διεξόδους ὑδάτων. ἀντὶ τοῦ κρουν.] Locus hic eſt mutilus & confuſus, qui ex Theodoreto ad Pſalm. CXVIII. v. 136. ſic ſupplendus & in ordinem redigendus eſt: Διεξόδους ὑδάτων Δαβὶδ τὸ πλῆθος τῶν δακρύων ἐκάλεσε. λέγει γάρ· Διεξόδους ὑδάτων κατέδυσαν οἱ ὀφθαλμοί μου. ἀντὶ τοῦ, κρουνηδὸν ἐφέροντο τὰ δάκρυα. Hanc lectionem & hunc ordinem in verſione ſecutus ſum. Portus hic οὐδὲν ὑγιές.

[3] Κολεῶν ἐρυστὰ διεπ.] Senarius hic legitur apud Sophoclem *Ajace* pag. 44. ut Portus recte monuit. Vide ibi Scholiaſtam, cujus ſcrinia Suidas hic compilavit.

[4] Ἰώσηπος] *De Bello Jud.* lib. III. pag. 850. ut vir quidam doctus ad marginem codicis Pearſoniani recte annotaverat.

νός· Διέῤῥει τοίνυν ὑπὲρ τοῦ ἀνθρώπου κλέος σοβαρώτατον. ἀντὶ τοῦ λαμπρὸν, ἐπηρμένον.

Διεῤῥυηκόσιν. Ἠλίθιον ἐφθέγξατο καὶ τοῖς χείλεσι διεῤῥυηκόσι. τουτέστι, μωρῶς καὶ ἀνοήτως καὶ ἀπαιδεύτως· καὶ τοῖς χείλεσι κεχαλασμένοις καὶ κεχηνόσιν· ἀντὶ τοῦ οὐ συνεστραμμένοις.

Δίεσθαι. ἀντὶ τοῦ διώκειν. ἀπὸ τοῦ δίω, τὸ διώκω γίνεται παράγωγον, δίημι· τὸ παθητικὸν, δίεμαι, καὶ τὸ ἀπαρέμφατον, δίεσθαι. οἷον,

Αἶψα δ' ἐρυσάμενος μέγα φάσγανον ὦρτο δίεσθαι.

Διεσαρδάνισε.[1] διεγέλασεν, οὐκ ἐπὶ διαχύσει, ἀλλ' οἷον Σαρδάνιον γέλωτα.

Δίεσιν. διαχωρισμόν. καὶ ἡ περὶ μουσικῆς ᾠδῆς κίνησις, δίεσις λέγεται. τὸ [2] ἐλάχιστον μέτρον τῶν εναρμονίων διαστημάτων· ὅπερ ἀπολωλὸς ἐκ τῆς ἡμετέρας αἰσθήσεως καὶ τὸ ἐναρμόνιον προσαπώλεσεν, ἀγυμνάστου πρὸς αὐτὸ τῆς ἀκοῆς ἀπολελειμμένης.

Δίεσις. τὸ χώρισμα. ἢ ἄνεσις.

Διεσκαριφησάμεθα.[3] ἀντὶ τοῦ διελυσάμεθα. σκάριφον γάρ ἐστι τὸ κάρφος καὶ φρύγανον. ἔστι δὲ τὰ τοιαῦτα εὐδιάλυτα καὶ εὐφύσητα. οὕτως Ἰσοκράτης. σκαριφήσασθαί[4] ἐστι, τὸ ἐπισεσυρμένως τι ποιεῖν, καὶ μὴ κατὰ τὴν προσήκουσαν ἀκρίβειαν.

Διεσκεδασμένον.[5] διατετυπωμένον. καὶ διεσκέδασε, διεσκόρπισεν.

Διεσκευασμένην. μετὰ δόλου γεγραμμένην. Πολύβιος· [6] Ἐκπέμπουσι τῶν Κρητῶν τινας ὡς ἐπὶ λῃστείαν, δόντες ἐπιστολὴν διεσκευασμένην.

Διεσκήριπτεν. ἐπεστήριζεν.

Ἦλθεν[7] ποθ' ἑρπύζουσα σὺν δρυὸς ξύλῳ,
Τό μιν διεσκήριπτε τὴν τετρωμένην.

Διεσκίασται. ἀποκέκρυπται.

Διεσμιλευμένον. διεσχισμένον. ἠκριβωμένον. ἐξεσμένον. περικεκαθαρμένον.

Διεσπαθηκότα. διεῤῥιφότα.

Διεσπευσάμην. ἀντὶ τοῦ διὰ σπουδῆς ἐποιησάμην. ἢ ἀντὶ τοῦ διεπραξάμην.

Διεσπεκλωμένη. [8] Ἀριστοφάνης Πλούτῳ·

Οὐκ ἂν διαλεχθείην διεσπεκλωμένῃ
Ὑπὸ μυρίων ἐτῶν γε καὶ τρισχιλίων.

τὸ [9] πλέκειν ἐπὶ τοῦ συνουσιάζειν τάττουσιν· οὐχ ὡς προηγουμένως τοῦ σημαινομένου, ἀλλ' ὁμοίως πολλοῖς

etiam διέῤῥει. Ælianus: *Valde illuſtris de hoc homine fama dimanavit.* Σοβαρώτατον enim hic ſignificat valde ſplendidum, illuſtre.

Διεῤῥυηκόσιν. Diffluentibus. Diductis. *Stultum ſermonem labris diductis protulit.* Id eſt, ſtulte & inſipienter & indocte [locutus eſt,] labiiſque laxatis & hiantibus & apertis.

Δίεσθαι. Perſequi. A δίω, perſequor, deducitur δίημι: paſſivum, δίεμαι, & infinitivus, δίεσθαι. Ut, *Confeſtim autem ingenti gladio diſtricto ſurrexit ad [hoſtem] perſequendum.*

Διεσαρδάνισε. Riſit, non ob lætitiam, ſed Sardonium riſum.

Δίεσιν. Intervallum. Item cantus muſici principium. Sic etiam vocatur minima menſura intervallorum harmonicorum: cujus ſenſum ſi amittamus, univerſum etiam genus muſicæ, quod ἐναρμόνιον dicitur, ſcientiam noſtram fugit, aure ad eam rem inexercitata relicta.

Δίεσις. Intervallum [ſoni muſici.] Item remiſſio & relaxatio.

Διεσκαριφησάμεθα. Diſſolvimus. Diſſipavimus. Σκάριφον enim eſt feſtuca & cremium. Ea enim facile diſſolvuntur & flatu diſſipantur. Sic Iſocrates. Vel σκαριφήσασθαι eſt negligenter aliquid agere, nec ea, qua par eſt, cura & diligentia.

Διεσκεδασμένον. Diſſipatum. Et διεσκέδασε. Diſſipavit.

Διεσκευασμένην. [Epiſtolam] commentitiam & doloſe confictam. Polybius: *Emittunt Cretenſium quoſdam, quaſi ad prædandum, quibus fictam epiſtolam dederunt.*

Διεσκήριπτεν. Fulciebat. Firmabat. *Venit quondam [anus] lento gradu incedens, cum baculo querno, quo ſe vulneratam ſuſtinebat.*

Διεσκίασται. Obumbratum eſt. Occultatũ eſt.

Διεσμιλευμένον. Diffiſſum. Elaboratum. Scalptum. Expolitum. Perpurgatum.

Διεσπαθηκότα. Illum, qui [patrimonium] diſſipavit.

Διεσπευσάμην. Feſtinanter feci. Sedulo peregi.

Διεσπεκλωμένη Subagitatæ. Ariſtophanes *Pluto: Non commutaverim verba cum anu, quæ ab annis ter decies mille ſubagitata ſit.* Σπεκλοῦν ponitur pro ſubigere & coire: non quaſi hæc ſit prima & propria vocis illius ſignificatio,

---

[1] Διεσαρδάνισε] Malim διεσαρδώνισε, per ω. Vide infra v. Σαρδώνιος γέλως.

[2] Τὸ ἐλάχιστον μέτρον τῶν ἐναρμ. διας. ὅπερ ἀπολ.] Fragmentum hoc auctius legitur apud Photium in Excerptis ex Damaſcio pag. 1053. unde de auctore ejus conſtat, cujus nomen Suidas hic reticuit.

[3] Διεσκαριφησάμεθα. ἀντὶ τοῦ διελυσάμεθα. σκάριφον γάρ ἐστι τὸ κ.] Ex Harpocratione.

[4] Σκαριφήσασθαί ἐστι, τὸ ἐπισεσυρμένως τι ποιεῖν, καὶ μὴ κατὰ τὴν προσήκουσαν ἀκρ.] Hæc totidem verbis etiam leguntur apud Enarratorem Comici ad *Ranas* pag. 281.

[5] Διεσκεδασμένον] Ex interpretatione voci huic addita patet, ſcribendum eſſe διεσκευασμένον, ut recte legitur apud Heſychium. Apud eundem vero paulo ante male legitur, Διεσκεδασμένως, διαπιπτωμένως. Scribendum enim eſt & ibi, διεσκευασμένως.

[6] Ἐκπέμπουσι τῶν Κρητῶν τινας ὡς ἐπὶ λῃς.] Doctiſſimus Jacobus Gronovius in notis ad Fragmenta Polybii a Caſaub. collecta pag. 457. bene monuit, Livium hunc ipſum locum Polybii ob oculos habuiſſe, cum lib. XXIV. cap. XXXI. hæc ſcriberet: *Et Cretenſium quibuſdam ad itinera inſidenda miſſis, velut interceptas literas, quas ipſe compoſuerat, recitat.*

[7] Ἦλθεν ποθ' ἑρπύζουσα σὺν δρ.] Fragmentum hoc ampliabis ex Suida ſupra v. Γραῦς.

[8] Ἀριστοφάνης Πλούτῳ] Pag. 104. (51. Ed. Baſ. P.)

[9] Τὸ πλέκειν ἐπὶ τοῦ συνουσιάζειν τάττουσιν· οὐχ ὡς προηγ. τοῦ σημ.] Locus hic ex Scholiaſta ad modo indicatum locum Ariſtophanis ſic emendandus eſt: Τὸ σπεκλοῦν ἐπὶ τοῦ συνουσιάζειν τάττουσιν, οὐχ ὡς προηγουμένως τοῦτο σημαῖνον, &c.

συμβολικοῖς ὀνοματοποιοῦντες, καὶ μάλιστα ἐν οἷς τὸ εὐθυρρημονεῖν ἐνίσταται.

Διέστειλεν.[1] ἀντὶ τοῦ οὐκ ἀναμφιβόλως ἐξηγήσατο τοῖς λόγοις. περὶ Μωσέως δὲ ὁ λόγος. Δαβίδ· Καὶ διέστειλεν ἐν τοῖς χείλεσιν αὐτῶν.

Διεσφαιρίσθη. ὥσπερ σφαῖρα κατηνέχθη.

Διεσφηκωμένον. διαδεδεμένον.

Διέσχε. διῆλθεν. [2]Ἀρριανός· Οἱ μὲν γὰρ διέσχον τὴν φάλαγγα. (ἀντὶ τοῦ διεχώρισαν) τῶν δὲ [3]ἀσπίδων ὑπερκυλισθεῖσαι αἱ ἅμαξαι, ὀλίγα ἔβλαψαν.

Διατέτατο. Ξύλοις τέσσαρσι διατέτατο.

Δίεται. διέρχεται.

Διέτεινε. διαρρήδην εἶπεν.

Διετείνοντο.[4] ἰδίως Ἀντιφῶν. ἀντὶ τοῦ διὰ συντόνου σπουδῆς ἀπηρνήσαντο.

Διετοῦς. Ἀπὸ διετοῦς καὶ κατωτέρω. ὁ Εὐαγγελιστής.

Διετίτρη. [5]Τῶν Λιβύων τὰ σκάφη μικρὰ ὄντα, ταῖς Ῥωμαϊκαῖς ναυσὶν ὑποτρέχοντα, διετίτρη τὰς πρύμνας, καὶ τὰ πηδάλια ἐξέκοπτεν.

Διευθετῶ. τὸ καλῶς διατίθεμαι.

Διευκρινῆ. σαφῆ. καὶ διευκρίνησις, ἡ σαφήνεια.

Διευκρινημένοι. διακρίνοντες. καὶ διευκρινήσας, καλῶς διαχωρίσας. Τοὺς ἀλκιμωτάτους τοῦ πλήθους διευκρινήσας.

Διέφερον. Ἀππιανός· Οἱ δὲ Κελτοὶ ἐς Ῥωμαίους τι μήνιμα ἐκ πολλοῦ διέφερον. ἀντὶ τοῦ εἶχον, ἐνεκότουν.

Appian. Fragm. Incert. Schweigh. III. 14.

Διέφερον. παρὰ Θουκυδίδῃ ἀντὶ [6]τοῦ διήνυον, ἢ ὑπέμενον, ἢ ἐπιμελῶς ἐξήνυον. Οἱ δὲ Ἀθηναῖοι τὸν πόλεμον διέφερον.

Διεφθαρμένος. τοῦ πρέποντος παρατραπεὶς τὸν νοῦν. Ἤδη γὰρ Ἀντώνιος τῷ Κλεοπάτρας ἔρωτι διεφθαρμένος, ἥττων ἦν ἐν πᾶσι τῆς ἐπιθυμίας.

Διεφορήθη. Χρημάτων δὲ ἄπιστον πλῆθος διεφορήθη. ἀντὶ τοῦ ἐξηνέχθη. ἐξεκομίσθη.

Διεφόρησαν. μετεκόμισαν. Τάς τε καταλειφθείσας ἐν τῷ χάρακι κατασκευάς, πολλαὶ δ' ἦσαν, ὡς εἰς χρόνιον πολιορκίαν διεφόρησαν.

Δι' ἔχθρας γενήσομαι. ἀντὶ τοῦ, ἐχθρὸς ἔσομαι. Ἀριστοφάνης·[7]

ſed [poetæ] nomen hoc formarunt eodem modo, quo & multa alia, quibus obſcure res ſignificatur, quando aperte aliquid eloqui pudor vetat.

Διέστειλεν. David de Moſe inquit: Καὶ διέστειλεν ἐν τοῖς χ. Id eſt, *Et dubie ambigueque locutus eſt.*

Διεσφαιρίσθη. Tanquam pila delatus eſt.

Διεσφηκωμένον. Ligatum. Conſtrictum.

Διέσχε. Penetravit. Tranſivit. [Item, diviſit, disjunxit.] Arrianus: *Illi enim phalangem diviſerunt. At* [*currus*] *per clypeos devoluti, parum eis nocuerunt.*

Διατέτατο. Diſtentus erat. *Quatuor lignis diſtentus erat.*

Δίεται. Tranſit. Permeat.

Διέτεινε. Diſertiſſimis verbis dixit. Contendit.

Διετείνοντο. Peculiariter hoc verbo uſus eſt Antipho pro, conſtanter & acriter negarunt.

Διετοῦς. Biennis. *A bienni & infra.* Euangeliſta inquit.

Διετίτρη. *Afrorum ſcaphæ, quæ parvæ erant, Romanas naves ſubibant, earumque puppes perforabant, & gubernacula detergebant.*

Διευθετῶ. Apte diſpono.

Διευκρινῆ. Dilucida. Perſpicua. Et διευκρίνησις. Diluciditas. Perſpicuitas.

Δευκρινημένοι. Diſtinguentes. Diſcernentes. Et διευκρινήσας. Qui res bene diſtinxit & diſcrevit. *Cum fortiſſimos quoſque in populo a reliquis diſcreviſſet.*

Διέφερον. Appianus: *Galli vero a longo jam tempore iram adverſus Romanos fovebant.* Διέφερον [μήνιμα] hic ſignificat, ἐνεκότουν: i. e. iram fovebant, infenſi erant.

Διέφερον. Apud Thucydidem ſignificat, conficiebant, vel ſuſtinebant, vel diligenter perficiebant. *Athenienſes vero bellum ſuſtinuerunt.*

Διεφθαρμένος. [Corruptus.] Qui decorum prorſus negligit. *Jam enim Antonius amore Cleopatræ corruptus, omnibus in rebus libidini obſequebatur.*

Διεφορήθη. Elatum eſt. Exportatum eſt. *Incredibilis pecuniæ vis exportata eſt.*

Διεφόρησαν. Tranſportarunt. *Et relictas in caſtris machinas bellicas* (*erant autem multæ*) *ut ad diuturnam obſidionem tolerandam, inde tranſportarunt.*

Δι' ἔχθρας γενήσομαι. Aliquem inimicum mihi reddam. Ariſtophanes: *Neutrum enimi-*

---

[1] Διέστειλεν. ἀντὶ τοῦ οὐκ ἀναμφ.] Locus hic inverſo ordine ita legendus eſt: Διέστειλεν. Δαβίδ· Καὶ διέστειλεν ἐν τοῖς χείλεσιν αὐτοῦ. ἀντὶ τοῦ, οὐκ ἀναμφιβόλως ἐξηγ. &c. Verba autem Davidis, a Suida hic citata, exſtant Pſalm. cv. verſ. 33. ad quem locum Theodoretus: Θυμῷ καὶ λύπῃ περιχυθεὶς (Μωϋσῆς,) οὐ μετὰ τῆς συνήθους ἁρμονίας τῷ θείῳ προστάγματι διεκόνησεν, ἀλλ' ἀμφιβολίαν τινὰ τοῖς λόγοις ἀναμίξας, τὴν πέτραν ἐπάταξε, καὶ τὸ ὕδωρ ἐξήγαγε. τοῦτο γὰρ δηλοῖ τὸ, Διέστειλεν ἐν τοῖς χείλεσιν αὐτοῦ· ἀντὶ τοῦ, οὐκ ἀναμφιβόλως τοῖς λόγοις ἐξηγήσατο. Hæc lucem fœnerantur Suidæ, quem ſua ex hoc ipſo loco Theodoreti hauſiſſe apparet.

[2] Ἀρριανός] Lib. 1. *de Expedit. Alex.* pag. 5.

[3] Ἀσπίδων] Hæc vox in prioribus Editt. deeſt, quem ſenſus ſupplendi gratia ex Arriano addidi.

[4] Διετείνοντο. ἰδίως Ἀντιφ.] Ex Harpocratione.

[5] Τῶν Λιβύων τὰ σκάφη μικρὰ ὄντα, ταῖς Ῥωμ.] Hæc Caſaubonus Polybio tribuit: ſed ſunt Appiani in *Libycis* pag. 125.

[6] Ἀντὶ τοῦ διήνυον. ἢ ὑπέμενον, ἢ ἐπιμελῶς ἐξήνυον] Ex Scholiaſta Thucydidis ad librum 1. cap. xi.

[7] Ἀριστοφάνης] *Ranis*, pag. 287. (184. Ed. Baſ. P.:)

Οὐ γὰρ δι' ἔχθρας οὐδετέρῳ γενήσομαι.
Τὸν μὲν γὰρ ἡγοῦμαι σοφόν, τῷ δ' ἥδομαι.
τὸν Αἰσχύλον, σοφόν· ἥδομαι τῷ Εὐριπίδῃ.

Διεχρήσατο. αἰτιατικῇ.

Διέχουσαν. ἀπῳκισμένην οὖσαν. Ἐς [1] Σελεύκειαν πόλιν ἐπιθαλασσίαν ἀφίκετο, Ἀντιοχείας ϛ' καὶ λ' σταδίους διέχουσαν.

Διεψευσμένοι. ἠγνοηκότες. Πολύβιος· Πάντων τούτων ἦσαν διεψευσμένοι οἱ Αἰτωλοί. καὶ αὖθις· [2] Διεψεύσθησαν δὲ τοῖς λογισμοῖς. κατετάχησε γὰρ αὐτοὺς Ἀννίβας, ἐξελὼν τὴν πόλιν.

Διζημένη. καὶ διζήμενος. ζητῶν.

Διειδές. λαμπρόν. διαυγές. καὶ καθαρὸν ὕδωρ.

Διεῖλεν. ἐχώρισε.

Δίειμι. διέρχομαι.

Διεῖπε. διῴκει, περιήρχετο.

Διειργάσατο.[3] ἐφόνευσεν. ἀπέκτεινεν. Ὁ δὲ καὶ τῶν ἄλλων ἑκάτερον διειργάσατο.

Διείργω. γενικῇ. Οὔτε ἡ ἀρχὴ τῷ ἀρχὴ εἶναι τοῦ ἀνάρχου διείργεται. αἰτιατικῇ δέ· Οὐ [4] μόνον πλοῦτον διείργων τῶν ὀρεκτῶν κόλπων τοῦ Ἀβραάμ.

Διείρεο.

Διείρουσι. τὸ ἐπιβάλλουσι.

Διειρωνόξενοι.[5] ἐξαπατῶντες τοὺς ξένους, καὶ ψευδόμενοι δι' εἰρωνείας καὶ ὑποκρίσεως. οἱ Λάκωνες· παρ' [6] οἷς καὶ ὁ τῆς ξενηλασίας ἔκειτο νόμος. ὅτι δὲ αἰσχροκερδεῖς καὶ μικρολόγοι οἱ Λάκωνες, δηλοῖ ὁ χρησμός·

Ἁ φιλοχρηματία Σπάρταν [7] ὀλεῖ, ἄλλο δὲ οὐδέν.

ἦσαν δὲ καὶ περὶ τοὺς ξένους ἀπάνθρωποι· καὶ οὐκ ἐξῆν ξένῳ τινὶ ἀεὶ τῆς Σπάρτης ἐπιβαίνειν, ἀλλ' ὡρισμέναις ἡμέραις.

Διείς. ἐκτείνας. ἁπλώσας. [8] Διεὶς τὰς πτέρυγας αὐτοῦ, ἐδέξατο αὐτούς.

Δίεισι. διέρχεται.

Διῆγε. παρεξέτεινεν. [9] Ἰωάννης· Ἀντίοχος, ὃς ἐρυμνὰ χωρία κατειληφὼς ἐπὶ πολὺ διῆγε τὸν πόλεμον, ἀμβλύνων τὴν τοῦ Ἀννίβου ὀξύτητα χρονίαις διατριβαῖς.

Διηγκυλημένον. τὸ ἀκόντιον μεταχειριζόμενον. ἀντὶ τοῦ ἐν μασχάλῃ [10] κρατῶν τὸ δόρυ. [11] Ξενοφῶν· Ὁ

nimicum mihi reddam. Nam alterum ſapientem judico: altero vero delector. Æſchylum ſcilicet ſapientem judico: Euripide vero delector.

Διεχρήσατο. Accuſativo jungitur. Interfecit.

Διέχουσαν. Diſtantem. Remotam. *Seleuciam pervenit, urbem maritimam, centum & triginta ſtadiis Antiochia diſtantem.*

Διεψευσμένοι. Ignorantes. [Quos opinio vel ſpes fefellit.] Polybius: *Ætolos vero his omnibus in rebus ſpes fruſtrata eſt.* Et iterum: *Sed opinio eos fefellit. Annibal enim ipſos antevertit, & urbem exſcidit.*

Polybius. Fragm. Histor. V.
Vol. V. p. 54.

Διζημένη, & διζήμενος. Quærens.

Διειδές. Clarum. Perſpicuum. Limpidum. Purum.

Διεῖλεν. Diviſit. Separavit.

Δίειμι. Permeo. Tranſeo.

Διεῖπε. Adminiſtravit. Obivit.

Διειργάσατο. Confecit. Interfecit. Occidit. *Ille vero & cæterorum utrumque interfecit.*

Διείργω. Diſtinguo. Separo. Genitivo jungitur. *Neque imperium, quatenus eſt imperium, ab anarchia diſtinguitur.* Item accuſativo: *Non ſolum divitias ab expetendo illo ſinu Abrahami ſejungens.*

Διείρεο. Inquire. Interroga.

Διείρουσι. Trajiciunt. Inſerunt.

Διειρωνόξενοι. Qui hoſpites mendaciis verbiſque ſimulatis decipiunt. Sic autem Lacedæmonios Ariſtophanes vocat. Apud eos enim lex lata erat, quæ peregrinos Sparta arcebat. Eoſdem etiam ſordidos & avaros fuiſſe Oraculum hoc declarat: *Nimius lucri amor Spartam perdet, nec aliud quicquam.* Erant etiam erga peregrinos inhumani: nec licebat peregrinis quovis tempore Spartam adire, ſed tantum certis & definitis diebus.

Διείς. Qui expandit. Qui extendit. *Alas ſuas expandens, eos ſuſcepit.*

Δίεισι. Tranſit. Permeat. Penetrat.

Διῆγε. Produxit. Extraxit. Joannes Antiochenſis: *Qui cum loca munita occupaſſet, diu bellum extraxit, Annibalis celeritatem lenta mora retundens.*

Διηγκυλημένον. Jaculum manibus tenentem. Vel, ſub axilla haſtam tenentem. Xenophon:

---

[1] Ἐς Σελεύκειαν πόλιν ἐπιθαλασσ.] Fragmentum hoc legitur apud Procopium lib. II. *de Bello Perſ.* cap. XI.

[2] Διεψεύσθησαν δὲ τοῖς λογισμ.] Hæc ſunt verba Polybii lib. III. cap. XVI.

[3] Διειργάσατο] Vide ſupra v. Διεργάζεται.

[4] Οὐ μόνον πλοῦτον διείργων τῶν ὀρεκτῶν κόλπων τοῦ Ἀβρ.] Hæc ſunt verba Gregorii Nazianzeni Orat. XLIV. pag. 714.

[5] Διειρωνόξενοι. ἐξαπατ.] Totus hic locus deſcriptus eſt ex Scholiaſta Ariſtophanis ad *Pacem* pag. 668. 669. (457. Ed. Baſ. *P.*)

[6] Παρ' οἷς καὶ ὁ τῆς ξενηλασίας ἔκειτο νόμος] Ariſtophanes *Avibus* pag. 590.

——Ὥσπερ ἐν Λακεδαίμονι
Ξενηλατοῦνται.

Vide ibi Scholiaſtam.

[7] Ὀλεῖ] Cum ad hunc locum perveniſſem, incomparabilis vir Rich. Bentlejus hanc notam mecum communicavit: *In Editione Fragmentorum Poetarum Græcorum oſtendam, veram lectionem eſſe* ἕλοι. *Nam ea, quæ recepta eſt, ne Græca quidem eſt.* Conjectura hæc viri doctiſſimi facile placebit omnibus, quibus non erunt nares obeſæ.

[8] Διεὶς τὰς πτέρυγας αὐτοῦ, ἐδέξατο αὐτούς] Hæc ſunt verba Moſis *Deuteronom.* cap. XXXII. ut Portus etiam monuit.

[9] Ἰωάννης. Ἀντίοχος, ὃς ἐρ.] Locus hic ita ſcribendus & diſtinguendus eſt: Ἰωάννης Ἀντιοχεύς· Ὃς &c. Significare enim vult Suidas, locum hunc ex Joanne Antiochenſi depromptum eſſe. In 2 MSS. Pariſ. pro Ἰωάννης legitur Ἰώσηπος: ſed mendoſe.

[10] Κρατῶν] Potius κρατοῦντα, ut reſpondeat accuſativo præcedenti διηγκυλημένον.

[11] Ξενοφῶν] *De Expedit. Cyri* lib. V. pag. 347. ubi ſic legitur: Ὁ δὲ τοῖς πελτασταῖς πᾶσι παρήγγελλε διηγκυλισμένους ἰέναι, &c.

δὲ πᾶσι παρήγγειλε διηγκυλημένους ἰέναι, ὡς, ὁπόταν σημήνῃ, ἀκοντίζειν δεήσοι· καὶ τοὺς τοξότας ἐπιβεβλῆσθαι ἐπὶ ταῖς νευραῖς, ὡς, ὁπόταν σημήνῃ, τοξεύειν δεῆσον. καὶ τοὺς γυμνῆτας λίθων ἔχειν μεστὰς τὰς διφθέρας.

Διηθεῖν. διυλίζειν. καὶ διηθεῖται, ἀφυλίζεται. διήθησις καὶ ἡ διύλισις.

Διῆκαν. διέπεμψαν.

Διήκει. διέρχεται. Ὁ δὲ εἶπεν, ἀλλὰ πιστεύω· πάνυ γάρ σου κλέος ἐπ' ἀρετῇ διήκει.

Διήκουσαν. διελθοῦσαν. διερχομένην.

Διήκουσεν. ἠκροάσατο.

Διήλλαξεν. ἀντὶ τοῦ μετήλλαξεν. ἐτελεύτησεν. ἢ ἀντὶ τοῦ ἤμειψεν.

Διήλυσις. ὁ χωρισμός.

Διήνεγκαν. γενικῇ. ὑπέμειναν. ἐκαρτέρησαν. Προκόπιος· Ῥωμαίων δὲ ἱππεῖς ἦσαν ἄρχοντες ἱππέων, οἱ τὰ πρότερον τὴν ἐς Δάρας μάχην διήνεγκαν. τουτέστιν, ὑπήνεγκαν, ἢ διεπράξαντο. Καὶ αὖθις· Ἐπ' ἐννέα διήνεγκε τὴν πολιορκίαν ἔτη.

Διηνέχθη. ἐμαχέσατο.

Διηρέθιζεν. ἀνεκίνει. ἀνετάραττεν. ἀνερρίπιζεν. Ὁ δὲ τὸ θηριῶδες καὶ ἄγριον ὑπεκίνει καὶ διηρέθιζεν, εἴ που κύριος γένηται τοῦ χωρίου.

Διῆρες πλοῖον.

Διήρει. διέτεμε. διεμέριζεν. Ὁ δὲ πρεσβύτης ὤν, διήρει τὰς μοίρας τῶν κρεῶν.

Διήρηκε. διεχώρισεν.

Διήρης ναῦς. ὑπὸ δύο ἐρετῶν ἐλαυνομένη.

Διήρησαι.[2] δέδεσαι. διηρημένος εἶ.

Διηρθρωμένον. δεδηλωμένον. ἠκριβωμένον.

Διήρκεσε. διέμεινε. παρέμεινεν. Αἱ δὲ ἐντολαί, ἃς τοῖς βασιλεῦσιν ἐνετείλατο, καὶ τὰ ἐπεσταλμένα τοῖς Κελτοῖς, εἰς τοσόνδε διήρκεσεν εἰς ἐπανόρθωσιν τῶν ἀδικημάτων, ὥστε ἀπέδοσαν μὲν τὰ ἁρπαγέντα.

Διῆρξα.[3] ἀντὶ τοῦ, διὰ τέλους ἦρξα. Λυσίας.

Διϊπόλια. ἑορτὴ Ἀθηναίων, ἐπιτελουμένη Διΐ.

Διήρτησεν.[4] ἐξηπάτησεν. ἐπλάνησεν.

ξ Dion Cass. II. 1185. 79. Reimar. II. 1521.

Διήσειν. διαφήσειν. ξ Οὓς οὔτε δέξεσθαι, οὔτε διήσειν διὰ τῆς χώρας ὠμωμόκεισαν.

Διηύθυνεν. [5] ἐκώλυσε.

Διηυχενίζετο. ὑψαυχένει. Ἕτερα δὲ οὐ πολύ τι μείω ἀνωρθοῦτο καὶ διηυχενίζετο· ἀλλὰ τούτων βαρύτερα, καὶ κεραυνοῖς προσεμφερῆ.

Ille vero cetratos prehenſis jaculorũ amentis ingredi juſſit, ut, cum ſignum ipſe dediſſet, jacula vibrarent: itidemque ſagittarios nervis ſagittas admovere juſſit, ut ipſo ſignum dante ſagittas emitterent: velitibus denique præcepit, ut pelles haberent lapidibus plenas.

Διηθεῖν. Percolare. Tranſmittere. Et διηθεῖται. Percolatur. Tranſmittitur. Et διήθησις, percolatio.

Διῆκαν. Tranſmiſerunt. Dimiſerunt.

Διήκει. Tranſit. Pervadit. *Ille vero dixit: Equidem id credo. Gloria enim virtutis tuæ [multas gentes & regiones] pervaſit.*

Διήκουσαν. Tranſeuntem. Pervadentem.

Διήκουσεν. Alicujus auditor fuit. Audivit.

Διήλλαξεν. Idem quod μετήλλαξεν. Obiit. Vitam finiit. Vel [ſimpliciter,] commutavit.

Διήλυσις. Digreſſio. Separatio.

Διήνεγκαν. Genitivo jungitur. Suſtinuerunt. Tolerarunt. Procopius: *Romanorum vero equitatui præfecti erant iidem illi, qui ante ad Daras prælium [contra Perſas] commiſerant.* [Διήνεγκαν hic exponi poteſt,] fortiter ſuſtinuerant, vel confecerant. Et iterum: *Obſidionem per novem annos ſuſtinuit.*

Διηνέχθη. Contendit. Pugnavit.

Διηρέθιζεν. Irritabat. Commovebat. Excitabat. Accendebat. *Ille vero iracundum & ferocem illorum animum [verbis] irritavit & accendit, ſi forte loco illo potiri poſſet.*

Διῆρες πλοῖον. Navigium bireme.

Διήρει. Diſſecuit. Diviſit. *Ille vero, cum eſſet ſenior, carnium portiones diſtribuit.*

Διήρηκε. Diviſit. Separavit.

Διήρης ναῦς. Biremis navis.

Διήρησαι. Vinctus es. Diviſus es.

Διηρθρωμένον. [Articulis diſtinctum.] Explanatum. Accurate elaboratum.

Διήρκεσε. Manſit. Permanſit. [Item, ſuffecit, valuit.] *Ea vero, quæ Regibus mandaverat, & Gallis imperaverat, ad hoc valuerunt, ut damna illata ſarcirent, & res raptas reſtituerent.*

Διῆρξα. Ad finem uſque magiſtratum geſſi. Lyſias.

Διϊπόλια. Feſtum apud Athenienſes, quod Jovi celebrabatur.

Διήρτησεν. Decepit. Fefellit. In errorem induxit.

Διήσειν. Tranſmiſſurũ eſſe. Tranſitum daturũ eſſe. *Quibus ſe neque receptum neque tranſitum per regionem ſuam daturos eſſe juraverant.*

Διηύθυνεν. Gubernavit. Direxit.

Διηυχενίζετο. Cervicem erigebat. *Ob alia vero quædam non multo minora caput erigebat, & cervice elata incedebat: ſed his graviora & fulmini ſimilia.*

---

[1] Προκόπιος] Lib. 1. *de Bello Perſ.* cap. XVIII. ex quo ſic apud Suidam ſcribendum eſt: *Ἄρχοντες δὲ ἱππέων μὲν ἅπαντες ἦσαν, οἱ τὰ πρότερα τὴν ἐν Δάρας μάχην διήνεγκαν.* Vocem Ῥωμαίων Suidas ſenſus ſupplendi gratia addidit. Vide etiam ſupra v. Δάρας.

[2] Διήρησαι] Heſychius διήρτησαι.

[3] Διῆρξα. ἀντὶ τοῦ, διὰ τέλους ἦρξα] Ex Harpocratione.

[4] Διήρτησεν. ἐξηπ.] Vide ſupra v. Διαρτῆσαι, & Διαρτώμενος.

[5] Ἐκώλυσε] Hæc interpretatio ſuſpecta mihi eſt, de qua proinde amplius cogitandum cenſeo.

Διήφυσεν.[1] διέκοψεν. ἀπὸ τοῦ διαφύσσειν. ἢ ἀπὸ τοῦ ἀφύσσεσθαι, ὅ ἐστιν ἀπαντλεῖν. ὁ γὰρ ἀντλῶν διακόπτει τὸ ἀντλούμενον.

Διήφυσεν. Diſſecuit. Diſcidit. A διαφύσσειν. Vel a διαφύσσεσθαι, quod haurire ſignificat. Qui enim haurit, dividit id, quod hauritur.

Διηυχενίζετο. τὸν αὐχένα ὄρθιον εἶχεν. Εὐνάπιος. Ὁ δὲ ἐπὶ τὰ λειπόμενα τῶν πραγμάτων διεξανιστάμενος, ἀνωρθοῦτο καὶ διηυχενίζετο πρὸς τὸν λεγόμενον Λέοντα, ὅπως αὐτὸν φονεύσειεν.

Διηυχενίζετο. Cervicem erigebat. Eunapius: *Ille autem adverſus ea, quæ reliqua erant, ſe præparans, corpore erecto & cervice elata ſtabat, ut Leonem ita dictum aggrederetur, cumque interficeret.*

Διηχή.[2] ἡ τῶν ἤχων διαπορθμευτικὴ δύναμις, ἢ διὰ τῶν μηνίγγων καὶ τοῦ ἔνδοθεν πνεύματος ἐνεργεῖται.

Διηχή. Facultas ſonos tranſmittendi: cui membranæ & aer intra aures concluſus inſerviunt.

Διθυραμβοδιδάσκαλοι[3] περὶ τῶν μετεώρων καὶ τῶν νεφελῶν λέγουσι πολλά, καὶ συνθέτους δὲ λέξεις ἐποίουν, [4]καὶ ἔλεγον, ἐνδιαέριαι ἐερινηχέτους· οἷος ἦν Ἴων ὁ Χῖος ποιητής. ἐποίησε δὲ ποίημα, οὗ ἡ ἀρχή· Ἀοῖον ἠεροφοίταν [5]ἀστέρα μῆνα μὲν ἀελίου λευκοπτέρυγα πρόδρομον. παίζων δὲ Ἀριστοφάνης Ἀοῖον αὐτὸν ἀστέρα φησὶ κληθῆναι. περιβόητος δὲ ἐγένετο. ἔγραψε δὲ κωμῳδίας, καὶ [6]ἐπιγράμματα καταλογάδην, καὶ πρεσβευτικὸν λεγόμενον. καὶ Σωκράτους τοῦ φιλοσόφου ἐστὶ λόγος εἰς αὐτόν. καὶ Καλλίμαχος ἐν Χωλιάμβοις μέμνηται αὐτοῦ, ὅτι πολλὰ ἔγραψε.

Διθυραμβοδιδάσκαλοι. Poetæ Dithyrambici. Hi de rebus, quæ in ſublimi fiunt, & nubibus multa dicere ſolebant, vocibuſque compoſitis utebantur, dicentes exempli cauſa, ἐνδιαεριανεερινηχέτους. Talis erat Ion Chius poeta, qui poema fecit, cujus initium eſt, Ἀοῖον ἠεροφ. *Matutinam & aerivagam ſtellam expectavimus, quæ Solem candidis alis præcurrit.* Ideo Ariſtophanes jocans *matutinam ſtellam* eum vocatum fuiſſe ait. Fuit autem valde celebris, ſcripſitque comœdias, & Epigrammata, & ſoluto ſermone orationem, quæ Πρεσβευτικὸς inſcribitur. Exſtat etiam Socratis philoſophi in eum oratio. Callimachus etiam in *Choliambis* ejus mentionem faciens, multa eum ſcripſiſſe dicit.

Διθύραμβος. ὕμνος εἰς Διόνυσον. † [7]Ὁ δὲ Ἀπολλώνιος λόγου ἰδέαν ἐπήσκει, οὐ τὴν διθυραμβώδη καὶ φλεγμαίνουσαν ποιητικοῖς ὀνόμασι. καὶ Διθύραμβος, ὁ Διόνυσος· παρὰ τὸ δύο θύρας βῆναι, τήν τε τῆς μητρὸς Σεμέλης, καὶ τῶν μηρῶν τοῦ Διός.

Διθύραμβος. Hymnus in Bacchum. [Et διθυραμβώδης, Dithyramborum inſtar tumidus & inflatus.] *Apollonius vero non uſus eſt genere dicendi dithyrambico & poeticis nominibus tumente.* Et Διθύραμβος appellatur Bacchus, quod per binas quaſi fores in lucem prodierit, & uteri matris Semeles, & femorum Jovis.

Διθυράμβων[8] νοῦν ἔχεις ἐλάττονα. ἐπὶ τῶν ἀδιανοήτων.

Διθυράμβων νοῦν ἔχεις ἐλ. *Minus mentis habes quam Dithyrambi.* Dicitur de hominibus ſtolidis & inconſideratis. Toup. II. p. 528.

Διθύροις. διπτύχοις. διπλαῖς θύραις.

Διθύροις. Biforibus. Geminas fores habentibus.

Δίθυρσον. [9]Ἀρριανός. Τὸ δίθυρσον τὸ λογχωτόν, καὶ τὸ περισφύριον, οἷς ἀνέδην ἐβάκχευεν, ὅτ' ἐς Διόνυσον ἐφοίτα.

Δίθυρσον. Agathias [in Epigrammate:] *Et geminum hunc thyrſum haſtæ inſtar cuſpide munitum, & talorum faſciam, quibus [Porphyris] effuſe bacchabatur, cum ad Bacchi ſacra itaret.*

Διιέναι. διέρχεσθαι.

Διιέναι. Permeare. Tranſire.

Διιέντα. ἐκπέμψαντα.

Διιέντα. Illum, qui tranſmiſit. Qui emiſit.

Διίεται. διέρχεται.

Διίεται. Permeat. Tranſit.

Διιθύτης.[10] ὁ διευθύνων.

Διιθύτης. Director. Gubernator.

Διιείς. διαπέμψας.

Διιείς. Qui tranſmiſit.

---

[1] Διήφυσεν. διέκοψεν] Ex Scholiaſta Homeri ad Odyſſ. Τ. v. 450.

[2] Διηχή. ἡ τῶν ἤχων διαπορθμ.] Ex Philopono in lib. II. Ariſtotel. *de Anima*. Vide etiam infra v. Μῆνιγξ.

[3] Διθυραμβοδιδάσκαλοι περὶ τῶν μετεώρων καὶ τῶν νεφ.] Hæc, & quæ ſequuntur, deſcripta ſunt ex Scholiaſta Ariſtoph. ad *Pacem* pag. 685. 686.

[4] Καὶ ἔλεγον ἐνδιαέριαι ἐερινηχ.] Ariſtophanes loco laudato:

——Ξυνελέγοντ' ἀναβολὰς ποτώμεναι
Τὰς ἐνδιαεριανεερινηχέτους τινάς.

Sic etiam apud Suidam legendum eſt.

[5] Ἀστέρα μῆνα μὲν] Emenda ex Enarratore Comici, ἀστέρα μείναμεν.

[6] Καὶ Ἐπιγράμματα καταλογάδην] Peſſime. Quis enim unquam Epigrammata pedeſtri ſermone ſcripta viderit vel legerit? Omnino hæc ſunt ἀσύστατα; nec dubium eſt, quin ſcribi debeat, καὶ Ἐπιγράμματα, καὶ καταλογάδην Πρεσβευτικόν: ut recte habet Scholiaſta Ariſtophanis loco laudato.

[7] Ὁ δὲ Ἀπολλώνιος λόγου ἰδέαν ἐπήσκει, οὐ τὴν διθ.] Fragmentum hoc legitur apud Philoſtratum *de Vita Apoll.* lib. I. cap. XIII. idemque repetitur infra v. Κατεγλωττισμένον. Vide etiam Photium in Bibliotheca pag. 1020.

[8] Διθυράμβων νοῦν ἔχεις ἐλ.] Una ſyllaba addita verſum hunc ſic complebis: Καὶ Διθυράμβων νοῦν ἔχεις ἐλάττονα. Apud Enarratorem Comici ad *Aves* pag. 606. legitur: Διθυραμβοποιῶν νοῦν ἔχεις ἐλάττονα. Sed lectioni iſti metrum refragatur. Syllaba enim prima in Διθυραμβοποιῶν, uti & in Διθυράμβων, longa eſt.

[9] Ἀρριανός] Scribendum eſt Ἀγαθίας. Verba enim, quæ ſequuntur, decerpta ſunt ex Epigrammate Agathiæ in Baccham, quod exſtat Antholog. lib. VI. cap. V. ut Portus etiam monuit. Ibi autem locus hic recte ſic legitur & diſtinguitur:

——Καὶ τὸ δίθυρσον
Τοῦτο τὸ λογχωτόν, καὶ τὸ περισφύριον·
Οἷς ἀνέδην βάκχευεν, ὅτ' ἐς Διόνυσον ἐφοίτα, &c.

[10] Διιθύτης] Heſychius rectius, Διιθυντής.

Διίημι.

Διΐημι. διέρχομαι. καὶ διΐησι.

Διϊκνείσθω. φθασάτω. καὶ διϊκνούμενος, διερχόμενος.

Δίϊος ὀργή. καὶ Δίϊος βωμός.

Διῖχθαι. διέρχεσθαι.

Διϊππασία, καὶ ἀνθιππασία. τῶν ἵππων ἅμιλλα. ὥσπερ δὴ διωμοσία καὶ ἀντωμοσία τὸ αὐτὸ ἄμφω δηλοῦσι.

Διϊπελέος.[1] τοῦ ὑπὸ Διὸς πληρουμένου.

Διϊπόλια. ἑορτή τις Ἀθήνησι τὰ Διϊπόλια.

Καὶ [2] Διϊπολιώδη καὶ τεττίγων ἀνάμεστα.

Διϊπόλια, τὰ λεγόμενα Διάσια. ἑορτὴ οὕτως ἐλέγετο, διότι τῷ Πολιεῖ Διῒ ἐθύετο.

Διϊσθμήσαντα.[3] τὸν Ἰσθμὸν διαβιβάσαντα. [4] Παρεκάλει αὐτὸν βοηθεῖν, τοὺς λέμβους διϊσθμήσαντα.

Διϊσθμονίσαι.[5] τὸ διὰ τοῦ Ἰσθμοῦ ἕλκειν τὴν ναῦν. ὅπερ ἐποίουν ἐν τῷ Ἰσθμῷ οἱ Κορίνθιοι.

Διϊστάς. διαχωρίζων.

Διΐσταται. διαχωρίζεται.

Διΐσχω σου, καὶ διϊσχύω. γενικῇ. τὸ κρατῶ σου, καὶ ἄρχω σου.

Διϊσχυρίζομαι. ἀνθίσταμαι. ἀμφιβάλλω. Περὶ τούτων οὐδὲν διϊσχυρίζομαι.

Διϊτρέφης ἀνεπτέρωκεν. ἐπὶ τῶν ἀναπειθόντων ἐπί τι πρᾶγμα. [6] Ἀριστοφάνης· Δεινῶς τέ μου τὸ μειράκιον ἀνεπτέρωκεν, ὥσθ' ἱππηλατεῖν. οὗτος γὰρ πρότερον πυτινοπλόκος ἦν· ἔπειτα ἐγένετο φύλαρχος καὶ ἵππαρχος.

Διϊτρέφης[7] πυτιναῖα ἔχων πτερά. οὗτος πολυπράγμων ἐγένετο· ὃς θάλλινα ποιῶν ἀγγεῖα, ἐπλούτησε καὶ ἱππάρχησε καὶ ἐφυλάρχησε. Εὐφρόνιος δὲ τὰ περὶ τῷ τραχήλῳ τῆς πυτίνης κρεμώμενα ἱμαντάρια ἑκατέρωθεν, πτερὰ καλεῖσθαι· καὶ ὅτι οὗτος πυτίνας ἔπλεκε. τινὲς δὲ ἐς πένητα εἰρῆσθαι, διὰ τὸ ἀνυπόκριτον. ὡς εἰ ἔφη, μηδὲν ἄλλο ἔχων, ἀλλ' ἢ πίθου πόδας καὶ χύτρας ὀμφαλούς. οὗτος δὲ ἦν νεόπλουτος, καὶ ἅρπαξ, καὶ πονηρός. Πλάτων ἐν Ἑορταῖς·

Τὸν μαινόμενον, τὸν Κρῆτα, τὸν μόγις Ἀττικόν.

πυτίνη δέ ἐστι πλέγμα. Ὃς ᾑρέθη φύλαρχος, ἵππαρχος, εἶτ' ἐξ οὐδενὸς μεγάλα πράττει, κἄστι νῦν

Διΐημι. Permeo. Tranſeo. Et διΐησι. Permeat. Tranſit.

Διϊκνείσθω. Perveniat. Et διϊκνούμενος, permeans, tranſiens, penetrans.

Δίϊος ὀργή. Jovialis (Jovis) ira. Et Δίϊος βωμός. Jovis ara.

Διῖχθαι. Tranſiiſſe. Permeaſſe. Penetraſſe.

Διϊππασία, & ἀνθιππασία. Certamen equeſtre. Sic etiam διωμοσία & ἀντωμοσία idem ambo ſignificant.

Διϊπετέος. [Fluvii,] qui a Jove repletur.

Διϊπόλια. Feſtum quoddam Athenis ita vocatum. [Ariſtophanes:] *Et Diipoliorum inſtar antiqua, & cicadis plena.* Διϊπόλια autem, quæ etiam dicebantur Διάσια, ſic appellata fuerunt, quod Jovi Polieo (i. e. Urbis Præſidi) celebrarentur.

Διϊσθμήσαντα. Illum, qui Iſthmum trajecit. *Hortabatur eum, ut lembis per Iſthmum trajectis opem [Achæis] ferret.*

Διϊσθμονίσαι. Navem per Iſthmum trahere, (trajicere) quod in Iſthmo Corinthii faciebant.

Διϊστάς. Dividens. Separans.

Διΐσταται. Dividitur. Separatur.

Διΐσχω σου, & διϊσχύω σου. Genitivo jungitur. Potentia te ſupero. Impero tibi.

Διϊσχυρίζομαι. Contendo. Affirmo. *De his nihil affirmo.*

Διϊτρέφης. *Diitrephes ſpe injecta [adoleſcentem] impulit.* Dicitur de iis, qui aliquem ad aliquid faciendum inducunt. Ariſtophanes: [*Diitrephes*] *adoleſcentis mei animo mirificum equitandi amorem injecit.* Hic enim, cum ante eſſet vietor, poſtea factus eſt phylarchus & magiſter equitum.

Fragm. p. 84.

Διϊτρέφης πυτιν. *Diitrephes vimineas habens alas.* Hic erat homo intempeſtive curioſus, & vaſa ex viminibus contexebat: ex quo quæſtu cum ditatus eſſet, phylarchus & magiſter equitum creatus eſt. Euphronius dicit lora viminea ex collo utrinque pendentia alas vocari: & Diitrephem hunc vimina plexuiſſe. Quidam vero hoc in pauperem dictum putant, propter vitæ genus a ſimulatione alienum. Idem enim eſt, ac ſi dixiſſet, nihil aliud habens niſi dolii pedes & ollæ umbilicos. Hic autem ex paupere dives factus eſt; eratque idem rapax & improbus. Plato in *Feſtis*: *Et peregrinum, & furioſum, & Cretenſem illum, & vix Atticum.* Πυτί-

---

[1] Διϊπετέος. τοῦ ὑπὸ Διὸς πλ.] Ex Scholiaſta Homeri ad Iliadem P. v. 263.

[2] Καὶ Διϊπολιώδη καὶ τεττ.] Ariſtophanes *Nubibus* pag. 179. (109. Ed. Baſ. P.)

Ἀρχαῖά γε, καὶ Διϊπολιώδη, καὶ τεττίγων ἀνάμεστα,
Καὶ Κηκείδου καὶ Βουφονίων.

Vide ibi Scholiaſtam.

[3] Διϊσθμήσαντα] Cum verbum hoc active a Suida hic exponatur, ſcribendum eſt διϊσθμίσαντα, per ι, a διϊσθμίζω. Τὸ διϊσθμήσαντα enim eſt verbum neutrum, ut Grammatici loquuntur, a διϊσθμεῖν: quod huc non facit.

[4] Παρεκάλει αὐτὸν βοηθεῖν, τοὺς λέμβους διϊσθμ.] Fragmentum hoc legitur apud Polybium lib. IV. cap. XIX.

[5] Διϊσθμονίσαι. τὸ διὰ τοῦ Ἰσθμοῦ ἑλκ.] Vide infra v. Ἰσθμός, ubi locus Ariſtophanis affertur, ad quem Suidas hic reſpexit.

[6] Ἀριστοφάνης] *Avibus* pag. 608. (422. Ed. Baſ. P.) ubi locus hic ita legitur & diſtinguitur:

Δεινῶς τέ μου τὸ μειράκιον ὁ Διϊτρέφης
Λέγων ἀνεπτέρωκεν, ὥσθ' ἱππηλατεῖν.

[7] Διϊτρέφης πυτιναῖα ἔχων πτ.] Ariſtophanes *Avibus*, pag. 578 (399. Ed. Baſ. P.)

Ὡς Διϊτρέφης γε πυτιναῖα μόνον ἔχων πτερὰ,
Ἡρέθη φύλαρχος, εἶθ' ἵππαρχος, εἶτ' ἐξ οὐδενὸς
Μεγάλα πράττει, κἄστι νυνὶ ξουθὸς ἱππαλεκτρυών.

Vide ibi Scholiaſtam, cujus verba Suidas hic deſcripſit.

ξουθὸς ἱππαλεκτρυών. ἀντὶ τοῦ, ἤδη μέγας ὄρνις γέγονε, καὶ οὐχ ὁ τυχών. ἢ βουλευτής. ὁ γὰρ ἀλεκτρυὼν ἐν τοῖς ὄρνισιν ἐντιμότερος.

Δικάζεσθαι¹ Βίαντος τοῦ Πριηνέως κρείσσων. καὶ, Πριηνὴ² δίκη. ἐπὶ τῶν ἰσχὺν ἐχόντων ἐν τῷ δικάζεσθαι.

Δικαϊκόν. Τρέχε ἐπὶ τὸ σεαυτοῦ ἡγεμονικὸν, ἵνα νοῦν δικαϊκὸν αὐτὸ ποιήσῃς.

Δικασπόλοι. δικασταί.

Δίκας πραττόμενοι. ἀντὶ τοῦ, τιμωρίαν ἐπιζητοῦντες.

Δικασταὶ αἱρετοί. ἐν τῷ Ἀμφικτυόνες.

Δικαιάρχεια. πόλις. Δικαιαρχία δὲ, ἡ δικαίως ἄρχουσα.

Δικαίαρχος,³ Φειδίου, Σικελιώτης, ἐκ πόλεως Μεσήνης, Ἀριστοτέλους ἀκουστὴς, φιλόσοφος, καὶ ῥήτωρ, καὶ γεωμέτρης. Καταμετρήσεις τῶν ἐν Πελοποννήσῳ ὀρῶν. ⁴Ἑλλάδος βίον ἐν βιβλίοις γ΄. οὗτος ἔγραψε τὴν πολιτείαν Σπαρτιατῶν· καὶ νόμος ἐτέθη ἐν Λακεδαίμονι, καθ᾽ ἕκαστον ἔτος ἀναγινώσκεσθαι τὸν λόγον εἰς τὸ τῶν Ἐφόρων ἀρχεῖον, τοὺς δὲ τὴν ἡβητικὴν ἔχοντας ἡλικίαν ἀκροᾶσθαι. καὶ τοῦτο ἐκράτησε μέχρι πολλοῦ.

Δικαίαρχος, Λακεδαιμόνιος, γραμματικὸς, ἀκροατὴς Ἀριστάρχου.

Δικαιογένης. ὄνομα κύριον. ὃς τραγῳδίας καὶ διθυράμβους ἔγραψεν.

Fragm. Gr. p. 84. Δικαιοδοσία. Πολύβιος· Ὅταν ᾖ τὸ δίκαιον ἐκλαβεῖν παρὰ τῶν ἀδικησάντων, ἢ κατὰ νόμους, ἢ κατά τινας ἄλλας ὑποκειμένας δικαιοδοσίας. ⁵ἀντὶ τοῦ, εὐλόγους ἀφορμάς.

Δικαιοδότης. ὁ δικαστής.

Δικαιόπολις. πόλις ἐν Θρᾴκῃ, πλησίον Αὐδήρων.

Δικαιοπραγεῖν.⁶ Καὶ μηδὲν δικαιοπραγεῖν παρὲξ τῶν προσταττομένων.

Δίκαιον πρᾶγμα. ὅ, τι τῷ νόμῳ ἐστὶ σύμφωνον, καὶ κοινωνίας ποιητικόν.

Δίκαιος. Κατὰ ⁷τὸν Αἰσχύλον, οὐ δοκεῖν δίκαιος,

νη vero eſt vas ex vitilibus plexum. [Ariſtophanes:] *Qui creatus eſt phylarchus, & deinde magiſter equitum, & poſtea ex nullo ad res magnas gerendas provectus eſt, & nunc flavus & ingens gallus gallinaceus evaſit.* Id eſt, Senator factus eſt. Gallus enim inter aves eſt honoratior & præſtantior.

Δικάζεσθαι Βίαντ. Judex Biante Prienenſi præſtantior. Et, Judicium Prienenſe. Dicitur de iis, qui facultate dijudicandi lites excellunt.

Δικαϊκόν. Judicialem. Juris dicendi peritum. *Recurre ad mentem tuam, ut juſtitiæ amantem eam efficias.*

Δικασπόλοι. Judices.

Δίκας πραττόμενοι. Qui pœnas exigunt.

Δικασταὶ αἱρετοί. Judices electi. Vide in v. Ἀμφικτυόνες.

Δικαιάρχεια. Dicæarchia. Urbs. Δικαιαρχία vero, imperium juſtum.

Δικαίαρχος. Dicæarchus, Phidiæ F. Siculus, Meſſenius, Ariſtotelis auditor, philoſophus, orator, & geometra. Scripſit dimenſiones montium, qui ſunt in Peloponneſo. Vitam Græciæ libris tribus. Rempublicam Spartanorum. Hic liber ut quotannis in Ephororum prætorio puberibus auſcultantibus legeretur, lege ſancitum fuit apud Lacedæmonios, & longo tempore obſervatum.

Δικαίαρχος. Dicæarchus, Lacedæmonius, Grammaticus, auditor Ariſtarchi.

Δικαιογένης. Dicæogenes. Nomen proprium viri, qui Tragœdias & Dithyrambos ſcripſit.

Δικαιοδοσία. Polybius: *Cum jus ſuum repetere licet ab iis, qui injuriam nobis fecerunt, vel ſecundum leges, vel ſecundum alias moribus hominum receptas rationes ſarciendæ injuriæ.* Hæc iterum infr. V. Ἐκλαβεῖν

Δικαιοδότης. Judex.

Δικαιόπολις. Dicæopolis, urbs in Thracia prope Abdera.

Δικαιοπραγεῖν. *Et ne quid niſi ducum juſſu proprio conſilio facerent.* [Lege ἰδιοπραγεῖν.]

Δίκαιον πρᾶγμα. Juſtum eſt id, quod eſt legi conſentaneum, & ſocietatem [inter homines] conſervat.

Δίκαιος. Juſtus. *Secundum Æſchylum,*

---

[1] Δικάζεσθαι Βίαντος τοῦ Πρ.] Vide ſupra v. Βίαντος τοῦ Πριηνέως δίκη.

[2] Πριηνὴ δίκη] Lege Πριηνίη δίκη, ut apud Laertium in *Biante*.

[3] Δικαίαρχος] De hoc Dicæarcho vide omnino Voſſium in egregio opere *de Hiſtor. Græcis*, qui multa de eo docte & diligenter collegit. Quibus addo, Dicæarchum etiam citari ab Enarratore Apollonii Rhodii ad lib. IV. 272. his verbis: Φησὶ δὲ Δικαίαρχος ἐν δευτέρῳ, καὶ Ἑλληνικοῦ βίου Σεσογχώσιδι μεμεληκέναι· ὃς νόμους αὐτὸν θέσθαι λέγει, ὥστε μηδένα καταλιπεῖν τὴν πατρῴαν τέχνην. τοῦτο γὰρ ᾤετο ἀρχὴν εἶναι πλεονεξίας. Hæc Dicæarchum in opere περὶ Βίου Ἑλλάδος memoriæ prodidiſſe mihi quidem dubium non eſt. Et ad verſ. 276. ejuſdem libri: Δικαίαρχος ἐν πρώτῳ, μετὰ τὸν Ἴσιδος καὶ Ὀσίριδος Ὧρον, βασιλέα γεγονέναι Σεσόγχωσιν λέγει. Præterea Dicæarchus ἐν τῷ περὶ Μουσικῶν ἀγώνων laudatur a Scholiaſta Ariſtophanis ad *Ranas* pag. 273. & ἐν τῷ περὶ Διονυσιακῶν ἀγώνων ab ejuſdem Comici Enarratore ad *Aves* pag. 606. Plura de eo Jonſius l. I. c. XVI.

[4] Ἑλλάδος βίον ἐν βιβλίοις γ΄] Hujus operis luculentum fragmentum hodie adhuc exſtat. Primum ejus librum citat Stephanus Byzantius v. Χαλδαῖοι: ubi tamen Salmaſius pro ἐν πρώτῳ τοῦ τοῦ Ἑλλάδος βίου reponendum putat, ἐν πρώτῳ περὶ τοῦ Ἑλλάδος βιβλίου; omnino male. Titulum enim operis iſtius fuiſſe Ἑλλάδος βίον non ſolum ex hoc loco Suidæ patet, ſed etiam ex Athenæo, qui Dicæarchum duobus in locis ἐν τῷ περὶ τοῦ τοῦ Ἑλλάδος βίου citat. Præterea, Jaſon etiam Βίον Ἑλλάδος olim ſcripſerat, teſte Stephano Byzantio v. Ἀλεξάνδρεια, & Suida infra v. Ἰάσων: quod ideo moneo, nè quis titulum hunc ſuſpectum habeat.

[5] Ἀντὶ τοῦ εὐλόγους ἀφορμάς] Perperam. Senſus enim vocis δικαιοδοσίας in loco allegato Polybii eſt is, quem verbis Caſauboni in verſione expreſſi.

[6] Δικαιοπραγεῖν. Καὶ μηδὲν δικ.] Doctiſſimus Jac. Gronovius recte monuit, Suidam corruptam lectionem ſecutum fragmentum hoc ſumpſiſſe ex Polyb. lib. VIII. cap. XXI. ubi legitur ἰδιοπραγεῖν.

[7] Κατὰ τὸν Αἰσχύλον] Locus Æſchyli, ad quem auctor anonymus, unde fragmentum hoc excerpſit Suidas, reſpexit, exſtat in Ἑπτὰ ἐπὶ Θήβ. v. 598.

ἀλλ' εἶναι θέλων, βαθεῖαν τῷ ὄντι καὶ αὐτὸς αὔλακα διὰ φρενῶν καρπούμενος. † [1] Ἡ κωμῳδία τὸν δίκαιον οὐ πολιτικὸν, οὐδ' ἥμερον καλεῖ.

Δίκαιος. Δοκῶ δὲ ἐγὼ τοῦτον δειλιᾷν, τῷ ξυνειδέναι οὐ δίκαιος ὢν περὶ τὸν βασιλέα· ὧν ἐπάξιος ἦν τυχεῖν, ταῦτα ὡς καὶ πεισόμενος ἤδη δειμαίνει.

Δίκαιος. ἔφη τις τῶν ὁσίων· Ἄλλους γὰρ οὐ πάντες ἀπαιτούμεθα σῶσαι· ἑαυτοὺς δὲ πάντες πάντως. καὶ ἄλλος· Σώζων σῶζε τὴν σεαυτοῦ ψυχήν. [2] καὶ ὁ Προφήτης ὡς ἐκ Θεοῦ· Ἐν τῷ ἀποστρέψαι δίκαιον ἐκ τῆς δικαιοσύνης αὐτοῦ, τοῦ ποιῆσαι ἀδικίαν, πᾶσαι αἱ δικαιοσύναι αὐτοῦ, ἃς ἐποίησεν, οὐ μὴ μνησθῶσιν· ἐν τῇ ἁμαρτίᾳ αὐτοῦ ἀποθανεῖται. καὶ δικαιοσύνη δικαίου, οὐ μὴ ἐξέληται αὐτὸν, ἐν ᾗ ἂν ἡμέρᾳ πλανηθῇ.

Δικαιοσύνη. [3] ἐπιστήμη ὧν αἱρετέον, καὶ εὐλαβητέον, καὶ οὐδετέρων. † Δικαιοσύνη οὖν ἡ κοινὴ ἀρετὴ, καὶ ἡ ἀντιδιαιρουμένη ταῖς ἄλλαις ἀρεταῖς ὁμωνύμως. διαφέρει δὲ ἀνδρεία καὶ δικαιοσύνη, ὁμογενεῖς οὖσαι ὑπὸ τὸ αὐτὸ γένος τὴν ἀρετήν· οἷον, ἄλλως μὲν ἡ ἀνδρία μεσότης, ἄλλως δὲ ἡ δικαιοσύνη. ἡ μὲν γὰρ δύο κακιῶν, θρασύτητος, καὶ δειλίας. ἡ δὲ, πλεονεξίας, καὶ μειονεξίας· ἐξ ὧν ἡ ἀδικία. ἐν γὰρ τούτοις τῇ ἀδικίᾳ τὸ εἶναι. καὶ περὶ ἄλλα μὲν ἡ ἀνδρία· περὶ γὰρ τὰς τῶν κινδύνων ὑπομονάς· περὶ ἄλλα δὲ ἡ δικαιοσύνη. περὶ γὰρ τὸ ἴσον, τό, τε ἐν τῇ διανομῇ, καὶ ἐν τοῖς συναλλάγμασι. καὶ οὕτω μὲν τὰ ὁμογενῆ.

Conf. supr. V. Ἀνδρεια.

non videri juſtus, ſed eſſe volens, ex profundo mentis ſulco fructum capiebat.* † Comicus virum juſtum vocat ruſticum & agreſtem.

Δίκαιος. Juſtus. *Ego autem exiſtimo, eum, cum ſibi conſcius ſit, ſe in Regem fuiſſe injuriũ, pœnam, quam meruit, metuere, tanquam jam jam eam paſſurus ſit.*

Δίκαιος. Dixit quidam ex ſanctis: *Non enim a nobis omnibus requiritur, ut alios ſervemus: ſed ut nos ipſi ſervemus, a nobis omnino exigitur.* Et alius: *Animam tuam omni ſtudio ſerva.* Et Propheta Dei nomine dixit: *Cum juſtus a juſtitia ſua ſe averterit, ut injuſtitiam committat, omnia, quæ antea juſte fecit, oblivioni mandabantur, & in peccato ſuo morietur: nec juſtitia juſti eum eripiet, quo die a recta via aberraverit.*

Δικαιοσύνη. Juſtitia eſt ſcientia rerum expetendarum, & fugiendarum, & neutrarum. Juſtitia igitur eſt virtus communis, & quæ ab aliis virtutibus æquivoce diſtinguitur. Differunt autem fortitudo & juſtitia, quamvis ſub eodem virtutis genere collocentur. Nam aliter fortitudo eſt mediocritas; aliter vero juſtitia. Illa enim inter duo vitia, audaciam & timiditatem, media eſt. Hæc vero inter exceſſum illum & defectum, per quem quis vel plus vel minus ſuo habet. Hæc eſt enim origo injuſtitiæ, & in eo eſſentia ejus conſiſtit. Præterea, in aliis verſatur fortitudo; in aliis vero juſtitia. Illa enim in periculis tolerandis verſatur: hæc vero in ſervanda paritate; quæ tam in rerum diſtributione, quam in contractibus ſpectatur. Et ſic comparata ſunt ea quæ idem genus habent.

Δικαιοσύνη. οὐχ ἡ πολιτικὴ ἀρετὴ, ἀλλ' ἡ μείζων, τῷ δὲ αὐτῷ ὀνόματι χρωμένη. [4] Δικαιοσύνην δὲ τὴν ἑκάστη τῶν λοιπῶν ἀρετῶν οἰκειοπραγίαν ἀρχῆς πέρι, καὶ τοῦ ἄρχεσθαι. καὶ δικαιοσύνη, ἀποχὴ τῶν κερδῶν.

Δικαιοσύνη. καὶ ἡ τελεία ἀρετὴ, καὶ ἡ δικαία αἴτησις· ὡς ὁ Ψάλλων· [5] Εἰσάκουσον, Κύριε, δικαιοσύνης μου.

Δικαιότερον σταχάνης. ἐπὶ τῶν τὰ δίκαια ἀγαπώντων. σταχάνην γὰρ οἱ Δωριεῖς τὴν τρυτάνην καλοῦσιν. ἴσως παρὰ τὴν στάσιν. καὶ ἑτέρα παροιμία· Δικαιότερος τρυτάνης.

Δικαιούμενος. κολαζόμενος. δίκης τυγχάνων.

Δικαιοῦν. [6] δύο δηλοῖ· τό, τε κολάζειν, καὶ τὸ δίκαιον νομίζειν. οὕτως Ἡρόδοτος· Δικαιῶν τοῖς αὐτοῖς τοὺς Σκύθας ἀμύνεσθαι, οἷς δὴ καὶ αὐτοὶ ἐς Ἀθηναίων τοὺς ἐνδόντας τὴν ἄκραν ὑπῆρξαν παρασπονδήσαντες. Καὶ αὖθις Ἀππιανός· Ξυμβάσεις ποιεῖν, ἐφ' οἷς ἂν Γάβιοι δικαιῶσιν. ἀντὶ τοῦ, δίκαιον εἶναι νομίζωσι. Καὶ Ἰώσηπος· Οἱ δὲ ἐφ' ὕβρει τὴν δικαίωσιν λογιζόμε-

Appian. Hist. Rom. Fragm. VII. Vol. I. p. 27. Schweigh.

Δικαιοσύνη. Juſtitia, non civilis illa, ſed major & nobilior virtus; quamvis eodem nomine appellata. Juſtitia vero continet cujuſque cæterarum virtutum proprium munus in imperando & parendo. † Juſtitia eſt abſtinentia a lucris.

Δικαιοσύνη. Juſtitia. Eſt & perfecta virtus; & juſta petitio: ut Pſaltes dicit: *Exaudi Domine juſtitiam meam.*

Δικαιότερον σταχάνης. *Trutina juſtius.* De iis, qui juſtitiam diligunt. Dorienſes enim trutinam vocant σταχάνην: fortaſſe a nomine στάσις. Et aliud proverbium: Δικαιότερος τρυτάνης: quod idem ſignificat.

Δικαιούμενος. Qui punitur. Qui pœnas dat.

Δικαιοῦν. Duo ſignificat: & punire, & juſtum cenſere. Sic Herodotus: *Juſtum eſſe cenſens, iiſdem malis ulciſci Scythas, quibus ipſi priores contra fœdus affecerant Athenienſes illos, qui arcem dediderant.* Et iterum Appianus: *Pacem facere iis conditionibus, quas Gabii juſtas eſſe cenſuiſſent.* Et Joſephus: *Illi vero animadverſionem contumeliæ* νοι, κατασπάσαντες τῶν ὅπλων πολλὰ, ᾤχοντο εἴς τι χωρίον.

---

[1] Ἡ κωμῳδία] Intelligit Ariſtophanem, apud quem hæc me legiſſe memini, quamvis locus nunc non ſuccurrat.

[2] Καὶ ὁ Προφήτης] Ezech. III. 20.

[3] Δικαιοσύνη. ἐπιστήμη ὧν αἱρετέον, καὶ εὐλαβητέον, καὶ οὐδετ.] Sic Stoici Juſtitiam definiebant, ut teſtatur Laertius lib. VII. Segm. XCII.

[4] Δικαιοσύνην δὲ τὴν ἑκάστη τῶν λοιπ.] Locum hunc ita lego: Δικαιοσύνην δέ φησι τὴν ἑκάστης τῶν λοιπῶν ἀρετῶν &c.

[5] Εἰσάκουσον, Κύριε, δικ.] Pſalm. XVI. 1.

[6] Δικαιοῦν] Vide infra v. Ἐδικαίου & Ἐδικαιώθησαν: itemque Paul. Leopardum *Emend.* lib. V. cap. IX. & Gatakerum in Diſſertat. *de Stylo Nov. Inſtr.* cap. VIII.

Δικαιοῦσαν. καταδικάζουσαν. [1] Ὑπὲρ δὴ τούτων τὴν Ἄρτεμιν μηνίσαι, καὶ μετελθεῖν δικαιοῦσαν αὐτοὺς τῆς γῆς ἀγονίᾳ.

Δικαίωμα. Ὅτι [2] οὐδὲν δικαίωμα τῶν ὅπλων ἰσχυρότερον. πᾶς γὰρ ὁ δυνάμει προέχων, δικαιότερα ἀεὶ καὶ πράττειν καὶ λέγειν δοκεῖ. † Ἀρχέλαος, ὁ Φυσικὸς τὴν αἵρεσιν ἐπικληθεὶς, ἐδόξασε τὸ δίκαιον καὶ αἰσχρὸν οὐ φύσει εἶναι, ἀλλὰ νόμῳ.

Δικαιώματα, νόμος, ἐντολαὶ, κρίματα. [3] Νόμον καλεῖ, τὸν ὑπὸ τοῦ Θεοῦ διὰ τοῦ Μωσέως δεδομένον. Ἐντολὰς δὲ καὶ προστάγματα πάλιν τὸν αὐτὸν, ὡς βασιλικῶς ἐνταλθέντα καὶ προσταχθέντα. Δικαιώματα, ὡς δικαιοῦν τὸν κατορθοῦντα δυνάμενον. Κρίματα δὲ, ὡς τὰς θείας ψήφους ὑποδεικνύντα καὶ τὰς ἀξίας ἀντιδόσεις τῶν τε ἐννόμως καὶ παρανόμως βιούντων. Μαρτύρια δὲ, ὡς διαμαρτυρόμενον καὶ ὑποδεικνύντα, οἵαις ὑποβληθήσονται ποιναῖς οἱ ταῦτα παραβαίνοντες. Δικαιώματα δὲ, καὶ αἱ κατακρίσεις.

Δικαιώματα. εὐλόγους ἀφορμάς. Ἐάν τε γὰρ νικῶμεν ἡμεῖς, ἕξεις πρὸς ἐμὲ δικαιώματα μεγάλα, διότι κεκοινώνηκας ἡμῖν τῶν μεγίστων κινδύνων.

Δικαίως κἀδίκως. ἀντὶ τοῦ παντὶ τρόπῳ. [4] Ἀριστοφάνης Πλούτῳ·

--- Ἡ γὰρ οἰκία
Αὕτη 'στὶν, ἣν δεῖ χρημάτων σε τήμερον
Μεστὴν ποιῆσαι, καὶ δικαίως κἀδίκως.

τουτέστι, πάσῃ τέχνῃ.

Δικαίωσις. κατάκρισις. Οὐ γάρ τι που μετὰ μακρὸν ἐκολάσθη δικαιώσει. † Δικαιωθέντων πάντων τῶν ἀδελφῶν Ἀρισταίου τοῦ Γίγαντος δικαίωσιν τὴν πρεπωδεστάτην.

Δικαιώσεις. [5] Λυσίας τὰς δικαιολογίας. Θουκυδίδης δὲ τὰς κολάσεις λέγει.

Δικαιωτήρια. ἤγουν δικαστήρια.

Δίκελλα. γεωργικὸν ἐργαλεῖον. Οὐ βουσὶ καὶ δικέλλῃ πορίζομένοις τὸν βίον, ἀλλ' ἵππῳ καὶ μαχαίρᾳ. καὶ δικελλίτης.

Δικέραιον. δύο κέρατα ἔχουσαν. ἐν [6] Ἐπιγράμματι·

Δέρμα δὲ, καὶ δικέραιον ἀπὸ στόρθυγγα μετώπων
Σπασάμενος, κέρα θῆκε παρ' ἀγρότιδι.

Δίκη. ἡ ὑπὲρ ἰδιωτικῶν ἀδικημάτων συνισταμένη κατηγορία, καὶ ἧς τὸ τίμημα ὥρισται τοῖς νόμοις. Ὁ δὲ δίκην [7] ἄδικον δικάσας, καὶ διαφυγὼν μὴ ἀπολέ-

cauſa factam eſſe putantes, armis dereptis, ad locum aliquem [occupandum] iverunt.

Δικαιοῦσαν. Condemnantem. [Punientem.] *Hac de cauſa Dianam iratam eſſe, & terræ ſterilitate eos ulciſci.*

Δικαίωμα. Jus. *Nullum jus armis eſt potentius. Quiſquis enim potentia præſtat, juſtiora ſemper & facere & dicere videtur.* †Archelaus, a ſecta, quam ſequebatur, Phyſicus appellatus, cenſuit, nihil eſſe juſtum vel turpe natura, ſed inſtituto.

2 Dion. Caſs. II. 979. 7-10.
Suid. ſupra. V. Γνώμη.
Reimar. II. 1521.

Δικαιώματα, νόμος, ἐντολαὶ, κρίματα. Jura, Lex, Præcepta, Judicia. Legem vocat eam, quæ per Moſen a Deo data eſt. Præcepta vero & mandata eandem Legem vocat, ut regio more latam & imperatam. Δικαιώματα vero, ut quæ juſtum reddere poſſit eum, qui recte facit. Κρίματα vera, ut judicia hominibus oſtendentem, & digna præmia eorum, qui vel a criminibus vacuam, vel impiam vitam egerunt. Μαρτύρια denique, ut interminantem & declarantem, quas pœnas ſubituri ſint, qui eam violaverint. Δικαιώματα etiam vocantur condemnationes, [ſive pœnæ.]

Δικαιώματα. Jura. Privilegia. *Si enim vincamus, magna a me conſequeris privilegia, quia maximorum periculorum ſocius nobis fuiſti.*

Δικαίως κἀδίκως. Per fas nefaſque. Sive, quovis modo. Ariſtophanes *Pluto: Hæc enim eſt domus, quam te hodie per fas nefaſque pecunia replere oportet.* Sive, omni arte, & quavis ratione.

Δικαίωσις. Condemnatio. Pœna. *Haud enim diu poſt juſta pœna affectus eſt.* † *Cum omnes fratres Ariſtæi Gigantis dignas [impietatis ſuæ] pœnas dediſſent.*

Δικαιώσεις. Sic Lyſias vocat cauſarum defenſiones in Judicio. Thucydides vero pœnas & ſupplicia.

Δικαιωτήρια. Loca, in quibus exercentur judicia.

Δίκελλα. Inſtrumentum ruſticum. Ligo. *Non bobus & ligone, ſed equo & gladio victum ſibi parantibus.* Et δικελλίτης, qui ligone terram fodit.

Δικέραιον. Bicornem. In Epigrammate: *Pellem vero, & bina hæc cornua, a frontibus avulſa, Dianæ venatrici dedicavit.*

Δίκη. Accuſatio, quæ de privatis delictis inſtituitur, & cujus æſtimatio legibus definita eſt. *Ille vero de cauſa ſemel jam judicata* θαι πρότερος, τούτων πάλιν δίκην γενέσθαι ἄδικον. αἱ τοιαῦται δίκαι οὕτω λέγονται, αἱ εἰς [1] ἄκαιρον ἀποκαθιστάμεναι, ἤτοι διὰ πολιτικὴν αἰτίαν, ἢ τῶν μαρτύρων ἁλόντων [2] ψευδοκατηγόρων.

---

[1] Ὑπὲρ δὴ τούτων τὴν Ἄρτεμιν μηνίσαι, καὶ μετελθ.] Idem fragmentum legitur etiam ſupra v. Ἀγόνων.

[2] Ὅτι οὐδὲν δικαίωμα τῶν ὅπλ.] Eadem recitat Suidas ſupra v. Γνώμη.

[3] Νόμον καλεῖ, τὸν ὑπὸ τοῦ Μωσ.] Totum hunc locum deſcripſit Suidas ex Theodoreto ad Pſalm. cxviii. v. 2. pag. 879. ut Pearſonius obſervavit.

[4] Ἀριστοφάνης Πλούτῳ] Pag. 24. (13. Ed. Baſ. P.)

[5] Δικαιώσεις. Λυσίας τὰς δικαιολ.] Ex Harpocratione.

[6] Ἐν Ἐπιγράμματι] Antholog. lib. vi. cap. xv. pag. 568. ut Portus etiam monuit.

[7] Δίκην ἄδικον] Legendum eſſe ἀνάδικον ex ſequentibus patet. Eſt autem δίκη ἀνάδικος judicium, quod reſciſſa priore ſententia de re aliqua de integro inſtituitur. Vide Heſychium v. Ἀνάδικος, & Harpocrationem v. Ἀναδικάσασθαι.

Δίκη.[3] κρίσις. σημαίνει μὲν καὶ ἄλλα· ἰδίως δὲ ἐπὶ τῶν ἰδιωτικῶν ἐγκλημάτων λέγεται, ὡς Δημοσθένης ἐν τῷ κατὰ Κόνωνος δῆλον ποιεῖ.

Δίκη δίκην ἔτικτε, καὶ βλάβη βλάβην. παροιμία ἐπὶ τῶν φιλοδίκων καὶ συνειρόντων δίκας δίκαις. καὶ

Δίκην ὑφέξει, κἂν ὄνος δάκῃ κύνα.

ἐπὶ τῶν ἐπὶ μικροῖς συκοφαντουμένων.

Δίκην. τρόπον. [4] Καὶ ὁ μὲν ἐξετρίβη πίτυος δίκην, ῥιφεὶς εἰς θάλασσαν, καὶ δίδωσι δίκας αὐτῷ γένει.

Δίκης. δικαιοσύνης. ἢ τιμωρίας. [5] Ἥξομεν κομιούμενοι παρ' ἀνδρῶν ἀνοσίων καὶ ψευδόρκων δίκας. † Ὅτι τὴν δίκην φασὶν οἱ παλαιοὶ εὐθεῖάν τε εἶναι, καὶ ἀκλινῆ, καὶ ἄτρεπτον· καὶ τοῦτο ᾄδουσι μὲν πλεῖστοι. ἤδη δὲ καὶ ἀνάγκη. φύσιν γὰρ δήπου τὸ δίκαιον τοιαύτην εἴληχεν. Ἡσίοδος δὲ αὐτὴν λέγει καὶ παρθένον, καὶ ἀδιάφθορον, τῇ τε ἄλλῃ, καὶ μέντοι καὶ ὑπ' εὐνῆς Ἀφροδισίου· αἰνιττόμενος, ὅτι μὴ χρὴ δολοῦν τὸ δίκαιον, μήτε ἄλλως πεισθέντα, μήτε λέχει παρατραπέντα. Φησὶ δὲ καὶ μετιέναι αὐτὴν τιμωρουμένην τούτους, οἷσπερ οὖν ὕβρις μέμηλε κακὴ καὶ σχέτλια ἔργα. τοῖς γε μὴν ἐκείνην σέβουσι τήν τε γῆν τὰ οἰκεῖα βρύειν φησὶν ἀγαθά, καὶ τὴν θάλατταν χορηγεῖν ὅσα τίκτει καὶ τρέφει μάλ' ἀφθόνως. ἀκούω δὲ αὐτὴν καὶ παρ' αὐτοῦ Διὸς καθῆσθαι θρόνῳ, καὶ κοινωνὸν τῶν ἀρίστων βουλευμάτων εἶναι. καὶ Ὅμηρος δὲ μέγα αὐτῆς τὸ κράτος ὑμνεῖ, καὶ λέγει, τοῖς ἀτιμάζουσιν αὐτὴν μηνιεῖν τὸν Θεόν, καὶ λάβρους καταντλεῖν ὑετοὺς[6] αὐτὴν, καὶ χειμάρρους ἐπ' αὐτοὺς ὠθεῖσθαι, καὶ ἀφανίζειν πόλεις αὐτῶν καὶ ἔργα καὶ ποίμνας. καὶ ταύτῃ κολάζεσθαι τῇ τιμωρίᾳ ὕβρεως καὶ ἀτασθαλίας [7] ἔργα ὑπομένοντας πρεπωδέστερα, καὶ ἕτερα ἄττα.

Δίκης[8] ἀνάκρισις. οὐ πάσας δίκας κελεύουσιν οἱ νόμοι εἰσάγεσθαι, ἀλλ' ὅταν ὁ φεύγων ἀντιλέγῃ καὶ

denuo diſceptans, cum condemnationem effugiſſet, effecit, ut de re eadem denuo judicium inſtitueretur. Δίκαι ἀνάδικοι vero dicuntur judicia, quæ reſciſſa priore ſententia de re aliqua de integro inſtituuntur; vel propter cauſam aliquam civilem; vel teſtibus falſi teſtimonii convictis.

Δίκη. Hæc vox tum alia ſignificat; tum peculiariter de privatis criminibus dicitur: ut Demoſthenes in oratione contra Cononem declarat.

Δίκη δίκην ἔτικτε. *Lis litem parit, & noxa noxam.* Proverbium hoc dicitur in homines contentioſos, & qui lites ex litibus nectunt. Et, *Pœnas dabit, vel ſi aſinus canem momorderit.* Dicitur de iis, qui ob res parvi momenti calumniis litium vexantur.

Δίκην. Inſtar. In modum. *Ille quidem pinus inſtar extirpatus eſt, in mare projectus; pœnaſque cum toto genere ſuo dedit.*

Δίκης. Juſtitiæ. Vel, pœnæ. *De viris nefariis & perjuris pœnas ſumpturi veniemus.* † Juſtitiam veteres eſſe dicunt rectam & rigidam & talem quæ flecti neſciat: idque plurium Poetarum teſtimonio proditum eſt. Nec aliter ſeſe res habere poteſt, cum Jus eam naturam ſortitum ſit. Heſiodus vero eam virginem eſſe dicit, & incorruptam, tum quod ad alia, tum etiam quod ad concubitum venereum attinet; innuens ſcilicet, non oportere nos juſtitiam adulterare, nec aliis rationibus inductos, nec amore corruptos. Dicit etiam, eam ulciſci & punire eos, qui injuriæ & impiis facinoribus ſtudeant. Illis vero, qui eam colant, terram fructus largiter producere, & mare abunde ſuppeditare omnia, quæ parit & alit. Quinetiam audio, eam Jovis throno aſſidere, & optimorum conſiliorum eſſe participem. Præterea, Homerus magnam ejus potentiam canit, dicens, contemptoribus ejus Deum iraſci, violentoſque imbres in eos effundere & torrentes immittere, qui urbes, arva, & greges illorum perdant & deleant. Et hanc quidem pœnam illorum eſſe dicit, quibus injuria & ſcelera cordi ſint.

Δίκης ἀνάκρισις. Non omnes cauſæ per leges in Judicium introduci poſſunt, ſed cum παραγραφῇ), λέγων, εἰσαγώγιμον μὴ εἶναι αὐτήν, πρότερον ἐπὶ τούτῳ γίνεται κρίσις, ἥτις δίκης ἀνάκρισις λέγεται.

---

[1] Εἰς ἄκαιρον ἀποκαθισταμέναι] Peſſime. Scribendum enim eſt, εἰς ἀκέραιον ἀποκαθ. quam lectionem in verſione ſecutus ſum. Apud Heſychium quoque v. Ἀνάδικοι pro οἱ εἰς ἀκεραίαν ἰσκαθιστάμενοι, ſcribere præſtat οἱ εἰς ἀκέραιον ἀποκαθιστάμενοι.

[2] Ψευδοκατηγόρων] Hanc lectionem, quam etiam agnoſcit Heſychius v. Ἀνάδικοι, Portus fruſtra ſuſpectam habet. Uti enim, exempli cauſa, apud Græcos dicitur ἁλοὺς κλέπτης, i. e. *convictus furti*; & ἁλοὺς μοιχὸς, *convictus adulterii*: ſic etiam recte dicas, ἁλοὺς ψευδοκατηγόρος, pro ψευδοκατηγορίας.

[3] Δίκη. κρίσις. σημαίνει μὲν καὶ ἄλλα· ἰδίως δὲ ἐπὶ τῶν ἰδ.] Ex Harpocratione.

[4] Καὶ ὁ μὲν ἐξετρίβη πίτυος δ.] Videtur fragmentum hoc depromptum eſſe ex libro Æliani *de Providentia*, ex quo non pauca loca Suidam in Lexicum ſuum tranſtuliſſe conſtat. Certe idem Ælianus phraſi hac uſus eſt *Var. Hiſtor.* lib. VI. cap. XIII. ubi ſic inquit: Καλῶς τὸ δαιμόνιον ἐπὶ τριγονίαν τυραννίδας μὴ ἄγειν, ἀλλὰ ἢ παραχρῆμα ἐκτρίβειν τοὺς τυράννους πίτυος δίκην &c. i. e. *Recte Deus tyrannides ad tertiam uſque generationem durare non ſinit, ſed aut confeſtim tyrannos tanquam piceas extirpat*, &c. Vide ad eum locum doctiſſimos interpretes. Eleganter autem illi, qui funditus intereunt, piceæ inſtar extirpari dicuntur, quod arbor illa ſemel exciſa nunquam renaſci & repullulare credatur. Euſtath. ad Il. A. pag. 42 Τινὲς δὲ ἐχεπευκὲς εἶπον τὸ θανάσιμον καὶ ἐκτρίμιον τοῦ βίου τοῦ βληθέντος δίκην πεύκης· ἥτις ἐκτμηθεῖσα οὐκέτι ἀναβλαστάνει. Lege ibi & ſequentia. Parœmiographi: Πεύκης τρόπον. αὕτη πίπτει κατὰ τῶν πανωλεθρίᾳ ἀπολλυμένων· παρόσον ἡ πεύκη κοπεῖσα οὐκέτι φύεται.

[5] Ἥξομεν κομιούμενοι παρ' ἀνδρ.] Totum hunc locum Kuhnius Æliano adſcribit: ſed qui duo diverſa fragmenta miſcuit & in unam quaſi maſſam compegit. Verba enim illa priora, ἥξομεν ——— ψευδόρκων δίκας, diſtinguenda ſunt a ſequentibus, quippe quæ ex alio auctore excerpta eſſe, vel ſaltem novam eſſe παρεκβολήν, non ſolum ſenſus, ſed etiam particula ὅτι declarant.

[6] Αὐτήν] Senſus requirit αὐτῶν: quod & Kuhnius monuit.

[7] Ἔργα ὑπομένοντας πρεπ.] Locum hunc corruptum vel mutilum eſſe exiſtimo, quoniam non ſatis cohærere mihi videtur cum iis, quæ præcedunt.

[8] Δίκης ἀνάκρισις] Vide Harpocrationem v. Ἀνάκρισις, & ibi Valeſium: itemque ſupra v. Διαμαρτυρία.

Δίκης δικαιότερος. καθ' ὑπερβολὴν ἐπὶ τῶν σφόδρα δικαίων.

Δίκης ὀφθαλμός. [1] Ὡς καὶ πάντας ἀνθρώπους ὁμολογῆσαι, διότι, κατὰ τὴν παροιμίαν, [2] ἔστι δίκης ὀφθαλμὸς, ἧς μηδέ ποτε καταφρονεῖν ἀνθρώπους ὑπάρχοντας.

Δίκηλα. [3] μιμήματα. εἰκάσματα. τὸ δει δίφθογγον. κυρίως τὸ ὁμοίωμα καὶ εἴκελον τῷ Διΐ· καταχρηστικῶς δὲ, πᾶν ὁμοίωμα.

Δικηλιστῶν, [4] καὶ μιμηλῶν. εἶδος ἐστὶ κωμῳδίας, ὥς φησι Σωσίβιος ὁ Λάκων.

Δικολροπεῖ. φυγαδεύει.

Δικιδίοις. ὑποκοριστικῶς, ταῖς δίκαις.

Δικλίς. δίθυρον. [5] ἐν Ἐπιγράμματι·

Δικλίδας ἀμφετίναξεν ἐμοῖς Γαλάτεια προσώποις.

Δικοῤῥαφεῖν. [6] δίκας συῤῥάπτειν. ἐν τοῖς δικαστηρίοις ἀναστρέφεσθαι.

Δίκορος. ὅτι Ἀναστάσιος ὁ τῶν Ῥωμαίων βασιλεὺς Δίκορος ἐλέγετο.

Δίκορσον. δικόρυφον.

Δικραές. δικέφαλον.

Δίκρανα. Παρεσκεύαστο δὲ καὶ δίκρανα, ὥστε ἀπωθεῖσθαι τὴν τῶν λεγομένων σκαλῶν προσαγωγήν.

Δίκραιρος.

Δικραίρῳ [7] δικέρωτα· δασυκνάμῳ δασυχαίταν.

ἐν Ἐπιγράμματι.

Δίκροτα. δίηρη. [8] Πλοῖα μονήρη, ἔστιν ἃ καὶ δίκροτα κατεσκευάσαντο. τινὰ δὲ καὶ ἐκ τῆς πρύμνης καὶ ἐκ τῆς πρώρας ἑκατέρωθεν πηδαλίοις ἤσκηντο, ὅπως αὐτοί τε μὴ μεταστρεφόμενοι καὶ ἐπιπλέωσι, καὶ ἀναχωρῶσι, καὶ τοὺς ἐναντίους ἐν τῷ διάπλῳ καὶ ἀπόπλῳ αὐτῶν σφάλλωσιν.

Δικροῖς. διφυέσι ξύλοις. δικρανίοις. [9] Ἀριστοφάνης·

Δικροῖς ἐώθουν τὴν Θεὸν κεκράγμασι.

τὴν εἰρήνην λέγων. ἔδει δὲ εἰπεῖν ξύλοις, καὶ εἶπε κεκράγμασι. ἐπειδὴ οἱ ῥήτορες δημηγοροῦντες τῇ κραυγῇ ἔπειθον μὴ ποιῆσαι εἰρήνην.

reus exceptione utitur, negans, litem ab actore ſibi intendi poſſe, tunc ea de re prius inſtituitur judicium, quod δίκης ἀνάκρισις dicitur.

Δίκης δικαιότερος. Juſtitia juſtior. Per hyberbolen de hominibus valde juſtis dicitur.

Δίκης ὀφθαλμός. Juſtitiæ oculus. *Adeo ut omnes faterentur, eſſe quendam, ut proverbio dicitur, juſtitiæ oculum, quem quidem ab hominibus ſperni haudquaquam fas ſit.*

Δίκηλα. Simulacra. Effigies. Syllaba prima per diphthongum ει ſcribitur. Proprie ſignificat ſimulacrum & imaginem Jovis: quaſi dicas Διΐ εἴκελον. Abuſive vero quamlibet imaginem.

Δικηλιστῶν, & μιμηλῶν. Diceliſtarum, & mimorum. Genus eſt Comœdiæ, ut ait Soſibius Laco.

Δικολροπεῖ. In exilium pellit.

Δικιδίοις. Diminutive. Liticulis.

Δικλίς. Fores. In Epigrammate: *Fores Galatea coram me ſubito clauſit.*

Δικοῤῥαφεῖν. Lites conſuere. In judiciis frequenter verſari.

Δίκορος. Anaſtaſius Romanorum Imperator Dicorus vocabatur.

Δίκορσον. Quod geminum habet verticem. Bivertex.

Δικραές. Biceps.

Δίκρανα. Furcæ. *Paratas etiam habebant furcas, quibus ſcalæ muris admotæ dejicerentur.*

Δίκραιρος. Biceps. In Epigrammate: *Bicipiti* [*Pani*] *bicornem; & hirſuta crura habenti hirſutam* [*capram donat.*]

Δίκροτα. Biremes. *Naves uniremes, quaſdam etiam biremes confecerunt. Nonnullæ & a puppi & a prora gubernaculis utrinque inſtructæ erant, ut nec, cum in hoſtem vela darent, nec cum ſe reciperent, ſe convertere neceſſe haberent, ſed tam in acceſſu quam receſſu hoſtem eludere poſſent.*

Δικροῖς. Bifurcis. Bicipitibus. Bifidis. Ariſtophanes: *Bifurcis Deam expellebant clamoribus.* Pacem intelligit. Cum autem dicere oporteret [δικροῖς] ξύλοις, i. e. bifurcis lignis, [præter expectationem δικροῖς] κεκράγμασι dixit: idque ideo, quia oratores magno cum clamore in concionibus populo perſuadebant, ne pacem faceret.

---

[1] Ὡς καὶ πάντας ἀνθρώπους ὁμολ.] Hæc ſunt verba Polybii apud Conſtantinum in Collectaneis a Valeſio editis pag. 117.

[2] Ἔστι δίκης ὀφθαλμός] Diphilus apud Theodoretum Θεραπ. pag. 564. Ἔστι δὲ δίκης ὀφθαλμὸς, ὃς τὰ πάνθ' ὁρᾷ. Euſebius orat. de Laud. Conſtant. pag. 661. Καὶ δίκης ὀφθαλμὸν ὑπάρχειν, ἔφορον τῶν ἀνθρωπίνων πραγμάτων. Anthol. lib. III. cap. VI. pag. 301.

Ὄμμα δίκης καθορᾷ πάντα τὰ γιγνόμενα.

Vide etiam Stobæum in Eclog. Phyſ. lib. I. cap. VII.

[3] Δίκηλα] Scribe δείκηλα, per ει diphthongum, ut recte ſupra.

[4] Δικηλιστῶν] Vide omnino Athenæum lib. XIV. pag. 621.

[5] Ἐν Ἐπιγράμματι] Antholog. lib. VII. pag. 593.

[6] Δικοῤῥαφεῖν] Voce hac uſus eſt Ariſtophanes *Avibus* pag. 607. ad quem locum nota hæc Suidæ referenda eſt.

[7] Δικραίρῳ δικέρ.] Hexameter hic eſt pars Epigrammatis, quod integrum exſtat Anthol. lib. VI. cap. XXIV. ut Portus monuit.

[8] Πλοῖα μονήρη. ἔστιν ἃ καὶ δίκρ.] Fragmentum hoc apud Dionem, vel potius Xiphilinum in Epit. Dionis pag. 402. paulo auctius ſic legitur: Καὶ πλοῖα δὲ τοῖς Βυζαντίοις πεντακόσια, τὰ μὲν πλεῖστον μονήρη, ἔστι δ' ἃ καὶ δίκροτα κατεσκεύαστο, ἐμβόλους ἔχοντα· καί τινα αὐτῶν ἑκατέρωθεν καὶ ἐκ τῆς πρύμνης καὶ ἐκ τῆς πρώρας πηδαλίοις ἤσκητο, καὶ κυβερνήτας ναύτας τε διπλοῦς εἶχεν, ὅπως αὐτοὶ μὴ ἀναστρεφόμενοι (melius Suidas μεταστρεφόμενοι) καὶ ἐπιπλέωσι καὶ ἀναχωρῶσι, καὶ τοὺς ἐναντίους καὶ ἐν τῷ πρόσπλῳ καὶ ἐν τῷ ἀπόπλῳ σφῶν σφάλλωσι. Narrat ibi Dio hiſtoriam de urbe Byzantio a Severo Imperatore per triennium obſeſſa, & tandem capta.

[9] Ἀριστοφάνης] *Pace* 668. (457. Ed. Baſ. P.) ubi ſic legitur:

Τήνδε μὲν δικροῖς ἐώθουν τὴν Θεὸν κεκράγμασι.

Scholiaſta ad eum locum: Δικροῖς. δικράνοις. ἔδει εἰπεῖν ξύλοις δικράνοις, τουτέστι διφυέσι. ὁ δὲ εἶπε, δικροῖς κεκρ. &c. Sic & apud Suidam ſcribendum eſt.

Δικτατωρεία. ἀρχὴ ἀνυπεύθυνος.

Δικτάτωρ. ὁ διπλασίαν τὴν ἀρχὴν ἔχων. [1] ὃς παρὰ Ῥωμαίοις καὶ δισύπατος καλεῖται. ἀρχὴ δ' ἦν πρόσκαιρος, οὐ διὰ βίου, καὶ ἀνεύθυνος. ἢ ὁ μονάρχης πάντων κρατῶν.

Δικτάτωρ. Ἐπειδὴ [2] Μάλλιος, ἀνὴρ Λατῖνος μὲν γένος, καὶ μέγα παρὰ τοῖς ὁμοφύλοις δυνάμενος, ἀναστήσας πανδημεὶ τὸ Λατίνων γένος, χεῖρά τε μισθοφόρων πολλὴν ἀγείρας, τιμωρεῖν τοῖς κηδεσταῖς ἀτίμως παρεωσμένοις ἠξίου τῆς δυναστείας, ἡ βουλὴ καταδείσασα τὸ πλῆθος τοῦ πολεμίου νέφους, καινὸν ἡγεμονίας εὑρίσκει γένος, προχειρισαμένη τότε πρῶτον Δικτάτωρα, [3] ὃς καθ' Ἑλλάδα γλῶτταν κληθείη ἂν εἰσηγητὴς τῶν λυσιτελῶν· ὑπερέχων μὲν τῆς τῶν ὑπάτων ἀρχῆς, τοῖς δὲ βασιλεῦσι προσφερέστατος. ἀνυπεύθυνόν τε γὰρ τῶν ὅλων εἶχε τὸ κράτος, καὶ ἰσοτύραννον ἐν τῷ καθεστηκότι χρόνῳ τὴν ἐξουσίαν. [4] τοιγαροῦν Γάϊος Καῖσαρ πρότερος, καὶ μετὰ τοῦτον Αὔγουστος Ὀκτάβιος, ὧν ὕστερον κατὰ τοὺς οἰκείους χρόνους μνημονεύσομεν, ὑπὸ τῷδε ὀνόματι τῆς μοναρχίας ἀντιλαμβάνεσθαι διέγνωσαν.

Δικταῖον σπήλαιον.

Δικτυεύς. ὁ ἁλιεύς.

Δόξα Θεοῦ. παρὰ [1] τῷ Ἀποστόλῳ τὸ δημιουργικὸν καὶ προνοητικόν. ταύτην τοιγαροῦν προσεκύρωσαν εἰδώλοις, ἐν ὁμοιώματι ἀνθρώπων καὶ πετεινῶν καὶ τῶν λοιπῶν.

Δόξαν. ἀρέσαν. βεβουλευμένον. Δόξαν δὲ τοῖς Αἰγυπτίοις τὸν μὲν ἕτερον αὐτόθι μένειν, τὸν δὲ ἕτερον εἰς τὰς προσχώρους πόλεις ἀφικόμενον, ἐφ' οἷς ποιήσεται εἰρήνην, ὁρίσαι. Καὶ αὖθις· [2] Δοξάζων ἑαυτὸν ὑπὸ τῶν ἐναντίων καταφρονεῖσθαι. Σοφοκλῆς·

Σοὶ μὲν δοκεῖν ταῦτ' ἐστίν· ἐμοὶ δ' ἄγαν φρονεῖν.

οἷον, σοὶ μὲν ταῦτα ἐν δόξῃ καταλαμβάνεται· ἐγὼ δὲ σαφῶς ἐπίσταμαι.

Δοξάριον. δόξα. ὑποκοριστικῶς.

Δοξάσαι. ὑπονοῆσαι· εἰκάσαι. [3] Ἀριστοφάνης·

Δοξάσαι ἔστι κόραι, τὸ δ' ἐτήτυμον οὐκ ἔχω εἰπεῖν.

καὶ [4] Σοφοκλῆς·

——Δόξα μοι παρεστάθη
Ναοὺς ἱκέσθαι δαιμόνων, τάδ' ἐν χεροῖν
Στέφη λαβούσῃ.

Τὸν [5] σπουδαῖον οὐ δεῖ δοξάσαι. τουτέστι, ψεύδει μὴ συγκατατίθεσθαι.

Δοξασίας. δόξης. ὑπολήψεως. Δίων ἐν Ῥωμαϊκῶν νγ'. Προσέσται δὲ καὶ τῆς ἐμῆς δοξασίας.

Δόξης. Οἱ δὲ σὺν τῷ Φαβίῳ μέγα ἐκβοήσαντες, οὐκέτι δόξης ἀλλὰ πολέμου ἔργα παρείχοντο.

Δοξοκοπία. κενοδοξία. Ἀππιανός· Ὁ δὲ Φλαμίνιος τὴν ἀρχὴν ἀπὸ δοξοκοπίας ᾑρημένος, ἠπείγετο Ἀννίβᾳ συμπλακῆναι. Λέγεται δὲ καὶ δημοκοπία, καὶ δοξοκοπία. [6] Ὑπάτους αἱροῦνται, ἐκ δόξης πολεμικῆς Λεύκιον· ἐκ δὲ δημοκοπίας, Τερέντιον.

Δοξολογῶ σε. ὑμνῶ σε.

Δοξολογούμενος.

Δορά. τὸ δέρμα. καὶ δορὰ ὄνων. [7] Ὁ Ἐμπεδοκλῆς Κωλυσανέμας ἐπεκλήθη, διὰ τὸ ἀνέμου πολλοῦ ἐπιθεμένου τῇ Ἀκράγαντι, ἐξελάσαι αὐτόν, δορὰς ὄνων περιθέντα τῇ πόλει.

Δόρατα. λογχάρια.

Δοράτιον. μικρὸν δόρυ.

Δορί. τῷ δόρατι.

Δοριάλωτον. αἰχμάλωτον.

ſatur, prodeſt? Si enim Athenas dicunt eſſe religioſiſſimas, & ſolas afflictum hoſpitem ſervare, eique opem ferre poſſe: ubinam hæc mihi ſunt?

Δόξα. Gloria. Laus.

Δόξα Θεοῦ. Sic apud Apoſtolum vocatur vis illa Dei, qua omnia creavit; itemque ejus providentia. Hanc [gentiles] ſub hominum, volucrum, aliarumque rerum ſpecie falſis Diis attribuerunt.

Δόξαν. [Pro δόξαντος.] Cum viſum fuiſſet. Cum placuiſſet. Cum decretum fuiſſet. *Cum autem Ægyptiis placuiſſet, ut alter quidem illic maneret, alter vero ad vicinas urbes profectus ſtatueret, quibus conditionibus pax facienda eſſet.* Et iterum: *Exiſtimans ſe ab adverſariis contemni.* Sophocles: *Tibi quidem hæc opinari licet: meum vero eſt, accuratius ea intelligere.* Vel, tu quidem ea opinaris, ego vero certo ſcio.

Δοξάριον. Diminutive. Parva gloria.

Δοξάσαι. Opinari. Suſpicari. Conjicere. Ariſtophanes: *Conjicere quidem licet, puellæ: non autem certi quid affirmare poſſum.* Et Sophocles: *Faciendum mihi putavi, ut templa Deorum adirem, has corollas manibus tenens.* † Virum probum non oportet opinari. Id eſt, mendacio non aſſentiri.

Δοξασίας. Opinionis. Suſpicionis. Conjecturæ. Dion Hiſtor. Rom. lib. LIII. *Addam etiam meam hac de re opinionem.*

Δόξης. Opinionis. *Illi vero, qui cum Fabio erant, ingenti clamore ſublato, non amplius opinionis ſed belli opera faciebant.*

Δοξοκοπία. Vana jactantia. Affectatio gloriæ. Popularis auræ captatio. *Flaminius vero, qui populi favore Conſulatum adeptus erat, cum Annibale manus conſerere quamprimum cupiebat.* Pro δοξοκοπία autem dicitur etiam δημοκοπία. *Conſules autem eligunt: Lucium, ut rei bellicæ peritum; & Terentium, ut qui apud populum gratioſus eſſet.*

Δοξολογῶ σε. Celebro te. Laudo te.

Δοξολογούμενος. Laudatus. Celebratus.

Δορά. Pellis. Et δορὰ ὄνων, pellis aſinorum. Empedocles vocatus eſt Κωλυσανέμας: quod, cum vehemens ventus in Agrigentum irruiſſet, urbe pellibus aſinorum circundata, eum propulſaſſet.

Δόρατα. Haſtæ.

Δοράτιον. Parva haſta.

Δορί. Haſta. Pro δόρατι.

Δοριάλωτον. Bello captum.

---

[1] Παρὰ τῷ Ἀποστόλῳ] Intelligit Divum Paulum ad Romanos cap. 1.

[2] Δοξάζων ἑαυτὸν ὑπὸ τῶν ἐναντ. καταφρ.] Fragmentum hoc legitur apud Polyb. lib. III. cap. LXXXII.

[3] Ἀριστοφάνης] *Pace* pag. 632. ſed ubi pro οὐκ ἔχω εἰπεῖν, hodie legitur, ἄχθομαι ὑμῖν.

[4] Σοφοκλῆς] *Oedip. Tyran.* ut Portus monuit.

[5] Τὸν σπουδαῖον οὐ δεῖ δοξάσαι. τουτέστι, ψεύδει μὴ συγκ.] Hæc ſunt verba Laertii *Zenone* Lib. VII. Segm. 121. ut Pearſonius etiam obſervaverat.

[6] Ὑπάτους αἱροῦνται, ἐκ δόξης πολ.] Idem fragmentum legitur etiam ſupra v. Δημοκοπεῖν.

[7] Ὁ Ἐμπεδοκλῆς Κωλυσ.] Vide Laertium *Empedocle*, ſegm. LX & noſtrum ſupra v. Ἄπνους.

Δορύκλητος.[1] περὶ τὸ δόρυ ἔνδοξος.

Δορίκτητος πλοῦτος. ὁ ἀπὸ πολέμου.

Δόριλλος.[2] τὸ γυναικεῖον αἰδοῖον· ἐφ' ὕβρει τοῦ τραγῳδοποιοῦ Δορίλλου.

Δορίσκος.[3] χωρίον Θρᾳκικόν.

Δορκαλίδες. ὄργανόν ἐστι κολαστικόν τι. ἢ μάστιγες αἱ ἀπὸ ἱμάντων δορκάδων.

Δορκάς. καὶ παροιμία·

Μὴ πρὸς λέοντα δορκὰς ἅψωμαι μάχης.

ἐπὶ τῶν τὴν ἰσχὺν ἀνίσων.

Δόρκων. ὄνομα τόπου. καὶ ὁ ἔλαφος.

Δοροδόκος.[4] τὸ [5] ξύλον τὸ ὑποδεχόμενον τῆς οἰκίας τὸν ὄροφον.

Δορός. δόρατος.

Ἴσως[6] τοι, κεἰ βλέποντα μὴ 'πόθουν,
Θανόντ' ἂν οἰμώξειαν ἐν χρείᾳ δορός.

Τέκμησσά φησι, γυνὴ Αἴαντος περὶ Ἀγαμέμνονος.

Δορπήσας. δειπνήσας.

Δόρπεια. ἡ πρώτη ἡμέρα, ἡ τῶν Ἀπατουρίων. ἡ δ' ἑξῆς, Ἀνάῤῥυσις. Κουρεῶτις δὲ, ἡ τρίτη. καὶ πλατύτερον ἐν τῷ Ἀπατούρια.

Δόρπιστος. δείπνου ὥρα.

Δόρπος. ὁ δεῖπνος. καὶ δορπορή. ὁ αὐτός. δόρπος οὖν τὸ ἑσπερινὸν δεῖπνον· παρὰ τὸ δόρυ παύειν. καὶ ἐν τῷ Δεῖπνος.

Δόρυ. τὸ ἀκόντιον. Καὶ δορύκτητον ὄλβον ἐδέξατο.

Δόρυ[7] κηρύκειον. παροιμία, ἐπὶ τῶν ἅμα παρακαλούντων καὶ ἀπειλούντων. Οἱ [8] δὲ κατευθέντες εἰς Δελφοὺς ὑπ' Ἀθηναίων Γεφυραῖοι, λαβόντες χρησμόν· Ἀνδρὶ Γεφυραίῳ φίλος οἶκος· ἀκολουθοῦντες βουσὶν, ἕως ἂν οὗ ἐκεῖνοι κοπιάσωσιν, ὡς ὁ Θεὸς αὐτοῖς ἔχρησεν, ὅπως ἐκεῖ καταμείνωσι, πολεμουμένων Ἀθηναίων ὑπὸ Εὐμόλπου, ὑπὸ τὴν Τάναγραν καλουμένην ὤδευσαν, δόντες μὲν τῷ προηγουμένῳ κηρύκειον, καθοπλίσαντες δὲ κατόπιν τοὺς νέους.

Δορυάλειον. τόπος. καὶ Δορύλαιον. τόπος.

Δορυμέδων. ὄνομα κύριον.

Δορυμήστορος. τοῦ ἐπιστημόνως πολεμοῦντος.

Δορύξενος.[9] ὁ ἐκ τῶν πολεμίων φίλος, ὡς [10] Γλαῦ-

Δορύκλητος. Haſta clarus. Bello inclytus.

Δορίκτητος πλοῦτος. Divitiæ bello partæ.

Δόριλλος. Pudendum muliebre, [ſic vocatum,] in contumeliam Dorilli Tragici.

Δορίσκος. Doriſcus. Oppidum Thraciæ.

Δορκαλίδες. Inſtrumentum quoddam, quo ſontes torquentur. Vel flagella, ex caprearum loris confecta.

Δορκάς. Caprea. Dama. Et proverbium: *Ne caprea cum leone pugnam ineam.* Dicitur de iis, qui viribus ſunt impares.

Δόρκων. Nomen loci. Item cervus.

Δοροδόκος. Lignum, quod tectum domus ſuſtinet.

Δορός. Pro δόρατος. Haſtæ. [Sophocles:] *Fortaſſe, quamvis viventem non amaverint, mortuum deplorabunt, urgente belli neceſſitate.* Tecmeſſa Ajacis uxor de Agamemnone hæc dicit.

Δορπήσας. Qui cœnavit. Qui cœnam ſumpſit.

Δόρπεια. Dorpia. Primus Apaturiorum dies. Secundus autem appellabatur Anarrhyſis; & tertius Cureotis. De hac re fuſius agitur v. Ἀπατούρια.

Δόρπιστος. Cœnæ hora.

Δόρπος. Cœna. Et δορπορή. Idem. Δόρπος igitur vocatur veſpertina cœna: quod tunc haſta quieſcat. Vide in v. Δεῖπνος.

Δόρυ. Haſta. Jaculum. *Et opes bello partas accepit.*

Δόρυ κηρύκειον. Haſta & caduceum. Proverbium de iis, qui precibus minas jungunt. Gephyræi ab Athenienſibus Delphos miſſi, accepto Oraculo: *Viro Gephyræo domus amica:* cum boves ſequerentur, ut illic manerent, ubi illi defatigati fuiſſent, prout oraculum ipſis præceperat; Eumolpo Athenienſes oppugnante, Tanagram ita dictam profecti ſunt, & duci quidem caduceum dederunt, juventutem vero pone ſequentem armarunt.

Δορυάλειον, & Δορύλαιον. Nomen loci.

Δορυμέδων. Dorymedon. Nomen proprium.

Δορυμήστορος. Artis bellicæ periti.

Δορύξενος. Qui ex hoſte factus eſt amicus:

---

[1] Δορύκλητος] Scribendum eſſe δορίκλυτος vel cœcus videat.

[2] Δόριλλος] Scholiaſta Ariſtophanis ad *Ranas* pag. 237. ſcribit δορίαλος. At Heſychius, δορύαλλος. In hoc trivio quæ via ſequenda ſit, difficile dictu eſt.

[3] Δορίσκος. χωρίον Θρᾳκ.] Vide Harpocrationem h. v. & Herodotum lib. VII. pag. 406.

[4] Δοροδόκος] Vide omnino Valeſium ad Harpocrationem v. Στρωτήρ.

[5] Τὸ ξύλον] Hæ duæ voces deſunt in prioribus Editt. at exſtant in 2 MSS. Pariſ.

[6] Ἴσως τοι, κεἰ βλ.] Hæc ſunt verba Sophoclis *Ajace* pag. 56. ut Portus monuit.

[7] Δόρυ κηρύκειον. παροιμία, ἐπὶ τῶν ἅμα παρακ.] Locus hic Suidæ emendandus & ſupplendus eſt ex Euſtathio ad Iliad. Γ. pag. 408. qui eadem plane ex Pauſaniæ Lexico recitat. Verba Euſtathii hæc ſunt: Θατέρᾳ μὲν δόρυ, θατέρᾳ δὲ κηρύκειον προΐσχειν. ὃ δὴ παροιμία ἦν, ὥς φησι Παυσανίας, ἐπὶ τῶν ἅμα παρακαλούντων καὶ ἀπειλούντων. οἱ δεκατευθέντες γὰρ, φησὶν, εἰς Δελφοὺς ὑπὸ Ἀθηναίων Γεφυραῖοι, λαβόντες χρησμὸν, ὡς

Ἀνδρὶ Γεφυραίῳ οἶκος φίλος, οἶκος ἄριστος·

εἶτα βουσὶν ἀκολουθοῦντες, ἕως οὗ ἐκεῖνοι κοπιάσουσιν, οἱ βόες δηλαδὴ, ὡς ὁ Θεὸς αὐτοῖς ἔχρησεν, ὅπως ἐκεῖ καταμείνωσι· πολεμουμένων Ἀθηναίων ὑπὸ Εὐμόλπου, ἐπὶ Τάναγραν ὤδευσαν, δόντες μὲν τῷ προηγουμένῳ κηρύκειον, ὡς ἐπὶ πρεσβείᾳ καὶ εἰρήνῃ, καθοπλίσαντες δὲ κατόπιν τοὺς νέους. ὅθεν παροιμία ἐξέπεσεν, ἐπὶ τῶν ὅμοια (lege ἀνόμοια) τινὰ ποιούντων, λέγουσα, δόρυ καὶ κηρύκειον. Qui hæc legerit, vix dubitabit, quin & Suidas ſua ex eodem Pauſaniæ Lexico deſcripſerit. Cæterum, non ſolum Euſtathius loco citato, ſed etiam Zenobius & Heſychius proverbium hoc cum copula efferunt, δόρυ καὶ κηρύκειον: quod magis placet.

[8] Οἱ δὲ κατευθέντες] Sic habent omnes Editt. ſed mendoſe: cujus loco Portus legendum putabat, οἱ δὲ καταχθέντες. At Euſtathius loco laudato habet οἱ δεκατευθέντες, i. e. decimati: quæ lectio an veritati hiſtoriæ congruat, propter ſilentium veterum ſcriptorum affirmare non habeo.

[9] Δορύξενος. ὁ ἐκ τῶν πολ.] Sophocles *Electra* pag. 82.

Μέγιστος αὐτοῖς τυγχάνει δορυξένων.

Scholiaſta ad illum locum: Δορυξένων. φίλων. κυρίως δὲ δορύξενοι καλοῦνται, οἱ ἐν πολέμῳ γιγνόμενοι φίλοι, ὡς Γλαῦκος καὶ Διομήδης. Huc Suidas reſpexiſſe videtur. Pauſanias apud Euſtath. ad Il. Γ. pag. 405. Δορύξενος, ὁ ἐκ πολεμίων φίλος. καὶ ὁ πρεσβεύων περὶ λύτρων, εἰ ζωγρηθεῖέν τινες. Hæc ad verbum reſpondent iis, quæ Suidas hic habet. Vide etiam infra v. Ἰδιόξενος.

[10] Ὡς Γλαῦκος καὶ Διομήδης] Hæc verba in prioribus Editt. male collocata ſunt poſt ζωγρηθεῖέν τινες: quæ nos loco ſuo recte reſtituiſſe non ſolum ex ſenſu patet, ſed etiam ex Scholiaſta Sophoclis, cujus verba paulo ante adduximus.

χος καὶ Διομήδης. ὁ πρεσβεύων περὶ λύτρων, εἰ ζωγρηθεῖέν τινες. [1] Δορυξένους ἐκάλουν καὶ τοὺς ὁπωσοῦν ἐπιξενωθέντας. [2] Ἀνδρὸς τοιοῦδ', ὅτου πρῶτον μὲν ἡ δορύξενος κοινὴ παρ' ἡμῖν αἰὲν ἐστὶν ἑστία. ἢ ἐπιταλικῶς νῦν ἀντὶ τοῦ, ἡ καὶ πολεμίοις φίλη.

Δορυξόος. [3] Ἀριστοφάνης·

Κεἴ τις δορυξόος, ἢ κάπηλος ἀσπίδων,
Ἦν [4] ἐμπολῶν βέλτιον, ἐπιθυμεῖ μαχῶν,
Ληφθεὶς ὑπὸ ληστῶν ἐσθίοι κριθὰς μόνας.

Δορυσσόντων [5] μόχθων. τουτέστι, τῶν κατὰ πόλεμον μόχθων. ἐξ οὗ, πολεμικῶν.

Δορυφορεῖ. αἰτιατικῇ. τιμὴν περιποιεῖ.

Δορυφόροι. φύλακες. ὑπηρέται βασιλέως. ὁπλοφόροι. ὑπασπισταί.

Δορύχνιον, [6] καὶ δορύκνιον. ἔστι δὲ πόα τις. πινόμενον γὰρ ὑπάρχει τῶν θανασίμων. ἔστι δὲ κατὰ τὴν ὀσμὴν καὶ τὴν γεῦσιν γάλακτι παραπλήσιον. ὅθεν δυσδιάκριτον τοῖς πίνουσι, διὰ τὸ εἶναι γάλακτι παραπλήσιον. Δημοφῶν δὲ ἐτυμολογεῖ αὐτὸ οὕτω κεκλῆσθαι διὰ τὸ δόρατι ἴσον εἶναι κατὰ τὴν ἀναίρεσιν.

Δός. δότε.

Καί [7] δὸς, πᾶς ὁ βίος· λάβε δ' οὐδ' ἐπὶ νηυσὶν
ἀκούσαις.

Δοσίθεος. [8] ὄνομα κύριον.

Δόσις. [9] ἰδίως λέγεται παρὰ τοῖς ῥήτορσι συμβόλαιον γραφόμενον, ὅταν τις τὰ αὐτοῦ διδῷ διὰ τῶν ἀρχόντων.

Δοσοληψία.

Δότε [10] μοι λεκάνην. ἐπὶ τῶν ὀργιζομένων καὶ προσποιουμένων ὑπὸ χολῆς ἐμεῖν.

Δότειρα. δοτήρ. δότης. δώτωρ δέ.

Δουλεία. [11] κατὰ τρεῖς τρόπους. ἡ κατὰ τὴν δημιουργίαν. καθά φησιν· Ὅτι τὰ [12] σύμπαντα δοῦλα σά. ἡ παρὰ τῆς πίστεως· ὡς εἴρηται, [13] Ἐλευθερωθέντες δὲ ἀπὸ τῆς ἁμαρτίας, ἐδουλώθητε τῇ δικαιοσύνῃ. τρίτον, ἀπὸ τῆς πολιτείας· κατὰ τὸ εἰρημένον· [14] Μωϋσῆς ὁ θεράπων μου.

Δούλειον ἦμαρ.

Δουλίχιος. νῆσος.

ut Glaucus & Diomedes. Item, qui legatus mittitur captivorum redimendorum gratia. Δορυξένους etiam vocabant, qui quomodocunque hoſpitio ab aliquo excepti fuiſſent. [Sophocles:] *Quis viri iſtius benevolentiam rejiciat, cui in terra noſtra, omnibus hoſpitibus communi, ſedes deneganda non eſt.* Vel ſenſus eſt, quæ vel hoſtibus amica eſt.

Δορυξόος. Haſtarum faber. Ariſtophanes: *Et ſi quis haſtarum faber, aut clypeorum inſtitor bellum cupit, ut merces ſuas melius vendat, a latronibus captus ſolum hordeum edat.*

Δορυσσόντων μόχθων. Laborum, qui in bello ſuſtinentur. Δορυσσόντων enim hic eundem ſenſum habet quem πολεμικῶν.

Δορυφορεῖ. Accuſativo jungitur. [Satellitio ſtipat.] Honorem conciliat.

Δορυφόροι. Cuſtodes. Regis miniſtri. Armigeri. Satellites.

Δορύχνιον, & δορύκνιον. Herba quædam, quæ, ſi bibatur, letalis eſt. Eadem odore & ſapore lacti ſimilis eſt. Unde difficulter a bibente diſcerni poteſt, quod lacti ſimilis ſit. Demophon vero eam inde dictam eſſe putat, quod haſtæ inſtar occidat.

Δός. δότε. Da, date. *Et, da, tota eſt vita. Accipe vero, ne in navibus quidem audias.*

Δοσίθεος. Doſitheus. Nomen proprium.

Δόσις. Apud oratores peculiariter ſic vocantur tabulæ teſtamenti, in quibus quis, quæ ſua ſunt, alteri dat, interveniente magiſtratu.

Δοσοληψία. Donorum acceptio.

Δότε μοι λεκάνην. Date mihi pelvim. De iis dicitur, qui iraſcuntur, & præ ira ſe vomere ſimulant.

Δότειρα, δοτήρ, & δότης, [per ο ſcribuntur.] Δώτωρ vero, per ω.

Δουλεία. Servitus. Triplici ſenſu dicitur. Primo quatenus Deo, ut creatori, ſubjecti ſumus; ſecundum illud: *Omnia tibi ſerviunt.* Deinde eſt etiam ſervitus reſpectu fidei; ſecundum illud: *Liberati a peccato ſervi Juſtitiæ facti eſtis.* Tertia ſervitus eſt civilis & politica; ſecundum illud: *Moſes ſervus meus.*

Δούλειον ἦμαρ. Servitus.

Δουλίχιος. Dulichius, inſula.

---

[1] Δορυξένους ἐκάλουν καὶ τοὺς ὁπωσοῦν ἐπιξενωθ.] Hæc deſcripta ſunt ex Scholiaſta Sophoclis ad *Oedip. Colon.* pag. 292. ut Portus bene monuit.

[2] Ἀνδρὸς τοιοῦδ', ὅτου μὲν πρ.] Supple & diſtingue ex Sophocle:

Τίς δῆτ' ἂν ἀνδρὸς εὐμένειαν ἐκβάλοι
Τοιοῦδ', ὅτου πρῶτον μὲν ἡ δορύξενος
Κοινή τ' ἄρ' ἡμῖν αἰὲν ἐστιν ἑστία.

Sed verſum ſecundum ſenſus gratia ita refinxerim:

Τοιοῦδ', ὅτῳ πρῶτον μὲν ἡ δορυξένοις. Hanc lectionem in verſione ſecutus ſum. Et deinde, pro κοινή τ' ἄρ' ἡμῖν, ex Suida reſcribendum eſt, κοινὴ παρ' ἡμῖν.

[3] Ἀριστοφάνης] *Pace* pag. 449. (653. Ed. Baſ. P.)

[4] Ἦν ἐμπολῶν] Scribe, ἵν' ἐμπολᾷ, ut legitur apud Ariſtophanem.

[5] Δορυσσόντων μόχθων] Sunt verba Sophoclis *Ajace* pag. 66. ut Portus obſervavit.

[6] Δορύχνιον, καὶ δορύκνιον. ἔστι δὲ πόα τις] Hæc & quæ ſequuntur, αὐτολεξεὶ etiam leguntur apud Etymologum: ſed deſunt in MSS. Pariſ.

[7] Καὶ δὸς, πᾶς ὁ β.] Scaliger in Collectione Proverbiorum metricorum verſum hunc ita edidit:

Δὸς, δότε, πᾶς ὁ βίος. λάβε δ' οὐδ' ἐπὶ νηυσὶν ἀκούσαις.

[8] Δοσίθεος] De eo vide apud Photium Cod. ccxxx. pag. 884.

[9] Δόσις. ἰδίως λέγεται παρὰ τοῖς ῥήτ.] Ex Harpocratione: ad quem vide Mauſſacum & Valeſium.

[10] Δότε μοι λεκάνην] Sunt verba Ariſtophanis *Nubibus* pag. 176. (106. Ed. Baſ. P.)

[11] Δουλεία. κατὰ τρεῖς τρόπους. ἡ κατὰ τὴν δημ.] Hæc, & quæ ſequuntur, ſunt verba Chryſoſtomi Homil. I. in Epiſt. ad Roman. pag. 5. His apprime conſona ſunt, quæ habet Theophylactus ad cap. I. Epiſt. ad Rom. v. I. Πολλοὶ δουλείας τρόποι· ὁ ἀπὸ τῆς δημιουργίας, καθ' ὃν τὰ πάντα δοῦλα σά. ὁ ἀπὸ τῆς πίστεως, καθ' ὃν εἴρηται, ὅτι ὑπηκούσατε εἰς ὃν παρεδόθητε τύπον διδαχῆς. ὁ ἀπὸ τῆς πολιτείας, καθ' ὃν καὶ Μωσῆς θεράπων Θεοῦ.

[12] Τὰ σύμπαντα δοῦλα σά] Pſal. CXVIII. 91.

[13] Ἐλευθερωθέντες δὲ ἀπὸ τῆς ἁμαρτ.] Rom. VI. 18.

[14] Μωϋσῆς ὁ θεράπων μου] Deuteron. XXXIV. 5.

Δουλιχοδείρων. μακροτραχήλων.

Δουλοκρατίαν. Γάϊος Ῥωμαίων βασιλεὺς δουλοκρατίαν νομοθετήσας ἐπέτρεψε κατηγορεῖν τῶν δεσποτῶν, εἴ τι ἂν εἰδεῖεν αὐτῶν πλημμέλημα. τὰ λοιπὰ ἐν τῷ Γάϊος.

Δοῦλος. δύηλίς τις ὤν. δύη γὰρ ἡ κακοπάθεια καὶ δυστυχία.

Δοῦλος [1] ὢν κόμην ἔχεις. ἐπὶ τῶν παραλόγως τι πραττόντων· παρ' ὅσον ἐλευθέρων τὸ κομᾷν. λέγεται δὲ καὶ δουλότερος κατὰ σύγκρισιν.

Δουλοσύνη. [2] Οἱ δὲ Φωκέες περιημέκτεον τῇ δουλοσύνῃ. ἀντὶ τοῦ, ἐδυσφόρουν.

Δούλων [3] πόλις. παροιμία. ἐν Λιβύῃ. Ἔφορος ε'. καὶ ἑτέρα ἱεροδούλων· ἐν ᾗ εἷς ἐλεύθερός ἐστιν. ἔστι δὲ καὶ ἐν Κρήτῃ δουλόπολις, ὡς Σωσικράτης ἐν τῇ ά τῶν Κρητικῶν. ἔστι δέ τις καὶ περὶ Θρᾴκην Πονηρόπολις, ἣν Φίλιππόν φασι συνοικίσαι, τοὺς ἐπὶ πονηρείᾳ διαβαλλομένους αὐτόθι συναγαγόντα, συκοφάντας, ψευδομάρτυρας, καὶ τοὺς συνηγόρους, καὶ τοὺς ἄλλους πονηρούς, ὡς δισχιλίους· ὡς Θεόπομπος ἐν τῇ αγ' τῶν Φιλιππικῶν φησι.

Δοῦλοι πάντες μὲν φύσει Θεοῦ· διαθέσει δέ, οἱ τούτου τὴν δεσποτείαν ἀσπασίως αἱρούμενοι. καὶ δοῦλοι οἱ φαῦλοι τῶν [4] κακῶν. οἱ δὲ σπουδαῖοι ἐλεύθεροι. [5] εἶναι δὲ καὶ ἄλλην δουλείαν, τὴν ἐν ὑποτάξει. καὶ τρίτην ἐν κτήσει καὶ ὑποτάξει· ᾗ ἀντιτίθεται ἡ δεσποτεία, φαύλη οὖσα καὶ αὐτή. οὐ μόνον δὲ ἐλευθέρους εἶναι τοὺς σπουδαίους, ἀλλὰ καὶ βασιλέας. [6] ἡ γὰρ βασιλεία ἀρχὴ ἀνυπεύθυνος. ἥτις περὶ μόνους ἂν τοὺς σοφοὺς συσταίη.

Δούπησεν. ἔπεσεν, ὥστε ψόφον τινὰ ἀπετέλεσε.

Δοῦπον. ψόφον. καὶ δοῦπος, θάνατος μετὰ ψόφου.

Δούπων. ὄνομα κύριον.

Δουράτειος ἵππος. καὶ δουράτεος.

Δούρειος. ὁ ξύλινος ἵππος τῶν Ἑλλήνων. [7] Ἀριστοφάνης· Μέγεθος ὅσον ὁ δούρειος, ὑπὸ τοῦ πλάτους ἂν παρελασαίτην. τὸ δὲ μῆκος ἑκατοντόργυιον.

Δουρινεκές. [8] ὅσον δόρατος βολή. ὅσον δόρυ διατεῖναι. ἢ μῆκος δόρατος.

Δουλιχοδείρων. Longa colla habentium.

Δουλοκρατίαν. *Cajus Romanorum Imperator ſervis lege lata eam poteſtatem & licentiam conceſſit, ut dominos accuſare eis liceret, ſi quod crimen ab iis admiſſum eſſe ſcirent.* Cætera quære in v. Γάϊος

Δοῦλος. Servus. Quaſi dicas δύηλις. Δύη enim ærumnam & infelicitatem ſignificat.

Δοῦλος ὢν κόμ. *Servus cum ſis, comam habes?* Dicitur de iis, qui indecore aliquid faciunt. Ingenuorum enim eſt comam alere. Dicitur etiam δουλότερος in comparativo.

Δουλοσύνη. Servitus. *Phocenſes vero ſervitutem iniquo animo ferebant.*

Δούλων πόλις. Servorum urbs. Proverbium. Erat autem in Africa ſita, ut auctor eſt Ephorus libro v. Et altera, ſacrorum ſervorum urbs, in qua unus erat ingenuus. Erat & in Creta Dulopolis, ut ait Soſicrates libro primo rerum Creticarum. Erat & alia quædam Poneropolis (i. e. urbs improborum) in Thracia, quam Philippus, ut ferunt, condidit, conductis eo hominibus, qui flagitiis infames erant; veluti calumniatoribus, falſis teſtibus, cauſidicis, & aliis hujus generis hominibus ad duo millia, ut ait Theopompus rerum Philippicarum lib. XIII.

Δοῦλοι. Servi. Omnes quidem natura ſervi ſunt Dei: at animi voluntate illi, qui imperio ejus ſe libenter ſubjiciunt. Et mali ſunt vitiorum ſervi: boni vero, liberi. [Dicunt autem Stoici,] eſſe & aliam ſervitutem, quæ in ſubjectione conſiſtat: itemque tertiam, qua mancipia dominis ſubjecta ſint: cui dominatio, quæ & ipſa mala eſt, opponitur. Non ſolum autem viros bonos ajunt eſſe liberos, ſed & Reges. Regnum enim eſt imperium nemini obnoxium, quod in ſolos tantum ſapientes cadat.

Δούπησεν. Cum ſonitu cecidit.

Δοῦπον. Strepitum. Et δοῦπος, mors ejus, qui cum ſtrepitu cadit.

Δούπων. Dupon. Nomen proprium.

Δουράτειος, & δουράτεος ἵππος. Ligneus equus.

Δούρειος. Ligneus equus Græcorum. Ariſtophanes: *Duo currus in muri dorſo propter ejus latitudinem facile ſe prætereant; etiamſi eum trahant equi, ligneo Græcorum equo magnitudine pares. Longitudo vero ejus eſt centum orgyiarum.*

Δουρινεκές. Quouſque haſtæ jactus pertingit. Quantum haſta extendi poteſt. Vel, haſtæ longitudo.

---

[1] Δοῦλος ὢν κόμην ἔχεις] Ariſtophanes *Avibus* pag. 584. (404. Ed. Baſ. P.)

[2] Οἱ δὲ Φωκέες περιημέκτεον τῇ δουλ.] Hæc ſunt verba Herodoti lib. 1. pag. 42. ſed ubi pro περιημέκτεον legitur περιημεκτέοντες.

[3] Δούλων πόλις] Confer Stephanum Byzantinum h. v. & Vaticanam Proverbiorum Append. Centur. III. Adag. XCIV. & ibi Schottum.

[4] Κακῶν] Lego κακιῶν, id eſt, vitiorum.

[5] Εἶναι δὲ καὶ ἄλλην δουλείαν, τὴν ἐν ὑπο.] Hæc, & quæ ſequuntur, ſunt verba Laertii lib. VII. ſegm. CXXI. CXXII. ut Pearſonius etiam obſervaverat.

[6] Ἡ γὰρ βασιλεία] Sic recte 2 MSS. Pariſ. At priores Editt. male ὁ γὰρ βασιλεύς.

[7] Ἀριστοφάνης] *Avibus* pag. 595. (412. Ed. Baſ. P.) unde locus hic ita ampliandus & diſtinguendus eſt:

Ὥσθ' ὑπερφάνω μὲν Προξενίδης ὁ Κομπασεὺς
Καὶ Θεαγένης ἐναντίω δύ' ἅρματε,
Ἵππων ὑπόντων μέγεθος, ὅσον ὁ Δούρειος,
Ὑπὸ τοῦ πλάτους ἂν παρελασαίτην. Ἡράκλεις.
Τὸ δὲ μῆκός ἐστι, καὶ γὰρ ἐμέτρησ' αὔτ' ἐγώ,
Ἑκατοντόργυιον.

Senſus eſt clarus. Scholiaſta ad illud, ὅσον ὁ Δούρειος: Οὐ πιθανὸν κοινῶς λέγειν αὐτόν· ἀλλὰ περὶ τοῦ χαλκοῦ τοῦ ἐν Ἀκροπόλει. ἀνέκειτο γὰρ ἐν Ἀκροπόλει δούρειος ἵππος, ἐπιγραφὴν ἔχων· Χαιρέδημος Εὐαγγέλου ἐκ Κοίλης ἀνέθηκε. δύναται δὲ ὁ ἐν Ἰλίῳ λαμβάνεσθαι. ἐν Ἀκροπόλει δὲ χαλκοῦς ἵππος ἀνέκειτο, κατὰ μίμησιν τοῦ Ἰλιακοῦ. Confer etiam Heſychium v. Κελὸς ἀσελγόκερως, & Meurſium *Cecrop.* pag. 26.

[8] Δουρινεκές] Scribe δουρηνεκές. Vide Homerum Il. K. v. 357. & ibi interpretes.

Δουρί, καὶ δορί. τῷ δόρατι.

Δουρίληπτος. αἰχμάλωτος.

Δοῦρις. ὄνομα ποιητοῦ.

Δουροδόκης.[1] τῆς τὰ δόρατα δεχομένης.

Δοχμή. σπιθαμή·[2] Ἀριστοφάνης·

Πρὶν ἡμέραν φορῆσαι, μεῖζον ἦν δυοῖν δοχμαῖν. Δοχμή. ἡ παλαιστή. λέγει δὲ περὶ βυρσοδέψην περὶ τοῦ δέρματος.

Δόχμιον. πλάγιον.

Δῶ. κατ' ἀποκοπήν. δῶμα. ὁ οἶκος.

Δωδεκάβοιον. δώδεκα βοῶν ἄξιον.

Δωδεκαδώρῳ. δώδεκα παλαιστῶν ὄντι. δῶρον γὰρ ἡ παλαιστή. ἐν Ἐπιγράμμασι·[3] Κυλλανίων ἀνερύσαντες ἔρρεξαν, καὶ οἱ δωδεκάδωρα κέρα ἄλλῳ μακρολένοντι ποτὶ πλατάνιστον ἔπαξαν.

Δωδεκάκρουνος.[4] κρήνη Ἀθήνησιν ἦν.[5] Θουκυδίδης Ἐννεάκρουνον[6].

Δωδεκάκρουνον στόμα. ὁ γὰρ Κρατῖνος ἑαυτὸν ἐπῄνεσεν ἐν Πυτίνῃ λέγων·

Ἄναξ[7] Ἄπολλον, τῶν ἐπῶν τῶν ῥευμάτων
Καναχοῦσι[8] πηγαί, δωδεκάκρουνον στόμα.
Ἰλισσὸς[9] ἐν τῇ φάρυγγι ἂν εἴποιμι.
Εἰ μὴ ἐπιβύσει τις αὐτοῦ τὸ στόμα
Κατακλύσει τοῖς λόγοισιν.

Δωδεκαμήχανον. ἐπὶ τῶν παντοδαποῖς καὶ ποικίλοις ἤθεσι χρωμένων.[10] Κυρήνη γάρ τις ἐπίσημος γέγονεν ἑταίρα, δωδεκαμήχανος ἐπικαλουμένη, διὰ τὸ τοσαῦτα σχήματα ἐν τῇ συνουσίᾳ ποιεῖν. ἔστι δὲ παρὰ τὸ ἐξ Ὑψιπύλης Εὐριπίδου· Ἀνὰ τὸ δωδεκαμήχανον ἄστρον. καὶ δωδεκαμήχανος πόρνη, ιβʹ σχήμασι χρωμένη, Κυρήνη τοὔνομα.

Δωδεκατημόριον ἡ δωδεκάτη μοῖρα.

Δωδεκίδες.[11] θυσίαι δώδεκα ἱερείων· ὡς τριττύς, ἡ ἐκ τριῶν.

Δωδωναῖον[12] χαλκεῖον. ἐπὶ τῶν[13] μικρολογούντων. Δήμων γάρ φησιν, ὅτι τὸ τοῦ Διὸς μαντεῖον ἐν Δωδώνῃ λέβησιν ἐν κύκλῳ περιείληπται. τούτους δὲ ψαύειν ἀλλήλους, καὶ κρουσθέντος τοῦ ἑνός, ἠχεῖν ἐκ διαδοχῆς

Δουρί, & δορί. Idem quod δόρατι. Haſta.

Δουρίληπτος. Bello captus.

Δοῦρις. Duris. Poetæ nomen.

Δουροδόκης. Thecæ haſtarum.

Δοχμή. Palmus. Ariſtophanes: *Priuſquam unum diem ſoleæ geſtatæ eſſent, ultra duos palmos ſeſe dilataverant.* Hæc aliquis de corio dicit ad coriarium.

Δόχμιον. Obliquum.

Δῶ. Per apocopen pro δῶμα. Domus.

Δωδεκάβοιον. Quod duodecim boves valet.

Δωδεκαδώρῳ. Duodecim palmorum longitudinem habenti. Δῶρον enim eſt palmus. In Epigrammate: [*Juvencam*] *capite reſupinato immolarunt Cyllenio, eique cornua duodecim palmorum longo clavo ad platanum affixerunt.*

Δωδεκάκρουνος. Fons erat Athenis, ita dictus: quem Thucydides Ἐννεάκρουνον vocat.

Δωδεκάκρουνον στόμα. Duodecim fiſtulas vel ſcatebras habens os. Cratinus in *Pytina* ſe ipſe laudat, ſic dicens: *Rex Apollo, os ejus inſtar fontis plures ſcaturigines habentis verſuum flumina cum ſtrepitu fundit. Iliſſus eſt in faucibus ejus. Quid dicam? Niſi quis os ejus obturaverit, omnia hæc obruet poematibus.*

Δωδεκαμήχανον. Vox hæc dicitur de illis, qui variis artibus & technis utuntur. Cyrene enim nobilis meretrix, δωδεκαμήχανος vocata fuit, quod in concubitu duodecim ſchemis venereis uti ſoleret. Hoc autem expreſſum eſt ex illo verſu Euripidis *Hypſipyla*: Ἀνὰ τὸ δωδεκαμήχανον ἄστρον. Et δωδεμήχανος πόρνη, meretrix, duodecim ſchemis venereis utens, quæ vocabatur Cyrene.

Δωδεκατημόριον. Duodecima pars.

Δωδεκίδες. Sacrificia duodecim victimarũ: ut τριττὺς, ſacrificium ex tribus victimis conſtans.

Δωδωναῖον χαλκεῖον. Æs Dodonæum. Proverbium de iis, qui multa garriunt. Demon enim narrat, Dodonæi Jovis oraculum lebetibus fuiſſe circundatum, inter ſe contiguis;

---

[1] Δουροδόκης] Homerus Odyſſ. A. v. 128.
Δουροδόκης ἔντοσθεν ἐΰξόου.
Brevis Scholiaſta ad eum locum τὸ δουροδόκης exponit δορατοθήκης.

[2] Ἀριστοφάνης] *Equit.* pag. 305. (206. Ed. Baſ. *P.*)

[3] Κυλλανίων ἀνερύσαντες ἐῤῥ.] Locus hic eſt corruptiſſimus, quem Portus infeliciter tentavit. Ejus autem veram emendationem afferam ex Cod. MS. Anthologiæ ineditæ, in quo integrum Epigramma, cujus verba iſta pars ſunt, ſic legitur: Ἐρυκίου.

Γλαύκων καὶ Κορύδων, οἱ ἐν οὔρεσι βουκολέοντες,
Ἀρκάδες ἀμφότεροι, τὰν κεραὸν δάμαλιν
Πανὶ φιλορείτᾳ Κυλλανίῳ αὖ ἐρύσαντες
Ἔρρεξαν, καὶ οἱ δωδεκάδωρα κέρα
Ἅλῳ μακροτένοντι ποτὶ πλατάνιστον ἔπαξαν
Εὐρεῖαν, νομίῳ καλὸν ἄγαλμα Θεῷ.

Glaucon & Corydon, in montibus armenta paſcentes, ambo Arcades, cornutam hanc juvencam Pani montium amanti & Cyllenio capite reſupinato immolarunt, eique duodecim palmorum cornua clavo longo ad patulam platanum affixerunt, pulcrum paſtorali Deo *donarium.* In Hexametro ſecundo Pan dicitur Κυλλήνιος, a Cyllene, monte Arcadiæ; quæ regio ei præcipue ſacra erat. In Hexametro tertio τὸ ἅλῳ Dorice dictum eſt pro ἥλῳ, i. e. clavo. Reliqua ſunt plana.

[4] Κρήνη Ἀθήνησιν ἦν. Θουκυδ.] Lego & diſtinguo: Κρήνη Ἀθήνησιν, ἣν Θουκυδίδης &c.

[5] Θουκυδίδης] Lib. II. cap. XV. ubi Hiſtoricus ſic inquit: Καὶ τῇ κρήνῃ, τῇ νῦν μὲν, τῶν τυράννων οὕτω σκευασάντων, Ἐννεακρούνῳ καλουμένῃ, τὸ δὲ πάλαι φανερῶν τῶν πηγῶν οὐσῶν, Καλλιρρόῃ ὠνομασμένῃ &c.

[6] Ἐννεάκρουνος] Sic non ſolum Thucydides, ſed etiam alii ſcriptores fontem hunc vocant. Quare miror, unde Suidas expiſcatus ſit, eundem etiam δωδεκάκρουνον vocatum fuiſſe.

[7] Ἄναξ Ἄπολλον, τῶν ἐπ.] Hi verſus Cratini leguntur apud Scholiaſtam Ariſtophanis ad *Equit.* pag. 319. (219. Ed. Baſ. *P*) unde Suidas eos deſcripſit. Vide etiam ſupra v. Ἀφέλεια. & Tzetzem Chil. VIII. cap. CLXXXIV. qui tres priores fragmenti hujus verſus itidem adducit.

[8] Καναχοῦσι] Sic MSS. & ipſe Suidas ſupra v. Ἀφέλεια. At priores Editt. minus recte καναχῶσι.

[9] Ἰλισσὸς ἐν τῇ φαρ.] Hi tres verſus male ſe habent, qui ex Scholiaſta Ariſtophanis ſic emendandi ſunt:

Ἰλισσὸς ἐν φάρυγξι. τί ἂν εἴποιμί σοι;
Εἰ μὴ γὰρ ἐπιβύσει τις αὐτοῦ τὸ στόμα,
Ἅπαντα ταῦτα κατακλύσει ποιήμασιν.

[10] Κυρήνη γάρ τις ἐπίσημος γέγονεν ἑτ.] Ex Scholiaſta Ariſtophanis ad *Ranas* pag, 275. (181. Ed. Baſ. *P.*)

[11] Δωδεκίδες] Confer Heſychium v. Δωδεκάδες, & v. Δωδεκηΐδα

[12] Δωδωναῖον χαλκεῖον] Confer Parœmiographos, & præcipue Stephanum Byzantium v. Δωδώνη.

[13] Μικρολογούντων] Imo μακρολογούντων: ut Portus etiam monuit.

πάντας· ὡς διὰ πολλοῦ χρόνου γίνεσθαι τῆς ἠχῆς τὴν περίοδον. [1] Ἀριστοτέλης δὲ ὡς πλάσμα διελέγχων, δύο [2] φησὶ στύλους εἶναι, καὶ ἐπὶ μὲν τοῦ ἑτέρου λέβητα, ἐπὶ θατέρου δὲ, παῖδα κρατοῦντα μάστιγα, ἧς τοὺς ἱμάντας χαλκέους ὄντας σειομένους ὑπ' ἀνέμου τῷ λέβητι προσκρούειν. τὸν δὲ τυπτόμενον ἠχεῖν. κέχρηται δὲ τῇ παροιμίᾳ Μένανδρος Αὐλητρίδι. † Πρὸς Δήμωνα. Εἰ δὲ πολλοὶ ἦσαν, οὐκ [3] ἂν ἑνικῶς ἐλέγετο ἡ παροιμία.

Δωδωναῖος. ὁ Ζεύς. παρόσον ἐν Δωδώνῃ τῆς Θεσπρωτίδος ἐτιμᾶτο.

Δωδώνη. πόλις ἐν τῇ Θεσπρωτίδι Πελασγία, ἐν ᾗ ἵστατο δρῦς, ἐν ᾗ μαντεῖον ἦν γυναικῶν προφητίδων. καὶ εἰσιόντων τῶν μαντευομένων, ἐκινεῖτο δῆθεν ἡ δρῦς ἠχοῦσα. αἱ δὲ ἐφθέγγοντο, ὅτι τάδε λέγει ὁ Ζεύς. καὶ ἀνδριὰς ἵστατο ἐν ὕψει ῥάβδον κατέχων, καὶ παρ' αὐτὸν λέβης ἵστατο· καὶ ἔπαιεν ὁ ἀνδριὰς τὸν λέβητα· ἐξ οὗ ἦχός τις ἐναρμόνιος ἀπετελεῖτο. αἱ δὲ τῶν δαιμόνων φωναὶ ἄναρθροί εἰσι.

Δωήκ. ὄνομα κύριον. ὁ Σύρος.

Δῶμα.[4] ὁ οἶκος. καὶ δωμάτιον, οἰκημάτιον.

Δωνατική. διάδοσις, ἡ διδομένη παρὰ τοῦ βασιλέως τοῖς στρατεύμασι.

Δῶρα θεοὺς πείθει, καὶ αἰδοίους βασιλῆας. οἱ μὲν Ἡσιόδειον οἴονται τὸν στίχον. εἴρηται δὲ καὶ [5] Πλάτωνος ἐν τρίτῃ πολιτείᾳ.

Δῶρα καὶ δωρεὰ διαφέρει. Δωρεαὶ μὲν γὰρ, αἱ σιτήσεις, καὶ αἱ προεδρίαι, καὶ αἱ ἀτέλειαι, καὶ τὸ ἱερᾶσθαι, καὶ ὅσα ἄλλα λαμπρύνει ἄνδρας. Δῶρα δὲ, χρυσὸς, ἄργυρος, ἵπποι, ἀνδράποδα, καὶ ὅσα ἑρμηνεύει πλοῦτον. ἀπὸ τοῦ δῶρα οὖν δωρὰ, καὶ πλεονασμῷ τοῦ ε, δωρεά. ἢ οὕτως· Δῶρα μὲν τὰ ἐπὶ δωροδοκίᾳ διδόμενα· Δωρεὰ δὲ, ἐπὶ τιμῇ.

Δωρεά. δόσις ἀναπόδοτος. ἔστι δὲ ἡ δόσις γένος τῆς δωρεᾶς.

Δωρήκ. ὄνομα κύριον.

Δωρησάμενος χρήμασι μεγάλοις. ἀντὶ τοῦ δωροδοκήσας.

Δωρητόν. τὸ ὡς δῶρον διδόμενον. ἡ τραγῳδία·

Ὅσος [6] παρ' ἡμῖν ὁ φθόνος φυλάσσεται·
Εἰ τῆσδέ γ' ἀρχῆς οὕνεχ', ἣν ἐμοὶ πόλις
Δωρητὸν οὐκ αἰτητὸν εἰσεχείρισε,
Ταύτης Κρέων ὁ πιστὸς, οὐξ ἀρχῆς φίλος,
Λάθρα μ' ὑπελθὼν ἐκβαλεῖν ἱμείρεται.

Δωρητός. ὁ δῶρα λαμβάνων.

adeo ut uno pulſato, reliqui omnes ordine reſonarent, diu durante ſoni illius circuitu. Ariſtoteles vero ut figmentum hoc explodens, duas dicit eſſe columnas, in quarum altera lebes ſit, & in altera puer, flagellum tenens, æreis loris inſtructum, quæ a vento agitata impingant in lebetem; qui pulſatus ſonum edat. Proverbio hoc uſus eſt Menander in *Tibicina.* † Adverſus Demonem. Si multi fuiſſent [lebetes,] proverbium hoc non efferretur numero ſingulari.

Δωδωναῖος. Dodonæus. Sic appellabatur Jupiter, qui Dodonæ, quæ erat urbs Theſprotiæ, colebatur.

Δωδώνη. Dodona. Urbs Pelaſgia in Theſprotia, in qua quercus erat, &oraculum mulierum fatidicarum. Intrantibus igitur illis, qui oraculum conſulturi erant, quercus movebatur, & ſonum edebat: quod cum fieret, fœminæ fatidicæ hoc vel illud Jovem dicere ajebant. Ibidem etiam ſtatua in loco altiore ſtabat, virgam tenens; cui proximus erat lebes. Hic igitur a ſtatua percuſſus ſonum quendam harmonicum edebat. Dæmonum enim voces ſunt inarticulatæ.

Δωήκ. Doeg. Nomen proprium. Syrus.

Δῶμα. Domus. Et δωμάτιον. Cubiculum.

Δωνατική. Donativum. Sive, dona, quæ militibus ab Imperatore dabantur.

Δῶρα θεοὺς πείθ. *Dona & Deos flectunt, & venerandos Reges.* Hic verſus, quem nonnulli Heſiodi eſſe dicunt, legitur etiam apud Platonem lib. III. *de Republica.*

Δῶρα & δωρεὰ differunt. Δωρεαὶ enim dicuntur ex. gr. victus, qui publice alicui præbetur; prima ſedes; immunitates; ſacerdotia, & quivis alii honores. Δῶρα vero, aurum, argentum, equi, mancipia, & quæcunque ad opes & divitias pertinent. A δῶρα igitur fit δωρὰ, & inſerto per pleonaſmum ε, δωρεά. Vel ita. Δῶρα dicuntur dona, quæ corrumpendi alicujus gratia dantur. Δωρεὰ vero, quicquid honoris cauſa alicui tribuitur.

Δωρεά. Quod ita datur, ut non reddatur. Eſt autem δόσις genus, ſub quo δωρεὰ tanquam ſpecies continetur.

Δωρήκ. Dorec. Nomen proprium.

Δωρησάμενος χρ. Magnis muneribus donatus.

Δωρητόν. Donatum. Gratis datum. Sophocles: [*O opes & regnum,*] *quantæ invidiæ obnoxia eſtis! Siquidem hujus regni cauſa, quod mihi civitas ultro, nec petenti dedit, Creon, fidus ille a longo jam tempore amicus, clam me circumventum urbe expellere cupit.*

Δωρητός. Qui dona accipit.

---

[1] Ἀριστοτέλης] Stephanus Byzantius hanc æris Dodonæi deſcriptionem non Ariſtoteli, ſed Ariſtidi tribuit. Quare alterutra lectio mendo laborare videtur. Euſtathius tamen ad Odyſſ. Ξ. pag. 1760. ubi de eodem argumento agit, Suidæ lectionem confirmat.

[2] Δύο φησὶ στύλους εἶναι —— τὸν δὲ τυπτόμενον ἠχεῖν] Hæc αὐτολεξεὶ etiam leguntur apud Euſtathium loco laudato.

[3] Οὐκ ἂν ἑνικῶς] Sic MSS. Pariſ. At priores Editt. male, οὐκ ἂν δυϊκῶς.

[4] Δῶμα. ὁ οἶκος. καὶ δωμ.] Ammonius: Δῶμα καὶ Δωμάτιον διαφέρει. Δῶμα μὲν γὰρ κοινῶς τὸ οἰκοδόμημα· τὸ Δωμάτιον δὲ, θάλαμος.

[5] Πλάτωνος] Malim Πλάτωνι, vel παρὰ Πλάτωνι. Locus autem Platonis, ad quem Suidas reſpexit, exſtat lib. III. *de Republ.* p. 435.

[6] Ὅσος παρ' ἡμῖν ὁ φθόνος φυλ.] Fragmentum hoc legitur apud Sophoclem *Oedip. Tyran.* pag. 163. ut Portus obſervavit.

Δωριάζειν.[1] παραγυμνοῦσθαι. Δωρικὸν γὰρ ἐστὶ τὸ παραφαίνειν τὸ σῶμα, διὰ τὸ μηδὲ ζώνας ἔχειν, τὸ πολὺ δὲ χιτῶνας φορεῖν· ἐν Σπάρτῃ δὲ καὶ τὰς κόρας γυμνὰς φαίνεσθαι.

Δώριος αὔλησις. μουσική· ὥσπερ καὶ Λύδιος, καὶ Φρύγιος. [2] Τὴν δὲ τροφὴν ἐκληρώσατο μετρίαν τινὰ καὶ ἄθρυπτον, οὔτε κακουργοῦσαν διὰ πενίαν, οὔτε διὰ πλοῦτον βλακεύουσαν, ἀλλὰ μέσην καὶ μουσικὴν, τὸν Δώριον τρόπον τῆς τύχης ἀληθῶς ἡρμοσμένην. Καὶ παροιμία· Ἀπὸ Δωρίου ἐπὶ Φρύγιον. [3] Οὐ φανοῦμαι στρογγύλλων λογάρια, αὐτὰς δὲ τὰς θέσεις τῶν νοημάτων εἰς μέσον τιθέμενος, μόνον εἰ τῆς γλώττης τὸν τόνον ἀπὸ τῆς διαλέξεως εἰς ἐπιστροφὴν μεθαρμόσαιμι, ἀπὸ Δωρίου φασὶν ἐπὶ Φρύγιον.

Δώριος. ὄνομα κύριον. καὶ, Δώριος οἰκονομία. Τήν[4] τε ἀκακίαν καὶ τὸν αὐχμὸν ὁ Πολέμων ἐνεδέδυτο Ξενοκράτους, καὶ τὸ βάρος, οἱονεὶ [5] Δώριος οἰκονομία. καὶ Δώριον μέλος.

Δωρὶς, Δωρίδος. ὦ Δωρί.

Δωρίσκος. ὄνομα τόπου.

Δωριστί.[6] τουτέστι, δωροδοκιστί. [7] Ἀριστοφάνης· Τὴν Δωριστὶ μόνην ἁρμονίαν ἁρμόττεσθαι θαμὰ τὴν λύραν· ἄλλην δ' οὐκ ἐθέλειν λαβεῖν.

Δωρίχα. ὄνομα κύριον. καὶ ζήτει ἐν τῷ Ῥοδώπιδος ἀνάθημα.

Δωρογραφή.[8] ὅταν τις αἰτίαν ἔχοι τῶν πολιτευομένων δῶρα λαβεῖν, τὸ ἔγκλημα τὸ κατ' αὐτοῦ διχῆ ἐλέγετο, δωροδοκία τε, καὶ δώρων γραφή.

Δωροδοκεῖν. οὐ μόνον δῶρα διδόναι καὶ ἀναπείθειν, ἀλλὰ καὶ τὸ λαμβάνειν. [9] Δωροδοκήσαντ' ἐκ Μιτυλήνης πλεῖν ἢ μνᾶς ἕξ.

Δωροδοκήσας. αἰτιατικῇ. δῶρα λαβών.

Δωροδόκος. δῶρα δεχόμενος.

Δῶρον. ἡ παλαιστή. καὶ [10] Ὅμηρος· Ἑκκαιδεκάδωρα πεφύκει.

Δώρων δόκησιν. τὴν δωροδοκίαν. Θουκυδίδης.

Δωριάζειν. Partem corporis nudare. Dorienſium enim mos erat, partem aliquam corporis nudam conſpiciendam præbere, quod nec zonis uterentur, & tunicas plerumque geſtarent; Spartæ vero puellæ etiam nudæ conſpicerentur.

Δώριος αὔλησις. Dorius cantus. Eſt modus quidam muſicus: ut & Lydius & Phrygius. *Cibo uſus eſt mediocri & minime delicato, neque propter paupertatem noxio, neque ob divitias [& luxum] animum enervante, ſed medio, & muſico, & qui vere Dorio quodam modo temperatus eſſet.* Et proverbium: *A* [*modo*] *Dorio ad Phrygium.* [Syneſius:] *Non videbor verba torquere & rotundare: ſed nudas ſenſuum animi enuntiationes in medium proferam. Liceat modo linguæ tonum a diſputatione ad rei propoſitæ conſiderationem convertere; a Dorio, ut ajunt, ad Phrygium.*

Δώριος. Dorius. Nomen proprium. Et Δώριος οἰκονομία, modus Dorius. *Polemo Xenocratis innocentiam, & externi cultus neglectum, & gravitatem, vita & moribus exprimebat, adeo ut modo muſico, qui Dorius dicebatur, ſimilis eſſe videretur.* Et Δώριον μέλος, carmen Dorium.

Δωρίς. Doris. Doridis. [Vocativus,] Dori.

Δωρίσκος. Doriſcus. Nomen loci.

Δωριστί. Dorice. Apud Ariſtophanem [ſenſu jocoſo dicitur] pro δωροδοκιστί, i. e. more ejus, qui donis corrumpitur. *Doricæ tantum harmoniæ eum ſemper accommodare lyram: aliam vero nolle diſcere.*

Δωρίχα. Doricha. Nomen proprium. Quære in Ῥοδώπιδος ἀνάθημα.

Δωρογραφή. Cum quis eorum, qui Rempubl. adminiſtrabant, munerum acceptorum accuſabatur, actio, quæ contra ipſum inſtituebatur, duplici nomine appellabatur, & δωροδοκία, & δώρων γραφή.

Δωροδοκεῖν. Non ſolum dona dare, iiſque aliquem corrumpere ſignificat: ſed etiam dona accipere. [Ariſtophanes: *Oſtendam,*] *te a Mitylenæis corruptum eſſe, minis plus quam quadraginta ab iis acceptis.*

Δωροδοκήσας. Accuſativo jungitur. Qui dona accepit.

Δωροδόκος. Qui dona accipit.

Δῶρον. Palmus. Homerus: [*Cujus ex capite cornua*] *ſedecim palmorum enata erant.*

Δώρων δόκησιν. Acceptionem munerum, quibus quis corrumpitur. Thucydides.

---

[1] Δωριάζειν. παραγυμνοῦσθαι. Δωρικὸν γάρ ἐστι τὸ παραφ.] Hæc, & quæ ſequuntur, αὐτολεξεὶ etiam leguntur apud Euſtathium ad Il. Ξ. pag. 975. qui ea ex Pauſaniæ Lexico ſe excerpſiſſe teſtatur. Confer etiam Heſychium h. v.

[2] Τὴν δὲ τροφὴν ἐκληρώσατο —— ἡρμοσμένην] Hæc verba eſſe Damaſcii non ſolum patet ex ipſo Suida v. Ἄθρυπτος, ſed etiam ex Photio, apud quem inter excerpta ex illo ſcriptore pag. 1037. etiam hic ipſe locus legitur, ut Pearſonius recte obſervavit.

[3] Οὐ φανοῦμαι στρογγύλλων λογάρια, αὐτὰς δὲ τὰς θ.] Fragmentum hoc legitur apud Syneſium in *Encom. Calvit.* ut bene monuit Paulus Leopard. *Emendat.* lib. v. cap. XXIII. quem de hoc loco vide.

[4] Τήν τε ἀκακίαν καὶ τὸν αὐχμὸν ὁ Πολ.] Fragmentum hoc legitur apud Laertium *Polemone* Segm. XIX.

[5] Δώριος οἰκονομία] Forte legendum eſt Δώριος ἁρμονία: quæ olim conjectura fuit Chriſtiani, teſte Menagio ad modo indicatum locum Laertii.

[6] Δωριστί. τουτέστι, δωροδοκιστί] Hæc non ſunt accipienda ſenſu Grammatico, ſed Comico. Ariſtophanes enim, ex quo hæc ſumpta ſunt, jocum captat ex affinitate vocum Δωριστί & δωροδοκιστί; tacite perſtringens Cleonem, tanquam hominem venalis fidei, & qui muneribus ſe corrumpi ſineret. Adi ipſum Comicum.

[7] Ἀριστοφάνης] *Equit.* pag. 346. (243. Ed. Baſ. *P.*) ſed ubi vox ἁρμονίαν deeſt, quam Suidas ſenſus ſupplendi gratia addidit. Quomodo autem hi verſus diſtinguendi ſint, apud ipſum Comicum vide.

[8] Δωρογραφή] Ex Harpocratione: ſed apud quem duabus vocibus legitur δώρων γραφή. Nihil tamen apud Suidam mutandum eſſe, literarum ſeries indicat.

[9] Δωροδοκήσαντ' ἐκ Μιτυλ.] Hæc ſunt verba Ariſtoph. *Equit.* pag. 338. ſed apud quem pro μνᾶς ἕξ legitur μνᾶς τετταράκοντα; uti etiam hic apud Suidam ſcribendum eſt. Sic ergo totum hunc verſum leges.

Δωροδοκήσαντ' ἐκ Μιτυλήνης πλεῖν ἢ μνᾶς τετταράκοντα.

[10] Ὅμηρος] Il. Δ. v. 109.

Δῶρον,[1] ὃ δίδοι τις, ἐπαίνει.

Δωροξενία. ὅταν τις γραφῇ ξενίας, [2] καὶ δῶρα δοὺς ἐκφύγῃ τὴν συκοφαντίαν, δωροξενία λέγεται.

Δῶρος.[3] ὁ ἀπὸ τῆς Ἀραβίας· ὅν φησι Δαμάσκιος εἰς τὴν φιλόσοφον ἱστορίαν, δεινότατον εἶναι ζητητὴν ἀληθείας. τοῦτον Ἰσίδωρος ὁ φιλόσοφος ᾐσθάνετο μὲν τὴν ἀρχὴν ἐπὶ ταῖς Ἀριστοτέλους ὑποθέσεσιν ἐνδεδεμένον, ἅτε ἐκ παίδων ἐν αὐταῖς τεθραμμένον, πορρωτέρω τῆς ἡλικίας, καὶ διὰ[4] τὴν ἀήθειαν τῆς Πλάτωνος μεγαλοπρεποῦς ἐπιστήμης οὐ δυνάμενον ἀναπτῆναι πρὸς τὰ ὑψηλὰ καὶ λαμπρὰ τῶν νοημάτων. οὕτω τε ἔχοντα καταμαθὼν, ἀνεκαλέσατο κατὰ βραχὺ, καὶ ἀνεπέτασεν αὐτοῦ τὴν ψυχὴν εἰς μέγα πέλαγος τῆς ἀληθείας· ὥστε ἀποσκευασάμενον τὴν τὰ μικρὰ συλλογιζομένην ἀκρίβειαν περιπατητικὴν, εἰς τὴν διὰ Προμηθέως τινὸς ἅμα φανοτάτῳ πυρὶ καταπεμφθεῖσαν διαλεκτικὴν, αὐτοψίαν καθαρωτάτην τε οὖσαν νοῦ καὶ φρονήσεως, ἀναδραμεῖν τε, καὶ ἐν αὐτῇ εἰσοικίσαι τὰς τοῦ βίου φιλοσόφου ἐλπίδας.

Δωροῦμαι. δοτικῇ. αἰτιατικῇ δέ· Δωροῦμαί σε χρήμασιν.

Δώς. ἡ δόσις. ἡ δωρεά.

Δὼς[5] ἀγαθὴ, ἅρπαξ δὲ κακὴ, θανάτοιο δότειρα. καὶ Αἰλιανὸς ἐν Ποικίλῃ ἱστορίᾳ περὶ τῶν Ῥωμαίων γυναικῶν· Αἱ δεξάμεναι παρὰ Πύῤῥου τὰ δῶρα, ἔφασαν, ἰδεῖν μὲν αὐταῖς πρέπειν, καὶ ἄξια εἶναι τοῦ πέμψαντος Πύῤῥου· ἀνόσιον δὲ αὐταῖς εἶναι φορεῖν.

Δωσιάδης. ὄνομα κύριον. καὶ Δωσίας.

Δωσιδίκους. ἐκδότους τῇ δίκῃ. Περὶ[6] δὲ τῶν τεθνεώτων δωσιδίκους παράσχοι τοὺς ἠδικηκότας.

Δωσίπυγος.

Μισῶ[7] τὴν ἀφελῆ, μισῶ τὴν σώφρονα λίαν.

ἐπὶ τῆς ἀπονήρου καὶ δωσιπύγου.

Δώσων. ὄνομα κύριον.

Δωτίνη. ἡ δωρεά.

Δώτωρ. ὄνομα κύριον. καὶ βώτωρ.

Δωτὺς,[8] δωτύος. τῆς τροφῆς.

Δρᾷ. ποιεῖ. ἢ πορεῖ.

Δρᾶ. ἀντὶ τοῦ πρᾶττε. προστακτικῶς. [9] Ἀριστοφάνης Ὄρνισι· Σὺ δ' αὐτὸς ἤδη τἄλλα δρᾶ.

Δράγματα. ἀπαρχαί. [10] Ἥρωναξ πρῶτα δράγ-

Δῶρον, ὃ διδ. *Donum, quod quis dat, boni conſule.*

Δωροξενία. Quum quis peregrinitatis accuſatus judices muneribus corrumpit, & ſic judicium evadit, [accuſatur criminis, quod] δωροξενία vocatur.

Δῶρος. Dorus, Arabs: quem Damaſcius in Hiſtoria Philoſophica ait fuiſſe veritatis acerrimum indagatorem. Hunc Iſidorus Philoſophus initio quidem ſenſit Ariſtotelicis opinionibus irretitum, ut qui a puero iis innutritus fuiſſet, & ætate jam provectiorem, propter morum ſimplicitatem, non poſſe ad illas Platonis magnificæ ſcientiæ ſublimes & illuſtres ſententias evolare. Hoc igitur ejus ingenio perſpecto, paulatim hominem inde revocavit, & animum ipſius explicatum in amplum veritatis pelagus deduxit: ita ut rejecta illa Peripatetica ſubtilitate, res minutas colligente, ſe conferret ad illam, quæ per Prometheum quendam una cum ignis ſplendore [cœlitus ad homines] demiſſa eſt, Dialecticam, quæ eſt mentis & prudentiæ puriſſima inſpectio; & in ea philoſophicæ vitæ ſpes collocaret. *Port.*

Δωροῦμαι. Dativo jungitur. [Dono tibi.] Item accuſativo. Dono te pecunia.

Δώς. Donatio. Donum. [Heſiodus:] *Donatio eſt bona; rapina vero mala & letifera.* Et Ælianus in *Varia Hiſtoria* de matronis Romanis dicit: *Quæ dona a Pyrrho accipientes, dixerunt, fas quidem ſibi eſſe illa aſpicere, nec Pyrrho, qui miſerat, indigna videri: nefas autem ſibi eſſe eadem geſtare.*

Δωσιάδης. Doſiades. Nomen proprium. Et Doſias.

Δωσιδίκους. Qui ad pœnam traduntur. *Quod ad mortuos attinet; delicti auctores ad pœnam tradat.*

Δωσίπυγος. Quæ facile copiam ſui facit. [In Epigrammate:] *Odi nimis ſimplicem, odi pudicam nimis.* Hæc dicuntur de puella ſimplici & nimis facili.

Δώσων. Doſon. Nomen proprium.

Δωτίνη. Donum.

Δώτωρ. Dotor. Nomen proprium. [Scribitur per ω, ut] βώτωρ.

Δωτύς. Cibus. Alimentum.

Δρᾷ. Facit. Vel, præbet.

Δρᾶ. Fac. Eſt imperativus. Ariſtophanes *Avibus*: *Tu vero fac cætera.*

Δράγματα. Primitiæ. [In Epigrammate:]

---

[1] Δῶρον, ὃ δίδοι τις, ἐπ.] Metri gratia ſcribe, Δῶρον δή· ὃ δίδοι τις &c. De hoc autem proverbio, præter Zenobium, vide etiam Paul. Leopard. *Emend.* lib. II. cap. XIV.

[2] Καὶ δῶρα δοὺς ἐκφύγῃ τὴν συκοφ.] Hæc repetuntur infra v. Παράστασις: ſed ubi pro συκοφαντίαν legitur ξενίαν, quæ lectio & hic reponenda eſt.

[3] Δῶρος.] Hujus Dori mentionem facit Photius ex Damaſcio pag. 1053.

[4] Διὰ τὴν ἀήθειαν] Sic recte habent 2 MSS. Pariſ. At in prioribus Editt. legitur συνήθειαν· quod a ſenſu hujus loci omnino alienum eſt. Portus locum hunc infeliciter vertit; cujus interpretationem peritus Lector facile emendabit.

[5] Δὼς ἀγαθὴ, ἅρπ.] Eſt notiſſimus verſus Heſiodi ἐν Ἔργ. καὶ Ἡμ.

[6] Περὶ δὲ τῶν τεθνεώτων δωσιδ.] Hæc ſunt verba Polybii lib. IV. cap. IV.

[7] Μισῶ τὴν ἀφελ.] Verſus hic legitur Anthol. lib. VII. pag. 631. (486. Ed. Henr. Steph. P.)

[8] Δωτὺς, δωτύος.] Scribendum eſt ἐδητύς, idque ſuo loco ponendum. Inciderat enim Suidas in corruptum codicem, in quo pro ἐδητύς, extrito ε, δητὺς vel δωτὺς legebatur: quod dum ille temere & ἀβασανίστως in Collectanea ſua retulit, ſtuporem ſuum prodit, & dignus eſt, qui paſtoritia fiſtula a Grammaticorum corona excipiatur.

[9] Ἀριστοφάνης Ὄρνισι] Pag. 596. (413. Ed. Baſ. P.)

[10] Ἥρωναξ πρῶτα δράγματα φυτ.] Portus recte monuit, locum

ματα Φυταλιῆς, τελσῶν οἰνοπέδων τελσοὺς ἱρώσατο τούσδε κάδους.

Heronax vitis primitias, pro numero trium vinearum, tres hosce dedicavit cados.

Δραγμὴ[1] χαλαζῶσα. ἐπὶ Διοφάντου [2] τὸ θεωρητικὸν ἐγένετο δραχμή. ἐπεὶ δὲ ἐπέσχε χάλαζα τότε ἀπὸ τοῦ ἀέρος, δραχμὴν αὐτὴν χαλαζῶν ἐπέσκωπτε.

Δραχμὴ χαλαζῶσα. Drachma grandinans. Sub Diophanto ſtatutum fuit, ut drachma ludorum ſpectandorum cauſa perſolveretur. Cum autem tunc grando e cœlo forte cecidiſſet, eam per jocum drachmam grandinantem vocarunt.

Δράκαυλος.[3] Σοφοκλῆς Τυμπανισταῖς. ἐπεὶ ἡ Ἀθηνᾶ δοκεῖ παρ᾽ αὐταῖς αὐλίσαι τὸν δράκοντα, ταῖς Κέκροπος θυγατράσι. ὅτι συναυλίζονται κατὰ τὸ εἰκὸς Κέκροπι ὄντι διφυεῖ. ὅτι συναυλίζεται μία τῶν ἐν τῇ ἀκροπόλει δράκοντι, προσημερεύουσα [4] τῷ Θεῷ.

Δράκαυλος. Penes quem draco vel ſerpens habitat. [Epithetum Cecropis, quo uſus eſt] Sophocles *Tympaniſtis*. Putatur enim Minerva Cecropis filiabus draconem contubernalem addidiſſe. Et merito [ſerpentes] contubernales eſſe dicuntur Cecropis, qui biformis eſt. Una [filiarum Cecropis] contubernalis eſt draconis in Arce, & toto die Deæ præſto eſt.

Δρακοντίδης.[5] εἷς τῶν τριάκοντα.

Δρακοντίδης. Dracontides. Unus e xxx. Tyrannis.

Δράκων,[6] Ἀθηναῖος νομοθέτης. οὗτος εἰς Αἴγιναν ἐπὶ νομοθεσίαις εὐφημούμενος ἐν τῷ θεάτρῳ,[7] ἐπιρριψάντων αὐτῷ ἐπὶ τὴν κεφαλὴν πετάσους πλείονας, καὶ χιτῶνας, καὶ ἱμάτια, ἀπεπνίγη, καὶ ἐν αὐτῷ ἐτάφη τῷ θεάτρῳ. γέγονε δὲ τοῖς χρόνοις κατὰ τοὺς ἑπτὰ σοφοὺς, ἢ μᾶλλον καὶ πρεσβύτερος. τῇ γοῦν λθ' Ὀλυμπιάδι [8] τοὺς νόμους ἔθετο τοῖς Ἀθηναίοις, γηραιὸς ὤν. ἔγραψεν ὑποθήκας εἰς ἔπη τρισχίλια.

Δράκων. Dracon, Athenienſium Legiſlator. Hic cum Æginæ in theatro propter leges latas lætis acclamationibus celebraretur, pluribus petaſis, & tunicis, & palliis in ejus caput injectis, ſuffocatus eſt, & in ipſo theatro ſepultus. Vixit autẽ iiſdem temporibus quibus ſeptem Sapientes; aut potius fuit illis antiquior. Cum ſenex jam eſſet, Olymp. xxxix. leges Athenienſibus tulit. Vitæ degendæ præcepta ſcripſit verſuum circiter tribus millibus. *Port.*

Δράκων Στρατονικεύς, γραμματικός. Τεχνικά. Ὀρθογραφίαν. Περὶ τῆς κατὰ συζυγίαν ὀνομάτων. Περὶ ἀντωνυμιῶν. Περὶ μέτρων. Περὶ σατύρων. Περὶ τῶν Πινδάρου μελῶν. Περὶ τῶν Σαπφοῦς μέτρων. Περὶ τῶν Ἀλκαίου μελῶν.

Δράκων. Dracon Stratonicenſis, Grammaticus. [Scripſit] de Arte Grammatica: Orthographiam: De conjugatis Nominibus: De Pronominibus: De Verſibus: De Satyris: De Pindari carminibus: De Sapphonis verſibus: De Alcæi carminibus.

Δράκων, υἱιδοῦς Ἱπποκράτους, τοῦ διασήμου ἰατροῦ, ἀπὸ Θεσσαλοῦ· πατὴρ δὲ Ἱπποκράτους· οὗ πάλιν γέγονε Δράκων, ἰατρὸς καὶ αὐτὸς, ὃς Ῥοξάνην ἰάτρευσε, συνοικοῦσαν Ἀλεξάνδρῳ τῷ Μακεδόνι.

Δράκων. Dracon, nepos Hippocratis, medici illius celeberrimi, filius Theſſali, pater Hippocratis: cujus filius rurſus fuit Dracon, & ipſe medicus, qui Rhoxanen Alexandri Macedonis conjugem curavit.

Δράκων,[9] τὸ θηρίον, διπλῆν ἔχει τὴν γλῶσσαν. καὶ ὁ ῥήτωρ ὁμοίως. Φασὶν ὅτι δράκων, ἐὰν ἁλῷ, εἰς τὴν κεφαλὴν παιόμενος ἀποθνήσκει. Δράκων ἐν τῷ Ἰὼβ ὁ Διάβολος λέγεται. [10] Ψελλίῳ τρυπήσεις τὸ χεῖλος αὐτοῦ.

Δράκων. Draco, ſive ſerpens, linguam habet biſulcam: ut & orator. Ajunt draconem captum, ſi caput ejus percutias, mori. Apud Jobum Diabolus dicitur Draco. *An torque labrum ipſius perforabis.*

Δρᾶμα. ποίημα. πρᾶγμα. ὡς καὶ δρᾶσαι, πρᾶξαι. λέγεται δρᾶμα καὶ τὸ ὑπὸ τῶν θεατρικῶν μιμηλῶς γινόμενον ὡς ἐν ὑποκρίσει. Ὁ δὲ ἐβουλεύσατο ἀστειοτέρῳ δράματι πλανῆσαι τὸν ἠπατηκότα. τυ-

Δρᾶμα. Fabula. Poema. Res. Et δρᾶσαι, facere. Præcipue vero δρᾶμα dicitur fabula, quam hiſtriones in ſcena agunt. *Ille vero commento lepidiore fallere ſtatuit eum, qui ipſum deceperat.* Eunapius: *Et tanquam fa-*

---

hunc ex Anthol. lib. vi. cap. vii. Epigr. iii. ſic ſupplendum & diſtinguendum eſſe:

Γλαυκωπότας Σατύροισι καὶ ἀμπελοφύτορι Βάκχῳ
Ἡρώναξ πρώτης δρείσματα φυταλιῆς,
Τελσῶν οἰνοπέδων τρισσοὺς ἱρώσατο τούσδε
Ἐμπλήσας οἴνου πρωτοχύτοιο κάδους.

Vide etiam infra v. Κάδος.

1 Δραγμὴ χαλαζ.] Pearſonius ad locum hunc ſequentia notaverat. *Non habuit hæc Suidas ex Heſychio, qui ordinem alphabeti hic ſervat; neque ex aliquo, ut opinor, Lexico, ſed Scholiaſta: apud quem perperam ſcribebatur δραγμή, per γ.* Sane Suidam δραγμὴ per γ, conſulto hic ſcripſiſſe, ſeries literarum arguit. Sed temere eum corrupti codicis fidem ſecutum eſſe Pearſonius recte monuit.

2 Τὸ θεωρητικὸν ἐγένετο δρ.] Totus hic locus ex Zenobio ſic emendandus eſt: Τὸ θεωρικὸν ἐγένετο δραχμή. ἐπεὶ δὲ ἔπεσε χάλαζα τότε ἀπὸ τοῦ ἀέρος, χαλαζῶσαν αὐτὴν ἐπέσκωπτον. De pecunia autem vel drachma theorica Suidas plura habet infra v. Θεωρικά.

3 Δράκαυλος. Σοφοκλῆς Τυμπ.] Hæc αὐτολεξεὶ etiam leguntur apud Etymologum. Confer Meurſium *Cecropia* cap. xx.

4 Τῷ Θεῷ] Scribe τῇ Θεῷ, ut habet Etymologus. Intelligit enim Suidas Minervam Poliadem.

5 Δρακοντίδης] De hoc vide Enarratorem Comici ad *Veſpas* p. 441.

6 Δράκων, Ἀθηναῖος, νομοθ.———ἀπεπνίγη] Hæc ad verbum etiam leguntur apud Heſychium Mileſium v. Δράκων.

7 Ἐπιρριψάντων αὐτῷ ἐπὶ τὴν κεφ.] Vide quæ de hoc more obſervavimus ſupra ad v. Ἀκρόδρυα.

8 Τοὺς νόμους] Magis proprie Suidas dixiſſet θεσμούς. Sic enim Draconis leges Græci appellabant: ut Solonis, νόμους. Ælianus *Var. Hiſt.* viii. x. Καὶ τότε ἐπαύσαντο Ἀθηναῖοι χρώμενοι τοῖς (νόμοις) Δράκοντος. ἐκαλοῦντο δὲ οὗτοι ΘΕΣΜΟΙ. Etymologus v. Θεσμοθέται: Θεσμοὺς γὰρ εἶναι τοὺς Δράκοντος· νόμους δὲ τοὺς Σόλωνος. Plura de hoc argumento vide apud Meurſium in *Solone*, & Menagium ad Laert. lib. i. Segm. liii.

9 Δράκων, τὸ θηρίον, διπλῆν ἔχει τὴν γλ.] Artemidorus lib. iv cap. lxix. pag. 241. Γυνὴ ἔδοξεν, ἐν γαστρὶ ἔχουσα, δράκοντα γεγεννηκέναι. ὁ ἐξ αὐτῆς γενόμενος, ῥήτωρ ἄριστος καὶ δεινὸς ἐγένετο. διπλῆν γὰρ ἔχει τὴν γλῶτταν ὁ δράκων· ὥσπερ καὶ ὁ ῥήτωρ. Huc Suidas reſpexit, ut Pearſonius recte obſervavit.

10 Ψελλίῳ τρυπήσεις τὸ χ.] Hæc ſunt verba τῶν lxx interpretum, Job. cap. xl.

τέστι, πράξει. Εὐνάπιος· Καὶ [1] τοῦτο ὥσπερ δράματι μεγάλῳ καὶ τραχεῖ τὸ κατὰ Μουσώνιον ἐπεισόδιον οὐκ ἔλαττον ὁ δαίμων ἐπήνεγκε.

Δραματουργήσας. [2] συνείς.

Δράος καὶ Σάος ποταμοὶ, περιλαμβάνοντες τὴν δευτέραν [3] Παιονίαν, εἰς τὸν [4] ποταμὸν Ἴστρον καταφέρονται.

Δραπετεύσας. φυγών.

Δραπέτης. ὁ ἀποδρῶν τῆς δουλείας. ὁ τὸ δρᾶν πετεύων, ὅ ἐστι φεύγων. δραπέτης, τὸ δρα μακρόν.

Δραπέτης [5] κλῆρος. ὁ μετὰ πανουργίας γινόμενος. τοῦτο δὲ ἱστόρηται περὶ Κρεσφόντου καὶ τῶν Ἀριστοδήμου παίδων· ὅτι πανοῦργος ὁ Κρεσφόντης βῶλον ὑγρὰν εἰς τὴν ὑδρίαν ἐνέβαλε, κληρουμένων περὶ Μεσσήνης. Σοφοκλῆς· [6] Οὐ δραπέτην τὸν κλῆρον ἐς μέσον καθείς· ἀλλ' ὃς εὐλόφου κυνῆς ἔμελλε πρῶτος ἅλμα κουφιεῖν. καὶ δραπέτιδι, θηλυκῶς, παρὰ Κρατίνῳ.

Δραπετίνδα. εἶδος παιδιᾶς.

Δράπων. ὄνομα κύριον.

Δράσας. ποιήσας. καὶ δρᾶσαι.

Δρασείεις. δρᾶν διανοῇ. Ὦ ζεῦ, τί δρασείεις ποθῶν τὸν λεών. [7] Ἀριστοφάνης. καὶ δρασείοντες, ἐπιθυμοῦντες πρᾶξαί τι.

Δρασμός. ἡ φυγή.

Δρᾶσον. [8] Ἀριστοφάνης Ὄρνισιν·

Ἀλλ' οἶσθ' ὃ δρᾶσον; τῷ σκέλει θένε τὴν πέτραν.

Ἀττικῶς.

Δραστήριον. Τὸ κόσμιον καὶ ἡσύχιον μετὰ τοῦ δραστηρίου αὐτῷ ἐτέτακτο, καὶ τοῦ ἀνδρώδους. ἐπιεικὴς γὰρ ὢν, καὶ πρὸς γ' ἔτι ἀπράγμων, ὅμως εἰς ἀγῶνα πραγμάτων ἐμβεβηκὼς ἐξ ἀνάγκης, οὐδενὸς ἐλείπετο τῶν περὶ ταῦτα καλινδουμένων.

Δραστήριος. ὁ περίεργος.

Δραστηρίοις. πρακτικωτάτοις.

Δραχαρνεῦ. [9] δρύϊνε Ἀχαρνεῦ. ἀναίσθητε. [10] ἐκωμῳδοῦντο γὰρ οἱ Ἀχαρνεῖς, ὡς ἄγριοι καὶ σκληροί. Ποτάμιοι δὲ, ὡς ῥᾳδίως δεχόμενοι τοὺς παρεγγράφους. Θυμοιτάδαι, καὶ Προσπάλτιοι, ὡς δικαστικοί.

Δραχμή. ἔστιν ἐν τῷ Τάλαντα. αἱ ρ' δραχμαὶ

bulam aliquam ingentem & triſtem non minore hoc epiſodio Muſoniano Deus interpolavit.

Δραματουργήσας. Qui aliquid machinatus eſt.

Δράος καὶ Σάος. Dravus & Savus fluvii, Pannoniam ſecundam utrinque alluentes, in fluvium Iſtrum ſe exonerant.

Δραπετεύσας. Qui aufugit.

Δραπέτης. Qui ex ſervitute aufugit. Servus fugitivus. Δραπέτης ſyllabam δρα longam habet.

Δραπέτης κλῆρος. Sors fugitiva. Sive ſors, cui fraus ſubeſt. Hoc autem referendũ eſt ad hiſtoriam de Creſphonte & Ariſtodemi liberis. Creſphontes enim, homo callidus & fraudulentus, madidam glebam in urnam injecit, cum de Meſſene ſors jaceretur. Sophocles: *Haud deponens in medio ſortem illam fugitivam,* [*humidam terræ glebam;*] *ſed talem, quæ levi ſaltu ex criſtata galea primum exitura erat.*

Δραπετίνδα. Genus luſus.

Δράπων. Drapon. Nomen proprium.

Δράσας. Qui fecit. Et δρᾶσαι, feciſſe.

Δρασείεις. Facere cupis. Facere cogitas. *O Jupiter! Quid tandem populo noſtro facturus es?*

Δρασμός. Fuga.

Δρᾶσον. Fac. Ariſtophanes *Avibus: At ſcis quid ſis facturus? crure tunde ſaxum.* Attice hoc dictum eſt.

Δραστήριον. [Efficax. Strenuum.] *Modeſtia & tranquillitas in illo conjuncta erat cum ſtrenuitate & fortitudine. Cum enim modeſtus eſſet, & vitæ quietæ amans; idem tamen, cum neceſſitate cogente ad negotia accederet, nullo erat inferior eorum, qui in illis aſſidue verſati erant.*

Δραστήριος. [Strenuus. Induſtrius.] Curioſus.

Δραστηρίοις. Efficaciſſimis. Maxime ſtrenuis.

Δραχαρνεῦ. Querne Acharnenſis. Id eſt, ſtupide. Acharnenſes enim a Comicis carpebantur, ut agreſtes & duri. Potamii vero, ut qui facile reciperent homines falſo in civitatem adſcriptos. Thymœtadæ vero & Proſpaltii, ut litium amantes.

Δραχμή. Drachma. Vide in v. Τάλαντα.

---

[1] Καὶ τοῦτο ὥσπερ δρ.] Hoc fragmentum repetitur infra v. Ἐπισόδιον.

[2] Συνείς] Scribe συνθείς: ut Portus etiam ex Heſychio reponendum eſſe monuit.

[3] Παιονίαν] Cum Dravus & Savus ſint fluvii Hungariæ, olim dictæ Pannoniæ; forſan erunt, qui putabunt, mendum in hunc locum irrepſiſſe, & pro Παιονίαν ſcribendum eſſe Παννονίαν: quod tamen ſecus eſt. Solent enim Græci ſcriptores Pannoniam paſſim vocare Παιονίαν: quod multis exemplis demonſtrare facile mihi foret, ſi quenquam ea de re dubitare exiſtimarem. Fateor tamen conſuetudinem illam primum ortam fuiſſe ex errore illorum, qui Pæoniam cum Pannonia confundebant, ut diſcimus ex hoc loco Dionis lib. XLIX. Τῶν δὴ Ἑλλήνων τινὲς τὸ ἀληθὲς ἀγνοήσαντες, Παίονας σφᾶς (Παννονίους nempe) προσεῖπον, ἀρχαίου μέν τινος τοῦ προσρήματος ὄντος, οὐ μέντοι καὶ ἐκεῖ, ἀλλ' ἔν τε τῇ Ῥοδόπῃ πρὸς αὐτῇ τῇ Μακεδονίᾳ τῇ νῦν μέχρι τῆς θαλάσσης. ὑφ' οὗπερ ἐγὼ ἐκείνους μὲν Παίονας, τούτους δὲ Παννονίους, ὥσπερ τινὲς καὶ αὐτοὶ ἑαυτοὺς, καὶ Ῥωμαῖοι σφᾶς καλοῦσι, προσαγορεύσω. Locus eſt notatu dignus: ex quo patet, jam ante Dionis tempora, eam quam Latini Pannoniam vocant, a Græcis nonnullis ſcriptoribus Παιονίαν appellatam fuiſſe.

[4] Ποταμόν] Sic recte habent 2 MSS. Pariſ. At in prioribus Editt. male legitur ποτί: quod mendum ex ſcripturæ compendio natum eſt. Solet enim vox ποταμός in libris MSS. breviate ſæpe ſic ſcribi, πο, addito τ ſuper ο: quæ captioſa ſcribendi ratio librarios in errorem facile inducere potuit. Sane in uno MS. Pariſ. vocem illam eo, quo dixi, modo exaratam reperi, non ſolum hoc loco, ſed etiam infra v. Ἐπὶ πόλι; ubi priores Editt. Suidæ itidem ποτὶ pro ποταμῷ male exhibent, ut Lectorem ibi docemus. Idem etiam mendum, quod obiter noto, irrepſit hodie in Stephanum Byzantium v. Αἰγαῖον πέλαγος, ubi pro παρὰ Αἶγα ποτί, ut vulgatæ Editt. exhibent, Salmaſius in MSS. Palatinis recte ſcriptum invenit παρὰ Αἶγαν ποταμόν: ut Berkelius ad locum illum monuit.

[5] Δραπέτης κλῆρος. ὁ μετὰ πανουργίας γιν.] Ex Scholiaſta Sophoclis ad *Ajacem* pag. 70. ut Portus monuit.

[6] Οὐ δραπέτην τὸν κλῆρον εἰς μ.] Locus hic ex Sophocle ſic ſupplendus & diſtinguendus eſt:

Οὐ δραπέτην τὸν κλῆρον εἰς μέσον καθεὶς,
Ὑγρᾶς ἀρούρας βῶλον· ἀλλ' ὃς εὐλόφου
Κυνῆς ἔμελλε πρῶτος ἅλμα κουφιεῖν.

[7] Ἀριστοφάνης] *Pace* pag. 628. (436. Ed. Baſ. *P.*) ſed ubi pro ποθῶν recte legitur ποθ' ἡμῶν.

[8] Ἀριστοφάνης Ὄρνισιν] Pag. 544. (370. Ed. Baſ. *P.*)

[9] Δραχαρνεῦ] Scribe Δρυαχαρνεῦ, eamque vocem ſuo loco reddo. Vide Heſychium & Etymologum v. Δρυαχαρνεῦ.

[10] Ἐκωμῳδοῦντο γὰρ οἱ Ἀχαρν.] Vide ſupra v. Ἄγριος.

ποιοῦσι μίαν μνᾶν. [1] δραχμὴ δὲ ὁλκὴ νομίσματος εἰς ἀργυρείου δραχμὰς ί.

Δραχμή. ἓξ ὀβολῶν. καὶ [2] Ἀριστοφάνης· Εἰς χοιρίδιον δάνεισόν μοι τρεῖς δραχμάς. ἐπὶ τῶν μελλόντων ἀποθνήσκειν, ἢ μυεῖσθαι. ἐπεὶ οἱ μυούμενοι χοῖρον ἔθυον. ἐδόκουν δὲ οἱ μυούμενοι ἐς τοὺς εὐσεβεῖς τάττεσθαι.

Δραχμῆς μὲν αὐλεῖ, τεττάρων δὲ παύεται. ἐν τῷ Ἀράβιος ἄγγελος.

Δρεπανηφόρα τέθριππα. [3] Ἦν δὲ τῷ Δαρείῳ ὑπ' Ἀλεξάνδρου πολεμουμένῳ τέθριππα δρεπανηφόρα κατεσκευασμένα τῷδε τῷ τρόπῳ. τῶν τροχῶν ἦσαν εἰς τὸν κύκλον περικεχαλκευμένα δρέπανα· συνέβαινέ τε ἐπερχομένων τὰς τάξεις ἀναιρεῖσθαι, καὶ τοὺς ἐμπίπτοντας οἰκτρῶς ἀπόλλυσθαι. ἐλαυνομένων γὰρ δρεπάνων, οἱ μὲν τῶν ποδῶν, οἱ δὲ τῶν χειρῶν, οἱ δὲ ἐκ τῶν ὅπλων κρατούμενοι ἐσύροντο ἐπὶ πολὺ, καὶ ἀνηροῦντο.

Δρεπανηφόρος. ξιφηφόρος. καὶ δρεπανηφόροι. Ξενοφῶν· [4] Τὰ δὴ δρεπανηφόρα καλούμενα, εἶχον δρέπανα ἐκ τῶν ἀξόνων εἰς πλάγιον ἀποτεταμένα, καὶ ὑπὸ τοῖς δίφροις εἰς γῆν βλέποντα, ὡς διακόπτειν, ὅτῳ ἐνετύγχανον.

4 Xenophon. Anab. A'. 79. Whiter inter Not. Brev. Porsoni, xlv. 76 qui variationem notat.

Δρέπεται. θερίζεται. ἀπανθίζεται. τρυγᾶται.

---Ἐφ' [5] ἧς μνηστῆρες ἀγαυοὶ
Πλείονες, ἢ νύμφης εἵνεκα Τυνδαρείδος·
Δρεπόμενοι χάριτάς τε, καὶ ὠνητὴν ἀφροδίτην.

Δρέπομαι. γενικῇ. Τῶν αὐτῶν σοι λόγων ἐδρεψάμην κἀγώ. αἰτιατικῇ δέ. Πονηρὸν πονηρᾶς δόξης καρπὸν δρεπόμενος. καὶ, Τὰ κάλλιστα δρεπόμενος τῆς φιλίας ἄνθη.

Δρέπου. τρύγα. [6] Ἡρόδοτος· Τῶν δένδρων φλοιὸν περιλέποντες, καὶ τὰ φύλλα καταδρέποντες ἤσθιον.

Δρεφθῆναι. ἀποδρεπανισθῆναι.

Δρῆσος. ὄνομα κύριον. καὶ ὄνομα ποταμοῦ.

Δρῆσται. οἱ οἰκέται.

Δρηστοσύνη.

Δριμέα. τὰ δριμύτατα. καὶ δριμεῖα, ἡ δριμυτάτη.

Δριξίπαρος. πόλις τῆς Θρᾴκης.

Δριμώ. μία τῶν Ἀλκυονίδων. καὶ ζήτει ἐν τῷ Ἀλκυονίδες.

Δρίος. σύνδενδρος τόπος.

Οὐκέτ' ἂν ὑλῆεν δρίος εὔσκιον, ἀγρότα [7] πέρδιξ,
Ἠχήσεις, ἀνεὶς γῆρυν ἀπὸ στόματος.

Centum drachmæ faciunt minam unam. Drachma [auri,] pondus nummi, qui valet decem drachmas argenti.

Δραχμή. Drachma, quæ ſex obolos continet. Et Ariſtophanes: *Ad porcellum emendum mutuo mihi da tres drachmas.* Dicitur de iis, qui morti erant proximi; vel, qui initia ſuſcepturi erant. Ii enim porcellum immolabant. Initiati autem in piorum numerum referebantur.

Δραχμῆς. *Si ei drachmam dederis, tibia canit: ſin quatuor, tacet.* Vide in v. Ἀράβιος ἄγγελος.

Δρεπανηφόρα τέθριππα. Quadrigæ falcatæ. *Habebat autem Darius, cum Alexander ei bellum faceret, currus falcatos, hoc modo fabricatos. Summis rotarum orbibus falces erant affixæ: quibus, cum currus in hoſtem emitterentur, obvii quique lacerati miſere peribant. Falcibus enim circumactis, alii ex pedibus, alii ex manibus, alii ex armis prehenſi, & diu raptati, tandem necabantur.*

Δρεπανηφόρος. Falcifer. Enſifer. Et δρεπανηφόροι. Falciferi. Enſiferi. Xenophon: *Currus autem, qui falcati vocabantur, falces habebant ab axibus oblique protenſas, & ſub curruum ſellis terram verſus directas, ut obvios quoſque diſſecarent.*

Δρέπεται. Metit. Decerpit. Vindemiat. [In Epigrammate:] *Quæ plures habebat procos illuſtres, quam ipſa Helena, fruentes ejus forma & venali venere.*

Δρέπομαι. Genitivo jungitur. *Ex eadem, qua tu, doctrina, partem aliquam decerpſi.* Item accuſativo. *Malum malæ gloriæ fructum percipiens.* Et, *Pulcherrimos amoris flores decerpens.*

Δρέπου. Vindemia. Decerpe. Herodotus: *Cortices arboribus detractos, & folia decerpta edebant.*

Δρεφθῆναι. Falce reſectum fuiſſe.

Δρῆσος. Dreſus. Nomen proprium [viri.] Item, nomen fluvii.

Δρῆσται. Famuli. Servi.

Δρηστοσύνη. Strenuitas in agendo.

Δριμέα. Acria. Et δριμεῖα, acris.

Δριξίπαρος. Drixiparus. Urbs Thraciæ.

Δριμώ. Drimo. Una Alcyonidum. Quære in voce Ἀλκυονίδες.

Δρίος. Locus nemoroſus. Sylva. [In Epigrammate:] *Non amplius, agreſtis perdix, in denſa & opaca ſylva vocem ore emittes.*

---

[1] Δραχμὴ δὲ ὁλκὴ νομ.] Supple ex Heſychio: Δραχμὴ χρυσίου, ὁλκὴ νομίσματος εἰς ἀργυρείου λόγον δραχμῶν ί. Sic recte ſe res habet. Senſus enim eſt, aurum ad argentum eandem habere proportionem, quam habet unus ad decem: quod olim quidem ita ſeſe habebat, ut ex veteribus ſcriptoribus colligere licet. Hodie vero pretium auri crevit, & proinde major eſt ejus ad argentum proportio.

[2] Ἀριστοφάνης] *Pace* p. 647. (446. Ed. Baſ. *P.*) ubi ſic legitur:
Ἐς χοιρίδιόν μοι νῦν δάνεισον τρεῖς δραχμάς.
Sic etiam apud Suidam ſcribendum eſt.

[3] Ἦν δὲ τῷ Δαρείῳ ὑπ' Ἀλεξάνδρου κτλ.] Hæc nec apud Arrianum, nec Diodorum Siculum reperio. Quare miror unde ea Suidas ſumpſerit.

[4] Ξενοφῶν· Τὰ δὴ δρεπανηφόρα κτλ.] Fragmentum hoc legitur apud Xenophontem lib. I. *De Expedit. Cyri*, pag. 264. ut Pearſonius etiam obſervaverat.

[5] Ἐφ' ἧς μνηστῆρες ἀγαυοὶ κτλ.] Fragmentum hoc eſt pars Epigrammatis in Laidem meretricem, quod integrum exſtat Anthol. lib. III. cap. XII. Epigr. VIII. ſed ubi pro ἐφ' ἧς rectius legitur ἀφ' ἧς; & pro δρεπόμενοι, δρεπτόμενοι: quæ lectio propter metrum præferenda eſt.

[6] Ἡρόδοτος] Lib. I. pag. 317. ut Portus monuit.

[7] Πέρδιξ] Portus reponendum putabat τέττιξ: ſed male. Nam πέρδιξ etiam legitur Anthol. lib. III. cap. XXIV. Epigr. XIX. unde locus hic depromptus eſt: quod Portum fugiebat.

Δρογγύλον. χωρίον Θρακικόν.

Δρομαῖος. ἐπιῤῥηματικόν. ἐπὶ ἑνικοῦ. Δρομαίως δὲ, ἐπιῤῥηματικῶς πληθυντικῶς. ὡς τὸ, Δρομαίως ἦλθον οἱ ἄνδρες. Δρομαῖος δὲ ἦλθεν ὁ ἀνήρ. δρομεὺς δὲ, δρομέως.

Δρομιχαίτης. ὄνομα κύριον. ὁ βασιλεὺς τῶν Ὀδρυσῶν.

Δρομοκήρυκες. οἱ ἀγγελιαφόροι παρὰ Δίωνι.

Δρόμοις. τοῖς γυμνασίοις, κατὰ Κρῆτας.

Δρόμῳ[1] δ' ἰσώσας τῇ φύσει τὰ πράγματα,
Νίκης ἔχων ἐξῆλθε πάντιμον γέρας.

περὶ Ὀρέστου φησίν. οἷον, οὐκ ἐλλείπων κατὰ τὰ τέρματα, ἀλλ' ἴσος φανεὶς τοῖς τέρμασιν. ἀντὶ τοῦ ἴσος, καὶ τεθαυμασμένος ἐν τῷ ἀγωνίσματι, ὡς ἐπὶ τῇ μορφῇ. τουτέστιν ὡς θαυμαστὸς ἐπὶ τῇ μορφῇ, οὕτω καὶ ἐπὶ τῷ ἔργῳ ἐφάνη. ὡς ἐπὶ τῷ εἴδει, οὕτω καὶ ἐπὶ τῷ ἔργῳ.

Δρώμενα. πραττόμενα. ἐνεργούμενα. καὶ δρωμένων. πραττομένων.

Δρώντων.[2] ἀντὶ τοῦ δράτωσαν. χρήσθων, ἀντὶ τοῦ χρήσθωσαν.[3] Ἀττικὴ δέ ἐστιν ἡ σύνταξις· ὥσπερ ποιούντων ἐκεῖνοι· ἀντὶ τοῦ ποιείτωσαν· φρονούντων, ἀντὶ τοῦ φρονείτωσαν· καὶ νοούντων, νοείτωσαν.

Δρωπακίζειν. παρ' ἡμῖν τὸ μετ' ἀλοιφῆς τινος χρίεσθαι τὸ σῶμα, πρὸς ψίλωσιν τῶν τῆς σαρκὸς τριχῶν, καὶ μερικήν τινα κένωσιν τῶν ταύτῃ προσγινομένων αἰτιῶν· ἀπὸ τοῦ μυζᾶν αὐτάς.

Δρωπακίζω. συνάγω. τρυγῶ. δρωπτὰ γὰρ,[4] τὰ δρεπτὰ, τὰ δρέπανα.

Δρώπαξ. ὁ κεκαλλωπισμένος ἀνήρ. Πολλοὺς ὁρῶ διὰ τὴν ὑγίειαν ἐπὶ τὸν ξυρὸν καὶ δρώπακα καταφεύγοντας.

Δρώπης. πλανήτης. πτωχός.

Δρωπίδης. ὄνομα κύριον.

Δρύϊνος. ξύλινος. ὡς ἂν τις εἴποι λίθινος. πᾶν γὰρ ξύλον δρῦς καλεῖται κατὰ τὸ γενικὸν ἀπὸ τούτου. καὶ τὰ ἀκρόδρυα, καὶ δρύφακτοι, καὶ δρυμὼν, καὶ δόρατα.

Δρυΐδαι.[5] παρὰ Γαλάταις οἱ φιλόσοφοι, καὶ Σεμνόθεοι.

Δρυμός. ἐν τῷ περὶ παραπρεσβείας Δημοσθένους. πόλις ἐστὶ μεταξὺ Βοιωτίας καὶ τῆς Ἀττικῆς.

Δρυμός.[6] ὁ σύνδενδρος τόπος. Ἐν τοῖς δρυμοῖς αὐτόματος ἐξάπτεται φλὸξ, τῶν δένδρων ὑπὸ σφοδροῦ πνεύματος κινουμένων καὶ ἀλλήλοις ἐντριβομένων.

Δρυοκοίτης.

Ἀκρίδι[7] τῇ κατ' ἄρουραν ἀηδόνι, καὶ δρυοκοίτῃ

Δρογγύλον. Drongylum. Locus, vel oppidum Thraciæ.

Δρομαῖος. Eſt nomen, adverbii ſignificationem habens, & de uno tantum dicitur. Δρομαίως vero eſt adverbium, & de pluribus etiam dicitur. Ut, *Viri curſim venerunt*. Et, *Vir curſim venit*. Δρομεὺς vero, curſor.

Δρομιχαίτης. Dromichætes. Nomen proprium. Odryſſarum Rex.

Δρομοκήρυκες. Nuncii apud Dionem.

Δρόμοις. [Curſibus.] Exercitiis, ſecundum Cretenſes. [Sophocles:] *Cum curſus ſui terminos æquaſſet naturæ terminis, præmium victoriæ, cum maximo honore conjunctum, reportavit.*

Toup in Add. in Theocr. 18.39.

Δρώμενα. Quæ geruntur. Quæ fiunt. Et δρωμένων. Eorum, quæ fiunt.

Δρώντων. Pro δράτωσαν, faciant. Et χρήσθων, pro χρήσθωσαν. Sic Attici dicunt. Ut ποιούντων, pro ποιείτωσαν: φρονούντων, pro φρονείτωσαν: & νοούντων pro νοείτωσαν.

Δρωπακίζειν. Apud nos ſignificat, aliquo unguento ungere corpus, quo pilis vulſis cutis glabra reddatur. * * * * *

Δρωπακίζω. Colligo. Vindemio. Δρωπτὰ enim, vel δρεπτὰ, ſunt falces.

Δρώπαξ. Vulſus. Glaber. Comptus. *Multos video ſanitatis gratia ad novaculam & dropacem confugere.*

Δρώπης. Erro. Mendicus.

Δρωπίδης. Dropides. Nomen proprium.

Δρύϊνος. Ligneus. Eodem modo formatum eſt, quo λίθινος. Nam omne lignum vocatur δρῦς; a genere ejus præcipuo. Hinc etiam deducta ſunt nomina ἀκρόδρυα, & δρύφακτος, & δρυμὸς, & δόρατα.

Δρυΐδαι. Druidæ. Apud Gallos ita vocantur Philoſophi, & Semnothei.

Δρυμός. Drymus. Urbs inter Bœotiam & Atticam; cujus meminit Demoſthenes in orat. de falſa legatione.

Δρυμός. Sylva. Nemus. *In ſylvis ultro accenditur flamma, arboribus a vehementi vento agitatis, & inter ſe colliſis.*

Δρυοκοίτης. In arboribus ſedens. Vel, in ſylvis commorans. [In Epigrammate:] *Locu-*

---

[1] Δρόμῳ δ' ἰσώσας τῇ φύσει τὰ πρ.] Scribe, Δρόμου δ' ἰσώσας τῇ φύσει τὰ τέρματα. Sic enim legitur apud Sophoclem *Electra* pag. 112. unde locus hic depromptus eſt, ut Portus obſervavit. Vide ibi Triclinium, qui mentem Tragici melius mihi aſſecutus videtur, quam vetus Scholiaſta: cujus interpretatio obſcurior eſt ipſis verbis Sophoclis.

[2] Δρώντων] Sic MSS. At priores Editt. male, δρόντων.

[3] Ἀττικὴ δὲ ἐστιν ἡ σύνταξις. ὥσπερ ποιούντων ἐκ.] Ex Scholiaſta Ariſtophanis ad *Nubes* pag. 152. (85. Ed. Baſ. P.)

[4] Τὰ δρεπτά] Hanc vocem agnoſcunt 2 MSS. Pariſ. At eadem deeſt in prioribus Editt.

[5] Δρυΐδαι. παρὰ Γαλάταις οἱ φιλ.] Laertius in proœmio: Γεγενῆσθαι παρά τε Κελτοῖς καὶ Γαλάταις τοὺς καλουμένους Δρυΐδας καὶ Σεμνοθέους. Huc Suidam reſpexiſſe puto.

[6] Δρυμός. ὁ σύνδενδρος τ.] Scholiaſta Nicandri ad *Theriaca* p. 7. Δρυμοὺς δὲ τοὺς συμφύτους τόπους. πᾶν γὰρ δένδρον ἐκάλουν οἱ ἀρχαῖοι δρῦν.

[7] Ἀκρίδι τῇ κατ' ἄρουραν ἀηδ.] Verba hæc decerpta ſunt ex Epigrammate, quod integrum legitur Anthol. lib. III. cap. XXIV. pag. 382.

Τέττιγι ξυνὸν τύμβον ἔτευξε Μυρὼ,
Παρθένιον στάξασα κόρη δάκρυ.

Δρύοπες. [1] ἔθνος περὶ τὴν Πυθῶνα ἄδικον, [2] ὃ Ἡρακλῆς μετῴκισεν. ὅτε γὰρ τὸν Ἐρυμάνθιον κάπρον ἔφερεν, ἐζήτει αὐτοὺς τροφήν. οἱ δὲ οὐκ ἔδωκαν.

Δρύοχοι. πάτταλοι, οἱ ἐντιθέμενοι ναυπηγουμένης νεώς. [3] καταχρηστικῶς δὲ τὰ προοίμια. [4] Ἀριστοφάνης·

Ἀγάθων ἔρχεται,
Δρυόχους τιθέναι δράματος ἀρχάς.
Κάμπτει δὲ νέας ἁψῖδας ἐπῶν·
Τὰ δὲ τορνεύει· τὰ δὲ [5] κωλομελεῖ,
Καὶ γνωμοτυπεῖ, κἀντονομάζει,
Καὶ κηροχυτεῖ, καὶ γογγυλίζει,
Καὶ [6] χιανεύει.

ἐν Ἐπιγράμματι·

--- Τὸν δ' ἔπι θείης
Εὔστοχον ἐν πόντῳ, τὸν δὲ κατὰ δρυόχους.

Δρυόχους [7] Πλάτων ἐν Τιμαίῳ καλεῖ τὰ στηρίγματα τῆς πηγνυμένης νεώς. Στόλου δ' ἐκ δρυόχων ναυπηγουμένου, καθ' ἕνα καιρὸν λαθεῖν ἀδύνατον.

Δρύππα. [8]

———Ἅτ' ἐφολκὶς
Δρύππα, καὶ τυροῦ δρύψια κυκλιάδος.

τουτέστιν, ἐλαία, καὶ τυροῦ ξύσματα περιφεροῦς.

Δρυπέπης. [9] ὁ πέπειρος καρπὸς τῶν δένδρων. ἢ ἐπὶ τῶν δένδρων πεπανθεῖσα ἐλαία· ὡσαύτως καὶ ἡ ἰσχὰς, καὶ δρύπεπα. [10] Τήν θ' ἁλίπαστον [11] δρύπεπα. τουτέστιν, ἐλαίαν.

Δρυπολεῖν. τὸ ξύλοις πολιορκεῖν.

Δρῦς. ἔστι μὲν πόλις ἐν Ἠπείρῳ. ἔστι δὲ καὶ ἑτέρα ἐν Θρᾴκῃ. δρῦς, τὸ δένδρον· τὸ δρυ βραχύ.

Οὐκέτι [12] θελγομένας, Ὀρφεῦ, δρύας, οὐκέτι πέτρας
Ἄξεις. ———— ————
καὶ [13] Ὅμηρος·
Ἢ δρυὸς, ἢ πεύκης, τὸ μὲν οὐ καταπύθεται ὄμβρῳ.

Δρυτόμος. ὑλοτόμος. δενδροτόμος.

Δρύφακτοι. ξύλινοι θώρακες. τὰ διαφράγματα. τὰ περιτειχίσματα. ἢ κιγκλίδες. περιφράγματα. τὰ [14] νῦν ταυλωτὰ καλούμενα. τὰ τῶν οἰκοδομημάτων ἐξέχοντα ξύλα. Ὁ δὲ τετρακοσίας φορτίδας νῆας

ſtæ, quæ in agris luſciniæ inſtar eſt, & cicadæ arboribus inſidenti, commune hoc ſepulcrum fecit Myro, virgineam puella fundens lacrymam.

Δρύοπες. Dryopes. Gens injuſta circa Pythonem, quam Hercules in alias ſedes migrare juſſit. Cum enim Erymanthium aprum ferret, victum ab ipſis petiit, ſed non impetravit.

Δρύοχοι. Lignei clavi, quibus naves compinguntur. Abuſive vero ſic vocantur procœmia. Ariſtophanes: *Agathò venit, clavis compacta fabulæ fundamenta poſiturus. Novos autem fornices verborum curvat, eorumque alia tornat, alia vero concinne conglutinat. Idem & ſententias format, & antonomaſiis utitur, & ex cera quaſi fuſas* [*dictiones*] *fingit, easdemque conflat, & rotundat.* Et in Epigrammate: *Hunc etiam prædæ compotem reddas in mari; illum vero in ſylvis.* Plato in *Timæo* δρυόχους vocat ſtatumina ſive fundamenta navis. *Dum autem claſſis navium a fundamentis ædificatur, fieri non poteſt, ut toto tempore* [*res illa hoſtes*] *lateat.*

Δρύππα. Drupa. Olivæ genus. [In Epigrammate:] *Et cœnæ additamentum drupa, & caſei rotundi ramenta.*

Δρυπέπης. Maturus arborum fructus. Oliva, quæ in arbore maturuit. Item ficus ſic dicitur. Et δρύππα. *Et ſale conſperſam drupam.* Id eſt, olivam.

Δρυπολεῖν. Lignis urbem obſidere.

Δρῦς. Drys. Eſt urbs in Epiro: itemque in Thracia. Δρῦς, quercus, [ſyllabam] δρυ [in caſibus obliquis] brevem habet. *Non amplius, Orpheu, quercus & rupes cantu tuo delinitæ te ſequentur.* Et Homerus: *Aut quercus, aut piceæ: quod arborum genus non computreſcit ab imbre.*

Δρυτόμος. Qui ligna cædit. Qui arbores cædit.

Δρύφακτοι. Ligneæ loricæ. Sepimenta. Vel cancelli. Septa. Item ea, quæ nunc ταυλωτὰ, i. e. tabulata, vocantur. Et prominentia ædificiorum ligna. *Cum autem quadrin-*

---

[1] Δρύοπες, ἔθνος περὶ τὴν Πυθ.] Hæc ecloga repetitur infra v. Κάπρος.

[2] Ὃ Ἡρακλῆς μετ.] Vide Pauſaniam lib. IV. pag. 283.

[3] Καταχρηστικῶς δὲ τὰ προοίμια] Inepte. Non enim ſola vox δρύοχοι in ſubjuncto loco Ariſtophanis ponitur pro προοίμια, ſed conjuncta cum ἀρχαί.

[4] Ἀριστοφάνης] *Theſmophor.* pag. 768. (513. Ed. Baſ. P.)

[5] Κωλομελεῖ] Apud Ariſtophanem rectius hodie legitur κολλομελεῖ: a κολλᾶν, conglutinare.

[6] Χιανεύει] Scribe χοανεύει, ut apud Ariſtophanem.

[7] Πλάτων ἐν Τιμαίῳ] Pag. 547.

[8] Δρύππα] Sic legitur in MS. Pariſ. A. cujus loco priores Editt. minus recte habent δρύπτα. Δρύππα autem eſt Latinorum *drupa.* Gloſſæ Græco-Latinæ: Γεργέριμος. ἐλαία μέλαινα. *Drupa.* Athenæus lib. II. pag. 56. Δρυπεπεῖς τ' ἐλαίας. ταύτας Ῥωμαῖοι δρύππας λέγουσι. Cæterum, vox *drupa* detorta eſt ex Græco δρυπέπης, vel δρυπετής: de cujus ſignificatione vide Suidam voce ſequenti.

[9] Δρυπέπης] Sic MS. Pariſ. A. At priores Editt. δρυπέτης: cui lectioni alteram prætuli, ut interpretationi Suidæ magis convenientem. Cæteroqui fateor, τὸ δρυπέτης, vel δρυπετὴς, quod proprie ſignificat *ab arbore decidens,* paſſim etiam in veterum libris occurrere, & itidem dici de fructibus maturis, quod, qui tales ſunt, ab arboribus decidere ſoleant. Confer Athen. lib. II. pag. 56.

[10] Τήν θ' ἁλίπαστον δρύπεπα] Verba hæc ſunt pars Epigrammatis, quod integrum exſtat Anthol. lib. VI. cap. VII. pag. 555.

[11] Δρύπεπα] In Anthologia loco laudato legitur δρύπεπε. Sed neutra lectio ſana eſt. Scribendum enim eſt δρύππαν, i. e. drupam: de qua voce vide quæ diximus paulo ante.

[12] Οὐκέτι θελγομένας, Ὀρφ.] Integrum Epigramma, ex quo verba hæc deprompta ſunt, exſtat Anthol. lib. III. cap. XXV. ut Portus etiam monuit.

[13] Ὅμηρος] Il. ψ. v. 328.

[14] Τὰ νῦν ταυλωτὰ καλ.] Scholiaſta Ariſtophanis ad *Equit.* pag. 328. Τοὺς δρυφάκτους. τὰ νῦν ταυλώματα καλούμενα. τὰ τῶν οἰκοδομημάτων ἐξέχοντα ξύλα. ἢ τὰ κάγκελα. δρυόφακτοί τινες ὄντες. οἱ γὰρ ἀρχαῖοι πάντα δένδρα δρῦν ἐκάλουν.

συχῶν, δρυφάκτους τε ταύταις πηξάμενος ἐν κύκλῳ.

Δρύφη. ξέσματα.

Δρύψαι. ἀποξέσαι.

Δοιά. δύο. Δοιὰ δὲ θέλων ἄροτρα πονησάμενος.

Δοιδυκοποιός. ὁ τὰ κοχλιάρια ποιῶν.

Δοῖδυξ. κοχλιάριον. παρὰ τὸ δαδύσσω, τὸ ταράσσω.

Δοῖδυξ. ὁ ἀλετρίβανος. [1] Ἀριστοφάνης·

Ὡς εἰ μὴ γένοιτ' οὗτος ἐν
Τῇ πόλει μέγας, οὐκ ἂν ἤ-
στην σκεύη δύο χρησίμω,
Δοῖδυξ[2] καὶ ἀλετρίβανος.

ἔστιν ἐν τῷ Ἀλετρίβανος.

Δοίημεν. παράσχοιμεν.

Δοιοί. ἀντὶ τοῦ δύο. ὡς τὸ

Δοιοὶ[3] γάρ τε πίθοι κατακείαται ἐν Διὸς οὔδει.

Δυάζει. φλυαρεῖ. ἀλογεῖ.

…r. Gr. XL.
…agm. an
…non defi-
…Schweighauſ.

Δυεῖν. Πολύβιος· Ἀπελθεῖν εἰς πόλιν, ἣ δυεῖν μὲν ἡμερῶν ἀπεῖχε. καὶ αὖθις· Δυεῖν προελέσθαι θάτερον, ἢ τό, ἢ τό.

Δυερόν. βλαβερόν. ἐπιβλαβές.

Δύη. ἡ κακοπάθεια. ἡ δυστυχία. ὅθεν καὶ δοῦλος· δυηλός τις ὤν. Καλλίμαχος· [4] Δύην ἄποθέν γ' ἀλάλκοι, τὴν οὐδεὶς ποθεῖ. ἐν Μύθοις·

Τοὔνεκα τὴν ἰδίην οὔτις ὄπωπε δύην.

Δυηπαθής. ὁ καρτερικός.

Αὐτοῦ[5] σοὶ παρ' ἅλωνι, δυηπαθὲς ἐργάτα μύρμηξ,
Ἠρίον ἐκ βώλου διψάδος ἐκτισάμαν.

Δῦθι. ἔνδυσαι.

Δύμας, ὁ Φρύξ, ὁ πατὴρ Ἑκάβης, εἰς Ἴλιον Πριάμῳ τὴν ἑαυτοῦ ἐξέδοτο θυγατέρα. ὁ δὲ Πρίαμος καὶ Φρυξὶ συμμαχεῖ.

Ἤδη[6] καὶ Φρυγίην εἰσήλυθον ἀμπελόεσσαν.

Ὅμηρος.

Δύμη. πόλις. καὶ Δυμαῖος, ὁ πολίτης.

Δύναμις. ὁ στρατός. Συναχθείσης δυνάμεως θαυμαστῆς ἡλίκης τὸ μέγεθος. ἀντὶ τοῦ, πλείστης ὅσης, κατ' Ἀττικὴν σύνταξιν. ἢ πολλῆς τὸ πλῆθος. Δύναμις λέγεται καὶ ἰσχύς, καὶ ὁ στρατός. Τῷ ἀνὰ τοὺς ἑῴους πολέμους τὰς Ῥωμαίων [7] τετράφθαι δυνάμεις.

Δύναμις. καὶ ἡ ἰσχύς. Δαμάσκιος περὶ Ἰσιδώρου· Ὁ δὲ ἐμελέτα ἄττα τῶν ποιητικῶν, οὐχ ὅσον δυνάμεως, ἀλλ' ὅσον ὀρέξεως εἶχε.

Δύναμις. εἴ τις τῶν φευκτῶν τινος τὴν δύναμιν ἀποδοίη· οἷον, ἄν τις τὸν κλέπτην ἢ σοφιστὴν ἢ διάβο-

gentas naves onerarias in unum coegiſſet, & ſeptis ligneis eas circumdediſſet.

Δρύφη. Ramenta.

Δρύψαι. Abraſiſſe. Abradere.

Δοιά. Duo. Bina. *Bina vero aratra facere conatus.*

Δοιδυκοποιός. Qui cochlearia facit.

Δοῖδυξ. Cochleare. A verbo δαδύσσω, turbo, agito.

Δοῖδυξ. Piſtillum. Ariſtophanes: *Niſi iſte magnus in urbe vir evaſiſſet, non forent in ea duo inſtrumenta utilia, piſtillum & cochleare.* Vide in v. Ἀλετρίβανος.

Δοίημεν. Demus. Præbeamus.

Δοιοί. Duo. Bini. Ut, *Duo namque dolia jacent in Jovis atrio.*

Δυάζει. Nugatur. Ineptias loquitur.

Δυεῖν. Duorum, vel duarum. Polybius: *Abiiſſe in urbem, quæ duorum dierum ſpatio aberat.* Et iterum: *Alterum duorum elegiſſe, vel hoc, vel illud.*

Δυερόν. Damnoſum. Noxium.

Δύη. Calamitas. Infelicitas. Unde etiam ſervus appellatur δοῦλος: quaſi dicas δυηλός. Callimachus: *Calamitatem longe propulſet, quam nemo optat.* In *Fabulis*: *Idcirco ſuum nemo vidit malum.*

Δυηπαθής. Ærumnæ patiens. Laborioſus. *Hic tibi juxta aream, laborioſa formica, tumulum ex gleba ſicca condidi.*

Δῦθι. Indue. Subi.

Δύμας. Dymas, Phryx, pater Hecubæ, filiam ſuam Priamo, Ilii Regi, in matrimonium dedit. Priamus vero Phrygibus opem in bello tulit. *Jam & Phrygiam intravi vitibus abundantem.* Homerus.

Δύμη Dyme, urbs. Et civis ejus, Dymæus.

Δύναμις. Exercitus. *Coacto exercitu longe maximo.* Hanc enim ſignificationem habet θαυμαστῆς ἡλίκης τὸ μέγεθος: quæ eſt conſtructio Attica. Δύναμις tam ſignificat potentiam, quam copias, ſive exercitum. *Quod in bellis orientalibus copiæ Romanorum diu multumque verſatæ eſſent.*

Δύναμις. Vires. Potentia. Damaſcius de Iſidoro inquit: *Carmina etiam quædam ſcribebat, non pro ea, qua præditus erat, ingenii facultate, ſed quantum deſiderio ejus ſatis eſſet.*

Δύναμις. Poteſtas. Facultas. Si quis alicujus rei fugiendæ facultatem tradat: ut, ſi

---

[1] Ἀριστοφάνης] *Equit.* pag. 346. (243. Ed. Baſ. *P.*)

[2] Δοῖδυξ καὶ ἀλετρ.] Apud Ariſtophanem loco laudato rectius hodie legitur, δοῖδυξ οὐδὲ τορύνη.

[3] Δοιοὶ γάρ τε πίθοι κατακ.] Eſt notiſſimus verſus Homericus Il. Ω. v. 527.

[4] Δύην ἄποθέν γ' ἀλ] Lege & diſtingue:
———Δύην ἄποθέν γ' ἀπαλάλκοι
Ἣν οὐδεὶς ποθεῖ.
Sic enim legendum eſſe recte monuit vir πολυμαθέστατος Richardus Bentlejus ad Fragm. Callim. CCCII.

[5] Αὐτοῦ σοὶ παρ' ἅλωνι, δυηπ.] Diſtichum hoc decerptum eſt ex Epigrammate, quod integrum exſtat Anthol. lib. III. cap. XXIV. pag. 383.

[6] Ἤδη καὶ Φρυγίην εἰσήλυθον ἀμπ.] Eſt verſus Homericus Il. Γ. v. 184. ſed qui nihil ad rem facit.

[7] Τετράφθαι] Malim τετρίφθαι, i. e. uſu exercitatum eſſe, vel multum in aliqua re verſatum eſſe.

λογ

λον ὁριζόμενος, λέγοι, τὸν μὲν διάβολον, τὸν δυνάμενον [1]βάλλειν καὶ ἐχθροὺς ποιεῖν τοὺς φίλους· τὸν δὲ κλέπτην, τὸν δυνάμενον λάθρα τὰ ἀλλότρια ἀφαιρεῖσθαι· τὸν δὲ σοφιστὴν, τὸν δυνάμενον ἀπὸ φαινομένης σοφίας χρηματίζεσθαι. οὐδεὶς γὰρ τούτων τοιοῦτός ἐστι τῷ δύνασθαι, ἀλλὰ τῷ προαιρεῖσθαι τοιαῦτα. δύναμιν μὲν γὰρ καὶ οἱ ἀγαθοὶ ἔχουσι τοῦ τὰ φαῦλα δρᾶν, ἀλλ' οὐ δρῶσιν αὐτὰ, τῷ μὴ προαιρεῖσθαι. ἔστι δὲ δύναμις ὀργανικὸν ἀγαθὸν δι' ἄλλο αἱρετὸν, δυνάμει, ἢ ἐνεργείᾳ, ἢ ἐντελεχείᾳ. [2]ἀντὶ μὲν τοῦ σώματος ἐχρήσατο ὁ Ἀριστοτέλης τῇ δυνάμει· ἀντὶ δὲ τοῦ ἀσωμάτου τῇ ἐντελεχείᾳ, περὶ ψυχῆς τὸν λόγον διαιρῶν. καὶ γὰρ τῶν σωμάτων τὰ μὲν ἐν γενέσει καὶ φθορᾷ, δυνάμει ἐστὶ, καὶ κατ' οὐσίαν, καὶ κατὰ ποιότητα, καὶ κατὰ ποσότητα, καὶ τὴν ἐκ τόπου εἰς τόπον μεταβολήν. δυνάμει γὰρ ἐσμὲν ἄνθρωποι ἐν τῷ σπέρματι, καὶ ἐν τῷ καταμηνίῳ. καὶ δυνάμει παῖδες ὄντες, ἔχομεν τὸ τοῦ ἀνδρὸς μέγεθος. ὁμοίως καὶ ἐπὶ τοῦ ποιοῦ. δυνάμει ψυχροὶ θερμοὶ ὄντες, καὶ δυνάμει κινούμεθα καθήμενοι. τὰ δὲ οὐράνια ἐν τῇ κατὰ τόπον μεταβολῇ μόνον ἔχουσι τὸ δυνάμει. ἀνατέλλων γὰρ ὁ ἥλιος δυνάμει μεσουρανεῖ· καὶ μεσουρανῶν, δυνάμει δύνει. καὶ ἐπὶ τῆς ἄλλης αὐτοῦ κινήσεως, καὶ τῶν ἄλλων ἀστέρων, ἐν τῇ κατὰ τόπον μεταβολῇ τὸ δυνάμει ἔστι θεωρεῖν. † Ὅτι αἱ δυνάμεις τῷ χρόνῳ μὲν τῶν ἐνεργειῶν πρότεραι· τῷ δὲ λόγῳ, δεύτεραι. πρότεραι μὲν γὰρ τῇ διδασκαλίᾳ, καὶ σαφέστεραι ἡμῖν εἰσὶν εἰς γνῶσιν αἱ ἐνέργειαι τῶν δυνάμεων, τῇ τελειότητι. τελειότης γὰρ τοῦ δυνάμει ἡ ἐνέργεια. ταύτης γὰρ ἕνεκα ἡ δύναμις. τὸ δὲ οὗ ἕνεκα, πρότερον τοῦ ἕνεκά του. καὶ παντὸς δὲ τὸ μὲν τέλος τῷ χρόνῳ ὕστερον, τῷ δὲ λόγῳ, πρότερον. προτιθέμενοι γὰρ τῷ λόγῳ τὸ τέλος, οὕτω τὰ πρὸς αὐτὸ ζητοῦμεν καὶ παρασκευαζόμεθα. Δυνάμεις γεωμετρικαὶ πέντε. Πισίδης·

Τὰς πέντε δυνάμεις Ἀρχιμήδους εἰς μίαν
Συνάψας[3] ὅλην, εἰς τὸ κινῆσαι μόλις
Τῶν δυστραχήλων ἐξοχῶν τὰ φορτία.

Ὅτι Φίλων ἔφη, δύο δυνάμεις εἰς πᾶσαν ψυχὴν συνέρχεσθαι, σωτήριόν τε καὶ φθοροποιόν. οὐδ' ὄναρ οὗτος τῆς σωτηρίου ἐπήσθετο, ἀλλ' ὅλος ἄκρατος ἐκ τῆς φθοροποιοῦ ὑπέστη.

quis furem, vel ſophiſtam, vel calumniatorem definiens, dicat, calumniatorem eſſe illum, qui criminari alios, & ex amicis inimicos facere poſſit: furem, qui aliena clam ſurripere: ſophiſtam, qui ex falſa ſapientiæ ſpecie quæſtum facere poſſit. Nullus enim horum talis eſt facultate, ſed voluntate. Nam & boni facultatem habent mala faciendi: ſed ea non faciunt, quia non volunt. Eſt autem facultas inſtrumentale bonum propter aliud expetendum, facultate, vel actu, vel perfectione. Ariſtoteles autem uſus eſt voce τῆς δυνάμεως, eam corpori tribuens; & voce τῆς ἐντελεχείας, eam incorporeo tribuens, de anima diſſerens. Nam corpora, quæ in ortu & interitu verſantur, facultate ſunt, & ſubſtantia, & qualitate, & quantitate, & loci mutatione, quæ fit ex uno in alterum. Facultate enim ſumus homines in ſemine & menſtruo: & facultate, dum pueri ſumus, viri magnitudinem habemus. Sic etiam in qualitate [ſeſe res habet.] Facultate frigidi ſumus, quum calidi ſumus. Et quum ſedemus, facultate movemur. Cœleſtia vero corpora in ſola loci mutatione hanc facultatem habent. Sol enim oriens, facultate medium cœli ſpatium occupat; & quum in medio cœlo jam eſt, facultate occidit. In reliquis etiam ipſius & cæterorum aſtrorum motionibus facultas in loci mutatione cerni poteſt. Facultates autem tempore quidem ſunt actionibus priores; ratione vero poſteriores. Nam actiones doctrina quidem ſunt facultatibus priores, & nobis magis perſpicuæ ad cognitionem, propter perfectionem. Actio enim eſt perfectio illius, quod eſt facultate. Hujus enim cauſa facultas eſt. Illud vero, cujus cauſa aliquid eſt, eſt prius eo, cujus cauſa illud eſt. Atque adeo rerum omnium finis tempore quidem poſterior eſt; ratione vero prior. Finem enim ratione nobis proponentes, ea, [quæ ad finem illum ſpectant, poſtea] quærimus, & nobis comparamus. † Facultates Geometricæ ſunt quinque. Piſides: *Cum Archimedis quinque facultates in unam contraxiſſet, ut machinis quibuſdam graviſſima onera moverentur.* Philo dixit, duas facultates in omnem animam convenire; unam quidem, ſalutarem; alteram vero, pernitioſam. Hic tamen ne in ſomnis quidem illam ſalutarem ſenſit: ſed totus ac merus ex illa pernitioſa conflatus eſt. *Port.*

Δυναστεύω. τὸ ἄρχω. γενικῇ.

Δυναστεία. ἡ ἰσχύς.

Δυνάστην.[4] ἡ θεία γραφὴ τὸν Διάβολον ἐκάλεσε. φησὶ γὰρ ὁ Δαβίδ· Ὅτι ἐρρύσατο πτωχὸν ἐκ δυνάστου. τουτέστιν, ἀνθρωπείαν φύσιν, ὡς ἔρημον γεγενημένην τηνικαῦτα Θεοῦ.

Δυνατήν. ἐνδεχομένην. Ξενοφῶν ἔφη· Ἡγήσα

Δυναστεύω. Impero. Genitivo jungitur.

Δυναστεία. Potentia. Poteſtas.

Δυνάστην. Dynaſtam. Sic ſacra Scriptura Diabolum appellat. Ait enim David: *Eripuit pauperem ex manibus Dynaſtæ.* Id eſt, humanam naturam, ut tunc temporis a Deo deſertam.

Δυνατήν. Eam, quæ fieri poteſt. Xenoθαι δυνατὴν ὑποζυγίοις πορεύεσθαι ὁδόν.

---

[1] Βάλλειν] Cum Porto malim διαβάλλειν.

[2] Ἀντὶ μὲν τοῦ σώματος ἐχρήσατο —— τὸ δυνάμει ἐστὶ θεωρεῖν] Hæc omnia αὐτολεξεὶ pene leguntur apud Philoponum in lib. 1. Ariſtot. *de Anima*, A. 8. a. ut Pearſonius recte obſervavit. Hinc ergo Suidam ſua deſcripſiſſe puto.

[3] Συνάψας ὅλην] Metri gratia ſcribendum eſt, Ὅλην συνάψας, ut Portus etiam monuit.

[4] Δυνάστην. ἡ θεία γραφὴ τὸν Διάβολον ἐκάλ.] Locum hunc excerpſit Suidas ex Theodoreto ad Pſalmum LXXI. pag. 680. ut Pearſonius monuit.

Δῦναι. κατελθεῖν. ἢ εἰς δύσιν ἀπελθεῖν.

Δύνωμαι. γίνεται ἐκ τοῦ δύνημι, δύναμαι. τὸ ὑποτακτικὸν, ἐὰν δύνωμαι. πᾶν δὲ ὑποτακτικὸν ἔχον ἐνεργητικὸν περισπώμενον, περισπᾶται· ἱστῶ, ἐὰν ἱστῶμαι. ἐὰν δὲ οὐκ ἔχῃ ἐνεργητικὸν, προπαροξύνεται· δύνωμαι, δύνωνται. καὶ Ὅμηρος·

Εἰ δύναμαί τελέσαι γε, καὶ εἰ τετελεσμένον ἐστί.

† Περιώρικε γὰρ τὸν ἐπιδεχόμενον τελέσαι δυνατὸν εἶναι δεῖν· καὶ αὐτὸ τὸ πρᾶγμα εὔθετον εἶναι πρὸς τὴν τελείωσιν.

Δυοκαιδεκάτη. καὶ δυοκαιδέκατος. δυωδεκάτη δὲ, καὶ δυώδεκα.

Δύο τοίχους ἀλείφεις. λέγεται ἐπὶ τῶν ἐπαμφοτεριζόντων, καὶ διὰ μέσου χωρούντων ἐν μάχαις, ἢ φιλίαις. εἴρηται δὲ ἴσως ἀπὸ τῶν δύο τοίχους εὐφεγγέας ποιούντων.

Δύο ἐτῶν ἐν τοῖς Ἕλλησι καταμείνας τῆς ἀδίκου φυγῆς ὤνητο.

Δυοῖν. ἀντὶ τοῦ δύο.

Δυοῖν ἀποκρίνας κακοῖν·
Ἢ γῆς ἀπῶσαι πατρίδος, ἢ κτεῖναι λαβών.

ἀντὶ τοῦ, ἓν τῶν δύο ποιήσας.

Δυῤῥάχιον. πόλις, τὸ πάλαι Ἐπίδαμνος καλουμένη· νῦν δὲ πάλιν καλουμένη Δυῤῥάχιον, κατὰ τὸν τόπον περιεχούσης ἄκρας γεωλόφου, ὅπου τὸ κῦμα προσπίπτον καὶ σχιζόμενον ῥαχίαν ποιεῖ μεγάλην. ὅθεν καὶ διὰ τὴν ῥαχίαν δύσορμον, Δυῤῥάχιον ὠνόμασαν τὸν τόπον.

Δυσάλγητος. ἀσυμπαθής.

Δυσαλθές. δυσίατον.

Δυσάλωτον. δύσληπτον.

Δυσανάγωγος. δυσχερής. ἀπειθής.

Δυσαναχετοῦσι. βαρέως οἴσουσι. παραιτοῦνται. Δυσαναχετῶν δὲ τῇ συμφορᾷ, ἐκ Καλυδῶνος ἐξεχώρει μετὰ τῆς Δηϊανείρας.

Δυσαναχέτως. ὀκνηρῶς. ἀπειθῶς. Ὁ δὲ δυσαναχέτως εἶχε δέξασθαι τὰ βασιλικὰ δῶρα.

Δυσάνιος. [1] Ἀντιφῶν. ὁ ἐπὶ παντὶ ἀνιώμενος, κἂν μικρὸν καὶ εὐκαταφρόνητον ᾖ.

Δυσαῶν ἀνέμων. τῶν σφοδρῶς πνεόντων. Πνευμάτων ἐπελαυνόντων δυσαῶν αὐτοῖς ἀνδράσι κατέδυσαν.

Δυσάντητον. δυσχερές. δυσαπάντητον.

Δυσαρεστούμενος. μὴ ἀρεσκόμενος. Οἱ δὲ Ῥωμαῖοι ἔφασαν, τὴν σύγκλητον δυσαρεστεῖσθαι τῇ τῶν ἐν Λακεδαίμονι τειχῶν καθαιρέσει. Καὶ αὖθις·

Χαλεπὸν μὲν οὖν ἄνδρας δυσαρέστους νουθετεῖν,

phon dixit: *Exiſtimare eum, viam eſſe talem, quam jumenta ingredi poſſint.*

Δῦναι. Deſcendere. Vel, occidere.

Δύνωμαι. A verbo δύνημι, fit δύναμαι; & ſubjunctivus modus, ἐὰν δύνωμαι, ſi poſſim. Omne autem verbum ſubjunctivi modi, quod habet activum circumflexum, circumflexo in penultima notatur: ut, ἱστῶ, ἐὰν ἱστῶμαι. Niſi vero habeat activum [circumflexum,] acuto notatur in antepenultima: ut, δύνωμαι, poſſim: δύνωνται, poſſint. Et Homerus: *Si modo poſſim hoc perficere, & perfici [a quoquam] poſſit.* † Deſcripſit enim illum, qui recipit in ſe aliquid perficiendum, oportere præditum eſſe facultate rem perficiendi: & ſimul rem ipſam talem eſſe debere, ut facile effici poſſit.

Δυοκαιδεκάτη, & δυοκαιδέκατος, [per ο ſcribuntur.] At δυωδεκάτη, & δυώδεκα, [per ω.]

Δύο τοίχους ἀλείφεις. *Duos parietes illinis.* Dicitur de illis, qui inter duas partes ancipitem animum gerunt, & in inimicitiis vel amicitiis medios ſe præbent.

Δύο ἐτῶν ἐν τ. *Biennium inter Græcos commoratus, injuſti exilii fructum cepit.*

Δυοῖν. Pro, δύο. Duorum. *Cum e duobus malis alterum delegiſſet: vel ex patrio ſolo ejicere; vel comprehenſum interficere.* Id eſt, cum ex duobus unum feciſſet.

Δυῤῥάχιον. Dyrrhachium. Urbs, quæ olim Epidamnus vocata, nunc rurſus Dyrrhachium appellatur. [Eſt autem ſita] eo loco, ubi rupes in mare procurrit, quæ littus ſcopuloſum reddit, ad quod fluctus alliſi franguntur. Quare etiam a littore importuoſo locus ille vocatus eſt Δυῤῥάχιον.

Δυσάλγητος. Qui non facile dolore & miſeratione movetur.

Δυσαλθές. Sanatu difficile.

Δυσάλωτον. Captu difficile.

Δυσανάγωγος. Contumax. Inobediens.

Δυσαναχετοῦσι. Graviter ferunt. Recuſant. *Illam vero calamitatem iniquo animo ferens, Calydone cum Deianira exceſſit.*

Δυσαναχέτως. Iniquo animo. Gravate. *Ille vero dona regia gravate accipiebat.*

Δυσάνιος. Antiphon. Qui ob quamlibet rem, licet leviſſimam & nullius momenti, dolore afficitur.

Δυσαῶν ἀνέμων. Ventorum vehementer ſpirantium. *Vehementi vento in eos irruente, naves una cum viris ſubmerſæ ſunt.*

Δυσάντητον. Difficile. Cui difficulter occurri poteſt.

Δυσαρεστούμενος. Cui aliquid diſplicet. Qui rem aliquam iniquo fert animo. *Romani vero dixerunt, murorum Lacedæmonis demolitionem Senatui diſplicere.* Et iterum:

*Moleſtum enim profecto eſt, viros moroſos
monere,*

---

[1] Δυσάνιος. Ἀντιφῶν. ὁ ἐπὶ παντὶ ἀν.] Ex Harpocratione: ex quo pro δυσάνιτος, ut priores Editt. male exhibent, repoſui δυσάνιος.

Εἰ τοὺς φιλεῖν μὲν βουλομένους δεδοίκατε,

Τοὺς δ' οὐκ ἐθέλοντας ἀντιβολεῖσθ' ἑκάστοτε.

Δυσαριστοτόκεια.[1] δυστυχῶς ἄριστον τεκοῦσαν. ἢ διὰ τὴν ἀριστείαν δύστηνον.

Δυσαύλης.[2] οὗτος αὐτόχθων μὲν ἦν, συνῴκησε δὲ Βαβοῖ, καὶ ἔσχε παῖδας Πρωτονόην τε καὶ [3]Νῆσαν.

Δυσαχθές. βαρύ. ἀβάστακτον.

Δυσβῆρες.[4] οἱ δύσβατοι τόποι.

Δυσβουλία. κακοβουλία.

Δυσβράκανος.[5] δυσκατανόητος. βράκανα γάρ, ἄγρια λάχανα δύσπλυτα.

Δυσγάργαλις.[6] δυσυπότακτος. γαργαλίζειν γάρ, τὸ εἰς γέλωτα ἄγειν, καὶ πείθειν.

Δυσγενής. ὁ ἐκ κακοῦ γένους. καὶ δυσγένεια, ὁμοίως.

Δυσδιάλλακτον.[7] δυσθρήνητον.

Δυσδιάφυκτον. δυσχερῶς λανθάνον.

Δυσδιόρθωτος. ὁ ἀδιόρθωτος.

Δυσαιάκτου. δυσθρηνήτου.

Δυσεκλογίστων. δυσαρέστων. δυσδιαγνώστων. Ἀδήλων δὲ ὄντων καὶ δυσεκλογίστων τῶν κατὰ πόλεμον ἔργων.

Δυσέκλυτα. δυσχερῶς λυόμενα.

Δυσέκτων. δυσγνώμων.

Δυσέμβολος. δυσεπιχείρητος. καὶ δυσεμβολώτατον. Φρούριον Ἀρμενίας ἀπόρθητον ὑπάρχειν δοκοῦν, διὰ τὸ δυσεμβολώτατον.

Δυσέντευκτος. δυσομίλητος.

Δυσέξιτος. τόπος ἀδιόδευτος.

Δυσέξοιστον. δυσεκκόμιστον.

Δυσεπίβολος. [8]Ἀγάπιος φιλόσοφος ἐθαυμάζετο ἐπὶ φιλομαθίᾳ καὶ ἀποριῶν προβολῇ δυσεπιβόλων.

Δύσεργον. δυσχερές. δύσκολον. Ἐπ' ἄμφω τὰ πλευρὰ τοῦ δόρατος μεταλαμβανομένου, ὃ δὴ δύσεργον ἦν τοῖς ἀῤῥωστοτέραν ἔχουσι τὴν ἑτέραν.

Δύσεριν. φιλόνεικον.

Δυσερμίας.[9] κακῆς ἀποτυχίας. [10]Εὐερμίαν γὰρ τὴν ἐπιτυχίαν καλοῦσι.

Si illos quidem, qui vos amare volunt, timetis,
Illos vero, qui [*vos amare*] *nolunt, ſuppliciter ſemper oratis. Port.*

Δυσαριστοτόκεια. Quæ malo fato fortiſſimum peperit. Vel, quæ peperit filium, propter fortitudinem ſuam infelicem.

Δυσαύλης. Dyſaules. Hic indigena fuit, & Babonem uxorem habuit, ex qua filias Protonoen & Neſam ſuſcepit.

Δυσαχθές. Grave. Quod difficulter ferri poteſt.

Δυσβῆρες. Loca tranſitu difficilia.

Δυσβουλία. Malum conſilium.

Δυσβράκανος. Difficilis intellectu. Βράκανα enim ſunt olera agreſtia, quæ difficulter lavari poſſunt.

Δυσγάργαλις. Contumax. Refractarius. Γαργαλίζειν enim ſignificat, riſum alicui movere, & verbis flectere.

Δυσγενής. Ignobilis. Et δυσγένεια, generis obſcuritas.

Δυσδιάλλακτον. Difficile reconciliatu.

Δυσδιάφυκτον. Quod difficulter vitari poteſt.

Δυσδιόρθωτος. Qui difficulter emendari poteſt.

Δυσαιάκτου. Valde lugubris. Valde triſtis.

Δυσεκλογίστων. Rerum, quæ difficulter cognoſci & conjici poſſunt. *Cum caſus belli incerti ſint, & conjectu difficiles.*

Δυσέκλυτα. Quæ difficulter ſolvuntur.

Δυσέκτων.. Malum animum habentium.

Δυσέμβολος. Acceſſu difficilis. Quem quis difficulter aggredi poteſt. Et δυσεμβολώτατον, [ſuperlativus.] *Caſtellum Armeniæ nunquam captum videri, quod ſit acceſſu difficillimum.*

Δυσέντευκτος. Qui non facile ſui conveniendi copiam alteri facit. Non affabilis.

Δυσέξιτος. Locus tranſitu difficilis. Impervius.

Δυσέξοιστον. Quod difficulter exportari poteſt.

Δυσεπίβολος. Conjectu difficilis. Difficilis explicatu. *Agapium philoſophum omnes admirabantur ob ſtudium diſcendi, & quod quæſtiones obſcuras & difficiles in promptu ſemper haberet.*

Δύσεργον. Difficile factu. Difficile. *Cum haſta ab utroque latere prehenderetur, quod erat difficile illis, qui alteram manum infirmiorem habebant.*

Δύσεριν. Litigioſum. Contentioſum.

Δυσερμίας. Infelicis ſucceſſus. Εὐερμίαν enim felicem ſucceſſum vocant.

---

[1] Δυσαριστοτόκεια] Uſus eſt hac voce Homerus Il. Σ. v. 54.

[2] Δυσαύλης. οὗτος αὐτ.] Ex Harpocratione.

[3] Νῆσαν.] Harpocratio habet Νίσαν. Sed ipſe Suidas infra Νῆσσαν, per duplex σ.

[4] Δυσβῆρες] Heſychius: Δυσβηρές. δύσβατον. δυσχερές. Hinc & apud Suidam ſcribendum puto, Δυσβηρεῖς. οἱ δύσβατοι τόποι.

[5] Δυσβράκανος] Sic etiam Heſychius. At Pſellus in Synopſi inedita, verſibus politicis ſcripta, cujus & alibi mentionem feci, habet δυσβάρκανος. Sic enim ille:
Δυσβάρκανος, ὁ δύσληπτος. οἱ δασεῖς, δασυλίδες.

[6] Δυσγάργαλις] Sic etiam Etymologus. At Heſychius, δυσγάργαλος.

[7] Δυσδιάλλακτον. δυσθρ.] Ex interpretatione, quam Suidas huic voci addidit, patet, legendum eſſe δυσιάκτον. Recte Suidas paulo poſt: Δυσαιάκτου. δυσθρηνήτου. Apud Heſychium pro δυσαιάκτου male legitur δυσδιάκτου; ut viri docti jam ante monuerunt.

[8] Ἀγάπιος φιλόσοφος ἐθαυμ.] Fragmentum hoc, quod ex Damaſcio depromptum eſſe exiſtimo, legitur etiam ſupra v. Ἀγάπιος.

[9] Δυσερμίας] Sic recte habent MSS. Pariſ. itemque Heſychius & Etymologus. At priores Editt. mendoſe δυσεργίας. Dictum eſt autem δυσερμία, a δὺς, & Ἑρμῆς, Mercurius. Deus enim ille ſortium præſes habebatur: & proinde, qui eum minus faventem haberent, iis ſortes male cadere exiſtimabantur. Hinc igitur factum, ut δυσερμία latiori ſignificatione quemvis infelicem ſucceſſum denotaret.

[10] Εὐερμίαν] Vide infra h. v.

Δύσερμος. ὁ δύσελπις.

Δύσερως. ὁ σφόδρα κακῶς ἐρῶν. ἢ ὁ ἐπὶ κακῷ ἐρῶν. Ἀποσφαγεῖσαν γὰρ αὐτὴν ὑπὸ ἐραστοῦ δυσέρωτος.

Δύσζηλοι. φθονερώτατοι.

Δυσειδής. ὁ ἄμορφος.

Δυσείκαστον. ἀπρεπῶς εἰκασθέν.

Δυσείμων. ὁ ἀχίτων.

Δυσηρεσία. τὸ κακῶς ἐρέττειν.

Δυσηλεγής. κακόηχος. χαλεπός.

Δυσήνεμον. τὸ κακοὺς ἀνέμους ἔχον. δυστάραχον.

Δυσηνίους. δυσπειθεῖς. ἀνυποτάκτους. δυσαγώγους. δυσμετόχους. ἐκ μεταφορᾶς τῶν ἵππων. ἡνία γὰρ τὰ λῶρα.

Δυσήνυκτον.[1] δυσκατόρθωτον.

Δυσῆρες. δυσχερές.

Δυσηχής. ὁ κακόηχος. ἐν Ἐπιγράμματι·

Ῥυσαμένη[2] Πύθωνα δυσηχέος ἐκ πολέμοιο
Ἀσπὶς, Ἀθηναίης ἐν τεμένει κρέμαται.

Δυσίατον. ἀθεράπευτον.

Δυσιθάλασσα. τὰ εἰς τὴν θάλασσαν ἐμβαλλόμενα. Καὶ [3] δίκτυα δυσιθάλασσα.

Δυσθανατῶντα. βιαίως τὸν βίον καταστρέφοντα. Ἐν δέ τινι μοίρᾳ τῆς ἀτραποῦ δυσθανατῶντα στρατιώτην Ῥωμαῖον περιεβλέψαντο, τέτρασι βολαῖς τὸ σῶμα κοσμούμενον.

Δύσθεος. ἀσεβής.

Ὦ[4] δύσθεον μίσημα, σοὶ μόνη πατὴρ
Τέθνηκε;

fragm.
xxiv. Vol. V.

Δυσθετήσας. Ὁ[5] δὲ Νάβις δυσθετήσας ταῖς συνθήκαις, οὐ προσεῖχε τοῖς γραφεῖσιν. ἀντὶ τοῦ, μὴ στέρξας ταῖς συνθήκαις. μὴ ἐμμείνας. καὶ δυσθετούμενοι, ἀντὶ τοῦ κακῶς διατιθέμενοι. Καὶ δυσθετούμενοι τοῖς συμβαίνουσιν, ἀποδυσπετοῦσι.

Δυσθήρατος. ὁ δυσεύρετος.

Δύσθυμος. κακόβουλος. [6] Σοφοκλῆς·

Ἐγὼ μὲν οὖν οὐκ εἰμὶ τοῖς πεπραγμένοις
Δύσθυμος. εἰ δέ σοι δοκῶ φρονεῖν κακῶς,
Γνώμην δικαίαν σχοῦσα, τοὺς πέλας ψέγε.

Δυσκάθεκτον. δυσνόητον. ἀκατάληπτον.

Δυσκελάδου. κακοήχου.

Δυσκίνητε. ἀμείλικτε. δυσμετάθετε.

Ἅδη[7] δυσκίνητε, τί τὴν ἐπέραστον ἑταίρην
Ἥρπασας; ἦ καὶ σὴν Κύπρις ἔμηνε φρένα.

Δυσκλέα. [8] Ὅμηρος κατὰ συστολὴν ἐκφέρει τὰ τοιαῦτα. Δυσκλέα Ἄργος ἱκέσθαι. καὶ ἀκλέα, ἀν-

Δύσερμος. Cui mala ſpes eſt.

Δύσερως. Qui infeliciter amat. Vel, cujus amor alteri malum adfert. *Ipſam enim ab infelici amatore jugulatam eſſe.*

Δύσζηλοι. Valde invidi.

Δυσειδής. Turpis aſpectu. Deformis.

Δυσείκαστον. Quod difficulter conjici poteſt.

Δυσείμων. Male veſtitus. Veſte carens.

Δυσηρεσία. Difficilis vel mala remigatio.

Δυσηλεγής. Malum habens ſonum. Moleſtus.

Δυσήνεμον. Malis ventis expoſitum. A ventis turbatum.

Δυσηνίους. Refractarios. Contumaces. Intractabiles. Frænis repugnantes. Tranſlatio ducta eſt ab equis. Ἡνία enim ſignificat lora ſive habenas.

Δυσήνυκτον. Quod difficulter perfici poteſt.

Δυσῆρες. Difficile. Moleſtum.

Δυσηχής. Horriſonus. In Epigrammate:

Qui ſervavit Pythonem horriſono ex bello
Clypeus, jam in delubro Minervæ pendet.

Δυσίατον. Curatu difficile. Sanatu difficile.

Δυσιθάλασσα. Quæ in mare demittuntur. *Et retia, quæ in mare demittuntur.*

Δυσθανατῶντα. Eum, qui vitam violenta morte finit. Vel, cum morte conflictantem. *In quadam autem ſemitæ parte viderunt militem Romanum cum morte conflictantem, corpore ejus quatuor ictibus vulnerato.*

Δύσθεος. Impius. [Sophocles:] *O Diis hominibuſque inviſa! tibi ne ſoli pater mortuus eſt?*

Δυσθετήσας. Qui in aliqua re non acquieſcit. *Nabis vero, cum in conditionibus pacis non acquieſceret,* (vel, *iis non ſtaret,*) *literarum ad ſe ſcriptarum nullam rationem habuit.* Et δυσθετούμενοι, male affecti. Ægre ferentes. *Et caſus ægre ferentes, animum deſpondent.*

Δυσθήρατος. Captu, vel inventu difficilis.

Δύσθυμος. Quem pœnitentia facti ſubit. Sophocles: *Me quidem eorum, quæ feci, non pœnitet. Quod ſi autem tibi videor male judicare, cum recte ſentiam, vicinos vitupera.*

Δυσκάθεκτον. Intellectu difficile. Quod comprehendi nequit.

Δυσκελάδου. Malum ſonū edentis. Horriſoni.

Δυσκίνητε. Inexorabilis. Præfracti. *Pluto inexorabilis, quid amabilem amicam rapuiſti? An & tuam Venus mentem amore replevit?*

Δυσκλέα. Inglorium. Homerus hujuſmodi nomina corripit. *Inglorium Argos adire.* Et τὶ τοῦ ἄδοξον. οἱ δὲ Ἀττικοὶ ἐκτείνουσι.

---

[1] Δυσήνυκτον] Rectius Heſychius δυσήνυτον.

[2] Ῥυσαμένη Πύθωνα δυσηχ.] Epigramma hoc Anacreonti tribuitur in Anthologia inedita.

[3] Καὶ δίκτυα δυσιθάλασσα] Verba hæc decerpta ſunt ex Epigrammate, quod integrum legitur Anthol. lib. VI. cap. III. Epigr. XI. ut Portus obſervavit.

[4] Ὦ δύσθεον μίσημα, σοὶ μ.] Hæc ſunt verba Sophoclis *Electra* pag. 95. ut Portus monuit.

[5] Ὁ δὲ Νάβις δυσθετ.] Caſaubonus fragmentum hoc ad Polybium refert.

[6] Σοφοκλῆς] *Electra* pag. 107. *Port.*

[7] Ἅδη δυσκίνητε, τί τὴν ἐπέρ.] Diſtichum hoc eſt pars Epigrammatis, quod integrum legitur Anthol. lib. III. cap. XII. Epigr. X. ut Portus monuit.

[8] Ὅμηρος] Il. B. v. 115.

Δυσκλεές. ἄδοξον. ἄτιμον. ἀπρεπές. Μὴ γὰρ οὕτως ὑφ' ἡλίῳ δυσκλεὴς εἴην, ὥστε τὸν ἐμὲ σώσαντα μὴ ἀντισῶσαι.

Δυσκληδόνιστον. δυσφήμιστον. Δυσκλυδώνιστον δὲ, δυσέκβαλον, διὰ τοῦ υ ψιλοῦ.

Δυσκολαίνει. [1] λέγει Ἀριστοτέλης· Δυσκολαίνει γὰρ, ὁ μὴ διὰ προσηκουσῶν ἀποκρίσεων φθείρων καὶ κωλύων γίνεσθαι συλλογισμόν. Δυσκολία δ' ἐστὶν ἀπόκρισις [2] παρὰ τὰς διαλεκτικὰς ἀποκρίσεις, συλλογισμοῦ φθαρτική.

Δυσκολοκάμπτους ᾠδάς. τὰς κεκλασμένας. [3] Ἀριστοφάνης·

Εἰ δέ τις ἐπικάμψειέ τινα καμπὴν,
Οἵας οἱ νῦν τὰς κατὰ Φρύνιν ταύτας τὰς δυσκολοκάμπτους,
Ἐπετρίβετο τυπτόμενος πολλὰς, ὡς τὰς μούσας ἀφανίζων.

Δύσκωφος. ὁ ἐκ μέρους ἀκούων.

Δύσλοφα. χαλεπῶς φερόμενα.

Δυσλυτότατος. ὁ πάνυ δύσλυτος.

Δυσμαῖς βίου. τῷ τέλει τῆς ζωῆς.

Δυσμεναίνω. δοτικῇ. καὶ δυσμενῶς ἔχω. δοτικῇ.

Δυσμένεια. ἔχθρα. κακόνοια. καὶ δυσμενὴς, ὁ πολέμιος.

Δύσμηνις. βαρύθυμος. ὀργίλος. μνησίκακος.

Δύσμητις. ὁ κακόβουλος.

Δυσμικῶν. τῶν τῆς δύσεως. Προνοήσας δὲ καὶ τὰς τῶν δυσμικῶν ὁμαιχμίας, [4] ἔπεισε κοινοπραγῆσαί τινας τῶν δυναστῶν.

Δυσμίσητος. ὁ πάνυ ἀπεχθανόμενος.

Δένδρεα [5] δυσμίσητα, καὶ ἤν ποτε τεῖχος ἴδωσι
Τρώϊον, αὐαλέαν φυλλοχοοῦσι κόμην.

Δύσμορος. δυστυχής. κακοθάνατος.

Ἢν [6] δὲ θάνῃς παλάμῃσιν ἐμαῖς, μήτηρ μὲν ἀκούσω
Δύσμορος, ἀλλ' ἐν ἐμῇ πατρίδι σωζομένη.

Δύσνους. ἐχθρός. Ὁ δὲ ἦν δύσνους βασιλεῖ καὶ Ῥωμαίοις.

ἀκλέα, obſcurum, ignobilem. Attici vero eadem producunt.

Δυσκλεές. Inglorium. Inhonoratum. Indecorum. Infame. *Abſit enim, ut, dum vivo, infamiæ hujus reus ſim, ut eum, qui me ſervavit, non viciſſim ſervem.*

Δυσκληδόνιστον. Quod eſt mali ominis. Male ominatum. Δυσκλυδώνιστον vero, per υ, ex cujus fluctibus egredi quis difficulter poteſt.

Δυσκολαίνει. Ariſtoteles inquit: *Ille vero difficilem in diſputando & iniquum ſe præbet, qui reſponſionibus inſtituto non convenientibus ſyllogiſmum corrumpit, ejuſque concluſionem impedit.* Δυσκολία *vero eſt reſponſio a more & modo Dialecticarum reſponſionum abhorrens, & ſyllogiſmum corrumpens.*

Δυσκολοκάμπτους ᾠδάς. Cantiones fractas: ſive tales, in quibus cantandis vox varie inflectitur. Ariſtophanes. *Quod ſi quis illorum in cantando vocem varie inflecteret, ſecundum difficilem illam modulandi rationem, quam Phrynnis introduxit; multis cædebatur verberibus, ut qui artem muſicam corrumperet.*

Δύσκωφος. Surdaſter.

Δύσλοφα. Quæ difficulter portantur.

Δυσλυτότατος. Qui difficulter ſolvi poteſt.

Δυσμαῖς βίου. Fine vitæ.

Δυσμεναίνω. Dativo jungitur. Infenſus ſum. Et δυσμενῶς ἔχω. Itidem dativo jungitur. Hoſtili & infenſo ſum animo.

Δυσμένεια. Inimicitia. Odium. Et δυσμενὴς, hoſtis.

Δύσμηνις. Qui diu & graviter iraſcitur. Iracundus. Injuriarum acceptarum memor.

Δύσμητις. Qui mala conſilia animo volvit.

Δυσμικῶν. Occidentalium. *Cum autem occidentalium etiam gentium fœdera provide ſibi conciliaſſet, Dynaſtis quibuſdam perſuaſit, ut ſocietatem ſecum inirent.*

Δυσμίσητος. Exoſus. Vehementer odioſus. [In Epigrammate:] *Arbores inviſæ ſi quando murum viderint Trojanum, arida amittunt folia.*

Δύσμορος. Infelix. Qui mala morte perit. *Si vero manibus meis mortem tibi conſciſcam, mater quidem vocabor infelix, at in patria mea ſalva [& incolumis vixero.]*

Δύσνους. Inimicus. *Ille vero erat inimicus Regi & Romanis.*

---

[1] Λέγει Ἀριστοτέλης] Senſum non verba Ariſtotelis Suidas hic retulit. Verba enim Philoſophi lib. VIII. *Topic.* cap. III. hæc ſunt: Τὸ γὰρ ἄνευ ἐνστάσεως ἢ οὔσης ἢ δοκούσης, κωλύειν τὸν λόγον, δυσκολαίνειν ἐστίν. Et paulo poſt: Ἔστι γὰρ ἡ ἐν λόγοις δυσκολία, ἀπόκρισις παρὰ τοὺς εἰρημένους τρόπους, συλλογισμοῦ φθαρτική.

[2] Παρά] Sic recte MSS. Pariſ. & Ariſtoteles loco laudato. At priores Editt. male, περί.

[3] Ἀριστοφάνης] *Nubibus* pag. 178. (108. Ed. Baſ. *P.*) ubi primus verſus rectius ſic legitur:

Εἰ δέ τις αὐτῶν βωμολοχεύσαιτ', ἢ κάμψειέν τινα καμπήν.

Vide etiam ſupra v. Βωμολοχεύσαιτο; & infra v. Κάμπτω.

[4] Ἔπεισε] Sic 2 MSS. Pariſ. At priores Editt minus recte ἐποίησε.

[5] Δένδρεα δυσμίσητα, καὶ ἤν π.] Diſtichum hoc eſt pars Epigrammatis in Proteſilaum, quod integrum exſtat Anthol. lib. III. cap. XIV. pag. 343. Sed ibi pro δυσμίσητα male hodie legitur δυσμίμητα: pro quo Brodæus ſcribendum conjiciebat δυσμήνιτα; & Vincent. Obſopœus, δυσμείλικτα. Sed lectionem Suidæ, quæ viros illos doctos latebat, veram eſſe dubitari non debet. Cæterum, in Anthologia inedita in eundem Proteſilaum exſtat Epigramma Philippi, quod propter argumenti affinitatem cum Lectore curioſo hic communicabo. Φιλίππου εἰς Πρωτεσίλαον, ἐν Τροίᾳ πρῶτον τελευτήσαντα. ὅτι ἐν τῷ τούτου τάφῳ, ὅσα φυτὰ βλέπει εἰς τὸ Ἴλιον, ξηραίνονται καὶ τῶν φύλλων τὰς κόμας ἀποβάλλουσι.

Ἥρως Πρωτεσίλαε, σὺ γὰρ πρώτην ἐμύησας
Ἴλιον Ἑλλαδικοῦ θυμὸν ἰδεῖν δόρατος.
Καὶ περὶ σοῖς τύμβοις ὅσα δένδρεα μακρὰ τέθηλε
Πάντα τὸν εἰς Τροίην ἐκκεχύηκε χόλον.
Ἴλιον ἢν εἰσίδῃ γὰρ, ἐπ' ἀκρεμόνων κορυφαίων
Καρφοῦται, πετάλων κόσμον ἀναινόμενα.
Θυμὸν ἐπὶ Τροίῃ πόσον ἔζεσας, ἡνίκα τὴν σὴν
Σώζει καὶ στελέχη μῆνιν ἐπ' ἀντιπάλους.

Idem Epigramma ante nos etiam publici juris fecit Bodæus a Stapel ad Theophraſtum pag. 492.

[6] Ἢν δὲ θάνῃς παλάμῃσιν ἐμ.] Diſtichum hoc eſt pars Epigrammatis, quod integrum legitur Anthol. lib. I. cap. V. pag. 10.

Δυσξύμβολα. δυσνόητα.

Δυσοδία. ἡ κακὴ ὁδός.

Δύσοδος, καὶ δυσόδης ὁδός. τραχεῖα. δυσχερῆ διάβασιν ἔχουσα.

Δυσόμοια. ἀνόμοια. Στράττις.

Δύσοργος. ὀξύχολος. [1] Σοφοκλῆς·

Τοιαῦτ' ἀνὴρ δύσοργος, ἐν γήρᾳ βαρὺς
Ἐρεῖ, πρὸς οὐδὲν εἰς ἔριν θυμούμενος.

πρὸς οὐδὲν, ἀντὶ τοῦ πρὸς οὐδὲν ἀληθές· ἢ αἴτιον ἐμοί. καὶ αὖθις·

Ὁ δ' ἐνθάδ' ἥκων, καίπερ οὐ δύσοργος ὢν,
Δηχθεὶς, πρὸς ἃ 'ξήκουσεν, ὧδ' ἠμείψατο.

Δυσόρφναια. μέλανα.

Δύσοσμος. δυσώδης.

Δυσωδία. ἡ φαύλη ὀδμὴ, καὶ κακὴ πνοή.

Δυσωδίαν[2] νόμιζε τὴν ἀηδίαν.

Δυσώνυμος. κακώνυμος.

Δυσωπεῖσθαι. ὑφορᾶσθαι, καὶ ὑπόπτως ἔχειν. Φοβεῖσθαι μεθ' ὑπονοίας. Ὁρῶν δὲ τὸν ἀδελφὸν πάντα δυσωπούμενον, καὶ οὐδὲν ἐπὶ τῶν ὄψων οὐχ ὑφορώμενον. καὶ ἐπὶ τοῦ κακῶς πάσχειν ὑπὸ τοῦ ἡλίου τὰς ὄψεις. Ὡς ἂν καταλάμποντος τοῦ ἡλίου, δυσωπεῖν τοὺς ἐχθρούς. ἔνιοι δὲ, εἰ καὶ μὴ τῶν Ἀττικῶν, ἀντὶ τοῦ αἰδεῖσθαι. ἡ δὲ συνήθεια καὶ ἐπὶ τοῦ ἱκετεύειν καὶ παρακαλεῖν κέχρηται.

Δυσωποῦμαι.[3] Δημοσθένης ἐν Φιλιππικοῖς, καὶ Ξενοφῶν ἐν Ἀπομνημονεύμασιν, ἀντὶ τοῦ φοβοῦμαι.

Δυσωπῶ. αἰτιατικῇ. ἱκετεύω. Δυσωπῶ καὶ ἐπὶ τοῦ παρακαλῶ. καὶ ἐπὶ τοῦ ἐντρέπομαι. Τοὺς Ἰουδαίους ἐλπίσας δυσωπήσειν ἐν τῷ κακοῦν ἐξὸν μὴ θέλειν.

Δυσωρήσονται. δυσφυλακτήσουσι.

Δύσωρον. ὄνομα ὄρους.

Δυσπάλαιστος. δυσκαταγώνιστος. οὕτως Εὐριπίδης. καὶ δυσπαλές. δυσχερές. δυσκαταγώνιστον.

Δύσπαρι.[4] ἐπὶ κακῷ Πάρι ὠνομασμένε. οἷον ζήσας ὡς Πάρις. δυσώνυμε.

Δυσπάριτον. δυσπόρευτον. Ξενοφῶν· Ἐρωτώμενος δ', εἰ εἴη δυσπάριτόν τι χωρίον. τὸ ἄβατον.

Δυσπέμφελον. δυστάρακτον.

Δυσπαίπαλος. τραχεῖα.

Δυσπετής. δυσχερής.

Δυσπετοῦντα. κακῶς πάσχοντα.

Δυσπινῆ.[5] τὰ ἐρρυπωμένα. τὰ ῥυπαρά. πίνος γὰρ, ὁ ῥύπος. Ἀριστοφάνης·

Δυσξύμβολα. Conjectu difficilia. Intellectu difficilia.

Δυσοδία. Malum iter.

Δύσοδος, & δυσόδης ὁδός. Via aſpera & ſalebroſa.

Δυσόμοια. Diſſimilia. Strattis.

Δύσοργος. Iracundus. Sophocles: *Talia vir iracundus & ob ſenectutem moroſus dicet, nulla de cauſa iratis verbis me inceſſens.* Et iterum: *Ille autem huc veniens, quamvis non ſit iracundus, verbis tamen illis animum ejus mordentibus, ad ea ſic reſpondit.*

Δυσόρφναια. Nigra. Obſcura.

Δύσοσμος. Malum odorem ſpirans. Fœtidus.

Δυσωδία. Malus odor. Malus halitus. Fœtor.

Δυσωδίαν νόμ. Fœtorem exiſtima moleſtiam.

Δυσώνυμος. Mali nominis. Infauſtus. Deteſtabilis.

Δυσωπεῖσθαι. Suſpectum habere. Suſpicacem eſſe. Cum ſuſpicione formidare. *Videns autem fratrem omnia ſuſpecta habere, & a nullis non cibis ſibi timere.* Dicitur etiam de iis, quorum viſus a ſole perſtringitur. *Ut ſplendore ſolis oculi hoſtium perſtringerentur.* Quidam vero, quamvis non ſint Attici, vocem hanc accipiunt pro, pudore & verecundia moveri. At vulgo verbum hoc accipi ſolet pro, ſupplicibus precibus aliquem orare & rogare.

Δυσωποῦμαι. Demoſthenes in *Philippicis*, & Xenophon in *Memorabilibus* vocem hanc accipiunt pro metuo, timeo.

Δυσωπῶ. Accuſativo jungitur. Suppliciter oro. Rogo. Precor. Item, revereor. Verecundia moveor. *Sperans fore, ut Judæos puderet, quod, cum poſſet, eos tamen nullo maleficio afficere vellet.*

Δυσωρήσονται. Difficulter cuſtodient.

Δύσωρον. Dyſorum. Montis nomen.

Δυσπάλαιστος. Superatu difficilis. Sic Euripides. Et δυσπαλές. Difficile. Superatu difficile.

Δύσπαρι. Infauſte Pari. Vel, qui vixiſti ut Paris. Infauſtum, vel male ominatum nomen habens.

Δυσπάριτον. Difficile tranſitu. Xenophon: *Interrogatus autem, an locus eſſet tranſitu difficilis.* Vel invius.

S. Vocem Xenophonti restituit Porsonus in loc. cit. a Suida, ex Anabas. Δ'. 271. — Not. Bros. I. 259.

Δυσπέμφελον. Valde turbatum. Tempeſtuoſū.

Δυσπαίπαλος. Aſpera.

Δυσπετής. Difficilis.

Δυσπετοῦντα. Male ſe habentem. Qui cum malo aliquo conflictatur.

Δυσπινῆ. Squalida. Sordida. Πίνος enim ſordes ſignificat. Ariſtophanes: *An vero*

---

[1] Σοφοκλῆς] *Ajace* pag. 58. ut Portus monuit.

[2] Δυσωδίαν νόμιζε τὴν ἀηδ.] Senarius hic onirocriticus legitur apud Aſtrampſychum.

[3] Δυσωποῦμαι. Δημοσθένης ἐν Φιλ.] Ex Harpocratione.

[4] Δύσπαρι] Homerus Il. Γ. v. 39. Obiter hic emendo Heſychium, apud quem v. Δύσπαρις, pro ἐπὶ κακῷ παρακληθεὶς, legendum eſt, ἐπὶ κακῷ Πάρι κληθεὶς.

[5] Δυσπινῆ. τὰ ἐρρυπ.] Ex Scholiaſta Ariſtoph. ad *Acharnenſ.* pag. 392. (279. Ed. Baſ. *P.*)

Ἀλλ' ἦ τὰ δυσπινῆ θέλεις πεπλώματα;
Καὶ αὖθις· [1] Εἶτ' ἔδυσε δυσπινεῖς στολάς.

Δυσπόριστον. δυσεύρετον.

Αἱρήσω τάχα. Capiam fortaſſe. Qui aliquos perſequuntur, hoc dicere conſueverunt. Et, *Captantes capti ſumus.* Dicitur de illis, qui, cum ſperarent, ſe alios capturos eſſe, ipſi ab illis capiuntur.

---

[1] Σοφοκλῆς] *Philoctete* pag. 401.

[2] Ἐπίθεσαν δὲ τὴν λέξιν, ὡς καὶ ἡμ.] Hæc, & quæ ſequuntur, ex Athenæo procul dubio deſcripſit Suidas, quamvis ea apud ſcriptorem iſtum hodie non reperias. Ratio ejus rei eſt, quod duorum priorum librorum Athenæi epitomen tantum hodie habeamus, quibus integris Suidam uſum fuiſſe ex multis apud eum eclogis colligere licet. Exiſtimo autem locum hunc deſcriptum eſſe ex libro primo *Dipnoſophiſtarum*, quoniam illic Athenæus ex veterum ſcriptis congeſſerat, quæ ad morem apponendi & removendi menſas pertinent, ut colligi poteſt ex iis, quæ hodie adhuc in Epitome iſtius libri pag. 11. & 12. leguntur.

Αἱρήσομαι. λήψομαι. σκέψομαι. βουλεύσομαι.

Αἱρείτω. κατασχέτω.

Αἱρισέων. ὄνομα ἔθνους. καὶ Αἱρισεύς.

Αἱρόμενος. φερόμενος.

Αἱρόπινον.[1] σκοτεινόν. καὶ τὸ κόσκινον, ἐν ᾧ πυροὶ σήθονται, ὑπὲρ τοῦ τὰς αἴρας διελθεῖν.

Αἱρούμενος. βουλόμενος. καὶ δεῖπνον αἱρουμένοις, ἀντὶ τοῦ ἑλομένοις δειπνεῖν. Σῖτόν τε αἱρῇ τὸν αὐτὸν ἐκείνοις, καὶ πόμα παραπλήσιον.

Αἶσα. ἡ μοῖρα. ἐν [2] Ἐπιγράμματι·

Οὐ φθονέω· τὴν σὴν ἤθελον αἶσαν ἔχειν.

καὶ αἶσα, ἡ μανία. Τὸν [3] αἶσ' ἄπλατος ἴσχει. τουτέστι, μανία.

Αἴσακος. ὁ κλάδος τῆς δάφνης, ὃν κατέχοντες ὕμνουν τοὺς Θεούς.

Αἰσαλών. εἶδος ζώου.

Αἴσηπος. ὄνομα ποταμοῦ.

Αἴσιμα. τὰ προσήκοντα. παρὰ τὴν αἶσαν. ἐνίοτε δὲ τὰ καθήκοντα, ἢ τὰ ἀγαθά. ἔσθ' ὅτε δὲ τὰ εἱμαρμένα.

Αἰσιμία. ἡ μαντεία.

Αἴσιμος. ὁ χωλὸς, καὶ ἄτιμος, καὶ ἀμαθής. [4] Ἀριστοφάνης·

Ἰδίᾳ σκοπεῖσθ' ἕκαστος ὅ, τι τὶς κερδανεῖ·
Τὸ δὲ κοινὸν ὥσπερ Αἴσιμος κυλίνδεται.

Αἰσιμῶ.[5] τὸ καταναλίσκω.

Αἴσιον. τὸ καλόν. μέτριον. δίκαιον. καὶ ὑπεραίσιον, τὸ ὑπὲρ τὴν μοῖραν. ὑπὲρ τὸ προσῆκον.

Αἴσιος. ὁ καθήκων, ἀληθής. Μένανδρος [6] Ἀλλ' οὐκ αἰσίως αὐτοῖς ἀπέπνευσεν ἡ τύχη. οἱ γὰρ ἐθελοκακοῦντες [7] οὐχ ὑπεστάλησαν. καὶ αὖθις· Καὶ τοῦτο οὐκ αἴσιον δόξαι ἂν βασιλεῖ. † Ὅτι [8] Δημοσθένης συνεφιλολόγησεν Αἰσίῳ τῷ Ἀθηναίῳ.

Αἰσθάνεσθαι. γενικῇ. τοῦτο δύο σημαίνει· τὸ κατὰ δύναμιν, καὶ κατ' ἐνέργειαν. αἰσθάνεσθαι τοίνυν λέγονται οἱ κοιμώμενοι, δύναμιν ἔχοντες τοῦ αἰσθάνεσθαι.

Αἰσθέσθαι καὶ αἰσθάνεσθαι διαφέρει. τὸ μὲν γὰρ αἰσθέσθαι, ἐπὶ τοῦ ἀκριβῶς εἰδέναι τι. τὸ δὲ αἰσθάνεσθαι, ἐπὶ τοῦ ὑπονοεῖν τι. καὶ περὶ μὲν τοῦ αἰσθάνεσθαι Ἀντιφῶν ἐν Προοιμίοις· Ἐγραψάμην ταύτην τὴν γραφὴν ἠδικημένος ὑπὸ τούτου νὴ Δία πολλά· ἔτι δὲ καὶ πλείω ὑμᾶς ᾐσθημένος ἠδικημένους, καὶ τοὺς ἄλλους πολίτας. Τὸ δὲ αἰσθάνεσθαι ἐπὶ τοῦ ὑποπτεύειν, καὶ οὐκ ἐπὶ τοῦ βεβαίως εἰδέναι. Λυ-

Αἱρήσομαι. Capiam. Diſpiciam. Deliberabo.

Αἱρείτω. Capiat. Comprehendat.

Αἱρισέων. Hæriſeorum. Ab Αἱρισεὺς, quod eſt nomen gentis.

Αἱρόμενος. Qui tollitur. Qui fertur.

Αἱρόπινον. Obſcurum. Tenebroſum. Item cribrum, quo frumentum cribratur, ut lolium per ejus foramina tranſeat.

Αἱρούμενος. Volens. Et δεῖπνον αἱρουμένοις. Cœnam capientibus. Et αἱρῇ. Capis. Particeps es. *Et cibum eundem capis, quem illi, & ſimilem potum.*

Αἶσα. Fatum. Sors. In Epigrammate: *Non invideo* [*tibi.*] *Tua autem vellem ſors mihi obtigiſſet.* Et αἶσα, inſania. *Fatalis eum inſania tenet.*

Αἴσακος. Lauri ramus, quem tenentes hymnis Deos celebrare ſolebant.

Αἰσαλών. Animalis genus

Αἴσηπος. Æſepus. Nomen fluvii.

Αἴσιμα. Quæ conveniunt. Quæ decent. Ab αἶσα. Interdum etiam officia, ſive ea, quæ honeſta ſunt. Item, fatalia.

Αἰσιμία. Vaticinium.

Αἴσιμος. Claudus. Item, infamis, & imperitus. Ariſtophanes: *Proprii unuſquiſque lucri & quæſtus rationem habet. Reſpubl. vero ut Æſimus claudicat.*

Αἰσιμῶ. Abſumo. Conſumo.

Αἴσιον. Honeſtum. Moderatum. Juſtum. Et ὑπεραίσιον. Quod eſt præter fatum, præter decorum, vel præter officium.

Αἴσιος. Decens. Conveniens. Verus. [Felix.] Menander: *Sed rem ex ſententia non geſſerunt, militibus pugnam ſponte remittentibus.* Et iterum: *Hoc vero Regi non videbitur decorum.* † Demoſthenes in diſcenda eloquentia Æſionem Athenienſem ſocium habuit.

Αἰσθάνεσθαι. Sentire. Genitivo jungitur. Duplici autem ſenſu aliquis *ſentire* dicitur: vel ſecundum facultatem, vel actum. Nam & dormientes ſentire dicuntur, quia ſentiendi facultatem habent.

Αἰσθέσθαι & αἰσθάνεσθαι differunt. Nam αἰσθέσθαι ſignificat, aliquid certo ſcire. Αἰσθάνεσθαι vero, aliquid ſuſpicari. Et verbo αἰσθέσθαι uſus eſt Antipho in *Proœmiis*: *Hanc actionem inſtitui, non ſolum multis ab eo injuriis affectus, ſed etiam qui ſcirem, vos & cæteros cives longe pluribus injuriis affectos eſſe.* Αἰσθάνεσθαι vero ſignificat aliquid ſuſpicari, non vero certo ſcire. Lyſias in oraσίας ἐν τῷ πρὸς Ἀλκιβιάδην φησίν· Οἶμαι μὲν τοίνυν καὶ ἐκεῖνο ὑμᾶς αἰσθάνεσθαι, ὅτι Ἀλκιβιάδης οὐκ ἄλλο τι ἐζήτει κομίσασθαι, ἀλλὰ τῶν ἐμῶν ἠμφισβήτει. Ἔταξαν δὲ αὐτὸ καὶ ἐπὶ τοῦ εἰδέναι. Ἰσαῖος· Τὰ δὲ τοιούτων δὴ μαρτυριῶν οἱ δικάζοντες τὰ μὲν αὐτοὶ συνειδότες, ὅτι ὑγίανεν ὁ παῖς, τῶν ἑωρακότων αἰσθανόμενοι μαρτυρούντων· τὰ δὲ ἀκοῇ πυνθανόμενοι.

---

[1] Αἱρόπινον] Sic Pollux lib. x. cap. xxv. in f. & Etymologus. At Heſychius αἰρόπιον.

[2] Ἐν Ἐπιγράμματι] Anthol. lib. vii. pag. 607.

[3] Τὸν αἶσ' ἄπλατος ἴσχει] Hæc ſunt verba Sophoclis *Ajace* pag. 56. ut Portus obſervavit.

[4] Ἀριστοφάνης] *Eccleſiaz.* pag. 730. (490. Ed. Baſ. *P.*) ubi vide Scholiaſtam.

[5] Αἰσιμῶ] Vide ſupra v. Ἀναισιμοῦ.

[6] Ἀλλ' οὐκ αἰσίως αὐτ.] Hæc ſunt verba Menandri hiſtorici, non Comici; quod ideo moneo, ne quem in errorem inducat Portus, qui fragmentum hoc, tanquam ex Menandro Comico depromptum, in verſus Jambicos redigere conatus eſt.

[7] Οὐχ] Voculam hanc delendam cenſeo. Senſui enim repugnare videtur, quantum quidem ex tam brevi fragmento colligere licet.

[8] Ὅτι Δημοσθένης συνεφιλολόγησεν Αἰσ.] Hæc occurrunt etiam ſupra v. Δημοσθένης: ſed ubi pro Αἰσίῳ rectius legitur Αἰσίωνι. Confer de hoc loco Reineſium *Var. Lect.* lib. iii. pag. 330. 331.

Αἰσθήσεις ε´. ὅτι τρανεστέρα ἡ ὄψις τῆς ἀκοῆς, καὶ αὐτὴ τῆς ὀσφρήσεως· ἡ ὄσφρησις τῆς γεύσεως, καὶ τῆς ἁφῆς. ἡ [1] μέν τοι ἁφὴ δοκεῖ μηδὲ αἴσθησις εἶναι. ἑκάστη γὰρ τῶν ἄλλων αἰσθήσεων περὶ μίαν τινὰ τῶν αἰσθητῶν τὴν ἀντίθεσιν ἐνεργεῖ, καὶ τὰ ταύτης μεταξύ· οἷον, ὄψις μὲν περὶ τὸ μέλαν, καὶ τὸ λευκὸν, καὶ τὰ τούτου μεταξὺ χρώματα. ἀκοὴ δὲ, περὶ τὸν βαρὺν καὶ τὸν ὀξὺν φθόγγον, καὶ τοὺς μεταξύ. ὄσφρησις περὶ τὸ εὐῶδες καὶ τὸ δυσῶδες. γεῦσις περὶ τὸ γλυκὺ καὶ τὸ πικρὸν, καὶ τὰ τούτων μεταξύ. ἡ μέν τοι ἁφὴ περὶ πλείους ἀντιθέσεις ἔχει, οὐκ οὔσας ὑπ' ἀλλήλους. περί τε γὰρ τὸ θερμὸν, καὶ τὸ ψυχρόν· καὶ τὸ ὑγρὸν, καὶ τὸ ξηρόν· καὶ τὸ σκληρὸν, καὶ μαλακόν· καὶ τὸ βαρὺ καὶ τὸ κοῦφον· καὶ τὸ μανὸν, καὶ τὸ πυκνόν· ἅπερ ὑπάλληλα εἶναι οὐ δύναται. † Ὅτι αἱ [2] αἰσθήσεις τῶν μειζόνων αἰσθητῶν ἀντιλαμβανόμεναι, οὐκέτι μετ' ἐκείνων τῶν ἡττόνων ἀντιλαμβάνεσθαι δύνανται. ὁ γὰρ πληκτικωτέρων χυμῶν γευσάμενος, τῶν ἠρεμαιοτέρων οὐκ ἐπαισθάνεται. καὶ ὁ μεγάλων ψόφων ἀκηκοὼς, πρὸς τοὺς ἥττους ἐστὶν ἀνεπαίσθητος. καὶ ὁ πρὸς ἥλιον ἀτενίσας, ἀναγνῶναι οὐ δύναται, οὐδὲ τῶν ἄλλων ἀκριβῶς ὁρατῶν ἀντιλαμβάνεσθαι. ὁμοίως καὶ ἐπὶ τῆς ἁφῆς. ὁ δὲ νοῦς τούτοις ἐναντίως ἔχει. ὅσῳ γὰρ τῶν μειζόνων νοητῶν ἀντιλαμβάνεται, τοσοῦτον καὶ ἀκριβέστερός ἐστι πρὸς τὴν ἀντίληψιν τῶν ἡττόνων. καὶ τὰς μὲν αἰσθήσεις ὑπερβολαὶ τῶν αἰσθητῶν φθείρουσιν. ὑπερβολὴ γὰρ φωτὸς, ἢ ζόφου, ἔφθειρε τὴν ὄψιν. ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων. τὸν δὲ νοῦν τῶν μειζόνων νοητῶν ἡ ἀντίληψις ὀξυδερκέστερον ποιεῖ. † Ὅτι [3] κοινὰ αἰσθητὰ ε´. κίνησις, ἠρεμία, ἀριθμὸς, σχῆμα, μέγεθος. κοινὰ δὲ ταῦτα εἶναι λέγονται, οὐχ ὅτι ἓν ἕκαστον αὐτῶν πάσαις ταῖς αἰσθήσεσιν ὑποπίπτει, ἀλλ' ὅτι ἕκαστον πλείοσι, καὶ οὐ μιᾷ. τινὰ δὲ καὶ πάσαις ἅμα. τὸ μὲν γὰρ μέγεθος κοινόν ἐστιν αἰσθητὸν ὄψεως καὶ ἁφῆς. ὁρῶμεν γὰρ, ὅτι μέγας ἐστὶ τυχὸν ὁ ἄνθρωπος· καὶ ἁπτόμενοι αἰσθανόμεθα, ὅτι μέγας ἢ μικρὸς ὁ παρεστὼς ὄγκος, καὶ τὸ διάστημα. ἤδη δὲ καὶ ψόφου λέγομεν ᾐσθῆσθαι μεγάλου, ἢ μικροῦ. ἀλλ' ἐνταῦθα τὸ μέγεθος κατ' ἀναλογίαν εἴληπται, οὐ κυρίως. μέγεθος γὰρ λέγομεν τὸ συνεχὲς τῶν κοινῶν εἶναι αἰσθητῶν. ὁ μέν τοι μέγας ψόφος, ποιότητός ἐστιν ἐπιτεταμένης καὶ ἀνει-

tione adverſus Alcibiadem: *Arbitror igitur & illud vos ſentire, Alcibiadem nil aliud hinc conſequi ſtuduiſſe; ſed de bonis meis contendere voluiſſe.* Idem tamen vocabulum etiam pro *ſcire* [nonnulli] adhibuerunt. Iſæus: *Hæc vero teſtimonia partim ipſi Judices norunt, ſibi conſcii puerum tunc bene valuiſſe, (teſtes enim ipſi audiverunt;) partim vero fama acceperunt.*

Αἰσθήσεις πέντε. Quinque ſunt ſenſus. Ex his viſus clarior & diſtinctior eſt auditu; auditus olfactu; olfactus guſtatu & tactu. Tactus tamen ne ſenſus quidem eſſe videtur. Nam cæterorum ſenſuum quilibet in una tantum rerum ſenſilium oppoſitione, & in intermediis verſatur: veluti viſus in albo & nigro, & interjectis coloribus: auditus in ſono gravi & acuto, & interjectis: olfactus in odoribus & fœtoribus: guſtatus in dulci & amaro, & interjectis ſaporibus. Tactus autem in pluribus oppoſitionibus cernitur, non ſubalternis; ut in frigido & calido; humido & ſicco; duro & molli; gravi & levi; raro & denſo: quæ ſubalterna eſſe non poſſunt. † Senſus majoribus ſenſilibus perceptis, poſtea minora ſentire non poſſunt. Nam qui acriores ſapores guſtavit, is remiſſiores non percipit: & qui magnos ſtrepitus audivit, minores non ſentit: itemque qui ſolem intuitus eſt, legere non poteſt, aut alia quævis viſu dignoſcere. Idem etiam de tactu dicendum eſt. Mentis vero contraria eſt ratio. Quo enim majora intellectilia comprehenderit, eo expeditior eſt ad minora comprehendenda. Et ſenſum quidem immoderata ſenſilium vis corrumpit. Nimia enim lux vel obſcuritas viſui nocet: idemque de reliquis ſenſibus dicendum eſt. Mentem vero majorum intellectilium comprehenſio acutiorem facit. † Communia ſenſilia ſunt quinque: motus, quies, numerus, figura, magnitudo. Communia vero dicuntur, non quod eorum quodlibet ſub omnes ſenſus cadat: ſed quod ſingula ſub plures, non unum tantum, quædam vero etiam ſub omnes ſimul cadant. Nam magnitudo quidem eſt commune ſenſile viſus & tactus. Videmus enim ex. gr. magnum eſſe hominem; & tangendo ſentimus magnam aut parvam eſſe objectam molem & intervallum. Quinetiam ſtrepitum magnum vel parvum nos audiviſſe dicimus. Sed tunc magnitudo ſecundum proportionem quandam ſumitur, non autem proprie. Magnitudinem enim dicimus eſſe id, quod eſt continuum in rebus ſenſilibus. Magnus vero [vel parvus] ſtrepitus qualitatem intenſam vel remiſſam ſignificat. Quare lenis aut vehemens ſtrepitus magis proprie dicetur. Figura autem tam ſub viſum quam ta-

---

[1] Ἡ μέν τοι ἁφὴ δοκεῖ μηδὲ αἰσθ.—— ἅπερ ὑπάλληλα εἶναι οὐ δύναται] His ſimilia leguntur apud Philoponum in lib. II. Ariſtot. *de Anima*, M. 7. b. Non tamen Suidæ verba inde deſumpta ſunt. *Pearſ.*

[2] Ὅτι αἱ αἰσθήσεις τῶν μειζόνων αἰσθ.——ὀξυδερκέστερον ποιεῖ] Totus hic locus ad verbum deſcriptus eſt ex Philopono in lib. II. Ariſt. *de An.* H. 5. a.

[3] Ὅτι κοινὰ αἰσθητὰ ε´. κίνησις, ἠρεμ.] Hæc, & omnia quæ ſequuntur uſque ad finem articuli, itidem deprompta ſunt ex modo laudato Philopono in lib. II. Ariſtot. *de An.* I. 8. a. b. ut Pearſonius recte obſervavit.

μένης δηλωτικός. διὸ τὸ ἀμυδρὸν ἢ σφοδρὸν κυριώτερον ἐπὶ τῶν ψόφων ἁρμόζει λέγεσθαι. τὸ δὲ σχῆμα κοινὸν ὄψεως καὶ ἁφῆς. σχῆμα δὲ, οὐ τὸ τετράγωνον, ἢ ὀκτάγωνον (τοῦτο γὰρ λόγου ἐστὶ τὸ εἰπεῖν, ὅτι σχῆμά ἐστι τὸ ὑπὸ μιᾶς γραμμῆς περιεχόμενον, ἢ ὑπὸ τριῶν, ἢ ὅσων δήποτε) ἀλλ' ὅ, τι ἁπλῶς περιγέγραπται. πᾶσα δὲ περιγραφὴ κατά τι τῶν σχημάτων γίνεται. καὶ τὰ ἄλογα γοῦν, ὅταν ἐπὶ μικρὸν ὕψος καὶ ἐπανάστημα γῆς ἐμπέσωσιν, ἐπιβαίνουσι διελθεῖν, ἅτε δὴ ἐπιστάμενα, ὡς περιγέγραπται τὸ μέγεθος, καὶ οἷά τε ἐστὶ διελθεῖν. εἰς δὲ ὑψηλὸν καὶ ἀποκρημνὸν ἐμπεσόντα, οὐκ ἐπιχειρεῖ παρελθεῖν, συναισθόμενα τοῦ μεγέθους τοῦ σχήματος. ὁ δὲ ἀριθμὸς κοινόν ἐστιν αἰσθητὸν πασῶν. [1] ὁρῶμεν γὰρ, ὅτι ε΄ τυχὸν ἄνθρωποι· ἀλλὰ καὶ ψηλαφῶντες τοῦτο αὐτὸ ἴσμεν, καὶ μὴν ἀκούοντες.

Αἴσθομαί σου. τὸ αἰσθήσεως ἐπιλαμβάνομαι.

γ. Dio. Caſs. I. 176. 90. Reimar. II. 1521.

Αἰσθόμενοι. νοήσαντες. γ. Οἱ δὲ τὴν προθυμίαν τοῦ Καίσαρος ἰδόντες, καὶ τὰ ἔργα ὁμολογοῦντα ταῖς ἐλπίσιν αἰσθόμενοι.

Αἴσθων. αἰσθόμενος, καὶ βασανιζόμενος ἢ ἐκπνέων.

Αἰσοὺρ. ὄνομα κύριον.

Αἰσώπειον αἷμα. ἐπὶ τῶν ἀδίκως ἀναιρουμένων. οὐ γὰρ ἐνδίκως ἀπέκτειναν τὸν Αἴσωπον οἱ Δελφοί. Αἰσώπειον οὖν αἷμα, ἐπὶ τῶν [2] δυσαπορρύπτοις ὀνείδεσι καὶ κακοῖς συνεχομένων. Δελφοῖς γὰρ συνέβη τὸ δαιμόνιον ὀργισθῆναι, ἀδίκως ἀνελοῦσιν Αἴσωπον.

Αἴσωπος, Μιθριδάτου ἀναγνώστης. [3] ἔγραψε περὶ Ἑλένης· ἐν ᾧ φησὶ, [4] πᾶνα ἰχθὺν καλεῖσθαι κητώδη. ἐν τούτῳ δὲ ἀστερίτην λίθον εὑρίσκεσθαι, ὃς ὑπὸ τῷ ἡλίῳ ἀνάπτεται. ποιεῖ δὲ πρὸς φίλτρα. ἔγραψε καὶ Μιθριδάτου ἐγκώμιον.

Αἴσωπος, Σάμιος, ἢ Σαρδιανός. Εὐγείτων δὲ [5] Μεσημβριανὸν εἶπεν. ἄλλοι, Κοτυαέα Φρύγα. ἐγένετο δὲ λογοποιὸς, ὅ ἐστιν εὑρετὴς λόγων καὶ ἀποκειμάτων. διέτριψε δὲ παρὰ Κροίσῳ φιλέμενος, τοῖς χρόνοις πρὸ Πυθαγόρου· ὃς [6] μεσοῦν ἐπὶ τῆς μ΄ Ὀλυμπιάδος. ἔγραψε τὰ ἐν Δελφοῖς αὐτῷ συμβάντα ἐν βιβλίοις β΄. μᾶλλον δέ τινες φασὶ τὸν Αἴσωπον ἀποκείματα γεγραφέναι μόνον. [7] ἐν γὰρ Δελφοῖς ἀδίκως ἀπολέσθαι, ὑπ' αὐτῶν κατακρημνισθέντα ἀπὸ τῶν Φαιδριάδων καλουμένων πετρῶν, κατὰ τὴν νδ΄ Ὀλυμπιάδα. οἰκέτην δὲ γενέσθαι Ξάνθου τοῦ Λυδοῦ. ἄλλοι, ἀνδρός τινος Σαμίου [8] Ἰάδμονος, ὄντινος καὶ ἡ Ῥο-

ctum cadit: figura inquam, non quadrangula, aut octangula; (rationis enim eſt dicere, figuram linea una, aut duabus, aut tribus, aut quotcunque tandem, circumſcriptam eſſe) ſed ſimpliciter circumſcripta. Omnis autem circumſcriptio fit ſecundum aliquam figuram. Itaque & brutæ animantes, cum ad tumulum aliquem vel collem modice editum pervenerunt, adſcendere non dubitant, quippe ſcientes, magnitudinem eſſe circumſcriptam, eamque a ſe tranſiri poſſe. Sin in locum nimis altum & præcipitem inciderint, tranſire non audent, animadverſa figuræ magnitudine. Numerus vero ſenſuum omnium commune eſt ſenſile. Nam quinque homines ex. gr. in aliquo loco eſſe videmus: idemque tactu atque auditu cognoſcere poſſumus.

Αἴσθομαί σου. Sentio te. Senſu te percipio.

Αἰσθόμενοι. Qui ſenſerunt. Qui animadverterunt. *Illi vero, cum Cæſaris alacritatem vidiſſent, & facta ſpei reſpondere animadvertiſſent.*

Αἴσθων. Sentiens. Animadvertens. Item, examinans. Vel, expirans.

Αἰσοὺρ. Æſur. Nomen proprium.

Αἰσώπειον αἷμα. Æſopeus ſanguis. De iis, qui injuſte occiduntur. Delphi enim Æſopum injuſta morte affecerunt. Æſopeus igitur ſanguis dicitur de illis, qui criminibus & piaculis obſtricti ſunt, quæ difficulter elui queunt. Deum enim Delphis iratum fuiſſe ferunt, quod Æſopum injuſte interfeciſſent.

Αἴσωπος. Æſopus, Mithridatis Anagnoſta. Scripſit de Helena: in quo opere dicit, eſſe piſcem quendã cetacei generis, Pana vocatum, in quo reperiatur lapis Aſterites, qui a Sole accendatur, & ad amores conciliandos aptus ſit. Idem etiam ſcripſit Encomium Mithridatis.

Αἴσωπος. Æſopus, Samius, aut Sardianus. Eugiton vero Meſembrianum fuiſſe dicit. Alii Cotyaenſem Phrygem. Fuit autem inventor fabularum, vixitque apud Crœſum, a quo in deliciis habebatur. Idem Pythagora antiquior fuit, utpote qui vixit circa Olympiadem quadrageſimam. Scripſit hiſtoriam eorum, quæ Delphis ſibi acciderant, libris duobus. Vel potius, ut alii dicunt, [fabulas tantum, & arguta] reſponſa ſcripſit. Apud Delphos autem injuſta morte periit, præcipitatus ab illis a rupibus, quæ Phædriades appellantur, Olympiade LIV. Servum fuiſſe ajunt Xanthi Lydi. Alii vero, Samii cujuſdam Iadmo-

---

[1] Ὁρῶμεν γὰρ, ὅτι ε΄ τυχὸν ἄνθρ.] Plenius Philoponus loco laudato: Ὁρῶμεν γὰρ, ὅτι ε΄ τυχὸν οἱ ἄνθρωποι. ἀλλὰ καὶ ψηλαφῶντες τὸ αὐτὸ τοῦτο ἴσμεν. καὶ ἀκούοντες δὲ ἴσμεν, ὅτι πλειόνων ἢ ἐλαττόνων ἢ ἑνός ἐστιν ἡ προσπίπτουσα φωνή.

[2] Δυσαπορρύπτοις] In prioribus Editt. legitur δυσαπορρίπτοις: quod mendum eſſe librarii facile cuivis patet. Zenobius habet δυσαπονίπτοις; lectione quidem diverſa, ſed ſenſu eodem.

[3] Ἔγραψε περὶ Ἑλένης· ἐν ᾧ φ.] Hæc, & quæ ſequuntur, deſcripta ſunt ex Heſychio Mileſio: eademque repetuntur infra v. Πάν.

[4] Πᾶνα ἰχθὺν καλεῖσθαι κητώδη. ἐν τούτῳ δὲ ἀστερ.] Huc apprime faciunt ea, quæ refert Photius ex Hephæſtione cod. cxc. in fine: Πᾶνα δέ φησιν ἰχθὺν εἶναι θαλάσσιον, κητώδη, ὅμοιον τῷ Πανὶ κατὰ τὴν ὄψιν. ἐν τούτῳ λίθον εὑρίσκεσθαι τὸν Ἀστερίτην, ὃν εἰς ἥλιον τεθέντα ἀνάπτεσθαι. ποιεῖν δὲ καὶ πρὸς φίλτρον. τοῦτον δὲ τὸν λίθον εἶχεν Ἑλένη, γλυφὴν ἔχοντα αὐτὸν τὸν ἰχθὺν τὸν Πᾶνα, καὶ ταύτῃ ἐκέχρητο τῇ σφραγῖδι. Hæc Hephæſtionis verba adeo gemina & affinia ſunt iis, quæ Suidas hic habet, ut non dubitem, quin utriuſque ecloga ex eodem fonte, id eſt, ex libro Æſopi de Helena, deprompta ſit.

[5] Μεσημβριανόν] Unus MS. Pariſ. habet, Μαρκελιανόν. Sed duo reliqui cum excuſis conſentiunt.

[6] Ὃς μεσοῦν ἐπὶ τῆς μ΄ Ὀλ.] Senſus hujus loci clarus eſt: quamvis verba ſint mendoſa. Docere enim vult Suidas, Æſopum Olymp. XL. vixiſſe. Quare pro ὃς μεσοῦν legi poterit, ὥστε βιοῦν αὐτόν; vel ſimile quid.

[7] Ἐν γὰρ Δελφοῖς ἀδίκως ἀπολέσθαι] De morte Æſopi, ejuſque cauſa, videndus omnino eſt Scholiaſta Ariſtophanis ad *Veſpas* p. 534.

[8] Ἰάδμονος, ὄντινος καὶ ἡ Ῥοδ.] Eadem leguntur infra v. Ἰάδμων.

δῶπις

δώπις δούλη ἦν· ἣν ἑταίραν γενομένην, Θρᾷσσαν τὸ γένος, Χάραξος ὁ ἀδελφὸς Σαπφοῦς ἔλαβε γυναῖκα, καὶ ἐξ αὐτῆς γεννᾷ.

Αἴσωπος,[1] ὁ τῶν μύθων ποιητὴς, [2]Σάμιος, δοῦλος, οὐ τὴν τύχην μᾶλλον, ἢ τὴν προαίρεσιν· οὐκ ἄφρων[3] μὲν, οὐδὲ [4]κατ' αὐτὸ τοῦτο ἀνήρ. ᾧ γὰρ ὁ νόμος οὐ μετεδίδου παῤῥησίας, τούτῳ προσῆκον ἦν, [5]ἐσκιαγραφημένας τὰς συμβουλὰς καὶ πεποικιλμένας ἡδονῇ καὶ χάριτι προφέρειν· ὥσπερ καὶ τῶν ἰατρῶν οἱ μὲν ἐλεύθεροι τὸ δέον ἐπιτάττουσι· ἐὰν δέ τις οἰκέτης γένηται τὴν τύχην, καὶ τὴν τέχνην ἰατρὸς, πράγματα ἔχει, κολακεύειν ἅμα καὶ θεραπεύειν τὸν δεσπότην ἀναγκαζόμενος.

Αἴσωπον[6] ἀπὸ δείπνου βαδίζονθ' ἑσπέρας,
Θρασεῖα καὶ μεθύση τις ὑλάκτει κύων.
Κἄπειτ' ἐκεῖνος εἶπεν· Ὦ κύον, κύον,
Εἰ νὴ Δί' ἀντὶ τῆς κακῆς γλώττης ποθὲν
Πυροὺς πρίαιο, σωφρονεῖν ἄν μοι δοκοῖς.

Τὸν[7] Αἴσωπόν φασί τινες τοσοῦτον ἄρα θεοφιλῆ γενέσθαι, ὡς καὶ ἀναβιῶναι αὐτὸν, [8]καθάπερ οὖν τὸν Τυνδάρεων, καὶ τὸν Ἡρακλέα, καὶ τὸν Γλαῦκον. [9]καὶ Πλάτων φησὶν ὁ κωμικός· Καὶ νῦν ὄμοσόν μοι μὴ τεθνάναι τὸ σῶμα. ἐγὼ ψυχὴ δ' ἀπὸ νίκης ὥσπερ Αἰσώπου ποτέ.

Αἴστωρ.[10] ὁ ἁγνός.

Αἰσυητῆρι. χοιροβοσκῷ.

Αἴσυλα. παράνομα. ἄδικα. ἐν Μύθοις·

Αἰπεινὴν[11] ἐλάτην ἔρις ὤρορεν αἴσυλα φάσθαι.

Αἰσύμη. πόλις. καὶ Αἰσύμνη, πόλις.

Αἰσυμνητήρ. ὁ βασιλεύς.

Αἰσυμνῆται. οἱ ἀγωνοθέται. οἱ τοῦ ἀγῶνος προεστῶτες. ἢ οἱ νεανίαι. ἢ οἱ νεμηταί· ὅ ἐστι, βραβευταί.

Αἰσυμνῆτις. ἡ δέσποινα.

Αἴσυμνος. ὄνομα κύριον.

Αἰσύφηλος. ὁ δειλός.

Αἰσχίνης,[12] Χαρίνου, ἀλλαντοποιοῦ, φιλόσοφος Σωκρατικός. τινὲς δὲ Λυσανίου παῖδά φασιν, Ἀθηναῖον, Σφήττιον. Διάλογοι δὲ αὐτοῦ, Μιλτιάδης, [13]Καλλίας,

nis; cujus & Rhodopis ancilla fuit, quam, corpore quæſtum facientem, & gente Thraciam, Charaxus Sapphonis frater uxorem duxit, liberoſque ex ea ſuſcepit.

Αἴσωπος. Æſopus, fabularum ſcriptor, non fortuna magis quam voluntate ſervus: non ille quidem inſipiens, neque ideo vituperandus. Nam cui lex libertatem ademerat, huic conſentaneum erat conſilia ſua & monita adumbrata quaſi, & voluptate leporeque condita, in medium proferre. Quemadmodum e medicis ingenui quique, quod facto opus eſt, [palam & aperte] præſcribunt. Sin quiſpiam ſit conditione ſervus, & profeſſione medicus, haud mediocriter laborat, dum eodem tempore hero ſuo & adulari & mederi cogitur. [Ariſtophanes:] *Æſopum veſperi a cœna redeuntem audax & ebria allatrabat canis. Cui ille dixit: O canis canis, ſi loco maledictorum frumentum tibi alicunde comparares, ſapere mihi videreris.* † Æſopum quidam ajunt Diis adeo charum fuiſſe, ut mortuus revixerit; ſicut & Tyndareus, & Hercules, & Glaucus. Et Plato Comicus inquit: *Et nunc jura mihi, corpus quidem interiiſſe; animam vero redituram eſſe* [*in vitam,*] *ut quondam Æſopi.*

Αἴστωρ. Caſtus. Purus.

Timaeus. p. 15: Suid. supr. 1. 68.
Bos. (Ω)

Αἰσυητῆρι. Subulco.

Αἴσυλα. Iniqua. Injuſta. In Fabulis: *Excelſam abietem contentio impulit, ut protervis verbis* [*rubum*] *laceſſeret.*

Αἰσύμη. Æſyme. Urbs. Et Æſymne, pariter.

Αἰσυμνητήρ. Rex.

Αἰσυμνῆται. Agonothetæ. Certaminum ac ludorum præſides. Vel, juvenes & adoleſcentes. Vel, præmiorum victoriæ arbitri.

Αἰσυμνῆτις. Domina.

Αἴσυμνος. Æſymnus. Nomen proprium.

Αἰσύφηλος. Ignavus. Improbus.

Αἰσχίνης. Æſchines, Charini fartoris filius, Philoſophus Socraticus. Quidam vero ipſum Lyſaniæ filium, Athenienſem, Sphettium,

---

[1] Αἴσωπος, ὁ τῶν μύθων ποιητ. —— τὸν δεσπότην ἀναγκαζόμενος.] Hæc omnia αὐτολεξεὶ leguntur apud Julianum Orat. VII. pag. 388. unde ea Suidas deſcripſit. Eadem etiam occurrunt apud Scholiaſtam Ariſtophanis ad *Veſpas* pag. 521. unde tamen Suidas ſua non deſcripſit. Contra enim potius exiſtimo, locum hunc, uti & multa alia, a Muſuro, vel alio quopiam, ex Suida in Scholia Ariſtophanis tranſlatum eſſe: qua de re alibi accuratius & prolixius a nobis agetur.

[2] Σάμιος, δοῦλος.] Hæ duæ voces in prioribus Editt. deſiderantur, quas ex Juliano, & 2 MSS. Pariſ. loco huic reſtitui.

[3] Ἄφρων μὲν] Sic recte Julianus, & MSS. Pariſ. At priores Editt. male, ἄφρων μόνον.

[4] Οὐδὲ κατ' αὐτὸ τοῦτο ἀνήρ] Apud Julianum hoc loco lacuna occurrit. Nec lectionem Suidæ ſatis ſanam vel integram eſſe puto, ſed ei mendum aliquod ſubeſſe ſuſpicor, quoniam ſenſum planum fruſtra quis inde elicere conetur.

[5] Ἐσκιαγραφημένας] Hæc vox apud Julianum hodie deſideratur; quæ proinde ex hoc loco Suidæ ei reſtituenda eſt.

[6] Αἴσωπον ἀπὸ δείπνου βαδ.] Quinque hi ſenarii Jambici leguntur apud Ariſtophanem *Veſpis* pag. 530. (361. Ed. Baſ. *P.*)

[7] Τὸν Αἴσωπόν φασί τινες τοσ.] Hæc, & quæ ſequuntur, leguntur etiam ſupra v. Ἀναβιῶναι.

s. Animadv.

[8] Καθάπερ οὖν τὸν Τυνδάρ.] Vide Apollodorum lib. III. cap. X. §. 3.

[9] Καὶ Πλάτων φησὶν ὁ κωμικός. Καὶ ν.] Eundem locum Platonis Comici adducit Scholiaſta Ariſtophanis ad *Aves* pag. 563. Ὁ δὲ κωμικὸς Πλάτων καὶ ἀναβιῶσαι αὐτόν φησιν ἐν τοῖς Λάκωσιν οὕτως· Καὶ μὴν ὄμοσόν μοι μὴ τεθνάναι· ψυχὴν δ' αὖ ἥκειν ὥσπερ Αἰσώπου ποτέ. Sed tam apud Scholiaſtam, quam Suidam, locus hic Platonis in mendo cubat, nec metri ratio ei conſtat, qui ſic in integrum reſtitui poteſt:

Καὶ νῦν ὄμοσόν μοι, μὴ τεθνάναι τὸ σῶμ'. Ἐγώ.
Ψυχὴν δ' ἐπανήκειν ὥσπερ Αἰσώπου ποτέ.

Vel ſic:

Καὶ νῦν ὄμοσον τὸ σῶμα μέν μου τεθνάναι,
Ψυχὴν δ' ἐπανήκειν ὥσπερ Αἰσώπου ποτέ.

[10] Αἴστωρ. ὁ ἁγνός] Scribendum puto. Ἄϊστος. ὁ ἀγνώστος. Id eſt, homo ignotus & obſcurus. Lectio enim vulgata meis ſaltem auribus nova prorſus eſt & inaudita.

[11] Αἰπεινὴν ἐλάτ.] Idem fragmentum legitur etiam ſupra v. Αἰπεινή.

[12] Αἰσχίνης] De eo vide Laertium lib. II. & Meurſium in *Bibliotheca Attica.*

[13] Καλλίας] Quodnam fuerit Dialogi hujus argumentum, docet Athenæus lib. V. cap. ult. pag. 220. Ὁ δὲ Καλλίας αὐτοῦ (Αἰσχίνου) περιέχει τὴν τοῦ Καλλίου πρὸς τὸν πατέρα διαφορὰν, καὶ τὴν Προδίκου καὶ Ἀναξαγόρου τῶν σοφιστῶν διαμώκησιν, &c.

Ῥίνων,

ὁ ἁγνός.] Vertitur *Caſtus, purus.*
Notis Cl. Kuſter., ſcribendum puto
ὁ ἄγνωστος, id eſt, homo ignotus &
Lectio enim vulgata meis ſaltem
nova prorſus eſt & inaudita. Nihil
m, quin mendum aliquod occupet
m. id tamen non eſt in priore voce,
ſteriore. Prior ſatis eſt ſana, & non
ari in Ἄϊστος, ut vult V. Cl., ſed po-
corrupta, & medica manu eget. fa-
n ſanari poteſt, ſi modo ο mutes
pro ſpiritu *aſpero* ponas *tenuem*,
: Αἴστωρ, ὁ ἀγνώς. h. e. Αἴστωρ eſt
ignarus. Ic. Αἴστωρ eſt ex α priv.
ἀγνὼς ex α & [illegible]. Et ne ul-
[illegible] loco, vide ſis ipſum

dem hanc vocem: Ἄϊστωρ, inquit, ἄπειρος, ἀμαθής.

Ῥίνων, [1] Ἀσπασία, [2] Ἀξίοχος, [3] Τηλαύγης, Ἀλκιβιάδης, καὶ οἱ καλούμενοι Ἀκέφαλοι, Φαίδων, Πολύαινος, Δράκων, Ἐρυξίας, περὶ ἀρετῆς, Ἐρασίστρατος, [4] Σκυθικοί.

Αἰσχίνης, [5] Ἀθηναῖος, ῥήτωρ, υἱὸς Ἀτρομήτου καὶ Γλαυκοθέας, μαθητὴς κατὰ τὴν ῥητορικὴν Ἀλκιδάμαντος τοῦ Ἐλεάτου. τινὲς δὲ καὶ δούλους τοὺς γονεῖς αὐτοῦ γεγραφήκασιν. οὗτος ἐπειδὴ συναίρων ἐν δίκῃ τινὶ διέφθειρε τοὺς δικαστὰς, ἐμβληθεὶς ἅμα αὐτοῖς ἐν τῷ δεσμωτηρίῳ, καὶ κώνειον πιὼν, ἀπέθανε, καὶ τὰ πράγματα αὐτῶν ὡς ἀτέκνων ἐδημοσιώθη. ᾤκησε μέντοι ἐν Ῥόδῳ, καὶ ἐπαίδευσεν, ἡττηθεὶς ὑπὸ Δημοσθένους τὸν περὶ τοῦ στεφάνου ἀγῶνα. πρῶτος δὲ πάντων τὸ θείως λέγειν ἤκουσε, διὰ τὸ σχεδιάζειν, ὡς ἐνθουσιῶν.

Αἰσχίνης, Ἀθηναῖος, Ἀτρομήτου γραμματοδιδασκάλου, καὶ Γλαυκοθέας τῆς τελεστρίας, αὐτὸς ὑποκριτὴς, εἶτα γραμματεὺς, εἶτα ῥήτωρ, προδότης, ὁ Κερσοβλέπτην καὶ Φωκέας προδούς. γραψάμενος δὲ παρανόμων Κτησιφῶντα, στεφανοῦν γράψαντα Δημοσθένην, ἡττήθη, καὶ ἔφυγεν εἰς Ῥόδον, καὶ ἐπαίδευσεν ἐκεῖ.

Αἰσχίνης, ὁ τοῦ Λυσανίου. [6] οὗτος παρὰ Διονύσιον εἰς Σικελίαν ὑπὲρ χρημάτων ᾤχετο. Πλάτων δὲ τρὶς ἀναμετρῆσαι λέγεται τὴν Χάρυβδιν ὑπὲρ πλούτου Σικελικοῦ. Ἀρίστιππος δὲ ὁ Κυρηναῖος, καὶ Ἑλίκων ἐκ Κυζίκου, καὶ [7] Φοίτων, ὅτε ἔφευγε Ῥήγιον, οὕτω τι ἐς τοὺς Διονυσίου κατέδυσαν θησαυροὺς, ὡς μόγις ἀνασχεῖν ἐκεῖθεν. καὶ μὴν καὶ τὸν Κνίδιόν φασιν Εὔδοξον ἐς Αἴγυπτόν ποτε ἀφικόμενον, ὑπὲρ χρημάτων τε ὁμολογεῖν ἥκειν, καὶ διαλέγεσθαι τῷ βασιλεῖ ὑπὲρ τούτου. καὶ ἵνα μὴ πλείους διαβάλλω, Σπεύσιππον τὸν Ἀθηναῖον οὕτω τι ἐρασιχρήματον γενέσθαι φασὶν, ὡς ἐπὶ τὸν Κασσάνδρου γάμον ἐς Μακεδόνας κωμάσαι, καὶ ποιήματα ψυχρὰ ξυνθέντα, δημοσίᾳ ταῦθ᾽ ὑπὲρ χρημάτων ᾆσαι.

Αἰσχίους ἄνδρας. ἀμόρφους.

Αἰσχίω. χείρω.

Αἶσχος. ἀτιμία.

Αἰσχρὰ γυνή. ἄμορφος. καὶ αἰσχρὸν, ἐπὶ κακοῦ. Ταῦτα αἰσχρὰ μὲν οἱ ἀμφ᾽ αὐτὸν ἐγίνωσκον, καὶ τὴν ἀποχώρησιν οὔτε ἐν τῷ παραυτίκα εὐπρεπῆ, οὔτε ἀσφαλῆ ἐς τὰ μέλλοντα.

Αἰσχρίων, [8] Μιτυληναῖος, ἐποποιὸς, ὃς συνεξεδήμει Ἀλεξάνδρῳ τῷ Φιλίππου. ἣν δὲ Ἀριστοτέλους

fuiſſe dicunt. Ejus Dialogi ſunt, Miltiades, Callias, Rhinon, Aſpaſia, Axiochus, Telauges, & Alcibiades. Item illi, qui vocantur Acephali; ut, Phædon, Polyænus, Dracon, Eryxias, De virtute, Eraſiſtratus, Scythici.

Αἰσχίνης. Æſchines. Athenienſis, orator, Atrometi & Glaucotheæ filius, in arte dicendi diſcipulus Alcidamantis Eleatæ: quem nonnulli etiam ſervis parentibus natum fuiſſe ſcripſerunt. Hic cum cauſæ alicujus patrocinio ſuſcepto Judices corrupiſſet, una cum ipſis in carcerem conjectus, hauſta cicuta obiit: eorumque bona publicata ſunt, ac ſi ſine liberis obiiſſent. Rhodi habitavit & docuit, victus a Demoſthene in cauſa de Corona. Primus autem divinitus dicere dictus eſt, quod tanquam divino numine afflatus ex tempore diceret.

Αἰσχίνης. Æſchines, Athenienſis, Atrometi ludimagiſtri & Leucotheæ ſacrificulæ filius, hiſtrio, deinde ſcriba, poſtea orator: proditor, qui Cerſoblepten, & Phocenſes prodidit. Hic cum Cteſiphontem legum violatarum accuſaſſet, quod [aurea] corona donandum Demoſthenem decreto ſuo cenſuiſſet, [a Demoſthene] victus Rhodum fugit, ibique docuit.

Αἰσχίνης. Æſchines, Lyſaniæ filius, in Siciliam ad Dionyſium pecuniæ cauſa profectus eſt. Plato vero Sicularum opum cauſa Charybdim ter emenſus fuiſſe fertur. Item Ariſtippus Cyrenæus, & Helicon Cyzicenus, & Phyton, cum Rhegio exularet, ita Dionyſii theſauris ſe immerſerunt, ut vix inde emergere poſſent. Quin etiam Eudoxum Cnidium pecuniæ cauſa in Ægyptum olim profectum, idque etiam fateri auſum, & cum Rege ea de re collocutum fuiſſe ferunt. Et ne plures criminer, Speuſippum Athenienſem adeo pecuniæ cupidum fuiſſe dicunt, ut ad Caſſandri nuptias in Macedoniam profectus, frigida poemata a ſe compoſita pecuniæ cauſa publice caneret.

Αἰσχίους ἄνδρ. Viros deformes & turpe.

Αἰσχίω. Turpiora. Deteriora.

Αἶσχος. Turpitudo. Ignominia. Dedecus.

Αἰσχρὰ γυνή. Mulier deformis, vel fœda. Et αἰσχρὸν, malum, turpe. *Et amici quidem ejus hæc mala eſſe norant, & diſceſſum ejus nec in præſens honeſtum, nec in poſterum tutum [fore videbant.]*

Αἰσχρίων. Æſchrion, Mitylenæus, poeta Epicus: qui Alexandro Philippi filio itine-

---

[1] Ἀσπασία] Athenæus ibidem: Ἐν δὲ τῇ Ἀσπασίᾳ Ἱππόνικον μὲν τὸν Καλλίου κοάλεμον προσαγορεύει (Αἰσχίνης.) τὰς δὲ ἐκ τῆς Ἰωνίας γυναῖκας συλλήβδην μοιχάδας καὶ κερδαλέας.

[2] Ἀξίοχος] Vide Suidam ſupra v. Ἀξίοχος: itemque Athenæum loco laudato, & Menag. ad Laert. lib. II. ſegm. LXI.

[3] Τηλαύγης] Quodnam fuerit argumentum hujus Dialogi, dodocet Athenæus eodem loco: quem proinde conſule.

[4] Σκυθικοί] Hunc Dialogum quidam Phædoni olim tribuerunt, teſte Laertio in *Phædone*: ubi vide quæ notavit Menagius.

[5] Αἰσχίνης, Ἀθην.] De eo præter veteres vide Meurſium in *Bibliotheca Attica*.

[6] Οὗτος παρὰ Διονύσιον εἰς Σικελίαν ὑπὲρ χρ.] Hæc, & quæ ſequuntur uſque ad finem articuli, ad verbum deſcripta ſunt ex Philoſtrato *de Vit. Apoll.* lib. I. cap. XXII.

[7] Φοίτων] De hoc Phœtone, vel, ut alii eum vocant, Phytone, vide omnino Diodorum Siculum lib. XIV. cui cum Philoſtrato (ex quo, ut diximus, locum hunc excerpſit Suidas) non bene convenire videtur.

[8] Αἰσχρίων, Μιτυλην.] Vide Jonſium *de Scriptor. Hiſtor. Philoſ.* lib. II. cap. II. ubi plures Æſchriones recenſet. Omiſit autem Æſchrionem Grammaticum, cujus mentionem facit Euſtathius ad Il. Λ. pag. 841. 24.

γνώριμος καὶ ἐρώμενος, ὡς Νίκανδρος ὁ Ἀλεξανδρεὺς ἐν τῷ περὶ τῶν Ἀριστοτέλους μαθητῶν.

Αἰσχρόν. [1] Σοφοκλῆς·

Αἰσχρὸν γάρ ἐστι τοῦ μακροῦ χρῄζειν βίου
Κακοῖσιν ὅστις μηδὲν ἐξαλλάσσεται.

Τουτέστιν, ὅστις ἀεὶ ἐν κακοῖς ἐξετάζεται.

Αἰσχροῦ [2] εἴδη δ'· Ἄδικον, δειλὸν, ἄκοσμον, ἄμορφον.

Αἰσχύλος, Ἀθηναῖος, τραγικός, [3] υἱὸς μὲν Εὐφορίωνος, ἀδελφὸς δὲ Ἀμεινίου, Εὐφορίωνος, καὶ Κυναιγείρου, τῶν εἰς Μαραθῶνα διαγωνισάντων ἅμα αὐτῷ. ἔσχε δὲ καὶ υἱοὺς τραγικοὺς δύο, Εὐφορίωνα καὶ [4] Βίωνα. ἠγωνίζετο δὲ αὐτὸς ἐν [5] τῇ θ' Ὀλυμπιάδι, ἐτῶν ὢν κε'. οὗτος πρῶτος εὗρε προσωπεῖα δεινὰ καὶ [6] χρώμασι κεχρισμένα ἔχειν τοὺς τραγικοὺς, καὶ ταῖς ἀρβύλαις τοῖς καλουμένοις ἐμβάταις κεχρῆσθαι. ἔγραψε δὲ ἐλεγεῖα, καὶ [7] τραγῳδίας ἐνενήκοντα. νίκας δὲ εἷλεν κη'. οἱ δὲ, τρισκαίδεκά φασι. φυγὼν δὲ ἐπὶ Σικελίαν, διὰ τὸ πεσεῖν τὰ ἰκρία ἐπιδεικνυμένου αὐτοῦ, χελώνης ἐπιρριφείσης αὐτῷ ὑπὸ ἀετοῦ φέροντος κατὰ τῆς κεφαλῆς, ἀπώλετο, ἐτῶν νη' γενόμενος.

Αἰσχύνει. αἰκίζεται. λυμαίνεται. αἶσχος περιτίθησιν.

Αἰσχύνη πόλεως, πολίτου ἁμαρτία.

Αἰσχύνομαι. αἰτιατικῇ. καί,

Αἰσχύνομαί [8] τοι ταῖς προτέραις ἁμαρτίαις.

Αἴτημα. ἡ ἐπιθυμία. Δαβίδ· Καὶ ἔδωκεν αὐτοῖς τὸ αἴτημα αὐτῶν.

Αἰτήσασθαι. [9] τὸ χρήσασθαι. [10] Ἀνδρὸς τίτθη, ἣν ἄν τις ὑμῶν παιδίον ᾐτήσατο, ἢ κέχρηκεν ἄνδρες γλυκύτατοι. Μένανδρος Ὑμνίδι·

Οὐ [11] πῦρ γὰρ αἰτῶν, οὐδὲ λοπάδ' αἰτούμενος.

Αἴτησις. παρὰ Ἀριστοτέλει αἴτησίς ἐστι τοῦ ἐναντίου ἡ ἐν λόγοις προσαγωγή, τὸ λαμβάνειν τι παρὰ τοῦ ἀποκρινομένου, καὶ μετὰ ταῦτα πειρᾶσθαι τὸ ἀντικείμενον αὐτῷ παρ' αὐτοῦ λαμβάνειν, καὶ διὰ τούτου τοῦ τρόπου δεῖξαι τὴν ἐναντιολογίαν τῶν ἀποκρίσεων.

ris comes fuit. Eundem Ariſtotelis diſcipulum & amaſium fuiſſe ſcribit Nicander in libro de Ariſtotelis diſcipulis.

Αἰσχρόν. Turpe. Sophocles: *Turpe enim eſt, longæ cupidum eſſe vitæ, cum quis malis ſemper vexatur.* Vel, cum quis cum malis ſemper conflictatur.

Αἰσχροῦ εἴδη δ'. Turpitudinis ſpecies ſunt quatuor: Injuria, ignavia, immodeſtia, deformitas.

Αἰσχύλος. Æſchylus, Athenienſis, Tragicus, Euphorionis filius, & frater Aminiæ, Euphorionis, & Cynægiri, qui una cum ipſo in pugna Marathonia fortiter dimicarunt. Filios habuit duos Tragicos, Euphorionem & Bionem. Certavit Olympiade IX, natus annos XLV. Primus auctor fuit, ut Tragici perſonis terribilibus & pictis, arbyliſque calceis ita vocatis, uterentur. Scripſit Elegias & Tragœdias XC. Vicit octies & vicies: vel, ut alii, decies ter. Cum autem in Siciliam fugiſſet, quod eo tragœdiam agente tabulata theatri cecidiſſent, teſtudine ab aquila in caput ejus dejecta obiit, anno ætatis LVIII.

Αἰσχύνει. Male tractat. Lædit. Dedecore & ignominia afficit.

Αἰσχύνη πόλ. Peccatum civis eſt civitatis dedecus.

Αἰσχύνομαι. Pudore afficior. Erubeſco. Accuſativo jungitur. [Item dativo. Ut,] *Priorum peccatorum me pudet.*

Αἴτημα. Petitio. Quod petitur. Quod deſideratur. David: *Et dedit eis id, quod cupiebant.*

Αἰτήσασθαι. Utendum rogaſſe. Commodato accepiſſe. Menander *Nutrice*: *Si quis veſtrum, viri ſuaviſſimi, puerum utendum rogaverit, vel commodaverit.* Idem *Hymnide*: *Neque enim ignem [ab aliquo] petens, neque patinam commodato accipiens.*

Αἴτησις. Petitio. Apud Ariſtotelem αἴτησις eſt contrarii in diſputationibus productio. Quod fit, quum aliquid a reſpondente accipimus, & poſtea conamur id, quod eſt ipſi contrarium, ab ipſo accipere, atque hoc modo reſponſionum contradictionem demonſtramus. *Port.*

---

[1] Σοφοκλῆς] *Ajace* pag. 28. ut Portus monuit.

[2] Αἰσχροῦ εἴδη δ'. ἄδικον, δειλ.] Hæc ſunt verba Scholiaſtæ ad modo indicatum locum Sophoclis.

[3] Υἱὸς μὲν Εὐφορίωνος, ἀδελφὸς δὲ Ἀμεινίου, Εὐφορ. καὶ Κυν.] Locum hunc ex 2 MSS. Pariſ. ſupplevi, qui in prioribus Editt. mutilus ſic legitur: Υἱὸς μὲν Εὐφορίωνος καὶ Κυναιγείρου, τῶν &c. Confer vitam Æſchyli, ab Anonymo conſcriptam quæ operibus ejus præfixa eſt.

[4] Βίωνα] Sic excuſi omnes. At in 2 MSS. Pariſ. exaratum eſt, Εὐβίωνα; & in tertio, Εὐαίωνα.

[5] Ἐν τῇ θ' Ὀλυμπ.] In numero hic erratum eſſe, vel pueri videant. Quis enim neſcit, Æſchylum diu poſt Olymp. IX. vixiſſe? Quare vel dicendum eſt, excidiſſe hic numerum majorem, qui præcedebat minorem, ſcribique debere, ἐν τῇ ξθ' Ὀλυμπιάδι; quæ eſt ſententia Caſauboni in libello *de Satyrica Poeſi* lib. I. cap. V. Vel ſimpliciter dici poteſt, numerum eſſe corruptum, & pro θ' reponendum eſſe ο', i. e. LXX: ut cenſent Meurſius *de Archont.* lib. II. cap. 2. & Sam. Petitus *Miſcellan.* lib. III. cap. XIV.

[6] Χρώμασι] Vocem hanc ex 2 MSS. Pariſ. revocavi, quæ in prioribus Editt. deeſt.

[7] Τραγῳδίας ἐνεν.] De fabulis Æſchyli ſingularem libellum conſcripſit Meurſius, quem conſule. Confer etiam Stanlejum ad Vitam Æſchyli ab Anonymo conſcriptam.

[8] Αἰσχύνομαί τοι ταῖς πρ.] Senarius hic, legitur apud Ariſtophanem *Equit.* pag. 363. (257. Ed. Baſ. *P.*)

[9] Αἰτήσασθαι. τὸ χρήσ.] Ut locum hunc recte intelligas, videndus eſt Noſter paulo poſt v. Αἰτούμενος. Huc adde Ammonium: Αἰτῶ καὶ αἰτοῦμαι διαφέρει. τὸ μὲν γὰρ αἰτῶ, ἐπὶ τοῦ ἅπαξ τι λαβεῖν, καὶ μὴ ἀποδοῦναι. τὸ δὲ αἰτοῦμαι, ἐπὶ τοῦ χρήσασθαι εἰς ἀπόδοσιν. Μένανδρος ἐν τῇ Ὑμνίδι διαστέλλει·

Οὐ πῦρ γὰρ αἰτῶν, οὐδὲ λοπάδ' αἰτούμενος.

Sic enim verſus iſte legendus eſt. Confer etiam Harpocrationem v. Ἠτημένην.

[10] Ἀνδρὸς τίτθη] Sic habent libri tam ſcripti quam excuſi: ſed peſſime. Scribendum enim eſt, Μένανδρος Τίτθῃ; i. e. Menander in fabula, Τίτθη vel *Nutrix* vocata: quomodo locum hunc emendandum eſſe jam ante etiam recte monuerunt Meurſius in *Bibliotheca Attica*, & Valeſius in notas Mauſſaci ad Harpocrationem v. Ἠτημένην.

[11] Οὐ πῦρ γὰρ αἰτῶν, οὐδὲ λοπ.] Fragmentum hoc Menandri citat etiam Ammonius loco laudato; itemque Harpocratio v. Ἠτημένην, & Suidas paulo poſt v. Αἰτούμενος.

(c) Dio Caſs. l. 67. 39. Reimar. II. 1521.

Αἰτήσιος. ὁ αἰτῶν.

Αἰτηταί. οἱ παρά τινος τι αἰτοῦντες.(c) Οἱ δὲ Ῥόδιοι τῷ Περσεῖ οὐκ αἰτηταὶ τῆς εἰρήνης μᾶλλον, ἢ δόται ὄντες, ὑπερήφανα τοῖς Ῥωμαίοις διελέχθησαν.

Αἰτία. ἡ παναιτία.

Αἰτίζων. ποιητικῶς.

Αἰτίζων[1] ἀκόλους, οὐκ ἄορας, οὐδὲ λέβητας.

Αἴτιον. τετραχῶς τὰ αἴτια· ὡς ὕλη, ὡς εἶδος, ὡς τέλος, ὡς ποιητικόν. καὶ τῶν αἰτίων τὰ μὲν, προκαταρκτικά· τὰ δὲ, συνεργὰ, ἢ συναίτια· τὰ δὲ, τελικά.

Αἰτιῶδες[2] ψεῦδος. ἤτοι, ὁ ἀπὸ ψεύδους ἄρχεται, ἢ μὴ εἰς ἀκόλουθον λήγει, ἢ ἔχει τῷ λήγοντι τὸ ἀρχόμενον[3] ἀνακόλουθον. οἷον, διότι νὺξ ἐστι, Δίων περιπατεῖ.

Αἰτιῶμαι. δοτικῇ. Τί ἡμῖν αἰτιᾷ, ὡς αἰτίοις; Αἰτιατικῇ δέ· Εἰ μὴ καὶ τὸν ἰατρὸν αἰτιῷτό τις.

Αἰτναία πῶλος. ἡ μεγάλη. [4] Αἰτναίας ἐπὶ πώλου βεβῶσαν.

Αἰτναῖον πῦρ. τὸ Σικελικὸν πῦρ, ἐκ τοῦ ὄρους τοῦ λεγομένου Αἴτνα.

Αἴτνη. ὄρος Σικελίας.

Αἰτναῖος[5] κάνθαρος. ὁ μέγας. διὸ καὶ τὸ ὄρος μέγα. † [6]Ἀρισταῖον μόνον τὸν γίγαντα περισωθῆναί φασι, καὶ οὔτε πῦρ οὐράνιον ἐπ' αὐτὸν ἦλθεν, οὔτε Αἴτνη πιέζει αὐτόν.

Αἰτούμενος.[7] κιχράμενος. Μένανδρος Ὑμνίδι·

Οὐ πῦρ γὰρ αἰτῶν, ἀλλὰ λοπάδ' αἰτούμενος.

τὸ μὲν αἰτῶν, εἰσαεὶ ἕξων· τὸ δὲ αἰτούμενος, λαβὼν, καὶ αὖθις ἀποδώσων.

Αἰτωλία. χώρα. Αἰτωλὸς, ὁ ἀπὸ Αἰτωλίας.

Αἱ [8]Οἰδίποδος ἀραί. ἐπὶ τῶν μεγάλως δυστυχούντων.

Αἴφνης. ἐξαίφνης.

Αἰφνίδιον. αἰφνιδίως.

Αἱ Χάριτες γυμναί. δεῖ ἀφελῶς καὶ φανερῶς χαρίζεσθαι. ἢ ὅτι οἱ ἀχάριστοι τὸν ἑαυτῶν κόσμον περιῄρηνται.

Αἰχμάσουσι. δορατομαχήσουσιν.

Αἰχμή. ἡ ἐπιδορατίς. ὁ σίδηρος τοῦ δόρατος.

Αἰχμητής. πολεμικός.

Αἶψα. θᾶττον.

Αἰτήσιος. Qui petit.

Αἰτηταί. Qui aliquid ab aliquo petunt. *Rhodii vero, qui pacem a Perſeo non tam petebant, quam ei dabant, ſuperbe cum Romanis egerunt.*

Αἰτία. Cauſa.

Αἰτίζων. Poetice, [pro αἰτῶν.] Petens. Mendicans. *Mendicans panis fruſtula, non enſes, nec lebetes.*

Αἴτιον. Cauſa. Quatuor ſunt cauſæ, materia, forma, finis, efficiens. Et cauſarum aliæ ſunt procatarcticæ; aliæ, adjuvantes; aliæ vero finales.

Αἰτιῶδες ψεῦδος. Falſum cauſale. Id eſt, quod a falſó incipit; vel, quod deſinit in id, quod non eſt conſequens; vel, quod habet initium fini non reſpondens. Ut, Quia nox eſt, Dion deambulat.

Αἰτιῶμαι. Dativo jungitur. Accuſo. Criminor. *Quid nos accuſas, ut* [*harum rerum*] *auctores?* Item accuſativo. *Niſi quis etiam ipſum medicum accuſet.*

Αἰτναία πῶλος. Ætnæa equa. Id eſt, magna. [Sophocles:] *Equa Ætnæa vectam.*

Αἰτναῖον πῦρ. Ignis, quem Ætna, mons in Sicilia, eructat.

Αἴτνη. Ætna, Siciliæ mons.

Αἰτναῖος κάνθαρος. Scarabæus Ætnæus. Id eſt, magnus. Nam Ætna eſt mons ingens. † *Ariſtæum Gigantem ſolum evaſiſſe ſalvum ferunt: eumque nec ignis cœleſtis feriit, nec Ætna pondere ſuo premit.*

Αἰτούμενος. Utendum rogans. Vel, utendum accipiens. Menander in *Hymnide: Non enim ignem petens, ſed patinam utendam rogans.* Et quidem αἰτῶν dicitur de eo, qui, quod ab altero accepit, id ſemper retinet: αἰτούμενος vero de eo, qui rem commodato ab altero accipit.

Αἰτωλία. Ætolia. Regio. Et Αἰτωλὸς, Ætolus.

Αἱ Οἰδίποδ. Oedipis imprecationes. Dicitur de hominibus valde infelicibus.

Αἴφνης. Idem ac ἐξαίφνης. Repente. Statim.

Αἰφνίδιον, & αἰφνιδίως. Repente. Statim.

Αἱ Χάριτες γυμναί. Gratiæ nudæ. Simpliciter enim & aperto animo aliis gratificari oportet. Vel, quia ingrati ornamento ſuo ſpoliati ſunt.

Αἰχμάσουσιν. Haſta pugnabunt.

Αἰχμή. Haſtæ cuſpis. Haſtæ mucro.

Αἰχμητής. Bellicoſus. Bellator.

Αἶψα. Celeriter. Confeſtim. [In Epigram-

---

[1] Αἰτίζων ἀκόλους, οὐκ ἄορας, οὐδὲ λέβ.] Eſt verſus Homericus Odyſſ. P. v. 222.

[2] Αἰτιῶδες ψεῦδος. ἤτοι, ὁ ἀπὸ ψ.] Hæc, & quæ ſequuntur, ſunt verba Laertii lib. VII. ſegm. LXXIV.

[3] Ἀνακόλουθον] Sic recte Laertius. At priores Editt. male ἀκόλουθον.

[4] Αἰτναίας ἐπὶ πώλου βεβ.] Sophocles *Oedip. Colon.*

——————Γυναῖκ' ὁρῶ
Στείχουσαν ἆσσον ἡμῶν, Αἰτναίας ἐπὶ
Πώλου βεβῶσαν.

Hinc Suidæ verba deprompta ſunt, ut Portus etiam monuit.

[5] Αἰτναῖος κάνθαρος. ὁ μ.] Hæc nota referenda eſt ad locum illum Ariſtophanis *Pace* pag. 629. (436. Ed. Baſ. P.)

Εἰσήγαγ' Αἰτναῖον μέγιστον κάνθαρον

Vide ibi Scholiaſtam.

[6] Ἀρισταῖον μόνον τὸν γιγ.] Fragmentum hoc legitur etiam ſupra v. Ἀρισταῖος.

[7] Αἰτούμενος. κιχρ.] Vide quæ diximus paulo ante ad v. Αἰτήσασθαι. Iis adde Tzetzem Chil. XII. cap. CD.

[8] Αἱ Οἰδίποδος ἀρ.] Locum hunc fide 2 MSS. Pariſ. ſupplevi & a capite repoſui, qui in prioribus Editt. omiſſa vocula αἱ, male cum præcedentibus cohæret.

Λάζεο,[1] τιμήεσσα Κυθηρείας, ὑμνοπόλοιο
Αἶψα τάδε κλυτὰ δῶρα Λεωνίδεω.

Αἶψα. ἀντὶ τοῦ ταχέως. καὶ[2] Ὅμηρος·
Αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγηράσκουσιν.

Αἰψηρήν. ἀντὶ τοῦ αἰψηρῶς, ταχέως.[3] Λῦσεν δ' ἀγορὴν αἰψηρήν. οὐκ ἐπὶ τῆς ἀγορᾶς. καὶ αἰψηρὸς, ὁ ταχύς. ἀπὸ τοῦ ψαίρειν, ὃ σημαίνει, ταχύνειν.

Ε Α.

Ἔα.[4] συγχώρει.
Ἐάγη. ἐθραύσθη. ἐκλάσθη.
Ἔα δή. ἄγε δή.

Ἑαδότα. ἀρέσκοντα.[5] Ἡρόδοτος· Τοῖσι δὲ ἕαδε μὲν βοηθέειν, ἀδύνατα δέ σφι ἦν.

Ἐακότες. παρῃτημένοι. ἀποπεπαυκότες.

Ἐάλη.[6] συνεστράφη. παρὰ τὸ ἀλῶ, τὸ ἐκκλίνω, καὶ πλανῶ.

Ἑάλω. ἥλω. ἐκρατήθη. ἑάλωκεν, ἐλήφθη.

Ἐανόν.[7] τὸ λεπτὸν, καὶ ποικίλον.

Ἑανῷ[8] λιτί. οὕτω κέκληκε τὸ λεπτόν. καὶ αὖθις·

Ἁ[9] μεγάλα δ' Αἴγυπτος ἑανῷ δάψατο χαί-
ταν.

Ἔαρ. εὐκρασία τοῦ ἀέρος. ὥρα τοῦ ἔτους, κατὰ τὴν πρὸς ἡμᾶς τοῦ ἡλίου πορείαν. κλίνεται δὲ ἔαρος, καὶ κράσει, ἦρος. καὶ ἡ δοτικὴ ἔαρι, καὶ κράσει, ἦρι. ἔαρ λέγεται καὶ τὸ αἷμα, διὰ τὸ ἐν τῷ ἔαρι πλεονάζειν.

——— Ἦχι[10] κονίστραι
Ἄξεινοι λύθρῳ τε καὶ εἴαρι πεπλήθασι.

Ἔαρος χρῄζει. ἐπειδὴ παλαιὸν χιτῶνα ἔχει. καὶ Ἀριστοφάνης·[11]

Δεῖσθαι δ' ἔοικεν οὐκ ὀλίγων χελιδόνων.
μία γὰρ χελιδὼν ἔαρ οὐ ποιεῖ.

Ἐαρινός. ὁ κατὰ τὸν καιρὸν τοῦ ἔαρος.

Ἕαται. Ἰωνικῶς. καὶ πλεονασμῷ, εἴαται.

Ἑαυτῷ. ἐπὶ γ' προσώπου. οἱ Ἀττικοὶ δὲ καὶ ἐπὶ β' προσώπου κέχρηνται.

Ἑαυτούς. ἀντὶ τοῦ ἀλλήλους οἱ Ἀττικοὶ λέγουσιν.

Ἑάφθη. ἐπηκολούθησεν. ἕπω, ἕψω, ἧφα, ἧμμαι, ἥφθην, καὶ ἐν διαλύσει, ἑάφθην. τὸ τρίτον ἑάφθη.

mate:] *Accipe cito, veneranda Venus, inſignia hæc dona poetæ Leonidæ.*

Αἶψα. Confeſtim. Celeriter. Et Homerus: *Celeriter enim in miſeriis mortales conſeneſcunt.*

Αἰψηρήν. Pro αἰψηρῶς. Celeriter. Cito. *Concionem autem cito dimiſerunt.* Hic τὸ αἰψηρὴν non eſt epithetum vocis ἀγορήν: [ſed adverbialiter accipitur.] Et αἰψηρὸς, velox. A ψαίρειν, quod accelerare ſignificat.

Ε Α.

Ἔα. Sine. Concede. Permitte.
Ἐάγη. Ruptus eſt. Fractus eſt.
Ἔα δή. Age igitur.

Ἑαδότα. Placentia. Grata. Herodotus: *Illis quidem placuit opem ferre* [*Athenienſibus,*] *ſed in præſentia id facere illis non licebat.*

Ἐακότες. Qui recuſarunt. Qui ceſſarunt, vel ſiverunt.

Ἐάλη. Convolutum eſt. Contortum eſt. Ab ἀλῶ, declino, vito, erro.

Ἑάλω. Captus eſt. Comprehenſus eſt. Et ἑάλωκεν, idem.

Ἐανόν. Tenue, ſimplex, nec coloribus variis diſtinctum.

Ἑανῷ λιτί. Tenui velo, vel peplo. Et iterum: *Magna vero Ægyptus ſuam vulſit & laceravit comam.*

Ἔαρ. Ver. Sive tempus anni, quo Sol ad nos accedit. Declinatur ἔαρος, & per craſin, ἦρος. Et dativus ἔαρι, & per craſin ἦρι. Ἔαρ etiam dicitur ſanguis, quod vere corpus noſtrum eo abundet. *Ubi palæſtræ inhoſpitales cruore & ſanguine repletæ ſunt.*

10. Hoc fragm. citatur ſupra, V. Ἄξεινος, ubi male Ἄρεϊ pro εἴαρι. Toup in Theocr. Add. p. 405.

Ἔαρος χρῄζει. Veris indiget. Veterem enim & attritam tunicam habet. Et Ariſtophanes: *Non paucis vero hirundinibus indigere videtur.* Una enim hirundo non facit ver.

Ἐαρινός. Vernus. Qui eſt veris tempore.

Ἕαται. Sedent. Ionice, [pro ἧνται.] Et per pleonaſmum inſerto ι, εἴαται.

Ἑαυτῷ. Sibi. De tertia perſona dicitur. Attici vero etiam de ſecunda perſona vocem illam uſurpant.

Ἑαυτούς. Apud Atticos ſignificat ἀλλήλους, i. e. ſe invicem.

Ἑάφθη. Sequutus eſt. Ab ἕπω fit ἕψω, ἧφα, ἧμμαι, ἥφθην, & per diſſolutionem ἑάφθην, & in tertia perſona, ἑάφθη.

---

[1] Λάζεο, τιμήεσσα Κυθηρ.] Diſtichum hoc eſt pars Epigrammatis, quod integrum legitur Anthol. lib. VI. cap. VII. pag. 555.

[2] Ὅμηρος] Odyſſ. Τ. v. 360.

[3] Λῦσεν δ' ἀγορὴν αἰψ.] Homerus Odyſſ. Β. v. 257.

[4] Συγχώρει] In Cod. MS. qui eſt Antwerpiæ, poſt hanc vocem additur, ἄφες. καὶ ἐκπληκτικὸν ἐπίρρημα.

[5] Ἡρόδοτος] Lib. VI. pag. 233. ut Portus monuit.

[6] Ἐάλη. συνεστράφη. παρὰ τ.] Articulus hic deeſt in Cod. MS. Antwerpienſi.

[7] Τὸ λεπτὸν καὶ ποικ.] Scribe & ſupple, τὸ λεπτὸν καὶ ἀποίκιλον ὕφασμα. Vide Scholiaſtam Homeri ad Il. Σ. v. 352.

[8] Ἑανῷ λιτί] Homerus Il. Σ. v. 352.

Ἐν λεχέεσσι δὲ θέντες ἑανῷ λιτὶ κάλυψαν.

Scholiaſta ad eum locum: Ἑανῷ. λεπτῷ πέπλῳ. παρὰ τὸ ἐννύω. Hinc & apud Suidam hic ſcribendum eſt, οὕτω κέκληκεν Ὅμηρος τὸ λεπτὸν πέπλον.

[9] Ἁ μεγάλα δ' Αἴγυπτος ἑανῷ δ.] Fragmentum hoc haud leviter corruptum eſt, quod ſic emendari debet:

Ἁ μεγάλα δ' Αἴγυπτος ἑὰν ὠλέψατο χαίταν.

Vide nos ſupra ad v. Δάψατο, ubi rationem hujus emendationis reddimus, & ſimul Lectorem docemus, unde Suidas locum hunc deprompſerit.

[10] Ἦχι κονίστραι ἄξεινοι λ.] Idem fragmentum poetæ anonymi citat etiam Euſtathius ad Odyſſ. Σ. pag. 1851. 44.

[11] Ἀριστοφάνης] *Avibus* pag. 607. (422. Ed. Baſ. *P.*)

Ἔβα με. κατέλαβέ με. [1] Ἀριστοφάνης Νεφέλαις·

Τί χρέος ἔβα με μετὰ τὸν Πασίαν;

Ἐβαρύνετο. κυριώτερον. οὐ δεῖ γὰρ λέγειν ἐβαροῦτο, ἢ βαροῦμαι, ἢ βαρούμενος, οὐδὲ ἄλλην τινὰ κλίσιν ποιεῖσθαι τοῦ βαροῦμαι ῥήματος· ἀλλὰ βαρύνομαι καὶ βαρυνόμενος. Ὁρῶν δὲ τοῦτο βαρυνομένην τὴν σύγκλητον.

Ἐβαρυώπησαν. βαρεῖς ἔσχον τοὺς ὀφθαλμούς.

Ἔβασον. [2] ἔασον.

Ἐβάστασεν. [3] ἀντὶ τοῦ ἐδοκίμασεν. Πάσας δ' ἰδέας ἐξήτασε, πάντα δ' ἐβάστασε φρενὶ, πυκνῶς τε καὶ ποικίλως τοὺς λόγους ἀνεῦρεν.

Ἐβδελύχθησαν. ἀπερρίφησαν.

Ἑβδομάτη. ἑβδόμη.

Ἑβδομαῖος. ἕβδομος.

Ἑβδομευόμενα. [4] τοῖς ἀποτεχθεῖσι παιδίοις τὰς ἑβδομάδας καὶ τὰς δεκάτας ἦγον, καὶ τά γε ὀνόματα ἐτίθεντο αὐτοῖς, οἱ μὲν, τῇ ἑβδόμῃ, οἱ δὲ, τῇ δεκάτῃ. † [5] Ἐπὶ ἓξ σελήναις βοῦν ἕβδομον ἔπεττον, κέρατα ἔχοντα κατὰ μίμησιν τῆς πρωτοφανοῦς σελήνης· Ἕβδομον οὖν βοῦν, ἐπὶ τῶν ἀναισθήτων.

Τὸν ἕβδομον βοῦν ἡ σοφὴ παροιμία.

Ἔβενος. τὸ μέλαν ξύλον. καὶ ἔβελος, ὁμοίως.

Ἐβιάζοντο. καὶ ἐπὶ τῶν πασχόντων Θουκυδίδης.

Ἐβίσκος. κατὰ ἰατροὺς ἡ μαλάχη, ἡ καὶ ἀλθαία λεγομένη.

Ἐβληχῶντο. ἐπὶ τῶν προβάτων.

Ἐβόησεν. ἐφώνησεν.

Ἐβόμβησεν. ἤχησεν.

Ἐβόων. ἔκραζον. καὶ ἔβωσεν. ἔκραγεν. ἔκραξεν.

Ἐβουλιμίασαν. λίαν ἐπείνασαν. καὶ ἔστιν ἐν τῷ Βουλιμιῶν.

Ἐβραγχίασε. κεκοπίακεν. ἐβρόντησεν.

Ἔβρασεν. ἐκ τῆς θαλάσσης εἰς τὴν γῆν ἔρριψεν.

Μυριόπουν [6] σκολόπενδραν ὑπ' Ὠρίωνι κυκηθεὶς
Πόντος Ἰαπύγων ἔβρασ' ἐπὶ σκοπέλους.

Ἑβραῖοι. ἀπὸ Ἕβερ υἱοῦ Σάλα, ὃς ἐμέρισε τοῖς ἔθνεσι τὴν γῆν, τοὺς προσοίκους ὀνομάσας Ἑβραίους. οὗτος οὐ συνεπόνησε τοῖς πυργοποιοῖς, καὶ διέμεινεν ἡ διάλεκτος αὐτοῦ ἀμετάβλητος.

Ἐβρόμησεν. ἤχησεν.

Ἐβρόντησεν. ἤχησεν.

Ἔβα με. Invaſit me. Comprehendit me. Ariſtophanes *Nubibus* : *Quod debitum mihi reſtat poſt Paſiam.*

Ἐβαρύνετο. Gravabatur. Sic enim dicere oportet, non ἐβαροῦτο, vel βαροῦμαι, vel βαρούμενος, nec ulla inflexione uti, a verbo βαροῦμαι deducta: ſed dicendum eſt βαρύνομαι, & βαρυνόμενος, &c. *Videns autem Senatum hoc graviter ferentem.*

Ἐβαρυώπησαν. Graves oculos habuerunt.

Ἔβασον. Pro ἔασον. Sine.

Ἐβάστασεν. Examinavit. Exploravit. *Omnes vero formas examinavit, omniaque prudenter mente perpendit, multaſque & varias rationes excogitavit*

Ἐβδελύχθησαν. Tanquam abominanda rejecta ſunt.

Ἑβδομάτη. Idem quod ἑβδόμη. Septima.

Ἑβδομαῖος. Septimus.

Ἑβδομευόμενα. Celebratio diei ſeptimi. Septimos enim & decimos a nativitate infantū dies veteres celebrabant, nominaque eis imponebant, alii ſeptimo, alii vero decimo die. † Poſt ſex lunas bovem ſeptimum pinſebant, habentem cornua ad imitationem lunæ primum apparere incipientis. Septimus igitur bos proverbii loco dicebatur de hominibus ſtupidis. *Septimum bovem ſapiens proverbium* [*celebrat.*]

Ἔβενος. Ebenus. Lignum nigrum. Et ἔβελος, pariter.

Ἐβιάζοντο. Apud Thucydidem paſſive accipitur. Vim patiebantur.

Ἐβίσκος. Sic a medicis vocatur malva, quæ & althæa dicitur.

Ἐβληχῶντο. Balabant. De ovibus dicitur.

Ἐβόησεν. Vociferatus eſt.

Ἐβόμβησεν. Bombum edidit. Sonum edidit.

Ἐβόων. Clamabant. Et ἔβωσεν, [pro ἐβόησεν,] clamavit, vociferatus eſt.

Ἐβουλιμίασαν. Valde eſurierunt. Gravi fame laborarunt. Vide in v. Βουλιμιῶν.

Ἐβραγχίασε. Laboravit: Intonuit.

Ἔβρασεν. Ex mari in terram ejecit. [In Epigrammate:] *Multos pedes habentem ſcolopendram ab Orione turbatus pontus Iapygum ejecit in ſcopulos.*

Ἑβραῖοι. Hebræi, ſic dicti ab Hebero, filio Salæ, qui terram gentibus diſtribuit, & accolas vocavit Hebræos. Hic turris conditores non adjuvit, & ideo lingua ejus confuſionis & mutationis expers permanſit.

Ἐβρόμησεν. Strepitum edidit. Inſonuit.

Ἐβρόντησεν. Intonuit. Fragorem edidit.

---

[1] Ἀριστοφάνης Νεφέλαις] Pag. 124. (60. Ed. Baſ. *P.*)

[2] Ἔβασον. ἔασον] Vide ſupra v. Δερβιστήρ.

[3] Ἐβάστασεν. ἀντὶ τοῦ ἐδοκ.] Vide ſupra v. Βαστάσας.

[4] Ἑβδομευόμενα. τοῖς ἀποτ.——οἱ δὲ τῇ δεκάτῃ] Ex Harpocratione: ad quem vide Mauſſacum. Confer etiam Noſtrum ſupra v. Ἀμφιδρομία, & v. Δεκατεύειν.

[5] Ἐπὶ ἓξ σελήναις βοῦν ἑβδ.] Vide ſupra v. Βοῦς ἕβδομος.

[6] Μυριόπουν σκολόπενδραν ὑπ' Ὠρ.] Diſtichum hoc eſt pars Epigrammatis, quod ex cod. MS. Anthologiæ ineditæ integrum hic cum Lectore communicabo. Θεοδωρίδα εἰς σκολόπενδραν.

Μυριόπουν σκολόπενδραν ὑπ' Ὠρίωνι κυκηθεὶς
Πόντος Ἰαπύγων ἔβρασ' ἐπὶ σκοπέλους,
Καὶ τόδ' ἀπὸ βλοσυροῦ σελάχευς μέγα πλευρὸν ἀνῆψαν
Δαίμοσι, βουφόρτων κοίρανοι εἰκοσόρων.

In Pentametro primo pro Ἰαπύγων metri gratia ſcribendum exiſtimem Ἰαπυγίους. Syllaba enim tertia in Ἰαπύγων brevis eſt. Vide præterea Suidam ſupra v. Βουφόρτων, & infra v. Κυκῶ, ubi itidem fragmenta Epigrammatis hujus adducuntur.

Ἕβρος, ποταμὸς Θρᾴκης, τὰ ῥεύματα ἔχων ἐκ Ῥοδόπης τοῦ Θρᾳκικοῦ ὄρους.

Ἐβρυάζοντο. εὐφραίνοντο.

Ἐβύνουν.[1] ἐπλήρουν. ἔφραττον. [2] Ἀριστοφάνης· Χρυσίῳ τούτων ἐβύνουν τὸ στόμα. τουτέστι, τῶν ῥητόρων.

Ἐγανώθην.[3] ἐχάρην. εὐφράνθην. ἀπὸ τοῦ γάνυμαι. Ὅμηρος· Γάνυται δέ τε φρένα ποιμήν. ἀπὸ μεταφορᾶς τῶν λαμπρυνομένων χαλκωμάτων.

Ἐγγαστρίμυθος. ἐγγαστρίμαντις· ὃν νῦν τινες πύθωνα. Σοφοκλῆς δὲ στερνόμαντιν. Πλάτων ὁ Φιλόσοφος [4] Εὐρυκλέα· ἀπὸ Εὐρυκλέους τοιούτου μάντεως. Ἀριστοφάνης Σφηξί·

Μιμησάμενος τὴν Εὐρυκλέους μαντείαν καὶ διάνοιαν.

Φιλόχορος δ' ἐν γ' περὶ μαντικῆς, καὶ γυναῖκας ἐγγαστριμύθους. αὗται τὰς τῶν τεθνηκότων ψυχὰς ἐξεκαλοῦντο. μιᾷ δὲ αὐτῶν ἐχρήσατο Σαοὺλ, ἥτις ἐξεκαλέσατο τὴν ψυχὴν Σαμουὴλ τοῦ προφήτου.

Ἐγεγήθει. ἔχαιρεν.

Ἐγγελῴη. γελάσοι.

Ἐγένετο. ἐγεγόνει. Ἐγεγώνει δὲ, διὰ τοῦ ω μεγάλου, ἀντὶ τοῦ ἐβόησεν.

Ἐγένετο καὶ Μάνδρωνι συκίνη ναῦς. λέγεται ἐπὶ τῶν παρ' ἐλπίδα καὶ παρ' ἀξίαν εὐτυχησάντων, εἶτα θρυπτομένων ἐπὶ τοῖς παροῦσιν. ὁ γὰρ [5] Μάνδρων παρ' Ἀθηναίοις ναύαρχος ᾑρέθη, ἀνάξιος ὢν τῆς ἀρχῆς. ἡ δὲ συκίνη ναῦς τὸ εὐτελὲς δηλοῖ.

Ἐγενήθη. ἐπὶ τῆς ποιήσεως, δι' ἑνὸς ν. ἐπὶ δὲ τῆς γεννήσεως, διὰ δύο. καὶ Δαβίδ· Ἐγενήθη τὰ δάκρυά μου ἐμοὶ ἄρτος. τουτέστιν, οἷόν τινα τροφὴν ποιοῦμαι τὰ δάκρυα.

Ἔγγεον.[6] τὸ ἀσφαλές.

Ἔγεστα.[7] πολεμικὸν μηχάνημα, ἐκ λίθων καὶ ξύλων καὶ χοὸς ἐγειρόμενον.[8] τοῦτο δὲ οἱ ἐργαζόμενοι προκάλυμμα τιθέασιν ἐξ αἰγείων τριχῶν, τῶν λεγομένων κιλικίων· ἃ δὴ πάχους τε καὶ μήκους διαρκῶς ἔχοντα ἀναρτήσαντες ἐκ ξύλων μακρῶν, ἐπίπροσθεν ἐτίθεντο. ἐνταῦθα γὰρ οὔτε πυρφόροι οἰστοὶ, οὔτε ἄλλα βέλη ἐξικνεῖσθαι εἶχον, ἀλλ' αὐτοῦ ἐπὶ τῶν προκαλυμμάτων ἔμενον. οἱ δὲ διὰ τοῦ α, ἄγεστά φασι τὸ τοιοῦτον μηχάνημα.

Ἐγεύσαντο. Καὶ πρίν τινες ἀλλήλων ἐγεύσαντο. ἀγ-

Ἕβρος. Hebrus, Thraciæ fluvius, qui ex Rhodope monte Thraciæ oritur.

Ἐβρυάζοντο. Delectabantur. Voluptate afficiebantur.

Ἐβύνουν. Replebant. Obturabant. Ariſtophanes: *Auro illorum obturabant os.* Hoc eſt, oratorum.

Ἐγανώθην. Gaviſus ſum. Lætatus ſum. A γάνυμαι. Homerus: *Lætatur autem animo paſtor.* Metaphora ducta eſt ab æreis vaſis, quæ ſplendent & nitent.

Ἔκκοπος. κατάκοπος. Ὁ δὲ διανύσας τριακοσίους σταδίους, καὶ γενόμενος ἔκκοπος, ἐπέμεινεν.

Ἐκκορακίζειν. ἀποδιώκειν.

Ἐκκορηθείης.[7] παντελῶς ἀφανισθείης. Μένανδρος· Ἐκκορηθείης σύ γε.

Ἐκορίζετο. ὑπεκορίζετο. εὐφημοτέροις ἐχρῆτο λόγοις.

Ἐκορίζετο.[8] ἐκολάκευεν· οἷα τοῖς μικροῖς παιδίοις ἔθος χαριεντιζομένους προσπαίζειν τοὺς γονεῖς. Ἀριστοφάνης Νεφέλαις· Τοῦτον τὸν υἱὸν λαμβάνουσ' ἐκορίζετο.

Ἐκορωνία. ἐγαυρία. [9] Τὸ δὲ μειράκιον μετέωρον ὂν τῇ φύσει, καὶ πάσης πονηρίας ἔμπλεων, ἐκορωνία, καὶ παρετρίβετο πρὸς τοὺς ἐπιφανεῖς ἄνδρας.

Ἐκουρία. ἐδεῖτο κουρᾶς.

ne ipſius urbes imprudens habitatoribus excuſſis deſertas reddes?

Ἐκολάβησας. Alliſiſti. Senſus vero eſt, cum deviciſti, eumque circumveniſti & concuſſiſti, ut pecuniam ab eo extorqueres. Compoſita eſt autem hæc vox a κόλα venter, & βαίνειν, ire. Vel, comminuiſti, fregiſti, deglutiviſti: a κόλλαβος, buccella, vel fruſtum. Significare autem vult, de eo penitus actum eſſe, quem is corripuerit.

Ἐκκοβαλικεύεται. Fallit. Decipit. Vide in v. Ὑπέρχεται.

Ἐκολάφισαν. [Colaphis percuſſerunt.] Cruciarunt. Vel, oculis pannum impoſuerunt.

Ἐκολλόπωσε. Glutine conglutinavit. Gluten enim ex duriori boum pelle, quæ cervicem & dorſum tegit, elixata, conficiebatur. Hinc etiam inſtrumentum illud, quo chordæ intenduntur, κόλλοψ dicitur.

Ἐκολώα. Tumultuabatur. Strepebat.

Ἐκκομιδήν. Elationem funeris.

Ἐκομπάσθη. Deceptus fuit. Faſtu inflatus fuit.

Ἐκομπολάκουν. Jactabundis verbis utebantur.

Ἐκονδύλιζον. Pugnis cædebant.

Ἑκοντήν. Ultro. Sponte. Arrianus: *Agrum qui inter duos fluvios medius erat, ab incolis ultro traditum, occupavit.*

Ἑκοντί. Voluntarie. Sponte. Ultro. Et proverbium: *Volens nolente animo.*

Ἑκόντων εἶναι. Volentibus. Ultro. *Illi vero Iſtrum trajecerunt, quod Juthungi propter odium erga Romanos tranſitum ipſis volentes dediſſent.* Et ἑκών γε εἶναι, volens. *Ille vero ab uxore volens & ultro deceptus fuit.*

Conf. Dexippus de Legat. 7.

Toup. III. p. 61

Ἐκόπασεν. Ceſſavit. Sedatus eſt.

Ἔκκοπος. Defeſſus. Defatigatus. *Ille vero confectis trecentis ſtadiis, defeſſus illic remanſit.*

Ἐκκορακίζειν. Rejicere. Ad corvos amandare.

Ἐκκορηθείης. Omnino delearis. Omnino perdaris. Menander: *Omnino perdaris.*

Ἐκορίζετο. Diminutivis nominibus utebatur. Mollioribus & blandioribus verbis aliquem alloquebatur.

Ἐκορίζετο. Alicui blandiebatur, more parentum, qui puerulis arridere ſolent, blandis & jocoſis verbis utentes. Ariſtophanes *Nubibus: Filium hunc ulnis exceptum blandis verbis alloquebatur.*

Ἐκορωνία. Superbiebat. Se jactabat. *At juvenis ſuopte ingenio levis, omnique malitia refertus, ſeſe jactare, & viris clariſſimis obtrectare cœpit.*

Ἐκουρία. Tonſura indigebat.

---

[1] Ἐκολάβησας. προσέκρ.] Hæc nota referenda eſt ad locum illum Ariſtoph. *Equit.* pag. 301. (203. Ed. Baſ. *P.*)

Εἶτ' ἀποστρέψας τὸν ὦμον, αὐτὸν ἐνεκολάβησας.

Confer ibi Scholiaſtam.

[2] Ἐκκοβαλικεύεται] Hac voce uſus eſt Ariſtophanes *Equit.* pag. 302. (204. Ed. Baſ. *P.*)

[3] Ὑπέρχεται] Hanc lectionem ex MS. A. revocavi: cujus loco priores Editt. male exhibent ἐπέρχεται.

[4] Ἐκολλόπωσε] Confer Heſychium h. v. & v. Κόλλοπες. Cæterum articulus hic, uti & præcedens, deeſt in MSS. Pariſ.

[5] Ἐκολώα] Uſus eſt hac voce Homerus Il. B. v. 212.

[6] Ἐκομπολάκουν] Voce hac uſus eſt Ariſtoph. *Ranis* pag. 287.

[7] Ἐκκορηθείης] Vide infra v. Κόρημα.

[8] Ἐκορίζετο. ἐκολάκευεν. οἷα τοῖς μικρ.] Eadem pene habet Scholiaſta Ariſtoph. ad *Nubes* pag. 127. (63. Ed. Baſ. *P.*)

[9] Τὸ δὲ μειράκιον μετέωρον ὂν τῇ φ.] Hæc ſunt verba Polybii apud Conſtantinum in Collectaneis a Valeſio editis, pag. 129.

Ἑκούσια. ἃ οὐχ ὑπόκειται νόμῳ, ἀλλὰ προαιρέσει. καὶ [1] βροχὴν ἑκούσιον. οὕτως οἱ ό. ὁ δὲ Ἀκύλας, ὄμβρον ἑκούσιον. ὁ δὲ Σύμμαχος, ὑετὸν ἑκούσιον. τὸ θηλυκὸν, ἡ ἑκούσιος.

Ἑκουσιάζομαι. προσφέρω.

Ἐκκόψαντες αὐτοῦ τοὺς ὀφθαλμούς. τουτέστι, πηρώσαντες, τυφλώσαντες.

Ἐκκόψαι. ἀντὶ τοῦ νικῆσαι. οὕτως Ἄλεξις. καὶ ἐπὶ τοῦ πηρῶσαι τὸν ὀφθαλμόν. καὶ ἐξεκόπη, ἐπὶ τοῦ ἐπηρώθη.

Ἐκωδωνίζοντο. περιβόητοι ἐγένοντο. τέτακται καὶ ἐπὶ τοῦ [2] ἐπειράθησαν. οὕτω Λυσίας.

Ἐκωθώνιζον. ἔπινον.

Ἐκώμασε. μεθ' ἡδονῆς ἦλθε. [3] Θρῆνος δ' εἰς ὑμέναιον ἐκώμασεν.

Ἑκὼν [4] ἀέκοντί γε θυμῷ. ἔστω γάρ μοι νῦν τῆς ἐκείνου γνώμης ζωγράφος ὁμηρίζουσα γλῶττα.

Ἐκπαγλούμενος. ἐκπληττόμενος. Ῥωμαίοις μὲν γὰρ ἐκπαγλούμενος ὁ Πύρρος ταῦτά φησιν. ἢ ἀντὶ τοῦ σεμνυνόμενος.

Ἐκπαγλούμενοι. θαυμάζοντες. ἐκπληττόμενοι. Ἐν εἰρήνῃ ἔνεμον, ἐκπαγλούμενοι τὸν Ἡρακλέα.

Ἐκπαθεῖς. ὑγιεῖς. ἐκτὸς πάθους. Ἵνα μὴ ὦσιν ἔκδιψοι καὶ [5] προεκλελυμένοι, ἀλλ' ἐκπαθεῖς, καὶ κεκαινοποιημένοι.

Ἐκπαθής. [6] Αἰλιανός· Ἐκπαθῆ δὲ γεγονότα καὶ πρὸς τὰς ἀκρατοποσίας, ὥστε καὶ μεθ' ἡμέραν πλεονάκις μεθύοντα καταφανῆ γενέσθαι τοῖς φίλοις.

Ἐκ παντός. διόλου. Εἴγε οὖν τοῦτο καταμαθόντες οἱ πολέμιοι ἐκ παντὸς ἀπίασιν, οὐδὲν ἂν ἐκώλυσεν ἀπολωλέναι τὴν στρατιὰν πᾶσαν.

Ἐκ παντὸς ξύλου. ἐλλείπει τὸ, [7] κῦφον γένοιτ' ἄν. λέγεται δὲ καὶ ἐπὶ τῶν ὁρᾶσθαι μὲν εὐκαταφρονήτων, ἀναγκαίων δέ. οἱ δὲ ἐπὶ τῶν δόξαν παρεχόντων ὡς ἀγαθῶν, εὑρεθέντων δὲ ἑτεροίων.

Ἐκ παραλλήλου. ἐξ ὁμοίου.

Ἐκ παραλόγου. Ὁ δὲ διασωθεὶς ἐκ παραλόγου θαλασσίου κλύδωνος. ἀντὶ τοῦ, παρ' ἐλπίδα.

Ἑκούσια. Voluntaria. Sive ea, quæ nulla lege præcepta ſunt, ſed a voluntate noſtra pendent. Et ἑκούσιον βρ. pluviam ſponte ſua cadentem. Sic LXX Interpretes. At Aquila pro eodem dixit ὄμβρον ἑκούσιον: & Symmachus, ὑετὸν ἑκούσιον. Dicitur etiam in fœminino ἡ ἑκούσιος.

Ἑκουσιάζομαι. Sponte offero.

Ἐκκόψαντες αὐτ. Cum ejus oculos eruiſſent Vel, cum eum oculis privaſſent, vel excæcaſſet.

Ἐκκόψαι. Vincere. Sic Alexis. Item, oculum eruere. Et ἐξεκόπη, oculus ei erutus eſt.

Ἐκωδωνίζοντο. Celebres evaſerunt. Item, tentati, vel explorati ſunt. Sic Lyſias.

Ἐκωθώνιζον. Bibebant. Potabant.

Ἐκώμασε. Cum voluptate venit, vel acceſſit. [In Epigrammate:] *Luctus ad hymenæum acceſſit*. [I. e. Nuptiæ in luctum converſæ fuerunt.]

Ἑκὼν ἀέκοντί γε θυμ.. *Volens nolente animo. Liceat enim nunc mihi mentem illius verbis Homericis exprimere*.

Ἐκπαγλούμενος. Territus. Obſtupefactus. *Pyrrhus enim admiratione perculſus hæc Romanis dixit*. Vel, glorians, & gravitatem quandam affectans.

Ἐκπαγλούμενοι. Admirantes. Metuentes. *Pacate vivebant, Herculis metu perculſi.*

Ἐκπαθεῖς. Sani. Illæſi. Incolumes. *Ne ſiti eſſent confecti, nec defatigati, ſed illæſi & integri.*

Ἐκπαθής. Qui præter modum rebus aliquibus delectatur, ac iis immoderate deditus eſt. Ælianus: *Vino autem ſupra modum deditus erat, adeo ut interdiu etiam ſæpe ab amicis ebrius conſpiceretur.*

Ἐκ παντός. Omnino. Prorſus. *Si igitur hoſtes hoc intellecto prorſus abiiſſent, nihil impedivisſet, quo minus totus exercitus periiſſet.*

Ἐκ παντὸς ξύλου. Ex quovis ligno. Subintellige, vinculum ligneum vel nervus fiat. Dicitur de rebus aſpectu quidem vilibus, ſed tamen neceſſariis. Alii vero proverbium hoc accipiunt de illis, qui boni quidem viri eſſe videntur, ſed experientia alii deprehenduntur.

Ἐκ παραλλήλου. Ex ſimili. Similiter.

Ἐκ παραλόγου. Præter ſpem. *Ille vero præter ſpem ex tempeſtate maris ſervatus.*

---

[1] Καὶ βροχὴν ἑκούσ.] David Pſalm. LXVII. v. 10. ſecundum τοὺς LXX. Βροχὴν ἑκούσιον ἀφοριεῖς ὁ Θεὸς τῇ κληρονομίᾳ σου. Huc Suidas reſpexit.

[2] Ἐπειράθησαν] Sic recte MS. Pariſ. A. At reliqui MSS. ut & priores Editt. mendoſe exhibent, ἐπηρώθησαν. Vide Noſtrum ſupra v. Διακωδωνίσω.

[3] Θρῆνος δ' εἰς ὑμέναιον ἐκ.] Fragmentum hoc auctius legitur infra v. Κώμη.

[4] Ἑκὼν ἀέκοντί γε θυμῷ] Eſt ῥῆσις Homerica Il. Δ. v. 43.

[5] Προεκλελυμένοι] Sic duo MSS. Pariſ. At priores Editt. vitioſe, προκεκλημένοι.

[6] Αἰλιανός] Male nomen Æliani pro Polybii in locum hunc irrepſit. Fragmentum enim, quod ſequitur, non eſt Æliani, ſed Polybii, ut patet ex Collectaneis Conſtantini a Valeſio editis, pag. 21. ubi id inter Excerpta ex Polybio αὐτολεξεὶ legitur, ut Pearſonius etiam obſervaverat.

[7] Κῦφον γένοιτ' ἄν] Locus hic mendoſus eſt, in quo pro κῦφον legendum eſſe κυφὼν, (i. e. vinculum ligneum, vel nervus) monuit Salmaſius *de Mod. Uſur.* pag. 814. Verba viri ſummi hæc ſunt: “Κύφωνες Græcis vincula lignea, quibus collum inſerebatur, “quod caput κύφειν cogerent: Latinis *cuſpi*. At Suidas notat vocari Romanis κούσπους, quæ Græcis ποδοκάκκαι. Sic enim apud “eum ſcribendum: Ποδοκάκκη, ξύλον, εἰς ὃ ἐν εἱρκτῇ τοὺς πόδας ἐμβάλλοντες συνέχουσιν, ὃ παρὰ Ῥωμαίοις κοῦσπος καλεῖται. Eoſdem & “κυφῶνας Græci vocarunt, quia idem vinculum ligneum pedes & “cervices vinciebat, & nutare caput faciebat. Unde κυφών. Suidas in Epicureo: Δεδέσθω ἐν κυφῶνι πρὸς τῷ ὀρχείῳ, ἡμέρας εἴκοσι. “Hinc proverbium apud eundem in v. Ἐκ παντὸς ξύλου, ubi ſcribi “oportet, Ἐκ παντὸς ξύλου. ἐλλείπει, κυφὼν γένοιτο. *Ex omni ligno fiat cuſpus*, vel *nervus*. At non ex omni ligno Mercurius. “Idem proverbium apud Zenobium ſic reſtituendum: Ἐκ παντὸς “ξύλου κυφὼν ἂν γένοιτο. Item in Collectione Vaticana. Male etiam “apud Apoſtolium legitur κῦφον, pro κυφών.” Hæc Salmaſius: in cujus ſententia acquieſco.

Ἐκπελαθῆναι. [1] ἐκβληθῆναι:

Ἐκπεπολέμωται.[2] ἐχθρωδῶς διάκειται.

Ἐκπερδικίσαι.[3] τὸ διαδρᾶναι. ἐκ μεταφορᾶς τῶν περδίκων, πανούργων ὄντων.

Ἐκ περιουσίας. ἐκ περιττοῦ. ἐκ περιουσίας λέγει ὁ Ἀριστοτέλης. Μεταπεμψάμενοι ἐκ περιουσίας καὶ Παμπρέπιον. ἐκ περιουσίας οὖν, ἀντὶ τοῦ, ἐκ πολλοῦ τοῦ περιόντος.

Ἐκπεράναι. ἔστιν ἐν τῷ ἐκπεπόνηται.

Ἐκ [4] περιουσίας τοῦ ἀναγκαίου διαφέρει. ἀναγκαῖον μὲν οὖν ἐστὶν, ὧν χωρὶς ἀδύνατον εἶναι. ἐκ περιουσίας δὲ, ὧν ἡ παρουσία οὐκ ἔστιν ἀναγκαία· καὶ, ὡς Ἀριστοτέλης λέγει, ὅταν ὑπαρχόντων τῶν ἀναγκαίων ἄλλα τινὰ [5] προσκαλασκευάζηται τῶν καλῶν. οἷον, τὸ μὲν ζῆν ἀναγκαῖον· ἐκ περιουσίας δὲ, τὸ εὖ ζῆν. τῇ γὰρ τοῦ εὖ παρουσίᾳ, οὐκ οὔσῃ πρὸς τὸ εἶναι ἀναγκαίᾳ, ἐπικοσμεῖται τὸ ζῆν, ἀναγκαῖον ὄν. βελτίω δὲ τὰ ἐκ περιουσίας τῶν ἀναγκαίων φησί. βέλτιον γὰρ τὸ εὖ ζῆν τοῦ ζῆν· τὸ δὲ εὖ λέγειν, τοῦ λέγειν. οὐκ ἀεὶ μὲν αἱρετώτερα τὰ βελτίω, εἰ καὶ ἁπλῶς αἱρετώτερα. τὰ γοῦν ἡμῖν ἀδύνατα, εἰ καὶ βελτίω εἴη τῶν δυνατῶν, ἀλλ' οὐχ αἱρετώτερα. βέλτιον μὲν γὰρ ἀθανασία μακροβιότητος· ἀλλ' ἡμῖν οὐχ αἱρετωτέρα. καὶ τῶν ἐκ περιουσίας δὴ τὰ μὲν πρὸς τῷ βελτίω εἶναι, καὶ αἱρετώτερά ἐστι· ὥσπερ τοῦ λέγειν τὸ εὖ λέγειν· τὰ δὲ βελτίω ἐστὶν, οὐ μὴν καὶ αἱρετώτερα. τὸ γὰρ φιλοσοφεῖν τε καὶ θεωρεῖν βέλτιον μέν ἐστι τοῦ χρηματίζεσθαι· οὐ μὴν καὶ αἱρετώτερον τοῖς ἐν ἐνδείᾳ οὖσι, καὶ μὴ δυναμένοις ἄλλως εἶναι. οὕτω δὴ καὶ τὸ ὑγιαίνειν τοῦ φιλοσοφεῖν τῷ νοσοῦντι αἱρετώτερον. † Καὶ [6] Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος· Ἐγὼ μὲν περὶ τῶν ἐσχάτων κινδυνεύω· οὗτος δὲ ἐκ περιουσίας μου κατηγορεῖ. ἀντὶ τοῦ, ἐκ πολλοῦ τοῦ περιόντος.

Ἐκπελαθῆναι. Ejici.

Ἐκπεπολέμωται. Hoſtilem animum habet.

Ἐκπερδικίσαι. Aufugere. Per tranſlationem ductam a perdicibus, quæ ſunt aſtutæ.

Ἐκ περιουσίας. Ex abundantia. Ex ſupervacuo. Uſus eſt hac phraſi Ariſtoteles. *Cum autem Pamprepium etiam accerſiviſſent, licet præſentia ejus ſupervacanea eſſet.*

Ἐκπεράναι. Vide in voce ἐκπεπόνηται.

Ἐκ περιουσίας. Ex abundantia. Ex ſupervacuo. Hoc differt a neceſſario. Nam neceſſarium quidem eſt id, ſine quo eſſe non poſſumus. Ἐκ περιουσίας vero dicitur de rebus illis, quarum præſentia non eſt neceſſaria: &, ut ait Ariſtoteles, quum ſuppetentibus rebus neceſſariis, alia quædam pulchra iis adjiciuntur. Ut, vivere quidem eſt neceſſarium: at bene vivere, ſupervacaneum. Nam præſentia bene vivendi, quæ non eſt neceſſaria ad id, ut ſimus, exornat ipſum vivere, quod eſt neceſſarium. Supervacanea autem neceſſariis meliora eſſe dicit. Melius enim eſt bene vivere, quam vivere: & bene dicere, quam dicere. Non ſemper tamen optabiliora ſunt ea, quæ ſunt meliora, quamvis ſimpliciter & per ſe ſint optabiliora. Nam quæ conſequi non poſſumus, quamvis ſint meliora illis, quæ conſequi poſſumus, non ſunt tamen optabiliora. Immortalitas enim eſt longævitate melior: ſed nobis non magis expetenda. Ac ſupervacaneorum alia quidem non ſolum ſunt meliora, ſed etiam optabiliora: ut bene dicere quam dicere. Alia vero ſunt meliora, non tamen etiam optabiliora. Nam philoſophari & contemplari melius quidem eſt, quam quæſtum facere; non tamen etiam eſt optabilius illis, qui in rerum omnium inopia verſantur, & qui aliter eſſe non poſſunt. Sic etiam valere eſt optabilius ægrotanti, quam philoſophari. † Et Demoſthenes in oratione pro Cteſiphonte dicit: *Ego quidem extremo periculo compulſus in certamen hoc deſcendo: Æſchines vero nulla neceſſitate cogente me accuſat. Port.*

Ἐκ περιτροπῆς. ἐξ ἀποστροφῆς. ἐκ νίκης.

Ἐκπέρσαι. ἐκπορθῆσαι.

Ἐκπεσών. ῥηθείς. δοθείς. Χρησμὸς δὲ ἐκπεσὼν περὶ Εὐτοκίου Θρᾳκός.

Ἐκπεφυσημένον. φιλοτίμως διατεθειμένον. [7] Ὁρῶν δὲ τὸν Μάρκον ἐκπεφυσημένον.

Ἐκπήγνυσθαι.[8] τὸ ἐκπλήττεσθαι.

Ἐκπηνιεῖται. ἐξελκύσει. ἀπὸ τῶν τὴν κρόκην μηρυομένων εἰς πηνία. [9] Ὅμηρος· Πηνίον ἐξέλκουσα.

Ἐκπλαγεῖς. ἐκπλήξεως πλέοι. [10] Πολύβιος· Ἐκ-

Ἐκ περιτροπῆς. Ex converſione. Ex victoria.

Ἐκπέρσαι. Devaſtare. Exſcindere.

Ἐκπεσών. [Qui excidit.] Dictus. Redditus. Datus. *Oraculum autem de Eutocio Thrace redditum eſt.*

Ἐκπεφυσημένον. Inflatum. Ambitioſum. *Videns autem Marcum faſtu inflatum.*

Ἐκπήγνυσθαι. Terreri.

Ἐκπηνιεῖται. Extrahet. Educet. Sumpta tranſlatio ab illis, qui filum in glomos deducunt. Homerus: *Stamen extrahens.*

Ἐκπλαγεῖς. Terroris pleni. Polybius: *A-*

---

[1] Ἐκπελαθῆναι. ἐκβληθ.] Heſychius: Ἐκπελεύει. ἐξωθεῖ. Uterque intelligit vocabulum Latinum *expello*, ut Portus etiam ſubodoratus fuit. Græci enim recentiores multa vocabula Latina a Romanis mutuati ſunt, ut vel ex Gloſſariis Meurſii & Dufrenii unicuique conſtare poteſt.

[2] Ἐκπεπολέμωται] Vide paulo poſt v. Ἐκπολεμῶσαι.

[3] Ἐκπερδικίσαι] Vide ſupra v. Διεκπερδικίσαι; & Heſychium v. Διαπερδικίσαι. Referenda eſt autem nota hæc Suidæ ad locum illum Ariſtophanis *Avib.* pag. 577. (398. Ed. Baſ. *P.*)
Ὡς παρ' ἡμῖν οὐδὲν αἰσχρόν ἐστιν ἐκπερδικίσαι.
Vide ibi veterem Enarratorem.

[4] Ἐκ περιουσίας τοῦ ἀναγκαίου διαφέρει.———τὸ ὑγιαίνειν τοῦ φιλοσοφεῖν τῷ νοσοῦντι αἱρ.] Hæc omnia deſcripta ſunt ex Alexandro Aphrod. in *Topica* pag. 134.

4 Huc reſpexit Supr. v. Ἀναγκαῖον.

[5] Προσκατασκευάζηται] Sic recte 2 MSS. Pariſ. & Alexander Aphrod. loco laudato. At priores Editt. προκατασκευάζηται: quod ſenſus repudiat.

[6] Καὶ Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησ.] Ex Harpocratione.

[7] Ὁρῶν δὲ τὸν Μάρκον ἐκπεφ.] Hæc deſumpta ſunt ex Polyb. lib. III. cap. CIII.

[8] Ἐκπήγνυσθαι] Mendoſe pro ἐκπλήγνυσθαι. Scholiaſta Thucydidis ad lib. IV. cap. CXXV. Ἀσαφῶς ἐκπλήγνυσθαι. ἀδήλως ἐκπλήττεσθαι.

[9] Ὅμηρος] Il. Ψ. v. 762.

[10] Πολύβιος] Lib. I. cap. LXXVI.

πλαγεῖς γενόμενοι οἱ Λίβυες διὰ τὸ παράδοξον, ἐκκλίναντες ἔφυγον. Καὶ αὖθις· [1] Οὕτως ἐκπλαγεῖς ἦσαν, καὶ κατάφοβοι τὸ μέλλον. καὶ ἐκπλαγεῖς, θηλυκῶς, ἀντὶ τοῦ θαυμασταί. Ποιμένες ἀγραυλοῦντες ἐκπλαγοῦς φωτοφανείας ἔτυχον.

Ἔκπλεα. πλήρη. Ἐσθῆτας δὲ καὶ τὰ ἐπιτήδεια ἔκπλεα παρεῖχεν. ἀντὶ τοῦ αὐτάρκη. καὶ αὖθις Αἰλιανός· Οἱ δὲ καταίροντες εἰς αὐτὸν, καὶ φιλοφροσύνης ἐκπλέας ἀπολαύσαντες.

Ἐκπλεύσαντες. ἔξω γενόμενοι. Οἱ δὲ ἐκπλεύσαντες τῶν φρενῶν, εἶτα ἐνεοὶ ἐγένοντο.

Ἐκπλεύσειν. ἔξω γενέσθαι. [2] Μὴ γὰρ ἂν ἐκπλεύσειν ποτὲ τῶν φρενῶν ἐς τοσοῦτον, ὡς ἀνθρώπους προτιμῆσαι Θεοῦ.

Ἐκπλήγδην. ἐκπληκτικῶς.

Ἔκπληξις. φόβος.

Ἐκπλήσει. πληρώσει.

Ἐκπλινθεύσας. [3] Ἰσαῖος ἀντὶ τοῦ διαλύσας καὶ ἐξελὼν τὰς πλίνθους.

Ἔκπλυτον. ἐξίτηλον. [4] ἀφανές.

Ἐκ ποδὸς εἵπετο κατόπιν. ἀντὶ τοῦ σύνεγγυς.

Ἐκποδών. τὸ πρὸς ὀλίγον χρόνον ἀποστείλασθαι. Ἀριστοφάνης· Οὗτός ἐστιν, ὃν ζητοῦμεν. ἀλλὰ δεῦρο πᾶς ἐκποδών. Καὶ αὖθις· Ἀργεῖοι καὶ Θηβαῖοι ἐκποδὼν ἔστησαν. Καὶ παροιμία·

Ἀνδρὸς κακῶς πράσσοντος ἐκποδὼν φίλοι.

Ἐκποδὼν γενέσθαι. φυγεῖν. ἢ ἐξαλείφεσθαι. ἢ ἐκ τοῦ μέσου γενέσθαι.

Ἐκποκιῶ. τὰς τρίχας ἐκσπάσω. [5] Ἀριστοφάνης· Ἐκποκιῶ σου τὰς ποκάδας. ἐπὶ γυναικείων τριχῶν ὡς τὸ πολύ. παρετυμολογεῖ δὲ τὸν πόκον. Λυκόφρων δὲ ἁπλῶς τὰς τρίχας. ἐμπλοκὴ δέ τις φαίνεται καὶ πλοκαμίδες. σπανίως ποτὲ ἐπὶ ἀνδρῶν λέγεται.

Ἐκπολεμῶσαι. [6] αἰτιατικῇ. ἀντὶ τοῦ εἰς πόλεμον καταστῆσαι. γράφεται δὲ καὶ διὰ τοῦ η, ἐκπολεμῆσαι· ὡς καὶ παρὰ Ξενοφῶντι· ἐκπολεμῶσαι δὲ, τὸ πολεμίους ποιῆσαι, οἷον ἐπὶ πόλεμον τινὰς παροξῦναι.

Ἐκ πολλοῦ. ἐκ παλαιῶν τῶν χρόνων. Ἄγαλμα ἦν τιμώμενον ὑπ' αὐτοῦ ἐκ πολλοῦ.

Ἐκ πολλῶν ἀχύρων ὀλίγον καρπὸν συνήγαγον. ἐπὶ τῶν πολλὰ μὲν πονούντων, ὀλίγα δὲ καρπουμένων.

Ἐκπορίζομεν. ἐξευρίσκομεν.

Ἐκπορίσας. συλλέξας.

Ἐκπορπᾶσθαι. ἐκφιβλοῦσθαι.

Ἐκπομπεύων. ἀχρειῶν. λοιδορῶν. Ὁ δὲ ἐκπομ-

fri inopinata illorum virtute perculſi in fugam ſubito inclinantur. Et iterum: *Adeo metu futuri perterriti erant.* Et ἐκπλαγεῖς, genere fœminino, pro, admirandæ. *Paſtoribus in agris pernoctantibus admiranda lux apparuit.*

Ἔκπλεα. Plena. Quæ ſufficiunt. *Veſtes autem, & res ad victum neceſſarias abunde ei præbuit.* Et iterum Ælianus: *Cum ad ipſum divertiſſent, & humaniſſime ab ipſo excepti fuiſſent.*

Ἐκπλεύσαντες [τῶν φρενῶν.] Amentes facti. *Illi vero amentes facti, poſtea etiam muti evaſerunt.*

Ἐκπλεύσειν [τῶν φρενῶν.] Amentem fore. *Dicebant enim, ſe nunquam eo dementiæ proceſſuros eſſe, ut homines Deo anteponerent.*

Ἐκπλήγδην. Cum terrore. Cum ſtupore.

Ἔκπληξις. Pavor. Metus. Terror.

Ἐκπλήσει. Explebit. Replebit.

Ἐκπλινθεύσας. Iſæus ſumit pro eo, qui lateres diſſolvit & ex muro exemit.

Ἔκπλυτον. Quod colorem facile amittit. Evanidum.

Ἐκ ποδὸς εἵπ. A tergo proxime ſequebatur.

Ἐκποδὼν [γενέσθαι.] Ad exiguum tempus ab aliquo recedere. Ariſtophanes: *Hic eſt, quem quærimus. Sed quiſque ab eo recedens, huc veniat.* Et iterum: *Argivi & Thebani inde procul ſteterunt.* Et proverbium: *Viri infelicis amici procul ſunt.*

Ἐκποδὼν γενέσθαι. Recedere. Fugere. Vel, deleri. Vel, de medio tolli.

Ἐκποκιῶ. Capillos evellam. Ariſtophanes: *At capillos tibi evellam.* Ποκάδες autem de muliebribus capillis plerumque dicitur. Alludit autem ad etymologiam τοῦ πόκου. Lycophron vero ſimpliciter ita vocat capillos. Videtur tamen ea voce etiam ſignificari capillorum quidam nodus, vel cincinnus. Raro tamen de viris hæc vox dicitur.

Ἐκπολεμῶσαι. Accuſativo jungitur. Belli auctorem eſſe. Bellum inter aliquos movere. Scribitur etiam ἐκπολεμῆσαι, per η. Ἐκπολεμῶσαι vero eſt, aliquos hoſtes facere, & ad bellum incitare.

Ἐκ πολλοῦ. A multo tempore. Ab antiquis temporibus. *Simulacrum erat, quod ab ipſo a longo jam tempore colebatur.*

Ἐκ πολλῶν ἀχ. *Ex multis paleis exiguum fructum collegi.* De iis, qui multum quidem laborant, ſed exiguum laborum ſuorum fructum percipiunt.

Ἐκπορίζομεν. Excogitamus. Suppeditamus.

Ἐκπορίσας. Qui collegit.

Ἐκπορπᾶσθαι. Fibulis adſtringi.

Ἐκπομπεύων. Publice traducens. Contem-

---

[1] Οὕτως ἐκπλαγεῖς ἦσαν καὶ κατ.] Et hoc fragmentum legitur apud Polyb. lib. III. cap. CVII. in fin.

[2] Μὴ γὰρ ἂν ἐκπλεύσειν π.] Sententiam pleniorem habes infra v. Κατήρεφον.

[3] Ἐκπλινθεύσας] Ex Harpocratione.

[4] Ἀφανές] Hæc vox in prioribus Editt. deeſt: ſed agnoſcunt eam 2 MSS. Pariſ.

[5] Ἀριστοφάνης] *Theſmophor.* pag. 797. (525. Ed. Baſ. P.)

[6] Ἐκπολεμῶσαι] Ex Harpocratione. Vide etiam paulo ante v. Ἐκπολέμωται.

προτεθῆναι μὲν τὰ ἅγια τῶν ἁγίων ποιεῖ.

Ἐκπρεπεῖς. ἐπίσημοι.

Ἐκ προνοίας. ἐκ προμηθείας. ἑκουσίως.

Ἐκ [1] προσαγωγῆς. ἀντὶ τοῦ πρὸς ἀνάγκην, καὶ οὐκ ἐκ φύσεως, οὐδὲ ἁπλοϊκῶς.

Ἔκπωμα. φιάλη. ποτήριον. Δῶρά τε λαμβάνει ἄλλα τε, καὶ ἐκπώματα ἀπὸ ἀργυρίου.

Ἐκποίητον γενέσθαι. ἀποκηρυχθῆναι τοῦ γένους. οἱ δὲ φασὶ διαφέρειν ἐκποίητον ἀποκηρύκτου. ὅτι ὁ μὲν ἀποκήρυκτος ἐπὶ κολάσει ἐκβάλλεται· ὁ δὲ ἐκποίητος ὑπὸ τοῦ φύσει πατρὸς εἰς ἕτερον οἶκον δίδοται τῇ προθέσει.

Ἔκπυστα. ἐξάκουστα. ἔκπυστα. καὶ ἐκπύστου. [2] ἀριηκόου. πανταχόσε ἀκουσθείσης. Φαίνεται δὲ ἐκπύστου τῆς πράξεως γεγενημένης. Καὶ αὖθις· Ὁ δὲ παραγγείλας τῇ τοῦ ζῆν ἀντιδόσει ἔκπυστον μὴ ποιῆσαι τὴν πρᾶξιν, ἀφῆκε πρὸς τὸν στείλαντα φοιτῆσαι.

Ἐκκεκραγανομένων. μετὰ κραυγῆς λεγομένων.

Ἔκρεκεν. ἀντὶ τοῦ ἤχει.

Ἐκρέαινεν. ἐτελείου.

Ἐκκρεμαννύμενοι. ἀπηρτημένοι. [3] Θουκυδίδης· Τῶν τε ξυσκήνων ἤδη ἀπιόντων ἐκκρεμαννύμενοι.

Ἐκρήγματα. τὰ ἐκ τῶν χειμάρρων γινόμενα ἐν τοῖς πεδίοις κοιλώματα.

Ἐκρήμνισε. κατήγαγεν.

Ἔκρηξις. ἡ ἐκραγή.

Ἐκκεκρικώς. ἐκκεχωρικώς.

Ἔκρινεν. ἐχώρισεν. ἐπελέξατο.

Ἐκκρίνεται. ἐκκρίπτεται. ἐκρέει. λαμβάνεται δὲ ἐπὶ τῆς ἀνθρωπίνης γονῆς· ἔτι γε μὴν καὶ τῆς τῶν κτηνῶν.

Ἐκκρίνειν. δοκιμάζειν.

Ἐκρινόμεθα. ἐπὶ πολὺν χρόνον διεφερόμεθα καὶ διημφισβητοῦμεν. [4] Ἀριστοφάνης Νεφέλαις· Τέως μὲν οὖν ἐκρινόμεθα.

Ἐκκρουόμενος. παρεκλείνων. παρατρέπων. [5] Ὁ δὲ ἔστη ἐν μεταιχμίῳ, οὐ μονομαχήσων, ἀλλὰ τὸν καιρὸν τοῦτον τοῖς ἐναντίοις ἐκκρουόμενος.

Ἐκριπισθέντες. ἐξαφθέντες. [6] ῥιπίζειν γὰρ, τὸ ὀπτᾷν ἀπὸ τῶν ῥιπιδίων.

Ἔκκριτον. ἐπίλεκτον. προκεκριμένον. Οὐδενὶ δὲ ὅπλων διαλλάττουσιν οἱ περὶ τὸν στρατηγὸν ἔκκριτοι τῶν ἐν ταῖς ἴλαις ἱππέων.

Ἐκσάλευσον [7] αὐτό. ἐξένεγκον. ἦν δὲ ἐμπὶς ἐν τῷ ὀφθαλμῷ αὐτοῦ.

nens. Conviciis insectans. *Ille vero Sancta Sanctorum publico contemptui exponit.*

Ἐκπρεπεῖς. Insignes. Valde speciosi.

Ἐκ προνοίας. Ex providentia. De industria. Consulto. Sponte.

Ἐκ προσαγωγῆς. Per vim, non autem secundum naturam, nec simpliciter.

Ἔκπωμα. Phiala. Poculum. *Cum alia dona accipit, tum etiam argentea pocula.*

Ἐκποίητον γενέσθαι. Idem quod ἀποκηρυχθῆναι, i. e. abdicari. Alii vero dicunt, ἐκποίητον differre ab ἀποκηρύκτῳ, i. e. abdicato. Nam ἀποκήρυκτος quidem dicitur ille, qui pœnæ causa ex familia ejicitur. At ἐκποίητος ille, qui a patre naturali per adoptionem in alteram familiam consulto traditur.

Ἔκπυστα. Audita. Fama cognita. Divulgata. Et ἐκπύστου, rei divulgatæ, & ubique terrarum auditæ. *Cum autem fama illius rei percrebuisset.* Et iterum: *Ille vero, cum præcepisset, ut pro hac vitæ remuneratione rem illam non divulgaret, abire eum sivit ad illum qui ipsum miserat.*

Ἐκκεκραγανομένων. Cum clamore dictorum.

Ἔκρεκεν. Resonabat.

Ἐκρέαινεν. Perficiebat.

Ἐκκρεμαννύμενοι. Pendentes. Thucydides: *Ex contubernalium abeuntium cervicibus & amplexu pendentes.*

Ἐκρήγματα. Loca a torrentibus in campis excavata.

Ἐκρήμνισε. Præcipitavit.

Ἔκρηξις. Eruptio.

Ἐκκεκρικώς. Qui secrevit. Qui separavit.

Ἔκρινεν. Separavit. Delegit.

Ἐκκρίνεται. Ejicitur. Effluit. Secernitur. Dicitur de semine hominum, itemque brutorum.

Ἐκκρίνειν. Explorare. Examinare.

Ἐκρινόμεθα. Ad multum tempus inter nos dissidebamus & contendebamus. Aristophanes *Nubibus: Aliquandiu igitur inter nos contendebamus.*

Ἐκκρουόμενος. Producens. Avertens. *Ille vero inter utramque aciem stetit, non ut singulari certamine dimicaret, sed ut hostes mora illa deluderet.*

Ἐκριπισθέντες. Accensi. Ῥιπίζειν enim significat, ignem flabellis accendere, vel excitare.

Ἔκκριτον. Selectum. Delectum. Antepositum. *Nullo vero armorum genere delecti illi, qui ducem stipant, differunt ab equitibus turmarum.*

Ἐκσάλευσον αὐτό. Excute ipsum. Ejice ipsum. Culex autem erat in oculo ejus.

---

[1] Ἐκ προσαγωγῆς] Et hanc notam ab Harpocratione Suidas mutuatus est.

[2] Ἀριηκόου] Sic 2 MSS. Paris. At priores Editt. male ἀρηϊκόου, quod Portus pro nomine proprio viri accipiebat. Significat autem ἀριήκοος, qui clare audit, vel auditur: ab ἀρι, particula intensiva, & ἀκούω.

[3] Θουκυδίδης] Lib. VII. c. LXXV. unde sensus hujus loci petendus est.

[4] Ἀριστοφάνης Νεφέλαις] Pag. 127. (62. Ed. Bas. *P.*)

[5] Ὁ δὲ ἔστη ἐν μεταιχμίῳ, οὐ μονομαχ.] Hæc sunt verba Procopii lib. IV. *de Bello Goth.* cap. XXXI. sed ubi pro ἔστη legitur ἐγένετο, & pro ἐκκρουόμενος, ἐκκρούσων.

[6] Ῥιπίζειν γὰρ, τὸ ὀπτ.] Hæc clarius habes infra v. Ῥιπίζειν.

[7] Ἐκσάλευσον] Confer Suidam infra v. Ἐξισάλαξας.

Ἐκσιφωνισθείη.[1] ἐκκενωθείη. ἐκρυῇ. διασκορπισθείη.

Ἐκσκέπτωρ.[2] ἐκσκέπτωρος.

Ἔκσπονδος. ὁ τὰς σπονδὰς μὴ φυλάττων. Ὁ τοίνυν τοὺς ὅρκους ἐκσπόνδους μὴ ποιήσας, καλῶς μὲν ἐβίωσεν, ἐπὶ πολὺ δὲ ἤλασε δόξης.

Ἔκστασις. θαυμασμὸς, καὶ ἀλλοίωσις.

Ἔκστασις.[3] καὶ ἡ ἁμαρτία. Δαβίδ· Ἐγὼ δὲ εἶπα ἐν τῇ ἐκστάσει μου, ἀπέρριμμαι. ᾤμην, φησὶ, τῇ ἁμαρτίᾳ περιπεσὼν, πόῤῥω τῆς σῆς γενέσθαι κηδεμονίας. τὴν γὰρ τῆς δικαιοσύνης ὁδεύων ὁδὸν, ἐξέστη μὲν ἐκείνης, καὶ ἐξετράπη. προσέπταισε δὲ, καὶ περιέπεσε τοῖς [4] ὠμοβόροις γενέσθαι.

Ἐκστῆναι. παραχωρῆσαι. Τῆς ἐπὶ τοῖς ἥττοσι ταλαιπωρίας ἑτέροις ἐκστῆναι. Καὶ αὖθις· x Μιθριδάτην ἐκστῆναι Βιθυνίας Νικομήδει.

x Dio Caſſ. I. 73. 99. Reimar II. 1521.

Ἔκστρεψον.[5] μετάβαλε. ἀπὸ μεταφορᾶς τῶν ῥυπωμένων καὶ ἐκστρεφομένων ἱματίων. ἐκστρέψαι γὰρ ἱμάτιον λέγεται, τὸ ἀλλάξαι τὸ πρὸς τὸ σῶμα μέρος ἔξω. Ἄλλαξον, φησὶ, τοὺς τρόπους σου. μετάβαλε. Ἀριστοφάνης Νεφέλαις·

Ἔκστρεψον ὡς τάχιστα τὸν σαυτοῦ τρόπον.

Ἐκ συγκειμένου. προϋπηργμένου. προγεγυμνασμένου. [6] Τότε δὲ καὶ ἐς τάξιν τινὰ ὥσπερ ἐκ συγκειμένου κατέστησαν, καὶ ἐν κόσμῳ τὸν ἀγῶνα ἐποίησαν

6. Polybius Fr. Gram. 46. Vol. V. p. 85.

Ἐκσφενδονῶ.

Ἐκταδόν. ἐκτεινόμενος.

Ἐκτάδην. ἐκτεταμένως, ἡπλωμένως.

Ἔκτακτοι. τούτους τὸ μὲν παλαιὸν ἡ τάξις εἶχεν, ὡς καὶ τοὔνομα δηλοῖ, διότι τῆς τάξεως ἐξ [7] ἀριθμοὶ ἦσαν. εἰσὶ δὲ πέντε· στρατοκῆρυξ, σαλπιγκτὴς, σημειοφόρος, ὑπηρέτης, οὐραγός. νῦν δὲ καὶ τοῦ συντάγματος λέγονται, καὶ τῶν ἄλλων. ἔχειν δὲ δεῖ τούτους τὴν τάξιν, ἢ καὶ τὸ σύνταγμα· τὸν μὲν, ὅπως τῇ φωνῇ σημαίνῃ τὸ προσταττόμενον· τὸν δὲ, ὅπως τῷ σημείῳ, εἰ μὴ ἡ φωνὴ κατακούοιτο διὰ θόρυβον. τὸν δὲ σαλπιγκτὴν, ὁπότε μηδὲ σημεῖον βλέποιτο διὰ κονιορτόν. καὶ τὸν ὑπηρέτην, ὥστε τῶν εἰς τὴν χρείαν παρακομίσαι. τόν γε μὴν ἔκτακτον οὐραγὸν, πρὸς τὸ ἐπανάγειν τὸν λειπόμενον ἐπὶ τὴν τάξιν· ὃς τῶν τεσσάρων ἄνω τυπουμένων κατὰ μέτωπον, κάτω τάσσεται.

Ἑκταῖος. ὁ ἕκτος.

Ἐκτεθνεῶτα. οἷον τὸν ἐν ἐσχάτοις ὄντα.

Ἐκτενές. ἐπιμελές. Ἔργον δ' ἦν αὐτοῖς ἐκτενές.

Ἐκσιφωνισθείη. Per ſiphonem evacuetur. Effluat. Diſſipetur.

Ἐκσκέπτωρ. ἐκσκέπτωρος. Exceptor.

Ἔκσπονδος. Qui fœdera non ſervat. *Ille igitur, cum fœdus jurejurando ſancitum non violaſſet, præclare vixit, magnamque gloriam conſecutus eſt.*

Ἔκστασις. Stupor, & mentis commotio.

Ἔκστασις. Sic etiam peccatum vocatur. David: *Ego vero in ecſtaſi mea dixi, rejectus ſum* [*a facie tua.*] Exiſtimabam, inquit, cum in peccatum incidiſſem, nullam mei rationem a te amplius haberi. Cum enim juſtitiæ ſemitam ingrederetur, poſtea ab ea recedens & deflectens, offendit, & in crudeles latrones incidit.

Ἐκστῆναι. Cedere. Decedere. * * * * * Et iterum: *Mithridatem Nicomedi Bithynia cedere* [*jubebant.*]

Ἔκστρεψον. Inverte. Muta. Per tranſlationem ductam a ſordidis veſtibus, quæ vertuntur. Nam ἐκστρέψαι ἱμάτιον ſignificat, veſtem vertere, ita ut pars interior fiat exterior. Muta, inquit, mores tuos. Ariſtophanes *Nubibus: Muta quam citiſſime mores tuos.*

Ἐκ συγκειμένου. Ex compoſito. Ex præparato. *Tunc vero quaſi ex compoſito aciem inſtructam oſtenderunt, & ordine pugnam commiſerunt.*

Ἐκσφενδονῶ. Funda ejaculor.

Ἐκταδόν. Extenſus. Exporrectus.

Ἐκτάδην. Dicitur de re extenſa, & explicata.

Ἔκτακτοι. Extraordinarii. Hi olim, ut & nomen indicat, unicuique ordini additi erant, dicebanturque ἔκτακτοι, quod extra reliquorum numerum cenſerentur. Erant autem quinque: Præco, Tubicen, Signifer, Miniſter, Tergiductor. Nunc vero etiam ordinibus, ut reliqui, accenſentur. Oportet autem hos in ordinibus militum eſſe; illum quidem, ut imperium ducis voce ſignificet: hunc vero, ut vexillo vel ſigno idem faciat, ſi vox propter tumultum exaudiri non poſſit. Tubicinem, cum propter pulverem ne vexillum quidem cerni poteſt. Miniſtrum, ut ultro citroque portet ea, quæ ſunt neceſſaria. Tergiductorem denique extraordinarium, ut eos, qui a tergo relinquuntur, ad ordines ſuos reducat. Huic in poſtica aciei parte locus aſſignatur, cum reliqui quatuor in fronte collocentur.

Ἑκταῖος. Sextanus. Sextus.

Ἐκτεθνεῶτα. In extremis conſtitutum. Semimortuum.

Ἐκτενές. Quod intento ſtudio fit. *Illi autem opus intento ſtudio peragebant.*

---

[1] Ἐκσιφωνισθείη] Vide infra v. Σιφωνίζειν.

[2] Ἐκσκέπτωρ] Eſt ipſa vox Latina *exceptor:* quod Portus non animadvertens, male exploratorem, ſive ſpeculatorem, vocabulo hoc notari putabat. Quinam autem apud Latinos dicti fuerint *exceptores*, præter alios docet Valeſius ad Amm. Marcell. pag. 44. Vide etiam Dufrenium in Gloſſar.

[3] Ἔκστασις. καὶ ἡ ἁμαρτ.] Totum hunc locum deſcripſit Suidas ex Theodoreto ad Pſalm. xxx. pag. 512.

[4] Ὠμοβόροις γενέσθαι] Scribe, ὠμοβόροις λῃσταῖς, ut apud Theodoretum loco laudato.

[5] Ἔκστρεψον. μεταβ.] Ex Scholiaſta Ariſtophanis ad *Nubes* pag. 128. (63. Ed. Baſ. *P.*)

[6] Τότε δὲ καὶ εἰς τάξιν τ.] Fragmentũ hoc Caſaubonus Polybio tribuit.

[7] Ἐξ ἀριθμοὶ] Scribendum eſſe una voce ἐξάριθμοι, Pearſonius ad marginem Suidæ ſui recte obſervavit. Τὸ ἐξ ἀριθμοὶ enim, quod omnes excuſi habent, ineptum eſt, & ſenſui omnino contrarium. Quare in verſione lectionem alteram ſecutus ſum.

Ἐκτενέστερος. ἐνεργητικώτατος. ἐπιμελέστερος. Ὁ δὲ ἔλεγεν ἔσεσθαι αὐτῷ σύμβουλος καὶ συναγωνιστὴς ἐκτενέστατος.

Ἐκτένεια. ἡ συνέχεια.

Ἐκτενῶς. ὁλοψύχως. προθύμως. [1] Πολύβιος· Ὁ δὲ Ἀχαιὸς προσδεξάμενος ἐκτενῶς καὶ φιλανθρώπως τὸν Βῶλιν, ἀνέκρινε διὰ πλειόνων ὑπὲρ ἑκάστου τῶν κατὰ μέρος.

Ἑκτέον. κρατητέον.

Ἐκτετηκυῖα. ἀπερρυηκυῖα. [2] Ἐκτετηκυῖα τὰς ὁράσεις ὑπὸ τῶν δακρύων.

Ἐκτετικότες. ἀποδεδωκότες.

Ἐκτετιναγμένων. Υἱοὶ [3] τῶν ἐκτετιναγμένων. οἱ σφόδρα ταλαιπωρούμενοι. ἐν τῷ Υἱοὶ Θεοῦ.

Ἐκτετοξεῦσθαι. ἐκκεκενῶσθαι. ἀνηλῶσθαι. ἀπὸ μεταφορᾶς τῶν ἐν τῇ τοξείᾳ ἀναλισκόντων τὰ βέλη. [4] Ἀριστοφάνης Πλούτῳ· Τὸν ἐμὸν ἤδη νομίζων ἐκτετοξεῦσθαι βίον.

Ἐκ [5] τετρημένης κύλικος πιεῖν. ἐπὶ τῶν διημαρτημένων ἐν πίστει.

Ἑκτεύς. μέτρον ἐστὶν, ὃ ταυτὸν εἶναι λέγουσι τῇ χοίνικι. [6] Ἀριστοφάνης·

Οἶσθ' οὖν ἀπολωλεκυῖα πυρῶν ἑκτέα;

τουτέστι τριώβολον.

Ἐκτείνω.

Ἐκτειχίσαι. τειχοποιῆσαι. Ἐν ἐπικαίρῳ χωρίῳ ἐδόκει ἐκτειχίσαι τὴν πόλιν.

Ἑκτῆνες. οἱ Βοιωτοὶ οὕτως ὠνομάζοντο.

Ἐκτιθέναι τὰ βρέφη. ἀντὶ τοῦ, εἰς βορὰν θηρίοις, ἢ καὶ ἄλλως εἰς διαφθορὰν παρεκτιθέναι ἐπ' ἐρημίαις.

Ἑκτικός. σχετικός.

Ἑκτικῶς. ἐπίρρημα, σχετικῶς.

Ἐκτίλαι. ἀποσπάσαι.

Ἐκτιλούμενοι. [7] συνήθεις. ἐπεὶ ὁ κτίλος ἡγούμενος τῆς ποίμνης κριὸς συνήθης τῷ ποιμένι.

Ἐκτιμᾶται. ἀντὶ τοῦ ἐπιτέταται. ηὔξηται κατὰ τιμήν.

Ἐκ τιμημάτων. Τέσσαρα [8] Ἀθήνησιν τιμήματα ὑπὸ Σόλωνος γέγονε, Πεντακοσιομεδίμνων, Ἱππέων, Ζευγιτῶν, Θητῶν.

Ἔκτιμος. καὶ ἐκτίμους, ἔξω καὶ ἐκτὸς τῆς τιμῆς. [9] Ἴσχουσα πτέρυγας ὀξυτόνων γόων.

Ἐκτενέστερος. Qui majore contentione & ſtudio aliquid agit. *Ille vero dicebat ſe ipſi fore conſiliarium, & pugnæ ſocium maxime ſtrenuum.*

Ἐκτένεια. Intentio. Aſſiduitas.

Ἐκτενῶς. Toto animo. Prompte. Polybius: *Achæus vero, cum prolixo animo ſingularique comitate Bolin excepiſſet, ſuper unaquaque re ſingillatim multa ex eo quæſivit.*

Ἑκτέον. Habendum, vel tenendum eſt.

Ἐκτετηκυῖα. Tabe confecta. *Cui præ fletu oculi contabuerant.*

Ἐκτετικότες. Qui perſolverunt. Qui reddiderunt.

Ἐκτετιναγμένων. Excuſſorum. [David:] *Filii excuſſorum.* Id eſt, valde miſeri. Vide in v. Υἱοὶ Θεοῦ.

Ἐκτετοξεῦσθαι. Exhauſtum eſſe. Evacuatum eſſe. Conſumptum eſſe. Per tranſlationem ductam ab illis, qui omnes ſagittas jaculando conſumpſerunt. Ariſtophanes *Pluto: Jam exiſtimans rem meam familiarem exhauſtam eſſe.*

Ἐκ τετρημένης κυλ. Ex perforato calice bibere. Dicitur de iis, qui fidem datam fallunt.

Ἑκτεύς. Sextarius. Eſt menſura, quam nonnulli eandem dicunt eſſe, quam Chœnicem. Ariſtophanes: *Sciſne igitur, te amiſiſſe ſextarium frumenti?*

Ἐκτείνω. Extendo.

Ἐκτειχίσαι. Murum exſtruere. Muro munire. *In opportuno loco urbem illam muro munire placuit.*

Ἑκτῆνες. Hectenes. Ita vocabantur Bœoti.

Ἐκτιθέναι τὰ βρ. Exponere infantes. Id eſt, eos feris devorandos objicere, vel etiam alio modo perdendos in deſertis exponere.

Ἑκτικός. Habitu aliquo præditus. Vel, habendi cupidus.

Ἑκτικῶς. More ejus, qui habet, vel retinet.

Ἐκτίλαι. Evulſiſſe. Avulſiſſe.

Ἐκτιλούμενοι. Familiares. Conſueti. Noti. [A κτίλος, aries.] Aries enim, dux gregis, paſtori ſuo notus eſt & familiaris.

Ἐκτιμᾶται. Dicitur de re, cujus pretium intenditur & augetur.

Ἐκ τιμημάτων. Ex cenſibus. Ex cenſu. Quatuor cenſus Athenis a Solone inſtituti fuerunt: Pentacoſiomedimnorum, Equitum, Zeugitarum, & Thetarum.

Ἔκτιμος. Expers honoris. Et ἐκτίμους. Expertes honoris. Inhonoros. [Sophocles:] *Inhonoras acutiſonorum luctuum habens alas.*

---

[1] Πολύβιος] Lib. VIII. cap. XVI.

[2] Ἐκτετηκυῖα τὰς ὁράσεις ὑπὸ τῶν δακρ.] Hæc ſunt verba Dionyſii Halicarn. de Volumnia, Marcii matre. lib. VIII. pag. 516. 13.

[3] Υἱοὶ τῶν ἐκτετιναγμένων. οἱ σφόδρα ταλαιπ.] Hæc Suidas ſumpſit ex Theodoreto ad Pſalm. CXXVI. pag. 921.

[4] Ἀριστοφάνης Πλούτῳ] Pag. 6. (4. Ed. Baſ. *P.*) ubi Scholiaſta: Ἐκτετοξεῦσθαι. πεπληρῶσθαι. ἀνηλῶσθαι. ἐκ μεταφορᾶς τῶν τοξευόντων, ὅταν τὴν φαρέτραν κενώσωσιν.

[5] Ἐκ τετρημένης] Sic recte 2 MSS. Pariſ. At priores Editt. mendoſe, ἐκ τετριμμένης.

[6] Ἀριστοφάνης] *Eccleſiaz.* pag. 739. (497. Ed. Baſ. *P.*)

[7] Ἐκτιλούμενοι] Portus recte monuit, ſcribendum eſſe ἐκτιλωμένοι, a κτιλόω. Vide Euſtath. ad Il. Γ. pag. 403.

[8] Τέσσαρα Ἀθήνησιν τιμήματα ὑπὸ Σόλ.] Vide Noſtrum infra v. Ἱππεῖς; itemque Nicephorum ad Syneſ. *de Inſomn.* pag. 400. & Petitum *de Leg. Attic.* pag. 126.

[9] Ἴσχουσα πτέρυγας ὀξυτ.] Fragmentum hoc legitur apud Sophoclem *Electra* pag. 93. ut Portus monuit.

Ἐκτίνων. δοτικῇ. ἀποδιδούς. Τῇ μητρὶ γῇ τὸ χρέος ἐκτίνων, τὸν ναυηγὸν θάπτει. καὶ ἐκτιννύων, ἀποδιδούς.

Ἐκτιναγμός. καὶ ἀναβρασμὸς μὲν γῆς, ὅταν καχλάζῃ μετὰ κινήματος· ἐκτιναγμὸς δὲ, ὅταν ἀναῤῥιπτῆται.

Ἐκτῖσαι. ἀποδοῦναι.

Ἔκτισε. κατέστησε. κατέταξεν.

Ἐκτίσει. ἀποδώσει. Ὁ δὲ καθ᾽ ἡμᾶς βασιλεὺς ἐκτίσει μοι δίκας ἐν δέοντι.

Ἐκ [1] πτυνῶν. ἐκ μικρᾶς ἡλικίας.

Ἐκτολυπεύσας. ἐργασάμενος. καὶ ἐκτολυπεῦσαι, πληρῶσαι. ἡ μεταφορὰ ἀπὸ τῆς τολύπης τοῦ κατειργασμένου ἐρίου.

Ἐκτομίας. εὐνοῦχος.

Ἔκτοπα. ξένα.

Ἐκτόπια. τὰ κεχωρισμένα. Ἐκτόπια πολισμάτια τῶν γραφομένων καὶ παραγγελλομένων.

Ἐκτοπίζω. πόῤῥω διάγω. Τὸν πολιτισμὸν ἐκτοπίζων ἐν Ἀκαδημίᾳ διέτριβεν.

Ἐκτόπιος. ἀπὸ ξένου τόπου. [2] Ἐκτόπιος συθείς. τουτέστιν, ὁρμήσας.

Ἐκτοπίσαι. μακρὰν καταστῆσαι. ἀεὶ διὰ τοῦ ι.

Ἐκτοπισμός. πόῤῥω διαγωγή. Οἱ δὲ φοβούμενοι τὸν εἰς Ἰταλίαν ἐκτοπισμὸν, ἐν ταῖς ὁδοιπορίαις διεδίδρασκον.

Ἔκτοπον. παρηλλαγμένον. βίαιον. μέγα. [3] Ἀριστοφάνης·

Ἔστι γὰρ δένδρον πεφυκὸς
Ἔκτοπόν τι, Καρδίας
Ἀπωτέρω, Κλεώνυμος·
Χρήσιμον μὲν οὐδέν· ἄλ-
λως δὲ δεινὸν, καὶ μέγα.
Τοῦτο μὲν ἦρος αἰεὶ
Βλαστάνει, καὶ συκοφαντεῖ.
Τοῦτο δὲ χειμῶνος πάλιν
Τὰς ἀσπίδας φυλλοῤῥοεῖ.

Δένδρῳ ἀπεικάζει τὸν Κλέωνα, ἢ ὡς μέγαν, ἢ ὡς ἀναίσθητον, παρὰ τὸ Ὁμηρικόν. Καρδία δὲ πόλις. καὶ Καρδιανοὶ, οἱ πολῖται. διὰ τὸ ἀκάρδιον δὲ τοῦτο φησίν.

Ἔκτοπος. παρηλλαγμένη. ἀφόρητος. Τοῖς δὲ Κελτοῖς παρέστη ἔκτοπος ἡλίκη πρὸς τὸ παράδοξον ὀργή. ἀντὶ τοῦ, μεγίστη ὅση.

‡ Conf. supr. v. Ἄρμαλος, p. 332.

‡ Ἐκτόπως. μεγάλως. ἀπρεπῶς. παρηλλαγμένως. ἀφορήτως.

‡. Suidas, supr. v. Ἄρκος Φ.

Ἄρκτος φιλεῖν ἄνθρωπον ἐκτόπως ηὔχει.

4 Procopius.

† [4] Εἶθ᾽ ὕστερον ἐρασθεῖσα αὐτοῦ ἐν παραβύστῳ.

Ἐκτόπως. ὑπερβαλλόντως. Πρὸς τὴν ἐπιπλοκὴν τῆς κόρης ἔχαιρεν ἐκτόπως.

Ἐκτίνων. Dativo jungitur. Perſolvens. Reddens. *Matri Telluri debitum perſolvens, naufragum ſepelit.* Et ἐκτιννύων, idem.

Ἐκτιναγμὸς [& ἀναβρασμὸς inter ſe differunt.] Ἀναβρασμὸς enim eſt, cum terra aquæ ebullientis inſtar exultat. Ἐκτιναγμὸς vero, cum eadem alte ſuccutitur.

Ἐκτῖσαι. Perſolviſſe. Reddidiſſe.

Ἔκτισε. Condidit. Conſtituit. Collocavit.

Ἐκτίσει. Perſolvet. Reddet. *Rex vero noſter pœnas mihi eo, quo decet, modo perſolvet.*

Ἐκ πτυνῶν. A pueritia. Ab infantia.

Ἐκτολυπεύσας. Qui elaboravit. Et ἐκτολυπεῦσαι. Elaborare. Perficere. Tranſlatio ducta eſt a glomo lanæ carminatæ.

Ἐκτομίας. Exſectus. Caſtratus. Eunuchus.

Ἔκτοπα. Peregrina. Inuſitata.

Ἐκτόπια. Peregrina. Remota. *Oppida remota a præceptis & mandatis* [*Regis.*]

Ἐκτοπίζω. Procul dego. [Longe ſubmoveo.] *Negotiis Reip. valere juſſis, in Academia commorabatur.*

Ἐκτόπιος. Qui ex peregrino loco venit. *Qui ex peregrino loco huc profectus eſt.*

Ἐκτοπίσαι. Longe ſubmovere. Longe amandare. Semper per ι ſcribitur.

Ἐκτοπισμός. Tranſlatio in ſedes peregrinas & remotas. *Illi vero metuentes fore, ut in Italia procul a patria ſedes ipſis aſſignarentur, in itinere fuga dilapſi ſunt.*

Ἔκτοπον. Inuſitatum. Novum. Violentum. Magnum. Ariſtophanes: *Stat enim arbor quædam inuſitatæ magnitudinis, procul ab urbe Cardia, nomine Cleonymus: inutilis quidem omnino; at denſa & ingens. Hæc vere ſemper germinat, & ficus producit: at hyeme rurſus clypeos ut folia amittit.* Arbori Cleonem aſſimilat, vel ut magnum; vel ut excordem & inſipientem, ſecundum Homerum. Cardia vero eſt urbs: cujus cives dicuntur Cardiani. Hoc autem ideo dicit, ut Cleonem tanquam excordem perſtringat.

Ἔκτοπος. Inuſitata. Intolerabilis. *Celtas vero maxima invaſit ira.*

Ἐκτόπως. Valde. Indecore. Præter morem. Supra modum. *Urſa gloriabatur, ſe hominem ſupra modum amare.* † *Poſtea clam & occulte ipſum amans.*

Ἐκτόπως. Supra modum. *Ob arctum complexum illius puellæ ſupra modum gaudebat.*

---

[1] Ἐκ πτυνῶν] Portus malebat ἐκ τυτθῶν; quod non diſplicet.

[2] Ἐκτόπιος συθείς] Ex Sophocl. *Oed. Colon.* pag. 275. ut Portus obſervavit.

[3] Ἀριστοφάνης] *Avibus* pag. 609. (423. Ed. Baſ. *P.*)

[4] Εἶθ᾽ ὕστερον ἐρασθεῖσα αὐτ.] Apud Procopium *Hiſtor. Arc.* cap 1. pag. 3. unde locum hunc deprompſit Suidas, legitur, εἶθ᾽ ὕστερον ἐρασθεῖσα αὐτοῦ ἐκτόπως. Sic etiam apud Suidam ſcribendum eſt. Nam vocis ἐκτόπως gratia fragmentum iſtud Procopii huc allatum eſſe manifeſtum eſt.

Ἐκτοπώτατον. ἐξεστραμμένον.

Ἐκτορμεῖν. τὸ ἐκ τοῦ καθήκοντος δρόμου ἐκβαίνειν.

Ἐκτὸς[1] ἰόντας. ἐξερχομένους.

Ἐκτὸς[2] πηλοῦ πόδας ἔχειν. ἐπὶ τῶν ἔξω κινδύνου καθεστώτων. [3] ὅμοιόν ἐστι καὶ τὸ, ἐπὶ ξυροῦ.

Ἐκ τοῦ γεύματος γινώσκω. ἐπὶ τῶν ἐκ μικροῦ πολλὰ καταλαμβανόντων.

Ἐκ τοῦ ἐπιπλεῖστον.

Ἐκ τοὔμπαλιν. ἐκ τοῦ ἐναντίου.

Ἐκ τοῦ παραχρῆμα. ἐκ τοῦ ταυτομάτου.

Ἐκ τοῦ παρείκοντος. ἐκ τοῦ ἐνδιδόντος. ἐκ τοῦ ἐπιτυγχάνοντος.

Ἐκ τῶν παρόντων. ἐκ τῶν φθασάντων γενέσθαι. Νικώμενοι οὖν, ἐκ τῶν παρόντων ἄκος αἰτοῦσι παρὰ τοῦ Θεοῦ, καὶ ἐρωτῶσι τὴν Πυθίαν.

Ἐκ τῶν παρόντων. ὡς ἐκ τῶν παρόντων. ἐκ τῶν ὑπαρχόντων, καὶ ἐνεστηκότων, καὶ εὐπορουμένων.

Ἕκτωρ. ὁ ἥρως. ἐχέτωρ τις ὤν. καὶ Ἑκτορίδης, ὁ υἱὸς τοῦ Ἕκτορος. καὶ ἐπὶ κλητικῆς, ὦ Ἕκτορ, διὰ τοῦ ο μικροῦ.

Ἐκτραορδιναρίους. Ῥωμαϊκὴ λέξις. δηλοῖ δὲ ἐπιλέκτους.

Ἐκτραγῳδῶ. αἰτιατικῇ.

Ἐκτραχηλίζω. καὶ ἐκτραχηλισθῶσι, τοὺς τραχήλους συγκλασθῶσι. Ἱππασίας μετὰ θορύβου γενομένης, πολλοὶ μὲν τῶν ἱππέων ἐκτραχηλισθῶσι, πλείους δὲ τῶν ἵππων ἐξαδυνατήσωσιν, οἱ μὲν, ὑποπνιγεῖς γενόμενοι, οἱ δὲ, ὑπέρπονοι.

Ἐκτριβήσεται.[4] διατρίψει ἐν τοῖς κακοῖς. ἢ ἀπολεῖται. ἡ μεταφορὰ ἀπὸ τῶν σμηχομένων ἀργυρῶν, ἢ χαλκῶν, ἢ ἄλλων τοιούτων σκευῶν, ἅπερ ἐν τῷ πλύνεσθαι σφόδρα τριβόμενα ἐλαττοῦται. [5] Σοφοκλῆς·

--- Σοῦ γὰρ οὐκ ἔστι βροτῶν
Κάκιον ὅστις ἐκτριβήσεταί ποτε.

Ἐκ τριχὸς κρέμαται. παροιμία ἐπὶ τῶν σφόδρα κινδυνευόντων.

Ἐκτρυπῆσαι.[6] ἐξελθεῖν μετὰ βίας.

Ἐκτρυχωθείς.[7] ἐκπιασθείς. ἐκφθαρείς.

Ἐκτυπώτερον. φανερώτερον.

Ἐκτοπώτατον. Valde inuſitatum, & a communi more abhorrens.

Ἐκτορμεῖν. Ex itinere vel curſu recto excedere.

Ἐκτὸς ἰόντας. Exeuntes. Egredientes.

Ἐκτὸς πηλοῦ π. *Extra lutum pedes habere.* Dicitur de iis, qui extra periculum conſtituti ſunt. Huic proverbio contrarium eſt illud, *In acie novaculæ.*

Ἐκ τοῦ γεύματος γινώσκω. Ex guſtu cognoſco. De iis dicitur, qui ex parva re multa deprehendunt.

Ἐκ τοῦ ἐπιπλεῖστον. Ex eo, quod plerumque fieri ſolet. Plerumque.

Ἐκ τοὔμπαλιν. E contrario.

Ἐκ τοῦ παραχρῆμα. Ex tempore. Repente.

Ἐκ τοῦ παρ. Pro re nata. Prout res quæque ſe primum offert.

Ἐκ τῶν παρ. Pro præſenti rerum ſtatu. Confeſtim. *Cum igitur vincerentur, confeſtim remedium a Deo petunt, & Pythiam interrogant.*

Ἐκ τῶν παρόντων. Pro præſenti rerum ſtatu. Pro facultatibus. Pro præſentibus facultatibus, & rerum copia.

Ἕκτωρ. Hector, Heros ita dictus, quaſi ἐχέτωρ. Et Ἑκτορίδης, Hectoris filius. In vocativo dicitur, Ἕκτορ, per ο parvum.

Ἐκτραορδιναρίους. Extraordinarios. Eſt vocabulum Romanum. Significat autem eos, qui reliquis extra ordinem adduntur.

Ἐκτραγῳδῶ. Accuſativo jungitur. Tragice aliquid narro.

Ἐκτραχηλίζω. Cervicem frango. Et ἐκτραχηλισθῶσι. Cervices frangant. *Ne, ſi equitatio cum tumultu fiat, multi equites cervices frangant. & equi plures viribus deficientibus langueant, alii quidem nimia curſus concitatione propemodum ſuffocati; alii vero, nimio labore confecti.*

Ἐκτριβήσεται. Atteretur. Conteretur. Perdetur. Tranſlatio ducta eſt ab argenteis, vel æreis, vel aliis hujuſmodi vaſis, quæ ſæpius mundata & eluta attenuantur & atteruntur. Sophocles: *Nemo enim eſt mortalium, qui pejus te peribit.*

Ἐκ τριχὸς κρ. E pilo pendet. Proverbium de iis, qui in ſummo periculo verſantur.

Ἐκτρυπῆσαι. Per vim ex aliquo loco exire.

Ἐκτρυχωθείς. Attritus. Malis confectus. Perditus.

Ἐκτυπώτερον. Expreſſius. Manifeſtius.

---

[1] Ἐκτὸς ἰόντας] Sic MSS. Pariſ. At priores Editt. minus recte, ἐκτὸς ἐόντας.

[2] Ἐκτὸς πηλοῦ πόδας ἔχ.] Huic proverbio ſimile eſt illud, Αἴρειν ἔξω πόδα πηλοῦ, quod legitur ſupra ſuo loco.

[3] Ὅμοιόν ἐστι καὶ τὸ, ἐπὶ ξ.] Senſum Suidæ hic non aſſequor. Si enim intelligit proverbium illud, ἐπὶ ξυροῦ ἀκμῆς; falſum eſt quod dicit. Tantum enim abeſt, ut proverbium hoc priori ſimile ſit, ut potius ſenſum illi contrarium habeat: ut Portus etiam monuit.

[4] Ἐκτριβήσεται. διατρίψει ἐν τοῖς κ.] Ex Scholiaſta Sophoclis ad *Oedip. Tyran.* pag. 170. ut Portus quoque monuit.

[5] Σοφοκλῆς] Loco in nota præcedente indicato.

[6] Ἐκτρυπῆσαι] Ariſtophanes *Eccleſiaz.* pag. 734.

Ἀλλ' ἐκτετρύπηκεν λαθοῦσά μ' ἔνδοθεν.

At ibi τὸ ἐκτρυπεῖν non ſignificat per vim exire, ut Suidas hic exponit; ſed potius, clam, & ita, ut alios fallas & lateas. Vide etiam infra v. Εἰστρυπᾶν.

[7] Ἐκτρυχωθείς] Sic pro ἐκτειχωθείς, ut præcedentes Editt. habent, ſcribendum eſſe, non ſolum ſenſus, ſed etiam ſeries literarum oſtendit.

Ἐκτυποῖ. ἐξομοιοῖ.

Ἐκκυβεύειν. ῥίπτειν ἑαυτὸν εἰς κίνδυνον. [1] Οἰσάμενος, κατὰ τὸν ποιητὴν, δόλον εἶναι, οὐδαμῶς ἔκρινεν ἐκκυβεύειν οὐδὲ παραβάλλεσθαι τοῖς ὅλοις· ἦγε δὲ τὴν ἡσυχίαν ἐπὶ τῷ χάρακι. Καὶ αὖθις· Ἔδοξε τοῖς Καρχηδονίοις ἐκκυβεύειν καὶ παραβάλλεσθαι. ἔστι δὲ καὶ παροιμία· Ἐρρίφθω κύβος.

Ἐκύει. ἐνεκυμόνει. ἐν γαστρὶ εἶχεν. Ὁ δὲ ἔκρυπτεν, καὶ ἐξειπεῖν τὴν ὠδῖνα, ἣν ἐκύει, οὐκ ἐτόλμα.

Ἐκύησεν. ἐγέννησε.

Ἐκύκα. ἐτάρασσεν.

Ἐκκυκλεῖ. [2] ἐκκαλύπτει. καὶ ἐκκυκλούμενος, ἐκκύκλημα ἔχων.

Ἐκυλινδεῖτο περὶ τῶν ποδῶν αὐτοῦ.

Ἔκυλος. εἶδος βοτάνης. ἄκυλος δὲ, πρίνου ὁ καρπός.

Ἐκκυμανθῆναι. ἐκ τοῦ κύματος τῷ λιμένι προσορμισθῆναι.

Ἑκυρά. ἡ πενθερά. καὶ ἑκυρὸς, ὁ πενθερός.

Ἐκύρουν. ἐτύγχανον. Βωμῷ θύων [3] ἐκύρουν. ἠκύρουν δὲ, ἀντὶ τοῦ ἀβέβαια ἐποίουν.

Polybius. Fr. Gram. 47. Vol. V. p. 85.

Ἐκφανεστάτας. πάνυ λαμπράς. Πολύβιος· Τὸ γὰρ μάλιστα λυποῦν ἀεὶ τῶν ἐν χερσὶν ὄντων, ἐκφανεστάτας ἔχει τὰς χαράς.

Ἐκφαντορία. ἐκφανῶς φανερῶσαι.

Ἐκφαυλίζων. εὐτελίζων.

Ἐκφέρεται. λέγεται. ἢ ἐκκομίζεται.

Ἐκφθαρείς. [4] ἐξελθών. οὕτω λέγεται τὸ ἐπὶ κακῷ ἐξελθεῖν. εἰσφθαρεὶς δὲ, τὸ ἐπὶ κακῷ εἰσελθεῖν που.

Ἐκφοράν. ταφήν. ἐκ τοῦ ἐπὶ μνήματος ἐκφέρεσθαι.

Ἔκφορος. Αἰσθάνομαι γινόμενος ὑπὸ τοῦ πάθους ἔκφορος. τουτέστι, παράφορος.

Ἐκφορούμενοι. ἐκκενούμενοι.

Ἐκφρησθέντων. [5] ἐκβληθέντων. [6] Ἐκφρησθέντων δὲ τῶν [7] Ἐπικούρων ἐκ τῆς πόλεως, τοὺς ἱερεῖς ἐκκαθῆραι τὰ ἱερά. † Οἱ δὲ περιχαρείας αὐτίκα ὑπεπλήσθησαν, τῷ μὴ ἐκφρησθῆναι ἐκφαυλισθέντα καὶ ἀτιμασθέντα ὑπὸ τοῦ Θεοῦ αὐτόν.

Ἐκφρόνως. ἀνοήτως.

Ἔκφρων. ἐξεστηκώς. παραπαίων. ἔξω φρενῶν. Ὁ δὲ ὑπὸ μέθης ἔκφρων γενόμενος.

Ἐκτυποῖ. Effingit. Aſſimilat. Format.

Ἐκκυβεύειν. Aleam jacere. Se in periculum conjicere. *Dolum, ut Poeta ait, ſubeſſe ratus, aleam jacere & periculum ſummæ rerum facere noluit, ſed ſuos intra caſtra continuit.* Et iterum: *Carthaginenſibus viſum eſt aleam jacere & belli fortunam tentare.* Eſt & proverbium: *Jacta ſit alea.*

Ἐκύει. Gravida erat. Prægnans erat. *Ille vero rem tegebat, & dolorem, quem pectore fovebat, eloqui non audebat.*

Ἐκύησεν. Peperit. Genuit.

Ἐκύκα. Miſcebat. Turbabat.

Ἐκκυκλεῖ. Oſtendit. Manifeſtum facit. Et ἐκκυκλούμενος, qui verſatione machinæ ligneæ ſpectatoribus in theatro oſtenditur.

Ἐκυλινδεῖτο περὶ τῶν π. *Ante pedes ejus volutabatur.*

Ἔκυλος. Ecylus. Genus herbæ. Ἄκυλος vero, fructus, ſive glans ilicis.

Ἐκκυμανθῆναι. Ex fluctibus ad portum appelli.

Ἑκυρά. Socrus. Et ἑκυρός. Socer.

Ἐκύρουν. Eram. *Ad altare immolabam.* Ἠκύρουν vero, irrita faciebam, reſcindebam.

Ἐκφανεστάτας. Illuſtriſſimas. Maxime inſignes. Polybius: *Quod enim in præſens nos maximo dolore afficit, illud [poſtea] inſignem nobis lætitiam afferre ſolet.*

Ἐκφαντορία. Rerum occultarũ manifeſtatio.

Ἐκφαυλίζων. Elevans. Parvi faciens. Contemnens.

Ἐκφέρεται. Dicitur. Vel, effertur.

Ἐκφθαρείς. Egreſſus. [Proprie ἐκφθαρῆναι] ſignificat, in aliquorum perniciem ex loco aliquo exire: ut εἰσφθαρῆναι, in aliquorum perniciem in locum aliquem intrare.

Ἐκφοράν. Sepulturam. [Proprie, elationem.] Mortui enim ad monumenta efferri ſolent.

Ἔκφορος. Qui tranſverſus rapitur. Impos animi. *Sentio me ab affectu tranſverſum abripi.*

Ἐκφορούμενοι. Qui efferuntur. Qui evacuantur.

Ἐκφρησθέντων. Ejectorum. Ejectis. *Epicureis ex urbe ejectis, ſacerdotes templa luſtrare jubebant.* † *Illi vero magno confeſtim gaudio repleti fuerunt, quod Deus cum contemptu & ignominia eum ex loco illo non ejeciſſet.*

Ἐκφρόνως. Stulte.

Ἔκφρων. Amens. Delirans. Inſanus. *Ille vero, cum ebrietas ſanam mentem ipſi ademiſſet* &c.

---

[1] Οἰσάμενος, κατὰ τὸν ποιητ.] Fragmentum hoc excerpſit Suidas ex Polyb. lib. III. cap. XCIV.

[2] Ἐκκυκλεῖ] Vide ſupra v. Ἐγκυκλήθητι.

[3] Ἐκύρουν] Apud Sophoclem *Oedip. Colon.* pag. 309. unde hæc deſcripſit Suidas, legitur ἔκυρον. Verba Tragici illius ſic habent:

———Προσπεσόντα πως
Βωμῷ καθῆσθαι τῷ Ποσειδῶνος, παρ' ᾧ
Θύων ἔκυρον.

Scholiaſta ad eum locum: Ἔκυρον. ἀντὶ τοῦ ἐκύρουν. ταυτὸν δὲ τῷ ἐτύγχανον.

[4] Ἐκφθαρείς. ἐξελθ.] Ex Scholiaſta Ariſtophanis ad *Pacem* pag. 629.

[5] Ἐκφρησθέντων] Confer Noſtrum infra v. Εἰσφρῆσαι.

[6] Ἐκφρησθέντων δὲ τῶν Ἐπικ.] Fragmentum hoc ex Æliano depromptum eſt, ut patet ex Suida infra v. Ἐπίκουρος. Ibi autem pro ἐκφρησθέντων legitur ἐκφορηθέντων.

[7] Ἐπικούρων] Scribe Ἐπικουρείων. Verba hæc enim de Epicureis intelligenda eſſe, diſcimus ex Suida infra v. Ἐπίκουρος, ubi locus integer Æliani, ex quo fragmentum hoc decerptum eſt, adducitur.

Ἔκφυλον. ἀλλόφυλον. ἀήθες. ξένον. ὀθνεῖον.

Ἔκφυλος. ξένος. παρηλλαγμένος. Αἰλιανός· Ἑκάτερος δι' ἁρπαγῆς τὴν κόρην ποιήσασθαι ἐμαίνοντο. πόλεμος οὖν ἔκφυλος ἐγένετο, καὶ ἐνακμάζει καὶ μάλα ἀδίκητος, οὐκ ἔχων οὔτε γενναίαν οὔτε εὐπρεπῆ τὴν ὑπόθεσιν.

Ἐκφυλλοφορεῖν.[1] οἱ ἀρχήν τινα ἄρξαντες, ἂν εὐθυνόμενοι ὑπὸ τῆς βουλῆς ἁλῶσιν, ἐν φύλλοις ἐλαίας τὰ ὀνόματα αὐτῶν ἔγραφον οἱ βουλευταὶ, καὶ καθιᾶσιν εἰς τοὺς ἐχίνους. ἅμα τε ἡ περὶ αὐτῶν πίστις προσενεγράφετο τοῖς φύλλοις.

Ἐκφυλλοφορῆσαι,[2] καὶ ἐκφυλλοφορία. εἴ ποτέ τις τῶν πολιτῶν ἀδικεῖν ἐδόκει, καὶ ἀνάξιος εἶναι τοῦ συνεδρίου τῶν Φ', ἐσκόπει ἡ βουλὴ περὶ αὐτοῦ, εἰ χρὴ αὐτὸν μηκέτι βουλεύειν, ἀλλ' ἐλαθῆναι ἐκ τοῦ συνεδρίου. ἀντὶ δὲ τῆς ψήφου φύλλοις ἐπεσήμαινε τὴν αὐτοῦ γνώμην ἕκαστος· ὥσπερ ὀστράκῳ ἐπὶ τοῦ ὀστρακισμοῦ. καὶ ἐλέγετο τοῦτο ἐκφυλλοφορῆσαι, καὶ ἐκφυλλοφορία. οὕτω Δημοσθένης ἐν τῷ κατὰ Νεαίρας.

Ἐκφῦναι. ἐκγεννηθῆναι.

Ἐκφύς. ἐκγεννηθείς.

Ἔκφυσιν. βλάστησιν, ἢ γονήν.

Ἐκφοιτᾷ. ἐξέρχεται.

Ἐκ χειρὸς βοηθεῖν τοῖς πράγμασι. Πολύβιος. ἀντὶ τοῦ μετὰ πάσης ἐπιμελείας. ἐπιτεταμένως. συντόνως.

Ἐκχοΐζω. τὸ σκάπτω.

Ἐλάα. ὁ καρπός. ἐλαία δὲ, τὸ δένδρον. ὅτι [3] τὴν ἐν τῷ δένδρῳ πεπανθεῖσαν ἐλάαν γεργέριμον ἔλεγον· παρ' ἡμῖν δὲ ῥυπάταν.

Ἐλάαν. ἐλαύνειν. καὶ ἐλάειν, ὁμοίως.

Ἐλαγοθήρει. ἐκυνηγέτει. λαγοὺς ἐθήρα.

Ἑλλάδιος,[4] Ἀλεξανδρεύς, γραμματικός, γεγονὼς κατὰ Θεοδόσιον τὸν βασιλέα τὸν νέον. Λέξεως παντοίας χρῆσιν κατὰ στοιχεῖον. Ἔκφρασιν Φιλοτιμίας. Διόνυσον, ἢ Μοῦσαν. Ἔκφρασιν τοῦ [5] λουτροῦ Κωνσταντιανῶν. Ἔπαινον Θεοδοσίου τοῦ βασιλέως.

Ἐλαΐδας. ἐλαίας δένδρα.

Ἐλαΐτη. πόλις.

Ἐλάκησε.[6] μέσον ἐσχίσθη. ἐλάκησε καὶ ἐκτύπησεν, ἀνεκροτάλησεν.

Ἐλάκκισε. λάκκους ὤρυξεν.

Ἐλακωμάνουν.[7] τῆς τῶν Λακώνων ἤρων πολιτείας. ἐμνήσθη δὲ αὐτῶν, διὰ τὸ ὑπερέχειν τότε τοὺς Λάκωνας τῷ πολέμῳ.

Ἔκφυλον. Peregrinum. Inſolitum. Externum. Alienum.

Ἔκφυλος. Peregrinus. Inuſitatus. Ælianus: *Uterque inſana puellam rapiendi cupiditate tenebatur. Bellum igitur ortum eſt inſolens, invaluitque prorſus præter expectationem, nullam habens honeſtam vel decoram cauſam.*

Ἐκφυλλοφορεῖν. [Aliquem Senatu vel ordine movere, latis per folia, calculorum vicem, ſuffragiis.] Qui magiſtratum aliquem geſſerant, ſi inſtituto examine [muneris male geſti] a Senatu convicti fuiſſent, Senatores nomina eorum in foliis oleæ ſcripta in echinos demittebant; argumentis & rationibus latæ ſententiæ ſimul adſcriptis.

Ἐκφυλλοφορῆσαι, & ἐκφυλλοφορία. Si quis civium aliquid contra jus & fas feciſſet, & Senatu quingentorum indignus eſſe videretur, Senatus judicabat, an ordine Senatorum movendus eſſet. Pro calculis autem foliis arborum utebantur, in quibus quiſque ſententiam ſuam ſcribebat: ut in oſtraciſmo teſtulis [ſuffragia inſcribere ſolebant.] Sic Demoſthenes in oratione contra Neæram.

Ἐκφῦναι. Enatum eſſe. Progenitum eſſe.

Ἐκφύς. Enatus. Progenitus.

Ἔκφυσιν. Germinationem. Generationem.

Ἐκφοιτᾷ. Exit. Erumpit.

Ἐκ χειρὸς βοηθ. Omni ſtudio & conatu enixiſque viribus Rempubl. juvare. Polybius.

Ἐκχοΐζω. Fodio.

Ἐλάα. Fructus olivæ. Ἐλαία vero, arbor oliva. Oleam in arbore ad maturitatem perductam γεργέριμον vocabant: quæ apud nos ῥυπάτα vulgo dicitur.

Ἐλάαν, & ἐλάειν. Idem quod ἐλαύνειν. Agere. Impellere.

Ἐλαγοθήρει. Lepores venabatur.

Ἑλλάδιος. Helladius, Alexandrinus, Grammaticus, qui ſub Theodoſio Imperatore juniore vixit. Scripſit ordine alphabetico de uſu omnis generis vocabulorum. Deſcriptionem ambitionis. Bacchum, ſive Muſam. Deſcriptionem balnei Conſtantiani. Laudes Imperatoris Theodoſii.

Ἐλαΐδας. Oleas arbores.

Ἐλαΐτη. Elaite. Urbs.

Ἐλάκησε. In medio diſruptus eſt. Et ἐλάκησε, crepuit, ſonuit.

Ἐλάκκισε. Foſſas fodit.

Ἐλακωμάνουν. Laconibus favebant, eorumque Remp. amabant. Eorum autem mentionem fecit, quod Lacones bello tunc ſuperiores eſſent.

---

[1] Ἐκφυλλοφορεῖν] Sic recte 2 MSS. Pariſ. At priores Editt, male, ἐκφυλλοχωρεῖν.

[2] Ἐκφυλλοφορῆσαι] Ex Harpocratione. Confer etiam Etymologum v. Ἐκφυλλοφορῆσαι, qui plura habet, quam Suidas.

[3] Τὴν ἐν τῷ δένδρῳ πεπανθ.] Vide ſupra v. Γεργέριμον.

[4] Ἑλλάδιος, Ἀλεξ.] Ab hoc Helladio diverſus eſt Helladius Beſantinous, auctor Chreſtomathiæ, ex qua Excerpta habentur apud Photium. Vide Meurſium in notis ad illa Excerpta.

[5] Τοῦ λουτροῦ] Scribe τῶν λουτρῶν, ut reſpondeat voci ſequenti Κωνσταντιανῶν.

[6] Ἐλάκησε. μέσον ἐσχ.] *Actor.* I. v. 18. de Juda dicitur: Καὶ πρηνὴς γενόμενος ἐλάκησε μέσος. Huc Suidas reſpexit.

[7] Ἐλακωμάνουν] Scribe ἐλακωνομάνουν, ut apud Ariſtophanem *Avibus* pag. 601. (416. Ed. Baſ. *P.*)

Ἐλακωνομάνουν πάντες ἄνθρωποι τότε.

Huc enim Suidas reſpexit.


Ἐλυμαῖοι. ἔθνος. ἀπὸ Ἐλύμου υἱοῦ Ἀγχίσου νόθου ὄντος, καὶ ἐλθόντος εἰς Σικελίαν.

Ἐλυμήνατο. ἔβλαψεν. Οἱ δὲ σύστημα γενόμενοι, ἐλυμαίνοντο πολλοῖς ὁδίταις, ἐμπίπτοντες εἰς τὰ καταλύματα.

Ἔλυμος. σπέρμα, ὃ ἕψοντες οἱ Λάκωνες ἐσθίουσιν.

Ἐλυσάμην. ἀπέδωκα.

Ἐλύσατο. ἐλυτρώσατο.

Ἐλύσθη. συνανεστράφη. ἐσύρθη. [5] Ῥυμὸς δ' ἐπὶ γαῖαν ἐλύσθη. παρὰ τὸ ἐλεύσθη, καὶ ἐλύσθη. ἢ παρὰ τὸ εἴλω, εἰλύω, εἰλύσθη· ὅ ἐστι συνανεστράφη. [6] Ἐγὼ δ' ὑπὸ γαστέρ' ἐλυσθείς.

Ἔλυτρον. κάλυμμα. ἐκπέτασμα. [7] ἐνείλημμα ὁμοίως. καὶ ἡ θήκη τοῦ δόρατος. σημαίνει δὲ καὶ τὸ τοῦ ὀστρέου ὄστρακον.

Ἐμαλάκισε. μαλακὸν ἐποίησε.

Ἐμάλθαξαν. Ἐν δὲ τῷ πρανεῖ καὶ ὀλισθηρῷ τόπῳ ξύλα σταυροῦντες τῇ καταβάσει, καὶ τὸ μέσον ἄλλοις ἐγκαρσίοις στεριφοποιοῦντες, καὶ φορμοὺς ἐπιβα-

pectant, in quibus nihil eſt firmi, nec certi, idcirco ſpes illorum perit; quippe qui voluptatibus tanquam rebus permanentibus fruuntur.

Ἐλπωρή. Idem quod ἐλπίς. Spes.

Ἑλσεμών. Helſemon.

Ἐλοιδόρησε. Conviciis inſectatus eſt. Calumniis petiit. Criminatus eſt. Ælianus: *Cleander autem Præfectum Ægypti Comico more conviciis proſcidit, eumque, licet nihil peccaſſet, præfectura exuit.*

Ἐλοιδορούμεθα. Conviciis mutuis nos inſectabamur. Vel, inter nos diſſidebamus, adeo ut præ ſtudio contentionis ne conviciis quidē temperaremus. Ariſtophanes *Nubibus*: *De nomine illi imponendo ad convicia uſque altercati ſumus.* Agathias: *Omnes autem Narſetem conviciis inceſſebant, arrogantem & impium eum appellantes, & re quidem ipſa violentum & ſanguinarium eſſe dicentes, pietatem vero & divini numinis cultum falſo eum jactitare.*

Ἔλοιτο. Velit.

Ἐλύγωσεν. Flexit. *Et Danaes mentem aurum flexit.*

Ἔλυμα. Tegumentum. Tegmen.

Ἐλυμαῖοι. Elymæi. Gens, [ſic dicta ab] Elymo, notho Anchiſæ filio, qui in Siciliam venit.

Ἐλυμήνατο. Læſit. Nocuit. *Illi vero cœtu facto, cum in diverſoria incidiſſent, multos viatores damno affecerunt.*

Ἔλυμος. Semen, vel legumen, quod coctum Lacones edunt.

Ἐλυσάμην. Reddidi. [Liberavi. Redemi.]

Ἐλύσατο. Redemit.

Ἐλύσθη. Convolutus eſt. Contortus eſt. Raptatus eſt. *Temo autem per terram raptatus eſt.* Ab ἐλεύσθη: [pro quo eliſo ε dicitur] ἐλύσθη. Vel ab εἴλω, εἰλύω, εἰλύσθη. Id eſt, convolutus eſt. *Ego vero ſub ventre [arietis] raptatus.*

Ἔλυτρον. Putamen. Integumentum. Involucrum. Item theca haſtæ. Significat etiam teſtam oſtrei.

Ἐμαλάκισε. Mollivit. Molle reddidit.

Ἐμάλθαξαν. Molliverunt. *In præcipiti autem & lubrico loco, cum, qua deſcendendum erat, vallos [utrinque] defixiſſent, & medium ſpatiū aliis vallis tranſverſis munivissent, faſciculoſ-*

---

[1] Ὕπατον] Placet conjectura amiciſſimi Maſſonii, qui pro ὕπατον hic legendum eſſe ὕπαρχον mihi ſuggeſſit. Qui enim ſub Imperatoribus Ægyptum regebant, non erant Conſules, ſed equeſtris tantum ordinis, ut ex Dione & Tacito conſtat. Præterea, Heliodorus, qui M. Aurelio imperante Ægypti Præfectus erat, ὕπαρχος appellatur ab Ariſtide *Serm. Sacr.* IV. Tom. I. pag. 602. ut modo laudatus vir doctiſſimus itidem me monuit.

[2] Κωμῳδῶν] Sic habent MSS. At priores Editt. κωμῳδῶς: quod mendoſum eſt. Si enim adverbio uti voluiſſet Ælianus, κωμικῶς utique dixiſſet, non vero κωμῳδῶς; quippe quæ vox apud nullum ſcriptorem Græcum reperitur. Cæterum, locus hic alia medicina indigere videtur modo laudato Joanni Maſſonio, quippe qui exiſtimat, excidiſſe hic voculam παρά, & pro κωμῳδῶς ſcribendum eſſe Κωμόδῳ, totumque hunc locum ſic vertendum: *Cleander autem Ægypti Præfectum conviciis apud Commodum proſcidit, eumque, licet nihil peccaſſet, Præfectura exuit.* Sane cum Cleander magna apud Commodum gratia floruerit, & potentia ſua ad eorum, quos odio proſequebatur, perniciem abuſus ſæpe fuerit, ut ex hiſtoriæ Romanæ ſcriptoribus conſtat, conjecturam iſtam ut ingenioſam mihi placere fateor.

[3] Ἀριστοφάνης Νεφέλαις] Pag. 126. (62. Ed. Baſ. P.) ubi verſus integer ſic legitur:

Περὶ τοὐνόματος δὴ ταῦτ' ἐλοιδορούμεσθα.

[4] Ἀγαθίας] Lib. 1. pag. 24.

[5] Ῥυμὸς δ' ἐπὶ γαῖαν ἐλ.] Homer. Il. Ψ. v. 393.

[6] Ἐγὼ δ' ὑπὸ γαστέρ' ἐλ.] Et hæc ſunt verba Homeri Odyſſ. I. v. 433.

[7] Ἐνείλημμα] Sic etiam MSS. At ſcribendum potius eſt ἐνείλημα, per unum μ, ut Portus etiam monuit. Cæterum, in prioribus Editt. vox hæc, quaſi novi articuli initium eſſet, a præcedentibus divulſa, & a capite excuſa eſt; quod non ſolum auctoritati MStorum, ſed etiam ordini literarum repugnat.

λόντες ὕλης, ἐμάλθαξαν τὸ πάνυ πρανές τε καὶ ὀλισθηρόν. τουτέστι, κατεπραΰναν, καθωμάλισαν.

Ἐμμαπέως. σπουδαίως.

Ἐμασχαλίσθη. [1] ἔθος [2] ἦν τοῖς ἀρχαίοις, ὁπότε φονεύσειαν ἐξ ἐπιβουλῆς τινα, τὸ ἔργον ἀφοσιουμένοις ἀκρωτηριάζειν τὸν νεκρὸν, καὶ τὰ μόρια ὁρμαθὸν ποιήσαντας, κρημνάναι κατὰ τοῦ τραχήλου, [3] κατὰ τῶν μασχαλῶν διείροντας. ἀφ' οὗ δὴ καὶ [4] μασχαλίσματα προσηγόρευσαν αὐτά. Σοφοκλῆς ἐν Τρωΐλῳ, πλήρη μασχαλισμάτων εἴρηκε τὸν μασχαλισμόν. καὶ ἐν Ἠλέκτρᾳ, ἐμασχαλίσθη.

Ἐμματάζων. ματαιολογῶν.

Ἐματαίασε. μάταια ἐλάλησεν.

Ἐμάτησεν. ἠμέλησεν. ἐματαιοπόνησεν.

Ἐμαυτῷ [5] βαλανεύσω. οἱονεὶ, ἐμαυτῷ διακονήσω. εἴρηται δὲ, ὅταν ὁ βαλανεὺς ἑαυτῷ λαμβάνῃ τὴν [6] ῥυταίνην, καὶ διακονῇ. ἢ ἀπὸ τῶν τὰς βαλάνους ἐγκρυπτόντων εἰς πῦρ.

Ἐμβαδόν. [7] διὰ τοῦ εἰς ναῦν ἐμβῆναι. καὶ αὖθις. ἢ [8] τὸ ἐμβαδὸν ὑπονοοῦντες εἶναι κρυπτήρια, ἔστρεφον τοὺς οἴκους.

Ἐμβαλεῖς. εἰσελεύσῃ. [9] ἰδίως δὲ ἐμβαλεῖν, τὸ ταῖς ναυσὶ κροῦσαι, ἢ ταῖς κώπαις. [10] Ῥυππαπαί· τίς ἐμβαλεῖ; ἔστι δὲ καὶ τὸ ῥυππαπαὶ μίμημα ψόφου ναυτικοῦ, ὑπὸ τῶν κωπῶν ἀποτελουμένου.

Ἐμβαλόντα. Ὁ δὲ [11] παῖς ὢν ἔτι, τὸν διδάσκαλον Λίνον πληγὰς αὐτῷ ἐμβαλόντα ἐν τῇ διδασκαλίᾳ, δυσαναχετήσας, καὶ οὐκ ἐθέλων ἄρχεσθαι, λίθῳ βαλὼν ἀπέκτεινεν.

Ἐμβάλλουσι. καταντῶσιν. ἀπέρχονται. Ἐμβάλλουσι δὲ, ὁ μὲν βασιλεὺς ἐς Λυδίαν, ὁ δὲ Προκόπιος ἐς Φρυγίαν τὴν ἄνω.

Ἔμβαρός [12] εἰμι. νουνεχής. φρόνιμος. Ἦν πρότερον ὁ Πειραιεὺς νῆσος (ὅθεν καὶ τοὔνομα εἴληφεν, ἀπὸ τοῦ διαπερᾶν) οὗ τὰ ἄκρα Μούνιχος κατασχὼν, Μουνυχίας Ἀρτέμιδος ἱερὸν ἱδρύσατο. [13] ἄρκτου δὲ γενομένης ἐν αὐτῷ, καὶ ὑπὸ τῶν Ἀθηναίων ἀναιρεθείσης, λιμὸς ἐπεγένετο· οὗ τὴν ἀπαλλαγὴν ὁ Θεὸς ἔχρησεν, ἄν τις τὴν θυγατέρα θύσῃ τῇ Θεῷ. Ἔμ-

que lignorum ei injeciſſent, deſcenſum molliorem & minus lubricum effecerunt.

Ἐμμαπέως. Studioſe. Prompte.

Ἐμασχαλίσθη. Mos erat antiquis, ut, cum per inſidias aliquem interfeciſſent, facinoris illius expiandi gratia, extremas cadaveris partes amputarent, eaſque in lineam digeſtas ex collo & axillis ſuſpenderent. Hinc etiam ab axillis, quas Græci μασχάλας vocant, amputatæ illæ cadaveris partes dictæ fuerunt μασχαλίσματα. Sophocles in *Troilo* dixit, πλήρη μασχαλισμάτων τὸν μασχαλισμόν. Idem in *Electra*, ἐμασχαλίσθη inquit.

Ἐμματάζων. Stulta & vana loquens.

Ἐματαίασε. Stulte loquutus eſt.

Ἐμάτησεν. Neglexit. Fruſtra laboravit.

Ἐμαυτῷ βαλανεύσω. Mihi ipſe balneator ero. Id eſt, mihi ipſe miniſtrabo. Ductum eſt [proverbium hoc] a balneatore, qui ſumpta arytæna ipſe ſibi miniſtrat. Vel ab illis, qui glandes in igne occultant.

Ἐμβαδόν. Dicitur de eo, qui in navem intrat. * * * *

Ἐμβαλεῖς. Intrabis. Proprie autem ἐμβαλεῖν ſignificat, remis aquam pulſare vel verberare. [Ariſtophanes:] *Rhyppapæ, quis remis aquam verberabit?* Eſt autem ῥυππαπαὶ imitatio ſtrepitus nautici, quem remi edunt.

Ἐμβαλόντα. Illum, qui injecit, vel inflixit. *Ille vero puer adhuc, plagas a magiſtro Lino inter docendum ſibi inflictas iniquo animo ferens, nec parere illi volens, eum lapide percuſſum interfecit.*

Ἐμβάλλουσι. Perveniunt. Abeunt. Intrant. *Intrant autem, Rex quidem Lydiam; Procopius vero Phrygiam ſuperiorem.*

Ἔμβαρός εἰμι. Embarus ſum. Id eſt, cordatus & prudens. Olim Piræeus inſula fuit (unde etiam nomen accepit a verbo διαπερᾶν, i. e. trajicere;) cujus arcem Munychus tenuit, & Dianæ Munychiæ templum illic exſtruxit. Cum autem Athenienſes urſam ibi repertam interfeciſſent, fames conſecuta eſt: quam ceſſaturam eſſe Deus reſpondit, βαρος δὲ μόνος ὑποσχόμενος ἐπὶ τῷ τὴν ἱερωσύνην αὐτοῦ τὸ γένος διὰ βίου ἔχειν, διακοσμήσας αὐτοῦ τὴν θυγατέρα, [1] αὐτὴν μὲν ἀπέκρυψεν ἐν [2] τῷ αὐτῷ, αἶγα δὲ ἐσθῆτι κοσμήσας ὡς τὴν θυγατέρα, ἔθυσεν. ὅθεν καὶ εἰς παροιμίαν περιέστη. τάττεται δὲ ἐπὶ τῶν παραπαιόντων καὶ μεμηνότων.

---

[1] Ἐμασχαλίσθη. ἔθος ἦν τοῖς ἀρ.] Articulus hic in prioribus Editt. capite ſuo truncatus eſt, & male cohæret cum voce præcedente Ἐμμαπέως, ad quam nullo modo pertinet. Nos igitur voce ἐμασχαλίσθη, quæ culpa librariorum omiſſa erat, ex MSS. revocata, locum hunc integritati ſuæ reſtituimus, & a præcedentibus ſeparavimus.

[2] Ἔθος ἦν τοῖς ἀρχ.] Solebant veteres iis, quos e medio ſuſtuliſſent, extremitates corporis, puta manus, pedes, aures, nares, &c. amputare, & e collo appendere, ut hoc pacto manes cæſorum impedirent, quo minus ſe perſequerentur & infeſtarent. De hoc more, (quem μασχαλισμὸν Græci dixere) viri docti abunde. Vide præter alios Meurſium ad Lycophron. v. 1225. & Stanlejum ad Æſchyli *Choeph.* v. 437. Confer etiam Noſtrum infra v. Μασχαλισθῆναι, & v. Μασχαλίσματα.

[3] Κατὰ τῶν μασχ.] Lege καὶ τῶν μασχαλῶν.

[4] Μασχαλίσματα] Huc pertinent illa Heſychii: Τομία, τὰ ἀποτμήματα καὶ ἀκρωτηριάσματα τοῦ νεκροῦ. Intelligit enim τὰ μασχαλίσματα.

[5] Ἐμαυτῷ βαλανεύσω. οἱονεὶ, ἐμαυτῷ διακ.] Eadem habent Heſychius & Zenobius.

[6] Ῥυταίνην] Portus hic fluctus, ut ajunt, in ſimpulo movet, & poſtquam multa attulit ad rem nihil facientia, ſtatuit tandem ſcribendum eſſe ἀρύταιναν, nulla Heſychii facta mentione, apud quem recte ſic legitur. Quid ſit autem arytæna (nam & Latini voce illa uſi fuerunt) docet Caſaubonus ad *Charact.* Theophr. pag. 225, quem confer.

[7] Διὰ τοῦ εἰς ν.] Lege, ἐπὶ τοῦ εἰς ναῦν &c. quam lectionem in verſione expreſſi.

[8] Ἢ τὸ ἐμβαδὸν ὑπον.] Senſus hujus fragmenti omnino eſt incertus & obſcurus, cujus proinde verſionem conſulto prætermiſi.

[9] Ἰδίως δὲ ἐμβαλεῖν, τὸ ταῖς ναυσὶ κρ.] Ex Scholiaſta Ariſtophanis ad *Equit.* pag. 324. (223. Ed. Baſ. *P.*)

[10] Ῥυππαπαί· τίς ἐμβαλεῖ;] Hæc ſunt verba Ariſtophanis loco laudato: ſed ubi pro ῥυππαπαὶ legitur ἱππαπαί, quam vocem Comicus, de equitibus ibi loquens, lepide finxit, ad imitationem τοῦ ῥυππαπαί, quod erat celeuſma nauticum, ut interpretes ibi notant.

[11] Ὁ δὲ παῖς ὢν ἔτι, τὸν διδάσκ.] Fragmentum hoc intelligendum eſt de Hercule, quippe cujus magiſter erat Linus, ut ex veteribus ſcriptoribus conſtat. Pauſanias in *Bœoticis* pag. 585. Λέγεται δὲ καὶ ἄλλα τοιάδε ὑπὸ Θηβαίων.——καὶ ὡς Ἡρακλῆς ἔτι παῖς ὢν ἀπέκτεινεν αὐτὸν (de Lino ibi loquitur) διδάσκαλον μουσικῆς ὄντα.

[12] Ἔμβαρός εἰμι. νουνεχ.] Heſychius in ſerie ſua: Οὐκ ἐμβαρεῖ. οὐ φρονεῖ. Lege, οὐκ Ἔμβαρος εἶ. οὐ φρονεῖς.

[13] Ἄρκτου δὲ γενομένης ἐν αὐτῷ, καὶ ὑπὸ τῶν Ἀθ.] Hæc, & quæ ſequuntur, αὐτολεξεὶ quoque leguntur apud Euſtathium ad Il. B. pag. 351. qui tamen ſua non ex Suida, ſed ex Pauſaniæ Lexico, ut ipſe teſtatur, deſcripſit. Hinc ergo & Noſter forſan ſua mutuatus eſt.

Ἐμβάς. τὰ ὑποδήματα τὰ ἀνδρεῖα. παρὰ τὸ ἐμβαίνειν. [3] Ἀριστοφάνης Πλούτῳ·

—— Ἐκτυπεῖτο δὲ
Ἐμβὰς γερόντων εὐρύθμοις προβήμασιν.

ἀντὶ τοῦ πηδήμασιν.

Ἐμβατεύων. ἐπιβαίνων. καὶ ἐμβατεύσαντες, εἰσελθόντες. Οἱ δὲ Οὖννοι ἐς τὴν προκειμένην νησίδα τῆς πόλεως ἐμβατεύσαντες, τῶν βοσκημάτων περιττῶν διὰ τὸν πόλεμον, φρουρᾶς ἕνεκα, ἐς αὐτὴν διακομισθέντων.

Ἐμβαίη. κατέλθῃ.

4. Polybius. Fragm.. Histor. 57.
Vol. V. p. 70.

Ἔμβαινε. καὶ ἐμβαίνειν. ἀρχὴν λαμβάνειν. τὸ δοκεῖν δικαίως ἐμβαίνειν εἰς τὸν πόλεμον. [4] Οἱ γὰρ Ῥωμαῖοι πρόνοιαν ἐποιοῦντο τοῦ μηδέποτε πρότεροι τὰς χεῖρας ἐπιβάλλειν τοῖς πέλας, μηδ' ἄρχοντες φαίνεσθαι χειρῶν ἀδίκων, ἀλλ' ἀεὶ δοκεῖν ἀμυνόμενοι ἐμβαίνειν εἰς τοὺς πολέμους. ἢ συμβαίνειν, τὸ συμπλέκεσθαι.

Ἐμβαίνοντες. ἐπιβαίνοντες. [5] Οἱ δὲ Ἀράβιοι ἀρετῇ πολὺ τῶν ἄλλων διαφέρουσιν· οἳ βέλεσιν ἀνδρομήκεσι χρώμενοι, ἀντὶ τῶν χειρῶν τῷ ποδὶ ἐμβαίνοντες εἰς τὴν νευρὰν, κυκλοῦσι τὸ τόξον.

Ἐμβεβλημένα. [6] ἐγκεκεντρισμένα. [7] Ἀριστοφάνης δὲ καὶ ἐμβολάδας ἀπίους τὰς τοιαύτας λέγει.

Ἐμβεβροντημένος. μάταιος γενόμενος.

Ἐμβελές. [8] Ὁ δὲ Ἀρχιμήδης παρεσκευάσατο ὄργανα πρὸς ἅπαν ἐμβελὲς διάστημα, πόῤῥωθεν μὲν ἐπιπλέοντας τοῖς εὐτονωτέροις καὶ μείζοσιν· ὅτε δὲ ταῦθ' ὑπερπετῆ γίγνοιντο, τοῖς ἐλάττοσιν.

Ἔμβιον. [9] Ἀντιφῶν, τὸ ζῶν, καὶ μὴ ξηρανθὲν, μηδὲ ἐναποθανόν. Ἔμβιόν τι ψυχῆς πάθος ἐνέσταξέ μοι κομίσασα.

Ἔμβολα. μοχλοί. ἀσφάλειαι. Ἔμβολά τε νηῶν γενόμενοι οὐδὲν ὤνησαν οἱ ἀνδριάντες. ἐν Ἐπιγράμματι·

Ἔμβολα [10] χαλκογένεια, φιλόπλοα τείχεα νηῶν,
Ἀκτιακοῦ πολέμου κείμεθα μαρτύρια.

Ἀριστοφάνης· Ἔμβολον δέ φασι χρημάτων ἔχειν αὐτόν.

ſi quis filiam Deæ immolaſſet. Cum igitur ſolus Embarus ſe hoc facturum pollicitus eſſet, ea lege, ut ipſe, dum viveret, familiaque ſua ſacerdotio ſemper fungeretur, ipſam quidẽ filiam ſuam exornatam in adyto templi abſcondidit; capram vero iiſdem, quibus filiam, veſtibus indutam, immolavit. Dicitur etiam proverbium hoc de hominibus deliris & inſanis.

Ἐμβάς. Calceamenta virilia: ſic dicta a verbo ἐμβαίνειν, i. e. ingredi. Ariſtophanes *Pluto: Solea vero ſenum motis ad numeros pedibus ſonabat.* Id eſt, ſaltibus.

Ἐμβατεύων. Intrans. Et ἐμβατεύσαντες, intrantes. *Hunni vero in inſulam urbi oppoſitam ingreſſi ſunt, quod ſupervacanea pecora propter bellum cuſtodiæ cauſa in eam tranſportata eſſent.*

Ἐμβαίη. Intrarit. Deſcenderit.

Ἔμβαινε. Intra. Et ἐμβαίνειν, inire, incipere, vel ſuſcipere. Ut, δικαίως ἐμβ. Juſte ſuſcipere bellum. *Romani enim omni diligentia providebant, ne ipſi priores bellis vicinos appetere, neve ultro injuriam eis inferre, ſed potius vim illatam repellere, & neceſſitate adducti bella ſuſcipere viderentur.* Vel ἐμβαίνειν ſignificat, congredi, & manus conſerere.

Ἐμβαίνοντες. Ineuntes. Intrantes. *Arabes cæteris virtute longe præſtant; qui ſagittis longitudine virum æquantibus utentes, arcum intendunt, non manibus, ſed pedibus nervo admotis.*

Ἐμβεβλημένα. Inſerta. Inſita. Ariſtoteles etiam piros inſitivas ἐμβολάδας vocat.

Ἐμβεβροντημένος. Attonitus. Stupefactus.

Ἐμβελές. Spatium, quod eſt intra teli jactum. *Archimedes vero tormenta, quibus ad quodvis intervallum tela mitterentur, paravit; intentioribus quidem & majoribus procul invadentes Romanos vulnerans: minoribus vero utens, cum tela hoſtes tranſvolarent.*

Ἔμβιον. Apud Antiphontem ſignificat, vivum, nec arefactum, nec emortuum. *Vividum quendam affectum mihi inſtillavit.*

Ἔμβολα. Vectes. Firmamenta. Roſtra. *Et roſtra navium ex ſtatuis facta nihil ipſis profuerunt.* In Epigrammate: *Roſtra ærea, & navigationis amantia mœnia navium, hic Actiaci belli teſtimonia jacemus.* Ariſtophanes: *Ipſum autem ajunt habere pecuniæ robur.*

---

[1] Αὐτὴν μὲν ἀπέκρυψεν —— ὡς τὴν θυγατέρα] Hæc omnia culpa librariorum in præcedentibus Editt. omiſſa ſunt, quæ ex 2 MSS. Pariſ. revocavi. Quod ſi codices MSS. mihi defuiſſent, potuiſſem lacunam hanc nihilo ſecius ſupplere ex Euſtathio, apud quem eadem leguntur.

[2] Ἐν τῷ αὐτῷ] Scribe ἐν τῷ ἀδύτῳ, ut recte habet Euſtathius loco laudato.

[3] Ἀριστοφάνης Πλούτῳ] Pag. 77. (39. Ed. Baſ. P.)

[4] Οἱ γὰρ Ῥωμαῖοι πρόνοιαν ἐπ.] Fragmentum hoc Polybio tribuunt Urſinus, Caſaubonus, & Valeſius. Confer etiam Noſtrum ſupra v. Ἀμυνόμενοι, v. Ἀναιρούμενοι & v. Πέλας.

[5] Οἱ δὲ Ἀράβιοι ἀρετῇ π.] Idem fragmentum legitur ſupra v. Ἄραβες.

[6] Ἐμβεβλημένα. ἐγκεκεντρ.] Ex Harpocratione.

[7] Ἀριστοφάνης] Scribe Ἀριστοτέλης, ut habet Harpocratio.

[8] Ὁ δὲ Ἀρχιμήδης παρεσκ.] Locus hic ſupplendus eſt ex Polyb. lib. VIII. cap. VI. ubi ſic legitur: Ὁ δὲ προειρημένος ἀνὴρ, (loquitur autem de Archimede) παρεσκευασμένος ὄργανα πρὸς ἅπαν ἐμβελὲς διάστημα, πόῤῥωθεν μὲν ἐπιπλέοντας τοῖς εὐτονωτέροις καὶ μείζοσι λιθοβόλοις καὶ βέλεσι τιτρώσκων, εἰς ἀπορίαν ἐνέβαλε καὶ δυσχρηστίαν. ὅτε δὲ ταῦθ' ὑπερπετῆ γίγνοιτο, τοῖς ἐλάττοσι κατὰ λόγον ἀεὶ πρὸς τὸ παρὸν ἀπόστημα χρώμενος, &c. Id eſt, interprete Caſaubono: *Verum Archimedes, de quo ante diximus, tormentis ad quodvis intervallum mittendi tela præparatis, intentioribus quidem & majoribus quæ balliſtis quæ catapultis procul invadentes Romanos vulnerans, eo difficultatum agebat, ut, quo ſe verterent, neſcirent. Ubi vero hæc tormenta ultra hoſtem tela mittere cœperunt, minoribus pro ratione præſentis intervalli ſubinde utens,* &c.

[9] Ἔμβιον] Confer Harpocrationem v. Ἔμβιος: cujus veſtigia Suidas hic ſecutus eſt.

[10] Ἔμβολα χαλκογ.] Diſtichum hoc eſt pars Epigrammatis, quod integrum legitur Anthol. lib. VI. cap. XXV. Epigr. penult.

Ἐμβολάδας. ἤτοι ἐγκεκεντρισμένας. [1] Ἀριστοφάνης, ἐμβολάδας ἀπίους.

Ἐμβολάς. ὁρμάς. ἐπιδρομάς.

Ἐμβολή. [2] τὸ ἄκρον τοῦ κριοῦ τοῦ μηχανικοῦ ὀργάνου. Τῷ [3] ἐπιφερομένῳ ἄχθει ἀποκαυλίζειν τὸ προέχον τῆς ἐμβολῆς.

Ἐμβολήν. [4] κλεισοῦραν. εἴσοδον. πληθύν. ὁρμήν. Καὶ τὸ βίαιον τῆς ἐμβολῆς ἐδόκει παραλογώτερον.

Ἐμβόλιμος. ἀτελής. Ἱπποκράτης· Παῖδες ἐμβόλιμοί τινες.

Ἔμβολος. χάλκωμα [5] πεπυρωμένον, περιτιθέμενον κατὰ πρῶραν ταῖς ναυσίν.

Ἔμβολον. παρατάξεως ὄνομα. ἔστι δὲ τὸ ἥμισυ τοῦ ῥόμβου. ὀνομάζεται δὲ καὶ [6] σφενδονοειδές. ῥομβώδης δὲ παράταξις. καὶ τῆς νηὸς τὸ πολεμικὸν σιδήρειον. † Τὸν δὲ παρακαλοῦντα πρὸς τὸν πόλεμον στρατηγὸν κατασπάσας [7] ἀπὸ τῶν ἐμβόλων, ἐποιεῖτο τοὺς λόγους. † Ἔμβολον δὲ καλεῖται, ὅταν ἡ ἀμφίστομος διφαλαγγία τὰ μὲν ἡγούμενα κέρατα ἀλλήλοις συνάψῃ· τὰ δὲ ἑπόμενα διαστήσῃ. [8] Ἀγαθίας δέ φησιν· Ἦν δὲ αὐτοῖς ἡ ἰδέα τῆς παρατάξεως οἷον εἰς ἔμβολον. δελτωτῷ γὰρ ἐῴκει, καὶ τὸ μὲν ἐμπρόσθιον ὅσον ἐς ὀξὺ ἔληγε, στεγανόν τε ἦν καὶ πεπυκνωμένον τῷ πάντοθεν ταῖς ἀσπίσι περιπεφράχθαι. Φαίης τε ἂν αὐτοὺς συὸς κεφαλὴν τῇ συνθέσει ἀποτυπώσασθαι. τὰ δὲ σκέλη ἑκατέρωθεν κατὰ στίχους τε καὶ λόχους ἐς βάθος ξυγκείμενα, καὶ ἐπὶ πλεῖστον εἰς τὸ ἐγκάρσιον παρατεταμένα, διΐσταντο ἀλλήλων ἠρέμα καὶ διεκέκειντο, καὶ προϊόντα ἐς μέγιστον εὖρος ἀπετελεύτα, ὡς καὶ τὸ μεταξὺ χωρίον κενὸν καθεστάναι, καὶ τὰ νῶτα γυμνὰ τῶν ἀνδρῶν στοιχηδὸν διαφαίνεσθαι. ἀπεστραμμένοι γὰρ σφᾶς αὐτοὺς ἐτύγχανον, ὅπως τοῖς μὲν πολεμίοις ἀντιπρόσωποι εἶεν, καὶ ἐκ τοῦ ἀσφαλοῦς ἀγωνίζοιντο, ἀσπίδας προβεβλημένοι· τὰ δὲ ὀπίσθια διὰ τὸ ἀλλήλοις ἀντιτετάχθαι διαφυλάττοιντο.

Ἐν βραχεῖ. [9] Ἀντιφῶν. ἀντὶ τοῦ ἁπλῶς, καὶ ἐν κεφαλαίῳ.

Ἔμβραχυ. ἁπλῶς. ὅλως. συντόμως. Καὶ οὐδὲν ἦν εἴς τινα ἔμβραχυ ἀγαθὸν, ὃ μὴ ἐκείνου κατέτεινε τὴν ψυχήν. ἀντὶ τοῦ ἐλάχιστον.

Ποῦ δ' οὐχὶ διαβέβληται, ὅπου γὰρ ἔμβραχυ
Εἰσὶ θεαταί;

Ἔμβραχυ. τὸ μικρὸν, καὶ εὐτελές. Μαρτύρεται ὁ Θεὸς, ὅτι μηδὲν αὐτὸν λαθεῖν δύναται ἔμβραχυ.

Ἔμβραχυ. συντόμως. καὶ οἷον ἐν βραχεῖ.

Ἐμβριθές. στεῤῥόν. στιβαρόν. Τὴν περὶ βασιλέως Ἰουστίνου κρατήσασαν δόξαν, ὡς ἔστι μάλα ἐμβριθής

Ἐμβολάδας. Inſitas. Inſititias. Ariſtoteles inſititias piros ἐμβολάδας ἀπίους vocat.

Ἐμβολάς. Impetus. Impreſſiones. Incurſiones.

Ἐμβολή. Roſtrum, ſive extrema pars arietis bellici. *Injecto pondere roſtrum arietis defringere.*

Ἐμβολήν. Fauces montium, vel anguſtum aditum. Ingreſſum. Multitudinem. Impetum. *Et impetus ille nimis violentus & temerarius eſſe videbatur.*

Ἐμβόλιμος. Imperfectus. Hippocrates: *Quidam imperfecti pueri.*

Ἔμβολος. Roſtrum æreum, quo naves in prora muniuntur.

Ἔμβολον. Cuneus. Nomen aciei, quæ figuram dimidii rhombi refert, & a ſimilitudine fundæ, σφενδονοειδὴς etiam vocatur. Item ferreum roſtrum navis. † *Cum autem imperatorem, qui populum incitabat, de roſtris detraxiſſet, verba facere cœpit.* Embolum vero vocatur, cum anceps diphalangia anteriora quidem aciei cornua inter ſe committit, poſteriora vero disjungit. Agathias vero inquit: *Erat autem ipſis forma aciei inſtar cunei, literæ Δ figuram præ ſe ferens, cujus anterior pars in acutum deſinebat, preſſa eadem & denſata, ſcutiſque inter ſe conſertis munita, ut ſuis caput ſtructura ſua effingere videretur. Crura vero utrinque ex ordinibus & manipulis in profundum compoſita, & ut plurimum in obliquum protenſa, paulatim ab ſeſe dilatabantur & dirimebantur, in maximam latitudinem deſinentia; adeo ut locus intermedius vacuus relinqueretur, & terga militum ſecundum ſeriem ſtantium nuda conſpicerentur. Averſi enim inter ſe ſtabant, ut hoſtibus adverſi eſſent, & clypeis objectis tuto dimicarent; terga vero mutua illa inter ſe oppoſitione tuerentur.*

Ἐν βραχεῖ. Antiphon. Breviter. Simpliciter. Summatim.

Ἔμβραχυ. Simpliciter. Summatim. Breviter. [Item, minimum.] *Nec ullum in quoquam vel minimum erat bonum, quod non animum illius angeret.* † *Ubi vero maledictis non carpitur, ubi vel pauciſſimi ſunt ſpectatores?*

Ἔμβραχυ. Breve. Parvum. Vile. *Deus ipſe teſtatur, nihil vel minimum ſe latere poſſe.*

Ἔμβραχυ. Breviter. Idem quod ἐν βραχεῖ.

Ἐμβριθές. Grave. Solidum. Firmum. Robuſtum. *Opinionem, quæ de Imperatore Ju-*

---

[1] Ἀριστοφάνης] Legendum eſt Ἀριστοτέλης, ut & paulo ante monuimus in v. Ἐμβεβλημένα.

[2] Ἐμβολή. τὸ ἄκρον τοῦ κρ.] Vide infra v. Κριός.

[3] Τῷ ἐπιφερομένῳ ἄχθει ἀποκαυλίζειν τὸ πρ.] Thucydides lib. II. cap. LXXVI. Ἡ δὲ δοκὸς ἐμπίπτουσα ἀπεκαύλιζε τὸ προέχον τῆς ἐμβολῆς. Hunc locum Suidas deſcribere voluiſſe videtur, ut & Portus obſervaverat.

[4] Κλεισοῦραν] Vide quæ de ſignificatione hujus vocis notavimus infra ſuo loco.

[5] Πεπυρωμένον] Portus malebat πεπυκνωμένον; quod non diſplicet.

[6] Σφενδονοειδής] Imo σφηνοειδής. Vide Arcerium in notis ad Æliani *Tact.* cap. XVIII.

[7] Ἀπὸ τῶν ἐμβόλων] Hic τὸ ἐμβόλων accipiendum eſt de ſuggeſtu illo, qui olim in foro Romano ex roſtris navium exſtructus erat, & ideo *Roſtra* vocabatur; ut monuit etiam Gatakerus ad Marc. Antonin. lib. V. §. XXXVI.

[8] Ἀγαθίας δέ φησιν] Lib. II. cap. XLIV.

[9] Ἐν βραχεῖ] Ex Harpocratione.

τε καὶ κατηκριβωμένος. † Καὶ [1] Πέτρος ὁ ῥήτωρ καὶ μάγιστρος ἐμβριθής τε ἦν, καὶ ἀνάλωτος ἐν τῷ ῥητορεύειν καταμαλάξαι φρονήματα βαρβαρικά.

2 Dubitat Schweigh. an pertineat ad Polybium XXXV. 2. Vol. IV. p. 658. hoc fragm.

Ἐμβριθεστάτη. στερροτάτη. [2] Εἷλε δὲ πόλιν Ὀρτόβριγα, δοκοῦσαν κατὰ τὸ μέγεθος καὶ κατὰ τὸ πλῆθος τῶν ἀνθρώπων ἐμβριθεστάτην εἶναι.

Ἐμβριθέστατος. Καὶ γὰρ ἐν τοῖς λόγοις ἐμβριθέστατος καὶ φιλογράμματος ἱκανῶς γενόμενος, ἥπται καὶ ποιητικῆς.

Ἐμβρίθεια.

Ἐμβριθῆ νοῦν. στερρὸν καὶ ἔμφρονα λογισμόν. Πισίδης· Ἔσω τῶν ἀσπίδων ἦλθες ἐμβριθεῖ τάχει. Μένανδρος· Ὁ δὲ [3] Ταγχόσδρω, ὁ τοῦ Χοσρόου στρατηγός, οὐχὶ ἐλέφαντάς τε, καὶ ἀγροίκων ὅμιλον, καὶ ἕτερα ἄττα φόβητρα, [4] κόμπῳ μὲν ἁρμόδια, ἐνεργῆ δὲ καὶ ἐμβριθῆ οὐδαμῶς, ἀλλὰ τοὺς μαχιμωτάτους τε καὶ εὐοπλοτάτους ἀγείρας, πλῆθος τε ἀγεννὲς ἀντάλλαγμα, τοὺς τὰ πολέμια δεινοὺς ἀποκρίνας. Καὶ αὖθις· Ἑστάναι τε ἐμβριθέστατα, καὶ ἐπαμύνειν τῇ πόλει.

Ἔμβριαι. αἱ εἰς βάθος διϊκνούμεναι ῥίζαι. καὶ ἐμβρινῖαι.

Ἐμβριμᾶται. μετὰ αὐστηρότητος ἐπιτιμᾷ. Καὶ ἅμα γινόμενοι μανιώδεις καὶ ἐμβριμούμενοι, τὰ πονηρὰ ἀπελαύνειν ἐδόκουν. καὶ ἐμβριμῆσαι. μετ' ὀργῆς λαλῆσαι.

Ἐμβρίμημα. τὸ μετ' ὀργῆς λάλημα.

Ἐμβρόντητος. καρδιόπληκτος. μαινόμενος. ἔκφρων.

Ἔμβρυον. νεογνὸν βρέφος. ἢ τὸ ὠμὸν καὶ ἄπεπτον.

Ἐμαί. λείπει τὸ αἱ ἄρθρον· ἵν' ᾖ, αἱ ἐμαὶ πόλεις.

Ἐμαίμασε. προεθυμήθη.

Ἔμελλε. παρ' Ὁμήρῳ ἀντὶ τοῦ ἐῴκει. Ἄρ' οὐ τελέεσθαι ἔμελλε. [5] Σοφοκλῆς· Ἔμελλες, ἔμελλες, τάλας. ἀντὶ τοῦ ἐῴκεις, δῆλος ἦς.

Ἐμμελέστερον. συνετόν. εὔρυθμον.

Ἐμμέλεια. εἶδος ὀρχήσεως. ἔστι δὲ ἡ τῶν τραγῳδῶν.

Ἐμμέλεια. χορικὴ ὄρχησις. διχῶς, ἐμμέλεια, καὶ ἐμμελία, ἡ εὐρυθμία. Οἶσθα γάρ, ὅπως διακείμεθα περὶ τὴν ἐμμελίαν τὴν σήν. καὶ ἡ μετὰ μέλους τραγικὴ ὄρχησις.

ſtino invaluerat, eum valde gravem & exactum eſſe. † *Et Petrus orator & Magiſter gravis erat, & quo nemo melius tumidos & elatos Barbarorum animos orationis facundia demulcere norat.*

Ἐμβριθεστάτη. Firmiſſima. Robuſtiſſima. *Cepit urbem Ortobriga, quæ tam propter magnitudinem, quam hominum multitudinem, potentiſſima eſſe videbatur.*

Ἐμβριθέστατος. Graviſſimus. Qui plurimum pollet. *Nam cum ſcientiarum valde peritus eſſet, & literarum amans, poeticam etiam attigerat.*

Ἐμβρίθεια. Gravitas. Soliditas. Firmitas.

Ἐμβριθῆ νοῦν. Mentem gravem, firmam, & prudentiæ plenam. Piſides: *Intra ſcuta veniſti tuta celeritate.* Menander: *Tanchoſdrous vero, Choſrois dux, non elephantos, nec turbam ruſticorum, nec alia quædam terriculamenta, oſtentationi quidem apta, at vim & efficaciam nullam habentia; ſed viros fortiſſimos & optimis armis inſtructos collegit, & eos, qui rei bellicæ periti eſſent, loco imbellis turbæ adſcitos, ſecrevit.* Et iterum: [*Milites*] *obnixo & firmo gradu ſtantes, & urbem fortiter defendentes.*

Ἔμβριαι, & ἐμβρινῖαι. Radices alte in ſolum deſcendentes.

Ἐμβριμᾶται. Graviter & vultu irato increpat. Minatur. *Et ſimul inſania correpti, & graviter comminantes, mala arcere videbantur.* Et ἐμβριμῆσαι. Irate loqui. Comminari.

Ἐμβρίμημα. Comminatio. Indignatio. Oratio minarum plena.

Ἐμβρόντητος. Attonitus. Inſanus. Amens.

Ἔμβρυον. Infans recens natus. Vel, crudus, & immaturus.

Ἐμαί. Deſideratur articulus αἱ: ut ſit, αἱ ἐμαὶ πόλεις, illæ meæ urbes.

Ἐμαίμασε. Prompte voluit. Prompto animo fecit.

Ἔμελλε. Apud Homerum ſignificat, videbatur, manifeſtum erat. *Omnibus hæc res irrita fore videbatur.* Eodem ſenſu vox hæc accipitur in loco illo Sophoclis, Ἔμελλες ἔμελλες τάλας, &c.

Ἐμμελέστερον. Prudens. Concinnum.

Ἐμμέλεια. Genus ſaltationis, qua Tragici utuntur.

Ἐμμέλεια. Saltatio Chori. Dupliciter [vocabulum hoc ſcribitur,] ἐμμέλεια & ἐμμελία. Modulatio concinna. *Scis enim, quomodo erga ſuavem & concinnam modulationem tuam affecti ſimus.* Item ſaltatio Tragica, quæ fit ad cantum carminis.

---

[1] *Καὶ Πέτρος ὁ ῥήτωρ καὶ μάγ.*] Vide infra v. Πέτρος.

[2] *Εἷλε πόλιν Ὀρτόβρ.*] Urſini codices hunc locum Polybio attribuunt. At Caſaubonus exiſtimat, eſſe eum auctoris Polybio recentioris, qui deſcripſerit res a Cl. Marcello in Hiſpania geſtas. Hinc pro Ὀρτόβριγα legendum putat Νερτόβριγα, ut intelligatur urbs Bæticæ, quæ Ptolemæo Νερτόβριγα, & Appiano in *Hiſpanicis* Νερτόβριγας dicitur: quam viri doctiſſimi conjecturam non puto eſſe ſpernendam.

[3] *Ὁ δὲ Ταγχόσδρω, ὁ τοῦ Χοσρ.*] Fragmentum hoc exſtat in *Excerpt. Legat.* ab Hœſchelio editis.

[4] *Κόμπῳ*] Sic recte unus MS. Pariſ. & ipſe Suidas infra v. Ταγχόσδρω. At priores Editt. male, κόπῳ.

[5] *Σοφοκλῆς*] *Ajace* pag. 55. ut Portus monuit.

Ἐμέλλησεν. ὑπερέθετο. Ὁ δὲ οὐδὲν, ὧν ἔχρῃζε μαθεῖν, ἀπεκρύψατο, ἢ λέγων ἐμέλλησεν. ἀντὶ τοῦ ἐβράδυνεν. καὶ [1] Ἰώσηπος· Οὐδεὶς δ' ἐνέδωκεν, οὐδ' ἐμέλλησεν εἰπεῖν. Ἐμέλησε δὲ, ἀντὶ τοῦ ἐφρόντισεν.

Ἐμμελῶς. συνετῶς. εὐρύθμως. καὶ ἐμμελής. συνετός. εὔρυθμος. Αἰλιανός· [2] Οἱ δὲ ὁμολογίας ἐμμελεῖς ποιησάμενοι πρὸς τοὺς Ἀρκάδας, τοὺς αἰχμαλώτους ἐκομίσαντο.

Ἔμελος. ἡ τῶν περιττωμάτων κένωσις. Ἐμετὸς δὲ, αὐτὸ τὸ κενωθέν.

Ἐμεχωνῖται. ὄνομα ἔθνους [3] παρὰ Ἰωσήπῳ.

Ἔμεια. τόπος πλησίον Μυκηνῶν.

Ἐμειδίασα. ἐγέλασα.

Ἐμήδισαν. τὰ τῶν Μήδων εἵλοντο. [4] μετὰ τὴν ἐν Μαραθῶνι μάχην Θετταλοὶ ἐμήδισαν, δείσαντες τὴν ἀπόφραξιν τῶν Τεμπῶν.

Ἐμηκῶντο.

Ἐμεμηκώς. ἐμέσας.

Ἔμμηνα. κατὰ μῆνα.

---[5] Μηλοσφαγεῖ
Θεοῖσιν ἔμμην' ἱερὰ τοῖς σωτηρίοις.

καὶ [6] ἔμμηνοι δίκαι, αἵ τε ἐμπορικαὶ καὶ ἐρανικαί.

Ἐμήνιεν. ὠργίζετο. ἐμνησικάκει. Ἐπ' αὐτὸν δὲ τὸν στρατηγὸν ἀφῆκαν βέλη. διὸ καὶ πλέον ἐμήνιεν.

Ἐμηνίων. ὠργίζοντο.

Ἐμὴν χάριν. συντάσσεται ἀντὶ τοῦ ἐμοῦ ἕνεκεν παρὰ Πλάτωνι.

Ἐμηχανᾶτο. ἐτεχνάζετο. Οὐ μόνον τοῖς ὀθνείοις, ἀλλὰ καὶ τοῖς ὑπηκόοις ἀνέμβατα τὰ ὄρη ἐμηχανᾶτο φαίνεσθαι, (μηχάνημα γὰρ τὸ στρατήγημα) οὐ μόνον τῷ ἀνεφίκτῳ, ἀλλὰ καὶ ὑπὸ τῶν δυσχωριῶν.

Ἔμισα. πόλις. καὶ Ἐμισαῖος, ὁ πολίτης.

Ἔμμισθοι. οἱ ὀφείλοντες λαβεῖν μισθόν. Οἱ δὲ Οὖννοι οὐδέν τι ἧττον ἔμμισθοι ἐγένοντο, ληϊζόμενοι τὰ Ῥωμαίων.

Ἐμιτρώσατο. ἐζώσατο. καὶ [7] Ἀριστοφάνης ἐν Θεσμοφοριαζούσαις·

Κ' Ἀλκαῖος, οἵπερ ἁρμονίαν ἐχύμισαν,
Ἐμιτροφόρουν τε, καὶ διεκίνουν Ἰωνικῶς.

ἀντὶ τοῦ, μίτραις, τουτέστι ζώναις διαζωσάμενοι, ἁβρῶς περιεπάτουν.

Ἐμνώοντο. μνήμην ἐποίουν. ἢ ἐμνηστεύοντο.

Ἐμέλλησεν. Moratus eſt. Cunctatus eſt. *Ille vero nihil eorum, quæ alter ſcire cupiebat, occultavit, vel dicere cunctatus eſt.* Et Joſephus: *Nullus vero ceſſit, nec cunctatus eſt dicere.* Ἐμέλησε vero, per unum λ, curavit.

Ἐμμελῶς. Prudenter. Concinne. Suaviter. Decenter. Et ἐμμελής. Prudens. Concinnus. Suavis. Ælianus: *Illi vero, cum honeſtas cum Arcadibus pactiones iniiſſent, captivos receperunt.*

Ἔμετος. Vomitus. Ἐμετὸς vero, id, quod per vomitum ejectum eſt.

Ἐμεχωνῖται. Emechonitæ. Nomen gentis apud Joſephum.

Ἔμεια. Emea. Locus prope Mycenas.

Ἐμειδίασα. Riſi.

Ἐμήδισαν. Medorum partes ſunt ſequuti. Ad Medos defecerunt. *Poſt pugnam Marathoniam Theſſali ad Medos defecerunt, veriti, ne Tempe a Medis obſtruerentur.*

Ἐμηκῶντο. Balabant.

Ἐμεμηκώς. Qui vomuit.

Ἔμμηνα. Menſtrua. Quæ ſingulis menſibus fiunt. [Sophocles:] *Pecudes mactat, Deos ſervatores menſtruis ſacrificiis colens.* Et ἔμμηνοι δίκαι, judicia menſtrua: qualia ſunt ea, quæ de rebus mercatorum & erano inſtituuntur.

Ἐμήνιεν. Iraſcebatur. Injuriarum acceptarum memor erat. *In ipſum vero Imperatorem tela conjecerunt. Quamobrem etiam multo magis iraſcebatur.*

Ἐμηνίων. Iraſcebantur.

Ἐμὴν χάριν. Pro ἐμοῦ ἕνεκεν, apud Platonem. Mei gratia. Mea cauſa.

Ἐμηχανᾶτο. Machinabatur. Moliebatur. Μηχάνημα enim idem interdum ſignificat, quod ſtrategema. *Ille autem id moliebatur, ut non ſolum peregrinis, ſed etiam indigenis montes inacceſſi viderentur, non ſolum quod ſuperari non poſſent, ſed etiam propter locorum anguſtias.*

Ἔμισα. Emiſa. Urbs. Et Emiſæus, ejus civis.

Ἔμμισθοι. Mercenarii. Quibus merces vel ſtipendium debetur. *Hunni vero, etiamſi ditionem Romanorum popularentur, nihilominus mercede [ab illis] conducebantur.*

Ἐμιτρώσατο. Zona ſe cinxit. Et Ariſtophanes in *Theſmophoriazuſis: [Ibycus, & Anacreon Tejus,] & Alcæus, mitras geſtabant, & corpus molliter movebant.* Ἐμιτροφόρουν hic ſignificat, zonis cincti delicate incedebant.

Ἐμνώοντο. Mentionem faciebant. Vel, nuptias ambibant.

---

[1] Καὶ Ἰώσηπος] *De Bello Jud.* lib. VII. cap. XXIX. pag. 995.

[2] Οἱ δὲ ὁμολογίας ἐμμ.] Idem fragmentum legitur infra v. Ὁμολογία.

[3] Παρὰ Ἰωσήπῳ] Lib. III. *de Bello Jud.* cap. XVIII. pag. 861. & lib. IV. init. ſed ubi gentis illius nomen eſt Σεμεχωνῖται, ut Pearſonius recte obſervavit. Quare Suidas ex Joſepho emendandus eſt.

[4] Μετὰ τὴν ἐν Μαραθῶνι μάχ.] Vide Herodotum lib. VII. pag. 280.

[5] Μηλοσφαγεῖ Θεοῖσιν ἔμμ.] Fragmentum hoc legitur apud Sophoclem *Electra* pag. 95. ut Portus obſervavit.

[6] Ἔμμηνοι δίκαι, αἵ τε ἐμπ.] Ex Harpocratione: ad quem vide Valeſium. Confer etiam infra v. Ναυτοδίκαι, & Jul. Poll. lib. VIII. cap. IX. num. XVIII.

[7] Ἀριστοφάνης ἐν Θεσμοφοριαζούσαις] Pag. 775. (515. Ed. Baſ. P.) Harpocratio v. Ἰωνικός: Ἰωνικῶς, ἀντὶ τοῦ ἁβρῶς, τρυφερῶς. Ἀριστοφάνης ἐν Θεσμοφοριαζούσαις·
Ἐμιτροφόρουν τε καὶ διεκίνουν Ἰωνικῶς.

Ἐμόγησα. ἐμόχθησα.

Ἔμμορεν. ἔλαχεν.

Ἐμπάζεται. ἀναβάλλεται. ἐνθυμεῖται. ἢ ἐντρέπεται. ἢ φροντίζει.

Ἐμπαλασσόμενοι. ἐμπίπτοντες εἰς τὸ ὕδωρ. [1] Θουκυδίδης· Οἱ δὲ ἐμπαλασσόμενοι κατέρρεον ἐς τὰ ἐπὶ θάτερα τοῦ ποταμοῦ. περιστάντες δὲ οἱ Συρακούσιοι ἔβαλλον τοὺς Ἀθηναίους.

Ἔμπαλιν. ἐναντίον. ἢ εἰς τοὐπίσω. Ὁ δὲ ἔμπαλιν διελθεῖν παρεσκεύασε τὸν Ἴστρον, ἐν ταῖς λεγομέναις ὁλκάσι μακραῖς διαβιβάσας τὰ βαρβαρικὰ πλήθη.

Ἐμπαράθετος.

Ἐμπαροινοῦντες. ἐνυβρίζοντες. καὶ Ἰώσηπος· Οὕτως ἐμπαροινοῦσι τοῖς πράγμασιν.

Ἐμπαιγμός. ἀπὸ τοῦ ἐμπαίζω.

Ἔμπαιος. ὁ ἔμπειρος. οἷον, [2] Κακῶν δ' ἔμπαιος ἀλήτης.

Ἔμπεδα. βέβαια.

Ἐμπεδοκλῆς, θυγατριδοῦς τοῦ προτέρου, τραγικός. τραγῳδίαι αὐτοῦ κδ'.

Ἐμπεδοκλῆς, Μέτωνος· οἱ δέ, Ἀρχινόμου, οἱ δέ, [3] Ξενέτου. καὶ ἀδελφὸν δὲ ἔσχε Καλλικρατίδην. ἠκροάσατο δὲ πρώτου Παρμενίδου, οὗτινος, ὥς φησι Πορφύριος ἐν [4] Φιλοσόφῳ ἱστορίᾳ, ἐγένετο παιδικά. οἱ δὲ ἔφασαν μαθητὴν Τηλαύγους τοῦ Πυθαγόρου υἱοῦ τὸν Ἐμπεδοκλέα γενέσθαι. Ἀκραγαντῖνος δέ, φιλόσοφος φυσικός, καὶ ἐποποιός. οὗτος ὁ Ἐμπεδοκλῆς στέμμα ἔχων ἐπὶ τῆς κεφαλῆς χρυσοῦν, καὶ ἀμύκλας ἐν τοῖς ποσὶ χαλκᾶς, καὶ στέμματα Δελφικὰ ἐν ταῖς χερσίν, ἐπῄει τὰς πόλεις, δόξαν περὶ αὐτοῦ κατασχεῖν ὡς περὶ Θεοῦ βουλόμενος. ἐπεὶ δὲ γηραιὸς ἐγένετο, νύκτωρ ἔρριψεν ἑαυτὸν εἰς [5] κρατῆρα πυρός, ὥστε μὴ φανῆναι αὐτοῦ τὸ σῶμα. καὶ οὕτως ἀπώλετο, τοῦ σανδαλίου αὐτοῦ ἐκβρασθέντος ὑπὸ τοῦ πυρός. [6] ἐπεκλήθη δὲ καὶ Κωλυσανέμας, διὰ τὸ ἀνέμου πολλοῦ ἐπιθεμένου τῷ Ἀκράγαντι, ἐξελάσαι αὐτόν, δορὰς ὄνων περιθέντα τῇ πόλει. γέγονε δὲ τούτου μαθητὴς Γοργίας ὁ ῥήτωρ ὁ Λεοντῖνος. καὶ ἔγραψε δι' ἐπῶν περὶ φύσεως τῶν ὄντων [7] βιβλία γ'. καὶ ἔστιν ἔπη ὡς δισχίλια. Ἰατρικὰ καταλογάδην, καὶ ἄλλα πολλά.

Ἐμπεδοκλῆς. [8] Τὸν Ἀκραγαντῖνον Ἐμπεδοκλέα βαδίσαι φασὶ τὴν ὁδὸν Πυθαγόρου, ἣν καὶ Ἀπολλώνιος ὁ Τυανεὺς ἐζήλωσε. ξυνεῖναι γὰρ τοῖς θεοῖς,

Ἐμόγησα. Laboravi.

Ἔμμορεν. Sortitus eſt. Particeps factus eſt.

Ἐμπάζεται. Procraſtinat. Cogitat. Reveretur. Curat.

Ἐμπαλασσόμενοι. Incidentes in aquam. *Illi vero ſe mutuo complexi, ab amne in alteram ripam deferebantur. Syracuſani vero circumſtantes Athenienſes ſagittis petebant.*

Ἔμπαλιν. Contra. Retro. Retrorſum. *Ille vero effecit, ut Iſtro rurſus trajecto reverterentur, poſtquam multitudinem barbarorum longis navibus, quæ holcades vocantur, trajeciſſet.*

Ἐμπαράθετος. Inſertus.

Ἐμπαροινοῦντες. Per temulentiam alicui inſultantes. Joſephus: *Tanta cum inſolentia omnia agunt.*

Ἐμπαιγμός. Illuſio. Ab ἐμπαίζω. Illudo. Irrideo.

Ἔμπαιος. Peritus. *Malorum peritus erro.*

Ἔμπεδα. Firma.

Ἐμπεδοκλῆς. Empedocles, prioris ex filia nepos, tragicus, qui XXIV. tragœdias ſcripſit.

Ἐμπεδοκλῆς. Empedocles, Metonis, vel ut alii, Archinomi, vel, ut alii, Xeneti filius: fratrem habuit Callicratidem, primumque audivit Parmenidem, cujus etiam, ut Porphyrius in *Hiſtoria Philoſophica* auctor eſt, amaſius fuit. Alii vero dixerunt, Empedoclem fuiſſe diſcipulum Telaugis, qui fuit Pythagoræ filius. Fuit autem Agrigentinus, Philoſophus Phyſicus, & poeta Epicus. Hic Empedocles auream coronam in capite geſtans, æreiſque calceis, quos amyclas vocabant, indutus, & Delphicas coronas manibus tenens, urbes obibat, ut homines Deum ſe crederent. Cum autem jam conſenuiſſet, noctu ſe in craterem Ætnæ conjecit, ne corpus ſuum ab ullo conſpiceretur. Cum igitur ſic periiſſet, ſandalium ejus ab igne foras ejectum fuit. Cognominatus autem eſt & Κωλυσανέμας, quod, cum vehemens aliquando ventus Agrigenti coortus fuiſſet, eum propulſaſſet, urbe pellibus aſininis circundata. Hujus diſcipulus fuit Gorgias Leontinus orator. Scripſit verſibus tres libros *de Rerum Natura*. Sunt autem verſuum circiter duo millia. Item, de Re Medica, oratione ſoluta; & multa alia.

Ἐμπεδοκλῆς. Empedoclem Agrigentinum ajunt Pythagoræ ſectam ſecutum fuiſſe, quam & Apollonius Tyaneus æmulatus eſt. Fer-

---

[1] Θουκυδίδης] Lib. VII. cap. LXXXIV. unde ſenſus hujus loci petendus eſt. Scholiaſta ad eum locum τὸ ἐμπαλασσόμενοι exponit, συμπλεκόμενοι καταπίπτον. ἑτοίμως ἔπιπτον. Huc ſpectant verba Euſtathii ad Il. Ε. pag. 527. Ἰστέον δὲ ὅτι Αἴλιος Διονύσιος μέμνηται τοῦ Θουκυδίδου, εἰπόντος τὸ ἐμπαλασσόμενοι, ἀντὶ τοῦ ἐμπλεκόμενοι, περιπειρόμενοι δόρατι, φυρόμενοι. Reſpexit ad eundem locum Thucydidis.

[2] Κακῶν δ' ἔμπαιος κ.λ.] Hæc ſunt verba Homeri Il. Φ. v. 400.

[3] Ξενέτου] Apud Laertium eſt Ἐξαινέτου.

[4] Ἐν φιλοσόφῳ ἱστορίᾳ] Hæc verba deſunt in prioribus Editt. quæ ex uno MS. Pariſ. revocavi.

[5] Εἰς κρατῆρα πυρός] Id eſt, montis Ætnæ, ut Laertius & alii teſtantur.

[6] Ἐπεκλήθη δὲ Κωλυσανέμας] Vide ſupra v. Ἄπνους.

[7] Βιβλία γ'] Sic habent omnes Editt. At in duobus codicibus manu exaratis ſcriptum inveni, βιβλία β'. Cæterum, præter opera a Suida hic memorata, ſcripſerat etiam Empedocles Καθαρμοὺς, quorum mentionem faciunt Laertius, Athenæus, & alii.

[8] Τὸν Ἀκραγαντῖνον Ἐμπεδοκλέα βαδίσαι φασὶ τὴν ὁδ.] Hæc, & quæ ſequuntur uſque ad finem articuli, deſcripta ſunt ex Philoſtrato *de Vita Apoll*, lib. I. cap. I. ut Pearſonius etiam monuit.

καὶ μανθάνειν παρ' αὐτῶν, ὅπη τοῖς ἀνθρώποις χαίρουσι, καὶ ὅπη ἄχθονται. περί τε φύσεως ἐκεῖθεν λέγειν. τοὺς μὲν γὰρ ἄλλους τεκμαίρεσθαι τοῦ θείου, καὶ δόξας ἀνομοίους ἀλλήλαις περὶ αὐτοῦ δοξάζειν· Ἀπολλωνίῳ δὲ τόν τε Ἀπόλλωνα ἥκειν ὁμολογοῦντα, ὡς αὐτὸς εἴη· ξυνεῖναι δ' ἂν μὴ ὁμολογοῦντας, Ἀθηνᾶν τε, καὶ Μοῦσαν, καὶ Θεοὺς ἑτέρους, ὧν τὰ εἴδη καὶ τὰ ὀνόματα οὔπω τοὺς ἀνθρώπους γινώσκειν. καὶ ὅ,τι ἀποφήναιτο ὁ Πυθαγόρας, νόμον τοῦτο οἱ ὁμιληταὶ ἡγοῦντο· καὶ ἐτίμων αὐτὸν ὡς ἐκ Διὸς ἥκοντα· καὶ ἡ σιωπὴ ὑπὲρ τοῦ θείου σφίσιν ἐπήσκητο. πολλὰ γὰρ θεῖά τε καὶ ἀπόρρητα ἤκουον, ὧν κρατεῖν χαλεπὸν ἦν, μὴ πρῶτον μαθοῦσιν, ὅτι καὶ τὸ σιωπᾶν λόγος. ὅτι γὰρ καὶ Ἐμπεδοκλῆς τὸν βίον τοῦτον ἤσκητο, δηλοῖ τό,

Χαίρετ'· ἐγὼ δ' ὔμμιν Θεὸς ἄμβροτος, οὐκέτι
θνητός.

Καί,

Ἤδη γάρ ποτ' ἐγὼ γενόμην κούρη τε κόρος τε.

καὶ ὁ ἐν Ὀλυμπίᾳ βοῦς, ὃν λέγεται πέμμα ποιησάμενος, θῦσαι, τὰ Πυθαγόρου ἐπαινοῦντος εἴη ἄν.

tur enim Deorum uſus eſſe conſuetudine, & ex iis didiciſſe, quibus in rebus homines Diis placeant, & quibus eoſdem offendant. Hinc quoque accepiſſe eum, quæ de rerum natura diſſeruerit. Nam cæteros de Deo conjectando tantum aliquid aſſequi, & opinionibus non parum inter ſe diſcrepare: ad Apollonium vero Apollinem ipſum veniſſe, fatentem, ſe eſſe Apollinem; & cum eodem, quamvis non aperte profitentes, quinam eſſent, verſatos fuiſſe Minervam, Muſam, cæteroſque Deos, quorum ſpecies & nomina homines adhuc ignorent. Quicquid autem Pythagoras pronuntiaſſet, id diſcipuli ejus legem putabant, eumque, velut a Jove profectum, venerabantur; & ſilentium, velut rem ſacram & divinam, religioſe colebant. Multa enim divina & arcana audiebant, quæ haud facile tacere potuiſſent, niſi prius didiciſſent, & ſilentio ſapientiam & rationem ineſſe. Empedoclem autem hanc vivendi rationem ſecutum fuiſſe, declarat verſus ille: *Valete: ego enim vobis ſum Deus immortalis, nec amplius mortalis.* Item, *Jam olim enim fui & puella & puer.* Quin etiam bos, quem Olympiæ ex melle & farina confectum immolaſſe dicitur, eum arguit, qui Pythagoricam diſciplinam probarit.

Ἐμπεδοκλέους ἔχθρα. ἐπὶ τῶν ἐπιμόνως ἐχθρωδούντων πρός τινας. Λυσίας· Ὤμην δὲ ἔγωγε τοιαύτῃ φιλίᾳ συνηρμόσθαι, ὥστε μηδ' ἂν τὴν Ἐμπεδοκλέους ἔχθραν ἐμποδὼν ἡμῖν γενέσθαι.

Ἐμπεδοκλέους ἔχθρα. Empedoclis inimicitia. Dicitur de iis, qui diuturnas inimicitias adverſus aliquos gerunt. Lyſias: *Equidem putabam, eam inter nos amicitiam eſſe conſtitutam, ut nec Empedoclis quidem inimicitia nobis obſtare poſſet.*

Ἔμπεδον. ἀσφαλές. ἀπὸ τῶν ἐν πεδίῳ θεμελίων κειμένων.

Ἔμπεδον. Firmum. Tutum. [Tranſlatio ducta eſt] a fundamentis, quæ in ſolo ſita ſunt.

Ἐμπεδορκεῖν. ἐμπέδως τηρεῖν τὰ ὅρκια. [1] Ἡ δὲ Φερετίμα τὸν ὄροφον ὑποσπάσασα τοῦ βόθρου, ὡς ἂν ἐμπεδορκοίη, ἤλαυνεν εἰς τὴν πόλιν.

Ἐμπεδορκεῖν. Fœdera & pacta inviolata fide ſervare. *Pheretima vero, ut jusjurandum ſervaret, tecto foveæ revulſo urbem intravit.*

Ἐμπεδότιμος. οὗτος ἔγραψε περὶ φυσικῆς ἀκροάσεως· περὶ οὗ λέγει ὁ Παραβάτης ἐν τοῖς ἐπιγραφομένοις Κρονίοις· [2] Ἡμεῖς δὲ Ἐμπεδοτίμῳ καὶ Πυθαγόρᾳ πιστεύοντες, οἷς τε ἐκεῖθεν ὁ λαβὼν Ἡρακλείδης ὁ Ποντικὸς ἔφη, καὶ μικρῷ πρότερον καὶ ὁ κλεινὸς ἡμῖν [3] ἔδειξε καὶ ἱεροφάντως Ἰάμβλιχος.

Ἐμπεδότιμος. Empedotimus. Hic de Phyſica auſcultatione ſcripſit: de quo [Julianus] Apoſtata in opere, quod *Cronia* inſcribitur, ſic inquit: *Nos vero Empedotimo & Pythagoræ credentes, & iis, quæ Heraclides Ponticus ab illis accepta tradidit, & paulo ante inclytus ille rerum divinarum interpres Jamblichus nobis oſtendit.*

Ἐμπεδωθῆναι. ἀσφαλισθῆναι.

Ἐμπεδωθῆναι. Confirmatum fuiſſe.

Ἐμπεδοῖ. βεβαιοῖ. ἀσφαλίζεται. διδάσκει.

Ἐμπεδοῖ. Confirmat. Firmum tutumque reddit. Docet.

Ἐμπερονῆσαι. διατρῆσαι.

Ἐμπερονῆσαι. Perforaſſe. Trajeciſſe.

Ἐμπεσὼν τοῖς πράγμασιν. ἄρξας τῶν πραγμάτων. Ὃς ἐμπεσὼν τοῖς πράγμασι τοῖς ὑπὸ χεῖρα, τὸν θυμὸν καὶ τὴν ὀργὴν ἀφεὶς καὶ ἐκχέων, καὶ μόνην ἀρετὴν ἡγούμενος τὸ ἀδωροδόκητον, [4] ἐκάκωσε τὰ πράγματα.

Ἐμπεσὼν τοῖς πρ. Res aliquas aggreſſus. *Qui cum negotia, quæ in manibus habebat, aggrederetur, ira omni omiſſa & effuſa, & ſolam virtutem nullis muneribus flecti vel corrumpi poſſe exiſtimans, res optime adminiſtrabat.*

Ἐμπειρεῖν. πεπειραμένως ἔχειν. [5] Φήσας γεγονέναι πλείω χρόνον ἐν ταῖς Σάρδεσι, καὶ τῶν τόπων ἐμπειρεῖν.

Ἐμπειρεῖν. Peritum eſſe. *Quia dixerat ſe diutius Sardibus fuiſſe, & illorum locorum peritum eſſe.*

---

[1] Ἡ δὲ Φερετίμα τὸν ὄροφ.] Hiſtoriam, ad quam fragmentum hoc referendum eſt, narrat Herodotus circa finem lib. IV. pag. 181.

[2] Ἡμεῖς δὲ Ἐμπεδοτίμῳ καὶ Πυθαγ. πιστ.] Eadem leguntur etiam infra v. Ἰουλιανός.

[3] Ἔδειξε] Sic recte unus MS. Pariſ. At priores Editt. male ἔδοξε.

[4] Ἐκάκωσε] Hæc vox ſenſui hujus loci minime convenire videtur. Quid autem ejus loco reponendum ſit, ob brevitatem fragmenti dictu difficile eſt.

[5] Φήσας γεγονέναι πλείω χρ.] Hæc ſunt verba Polybii lib. VIII. cap. XII.

Ἐμπειρία.

Ἐμπηδῆσαι. [1] Κλέωνα τὸν λάρον δώρων ἑλόντες καὶ κλοπῆς.

Οὐκ [2] ἐτόλμησ᾽ αὖθις ἐμπηδῆσαι αὐτῷ κειμένῳ. τουτέστιν ἐκορέσθην.

Ἔμπηρα. πεπηρωμένα. Αἱ δὲ γυναῖκες ἔτικτον ἔμπηρα καὶ τέρατα. οἱ δὲ τῶν τετολμημένων σφίσι λήθην καταχέαντες, ἧκον ἐς Δελφούς.

Ἔμπης. Ἰωνικῶς. ἔμπας δὲ, καὶ ἔμπα, Ἀττικῶς. [3] Σοφοκλῆς·

Δύστηνον ἔμπης, καίπερ ὄντα δυσμενῆ.

Ἐμπίπλασθαι. κορέννυσθαι. τὸ ἀποβαλεῖν ὑγείαν.

Ἐμπιπρᾶται. ἐμπυρίζεται.

Ἐμπίπλη. [4] Ἀττικόν. ἦν γὰρ τὸ κοινὸν ἀπὸ τοῦ πίμπλημι, πίμπλαθι· ὡς ἵσταθι. ὅμοιον δέ ἐστι καὶ τὸ, Κύκλωψ τῆ πίε οἶνον, παρὰ τῷ ποιητῇ. Ἀττικοὶ γὰρ οὐ τρέπουσιν ἐπὶ τῶν εἰς μι τὸ μ εἰς θ ἐν τοῖς προστακτικοῖς, καὶ συστέλλουσι τὴν παραλήγουσαν, ὡς ἡ κοινὴ, ἵστημι, ἵσταθι. αὐτοὶ δὲ ἵστη. πίμπλημι, πίμπλαθι. Ἀττικοὶ δὲ τελείαν ἀποβολὴν τῆς μι ποιοῦσι, πίμπλη λέγοντες, καὶ ἐμπίπλη. οὕτω καὶ ἀπὸ τοῦ τῆμι τὸ τῆ, ἀντὶ τοῦ λάβε.

Ἐμπίς. [5] κώνωψι παραπλήσιον ζωΰφιον, παρὰ τοῖς ὕδασι γινόμενον· ὅμοιον κώνωπι· μεῖζον δὲ τῇ περιοχῇ, καὶ κατὰ τὸ μέσον λευκῷ περιεζωσμένον. Ἀριστοφάνης· Ἐμπίδες [6] κάμπτετε. ἀντὶ τοῦ ἐσθίετε. Πισίδης·

Κύκλῳ περισφίγξαντες ἐμπίδων δίκην.

λέγεται [7] ἐμπὶς Τρικορυσία, ὡς ἐν [8] Τρικορύσῳ πολλῶν ἐμπίδων γινομένων. ἔστι γὰρ ἀλσώδης καὶ κάθυγρος ὁ τόπος.

Ἐμπλασσόμενοι. ἐπεμβαίνοντες. συῤῥηγνύμενοι. Αἰλιανός· Τοῖς φίλοις καὶ οἰκείοις ἐμπλασσόμενοι, ἀπέσφαττον αὐτοὺς ὡς πολεμίους.

9. Polybius. Fr. Histor. XI. Vol. V. p. 57.

Ἐμπλασσόμενοι. [9] προσκρούοντες. προσπελάζοντες. Οἱ δὲ Καρχηδόνιοι ἀλλήλοις ἐμπλασσόμενοι, καὶ περιπίπτοντες τοῖς θηρίοις, ἀπέθνησκον.

Ἐμπλατζάσασα. τρυφερευσαμένη.

Ἔμπλεως. πλήρης. μεστός.

Ἐμπλείμην. ἀντὶ τοῦ κορεσθείην. [10] Ἀριστοφάνης Ἀχαρνεῦσι·

Βάλλων ἐκεῖνον οὐκ ἂν ἐμπλείμην λίθοις.

Ἐμπειρία. Peritia.

Ἐμπηδῆσαι. Inſultare. *Si Cleonem rapacem munerum & furti reum peregeritis.* † *Non amplius auſus ſum inſultare ei jacenti.*

Ἔμπηρα. Mutila. Imperfecta. *Fœminæ autem fœtus imperfectos & monſtra pariebant. At illi facinorum ſuorum obliti Delphos venerunt.*

Ἔμπης. Ionice. Ἔμπας vero, & ἔμπα, Attice. Tamen. Sophocles: *Infelicem tamen, quamvis ſit inimicus.*

Ἐμπίπλασθαι. Repleri. Satiari. Valetudinem amittere.

Ἐμπιπρᾶται. Incenditur.

Ἐμπίπλη. Imple. Atticum eſt. Nam ſecundum dialectum communem a πίμπλημι formandum eſſet πίμπλαθι: ut ἵσταθι. Simile autem eſt & illud apud Poetam: *Cyclops accipe hoc vinum, & bibe.* Attici enim in verbis in μι deſinentibus non mutant in imperativis μ in θ, neque corripiunt penultimam, ut communiter fieri ſolet. Haud enim dicunt ἵστημι, ἵσταθι; ſed ἵστη: nec a πίμπλημι, πίμπλαθι; ſed abjecta ſyllaba μι, πίμπλη, & ἐμπίμπλη. Sic a τῆμι, accipio, deducitur τῆ, accipe.

Ἐμπίς. Culex. Animalculum ſimile conopi, quod juxta aquas naſcitur. Eſt tamen conope majus, & medium ejus corpus linea alba diſtinctum eſt. Ariſtophanes: *Culices edite.* Κάμπτετε enim hic ponitur pro ἐσθίετε. Piſides: *Corpus undique conſtringentes, culicum inſtar.* Dicitur autem empis [ab Ariſtophane] Tricoryſia, quod Tricorynthi magna eſſet earum copia. Eſt enim ſylveſtris & humidus ille locus.

Ἐμπλασσόμενοι. Invadentes. Aggredientes. Confligentes. Ælianus: *Amicos & domeſticos invadentes, ipſos ut hoſtes jugulabant.*

Ἐμπλασσόμενοι. Offendentes. Accedentes. *Carthaginenſes vero ſe mutuo complexi, & in feras incidentes, peribant.*

Ἐμπλατζάσασα. Quæ delicate fecit.

Ἔμπλεως. Plenus. Refertus.

Ἐμπλείμην. Replear. Satier. Ariſtophanes *Acharnenſibus: Haud ſane lapidibus illum petendo ſatier.* Eſt enim optativi modi.

---

1 Κλέωνα τὸν λάρον δώρων ἑλ.] Locus hic, qui legitur apud Ariſtoph. *Nubibus* pag. 161. (93. Ed. Baſ. *P.*) nihil facit ad vocem ἐμπηδῆσαι. Sic autem Ariſtophanes:

Ἢν Κλέωνα τὸν λάρον δώρων ἑλόντες καὶ κλοπῆς,
Εἶτα φιμώσητε τούτου τῷ ξύλῳ τὸν αὐχένα.

2 Οὐκ ἐτόλμησ᾽ αὖθις ἐμπ.] Et hic locus depromptus eſt ex Ariſtoph. *Nubibus* pag. 158. (91. Ed. Baſ. *P.*) ubi ſic legitur:

Ὃς μέγιστον ὄντα Κλέων᾽ ἔπαισ᾽ ἐς τὴν γαστέρα,
Κοὐκέτ᾽ εἰσαῦθίς γ᾽ ἐπιπήδησαί γ᾽ αὐτῷ κειμένῳ.

Scholiaſta ad eum locum: Ἔπαισα. ἔτυψα. ἔγραψε γὰρ κατ᾽ αὐτοῦ τοὺς Ἱππέας. ἔτυψα ἐν τοῖς Ἱππεῦσιν. ἀντὶ τοῦ. ἠρκέσθην τῇ πρώτῃ κωμῳδίᾳ.

3 Σοφοκλῆς] *Ajace* pag. 8. ut Portus quoque obſervaverat.

4 Ἐμπίπλη. Ἀττικόν. ἦν γὰρ τὸ κ.] Nota hæc referenda eſt ad locum illum Ariſtophanis *Avibus* pag. 602.

Καὶ τοὺς κοφίνους ἅπαντας ἐμπίπλη πτερῶν.

Vide ibi Scholiaſtam, cujus verba Suidas hic deſcripſit.

5 Ἐμπίς. κώνωψι παραπλήσιον ζωΰφ.] Ex Scholiaſta Ariſtoph. ad *Aves* pag. 552. (377. Ed. Baſ. *P.*)

6 Κάμπτετε] Sic etiam legitur apud Ariſtophanem loco laudato. Sed ſcribendum eſt κάπτετε, ut Portus quoque monuit.

7 Λέγεται ἐμπὶς Τρικορυσ.] Hæc referenda ſunt ad locum illum Ariſtophanis *Lyſiſtr.* pag. 900. (564. Ed. Baſ. *P.*)

Οὐχ ὁρᾷς; οὐκ ἐμπίς ἐστιν ἥδε Τρικορυσία;

Scholiaſta ineditus ad illum locum: Ἐμπίς, ζῶον κώνωπι παραπλήσιον· ὡς ἐν Τρικορύνθῳ πολλῶν ἐμπίδων γινομένων. ἔστι γὰρ ἀλσώδης καὶ κάθυγρος. ἢ ἐπεὶ πονηροί εἰσιν οἱ Τρικορύσιοι. Hinc Suidas ſua mutuatus eſt.

8 Ἐν Τρικορύσῳ] Scholiaſta ineditus ad Lyſiſtratam rectius ἐν Τρικορύνθῳ. Τρικόρυνθον enim erat populus tribus Ajacis, cujus popularis dicebatur Τρικορύσιος. Stephanus Byzantius: Τρικόρυνθον, οὐδετέρως Δίδυμος καὶ Διόδωρος· Διονύσιος ἀρσενικῶς. Εὐφορίων θηλυκῶς. Ἔστι δὲ δῆμος τῆς Αἰαντίδος φυλῆς. ὁ δημότης Τρικορύσιος· καὶ θηλυκὸν, Τρικορυσία. Ἀριστοφάνης Λυσιστράτῃ·

Οὐχ ὁρᾷς; οὐκ ἐμπίς ἐστιν ἥδε Τρικορυσία.

9 Ἐμπλασσόμενοι] Vide ſupra v. Ἐμπλασσόμενοι.

10 Ἀριστοφάνης] *Acharnenſibus* pag. 382. (271. Ed. Baſ. *P.*) ad quem locum vide Scholiaſtam, ex quo totum hunc locum Suidas deſcripſit.

εὐκτικῆς γὰρ ἐγκλίσεως τετύχηκεν. ἔστι γὰρ τὸ ἐμπιπλῶ, ὃ κατὰ ἀναδιπλασιασμὸν κέκληται· ἀφ' οὗ παράγωγον τὸ ἐμπίπλημι. ἀπὸ τούτου γίνεται τὸ, πιμπλᾶσι μυχοὺς λιμένος εὐόρμου. τοῦτο δὲ ἑτέρα παραγωγή. ἀφ' οὗ τὸ πλήθω· ὡς ἀπὸ τοῦ νῶ, νήθω. ἀπὸ δὴ τοῦ πλῶ, πλείμην, ὡς ἀπὸ τοῦ βλῶ, βλείμην· οὗ τὸ δεύτερον, βλεῖο. Εἴπερ γάρ κε βλεῖο πονεύμενος. πλείμην οὖν, καὶ ἐμπλείμην.

Ἔμπληκτοι. μεμηνότες. Ὡς [1] δεινός τε ἦν καὶ αὐθάδης, καὶ οἷος τὸ μανιῶδες καὶ ἔμπληκτον ἀνδρείαν ἡγεῖσθαι.

Ἔμπληκτοι.[2] κοῦφοι. εὐμετάβλητοι. καὶ [3] Ὅμηρος· Ἐμπλήγδην ἕτερον μὲν τίει βροτόν. καὶ Σοφοκλῆς·

Τοιοίδε μέν τοι φῶτες ἔμπληκτοι βροτῶν.

τουτέστιν, οἱ μὴ ἐμμένοντες τῇ ἀρχαίᾳ φιλίᾳ καὶ ἀρετῇ.

Ἐμπλημένος. πεπληρωμένος. [4] Ἀριστοφάνης· Ἔβηττε τὴν νύχθ' ὅλην τειχίδα [5] ἐμπλημένος.

Ἔμπλην. ὅμως.

Ἐμποδοστάτης. ἐμποδίζων.

Ἔμπλην. πλησίον. [6] ἐπλησίαζον. ἔστι ῥῆμα πλῶ, τὸ πλησιάζω. παράγωγον πλῆμι. γίνεται δὲ καὶ ἀπὸ τοῦ πλῶ κατὰ ἀναδιπλασιασμὸν πιπλῶ, πίπλημι· ὡς στῶ, ἱστῶ, ἵστημι. καὶ πλῶ, πλήσω, πλήτης· καὶ συντέθειται, τειχεσιπλήτης· ὡς βῶ, βήσω, βήτης, καὶ διαβήτης, καὶ ἐμπυριβήτης. πλῶ, πλήσω, πλητὸς, καὶ πλατός. πλῶ ἐκ τοῦ πέλω, πλῶ· ὡς κέλω, κλῶ. παρὰ δὲ τὸ πλῶ, πλήν· καὶ μετὰ τῆς ἐν προσθέσεως, ἔμπλην, ἐπίρρημα σημαντικὸν, τὸ πλησίον. τὸ δὲ πλὴν, τὸ χωρὶς, κατ' ἀντίφρασιν ἐξηνέχθη.

Ἐμποδών. [7] Θουκυδίδης ή, ἀντὶ τοῦ [8] προχείρους. Φησὶ γάρ· Τὰς ἐμποδὼν αἰτίας μόνον ἐπισκοπεῖν, πορρωτέρω δὲ μηδὲν ἐπορέγεσθαι ταῖς διανοίαις. Λυκοῦργος δὲ ἐν τῷ κατὰ Λυκόφρονος, ἀντὶ τοῦ φανερόν. Πλάτων δὲ ἀντὶ τοῦ ἐν μέσῳ. Ἰσαῖος δὲ ἀντὶ τοῦ ὑπόγυον καὶ ἐν χερσί. Φησὶ γὰρ ἐν τῇ ὑπὲρ Εὐμάθους εἰς ἐλευθερίαν ἀφαιρέσει· Ἀλλὰ τὸ [9] πρωϊζὸν, ὦ ἄνδρες Ἀθηναῖοι. τουτὶ γὰρ παντελῶς ἐμποδὼν εἶναι. ἐχρήσατο δὲ τῇ λέξει Ἱεροκλῆς τε καὶ ἄλλοι, ἀντὶ τοῦ ἐμποδίου. [10] Φησὶν ἐν β' Φιλοσοφουμένων περὶ τῶν φιλοσόφων· Τίς γὰρ αὐτῶν οὐχὶ καὶ ἔγημε, καὶ παῖδας ἀνείλετο, καὶ οὐσίας ἐπεμελήθη, μηδενὸς ἐμ-

Ab ἐμπιπλῶ autem, quod eſt verbum reduplicatum, deducitur ἐμπίπλημι. Hinc deſcendit τὸ πιμπλᾶσι, implent. Ut, *Portus commodi & tuti receſſus implent*. Primitivum autem eſt τὸ πλῶ; a quo πλήθω: ut a νῶ, νήθω. A πλῶ vero fit πλείμην; ut a βλῶ, βλείμην: cujus ſecunda perſona eſt βλεῖο; ut apud Poetam: *Si enim vulneratus fueris pugnans.* Πλείμην igitur [eſt ſimplex,] & ἐμπλείμην, [compoſitum.]

Ἔμπληκτοι. Attoniti. Inſani. *Adeo ferox erat & arrogans, ut furorem & temeritatem fortitudinem duceret.*

Ἔμπληκτοι. Leves. Inconſtantes. [Et ἐμπλήγδην, temere, ſtolide.] Homerus: *Temere alium quidem honorat.* Et Sophocles: *Tales cum ſint homines, tantæque levitatis.* Id eſt, qui in priſtina amicitia & virtute non perſeverant.

Ἐμπλημένος. Plenus. Repletus. Ariſtophanes: *Tuſſiebat totam noctem, poſtquam trichidibus piſcibus* [*pridie veſperi*] *ventrem repleviſſet.*

Ἔμπλην. Tamen.

Ἐμποδοστάτης. Qui impedit. Qui eſt impedimento.

Ἔμπλην. Prope. Eſt verbum πλῶ, quod idem valet ac πλησιάζω, accedo. Hinc deducitur πλῆμι, & per reduplicationem πιπλῶ, & πίπλημι: ut a στῶ, ἱστῶ, ἵστημι. Et πλῶ, πλήσω, πλήτης, & in compoſitione τειχεσιπλήτης: ut βῶ, βήσω, βήτης, & διαβήτης, & ἐμπυριβήτης. Porro, πλῶ, πλήσω, πλητὸς, & πλατός. Πλῶ vero [per ſyncopen formatum eſt] ex πέλω; ut ex κέλω, κλῶ. A πλῶ vero deducitur πλὴν, & cum præpoſitione ἐν, ἔμπλην; quod eſt adverbium, ſignificans, prope. Πλὴν vero, cum ſignificat χωρὶς, per antiphraſin dicitur.

Ἐμποδών. Apud Thucydidem lib. VIII. ſignificat, in promptu. Ait enim: *Cauſas, quæ in promptu ſunt, ſpectare tantum oportet, ulterius vero mentem & cogitationem non extendere.* Lycurgus vero in oratione contra Lycophronem eandem vocem poſuit pro φανερὸν, i. e. manifeſtum. Plato vero pro ἐν μέσῳ, i. e. in medio. At Iſæus pro eo, quod eſt propinquum, & in manibus, ſive præſens. Dicit enim in oratione pro Eumatho in libertatem vindicando: *Sed nuperum illud* [*facinus,*] *Athenienſes,* [*tantum memorabo.*] *Id enim plane recens adhuc eſſe, & ob oculos noſtros verſari videtur.* Hierocles vero & alii

---

[1] Ὡς δεινός τε ἦν καὶ αὐθ.] Fragmentum hoc legitur apud Agathiam lib. 1. pag. 15.

[2] Ἔμπληκτοι. κοῦφοι. εὐμετ.] Ex Scholiaſta Sophoclis ad *Ajacem* pag. 74. ut Portus obſervavit.

[3] Ὅμηρος] Odyſſ. Υ. v. 132.

[4] Ἀριστοφάνης] Apud Ariſtophanem *Eccleſiaz.* pag. 726. (486. Ed. Baſ. *P.*) locus hic rectius ſic legitur.

——Ὁ γὰρ ἀνὴρ τὴν νύχθ' ὅλην
Ἔβηττε, τριχίδων ἑσπέρας ἐμπλησμένος.

[5] Ἐμπλημένος] Apud Ariſtophanem hodie legitur ἐμπλησμένος: ut ex verbis ejus citatis patet. At Suidas infra v. Τειχίδες, ubi locus hic repetitur, habet πεπλησμένος, quod magis placet.

Ἐνίεται. Injicit. Immittit.

Ἐνίεσαν. Injecerunt. *Et turribus ignem injecerunt.*

Polybius. Fragm. Gram. 48. Post Gronov. Vol. V. 85.

Ἐνιζάνει. Inſidet. *Ille vero tyrannum e veſtigio ſecutus, certamini imminebat, quod præoccupaſſet loca plana & equitabilia.*

Ἐνιζῆσαι. Inſediſſe. In aliquo loco collocaſſe.

Ἐνίει. Injicit. Immittit. Et ἐνιεῖσα, injiciens, immittens.

Ἐνιῆνες. Enienes. [Gens.]

Ἐνίησιν. Injicit. Immittit.

Ἐνίκησε. Vicit. Superavit.

Ἐνικλᾷν. Impedire.

Ἐνιλλωπῶ, vel ἐνιλλώπω. Oculos contorqueo, vel diſtorqueo.

Ἔννιος. Ennius, poeta Romanus; quem Ælianus laude dignum eſſe dicit. Dum enim Scipionem prædicat, & virum illum magnifice extollere ſtudet, dicit, ſolum Homerum laudes Scipione dignas canere poſſe. Unde conſtat ipſum admiratum fuiſſe poetæ illius ſublimitatem, carminiſque majeſtatem & præſtantiam ſingularem. Homerum igitur egregie calluiſſe artem heroes laudandi, fortiumque virorum facta magnificis præconiis celebrandi & extollendi, ex laudibus, quibus Achillē ornavit, poeta Meſſapius optime norat.

---

[1] Ὀκτὼ παρεμβ.] Cum Porto ſuppleverim, τοῖς ὀκτὼ ἔτεσιν παρεμβ. Cæterum de argumento hoc legendi ſunt Scaliger, Petavius, & alii, qui de Chronologicis ex profeſſo ſcripſerunt.

[2] Ἐνιῆνες] Eſt nomen gentis, quæ alias etiam Αἰνιᾶνες dicitur. Vide Indicem in Euſtathium.

[3] Ὁ ποιητὴς ὁ Μεσσάπιος] Id eſt, Ennius. Is enim a Meſſapo Rege ſe oriundum ferebat. Servius ad illud Virgilii lib. VII. *Æneid.* At Meſſapus equum domitor: *Ab hoc,* inquit, *Ennius dicit ſe originem ducere.* Silius Italicus lib. XII.

Ennius antiqua Meſſapi ab origine Regis.

Ἔνικμα. ὅτι τὰ χείλη τῶν ποταμῶν ἄνδηρα λέγουσι, διὰ τὸ εἶναι ἔνικμα καὶ διερά.

Ἐνιπή. ἡ διὰ τῶν λόγων ἀτιμία. καὶ ἐπίπληξις.

Ἐνισκήφθη.[1] κατηνέχθη.

Ἐνίσπω. ἐπιπλήξω.

Ἐνίστασθαι. εὐτρεπίζεσθαι. παρασκευάζεσθαι. Μὴ διαμέλλειν, ἀλλ' ἐνίστασθαι τῷ πολέμῳ, ὡς μὴ προπαθόντες ἀμύνασθαι δέοι ἐπὶ κατειργασμένοις. Καὶ αὖθις· Ὁ δὲ Τραϊανὸς ἐδυσχέραινε, καὶ πολὺ πλέον ὥρμητο τῷ πολέμῳ ἐνίστασθαι.

Ἐνισχηθέντας. κατασχεθέντας.

Ἔνιοι. Φανεροί. καὶ οἱ μὲν, ἢ τινές.

Ἔνθα. τότε.

Ἔνθα. ὅπου.

Ἔνθεν. διὰ τοῦτο. ἔνθεν τοι.

Ἐν θέρει τὴν χλαῖναν κατατρίβεις. ἐπὶ τῶν μὴ καθ' ὥραν τοῖς ἀναγκαίοις χρωμένων.

Ἔνθεσις. ὁ ἄκολος. ὁ ψωμός. [2] Ἀριστοφάνης·

Εἴθε φαύλως, ὥσπερ εὗρες, ἐκβάλοις τὴν ἔνθεσιν.

ἐπὶ τῶν παρὰ προσδοκίαν εὐδοκιμησάντων. τὸ δὲ εὗρες, τὸ καμάτῳ καὶ πόνῳ περιγενέσθαι τινὸς, τῆς τοῦ κάμνοντος γνώμης καὶ προαιρέσεως ἐστὶν ἔλεγχος. τὸ δὲ εὑρεῖν ἁπλῶς τῆς παρατυχούσης τύχης, οὐ [3] τοῦ εὑρόντος γνώμης ἔργον. ὡς οὐκ ἐκ προνοίας κατορθώσατο, ἃ διεπράξατο, ἀλλ' ἁπλῶς εὑρόντος τὸ εὕρημα.

Ἔνθεσμον. νόμιμον.

Ἔνθου. ῥόφησον. παρὰ τὸ ἐντίθεσθαι τῷ στόματι.

Ἔνθους. τεθεοφορημένος. ἐνθουσιῶν. συναλοιφὴ δὲ τοῦ ἔνθεος. [4] Ἀππιανός· Ὁ δὲ Σκιπίων καὶ τὸ σχῆμα καὶ τὸ βλέμμα διαθεὶς ὥσπερ ἔνθους, ἔφη, τὸ δαιμόνιον ἥκειν τὸ σύνηθες αὐτῷ, καὶ καλεῖν ἐπὶ τοὺς πολεμίους. τουτέστι, θεόληπτος.

Ἐνθουσιᾷ. ὑπὸ ἐνθέου κατέχεται πνεύματος.

Ἐνθουσιαζόμενοι. ἐφορμῶντες. ἢ ἐλλαμπόμενοι.

Ἐνθουσιασμός. ὅταν ἡ ψυχὴ ὅλη ἐλλάμπηται ὑπὸ τοῦ Θεοῦ.

Ἐνθουσιώσας. Πισίδης·

Καὶ τὰς ἀθέσμους ἡδονὰς τοῦ βαρβάρου,
Ἐνθουσιώσας τῇ πυρώσει τῆς μέθης
Ἐπεξανῆπτον. ———

ἀντὶ τοῦ ἐξανεγειρούσας, μαινομένας.

Ἔνθ' οὔτε μίμνειν ἄνεμος, οὔτ' ἐκπλεῖν ἐᾷ. ἐπὶ τῶν δυσχρήστοις περιπεσόντων τοῦτο λέγεται. Φησὶ δὲ αὐτὸ παρ' Αἰσχύλῳ ὁ Φιλοκτήτης.

Ἔνθρυπτον.[5] τὸ ἐκ πέμματος. ὅ ἐστι πλακοῦς. ἢ τὸ [6] ἐνθρυπτόμενον βρῶμα. ἔνιοι ταῖς τελεταῖς αὐ-

Ἔνικμα. Humida. Uda. Rigua. Fluviorum crepidines ἄνδηρα vocant, quod ſint humidæ & udæ.

Ἐνιπή. Increpatio. Objurgatio.

Ἐνισκήφθη. Cum impetu delatus eſt. Delatus eſt.

Ἐνίσπω. Increpo. Objurgo.

Ἐνίστασθαι. Inſtare. Urgere. Se parare, vel accingere. *Non eſſe cunctandum, ſed bello inſtandum, ne priores ab hoſte læſi injuriam vindicare cogerentur.* Et iterum: *Trajanus vero indignans, longe majori ſtudio bellum urgere conſtituit.*

Ἐνισχηθέντας. Impeditos. Detentos

Ἔνιοι. Quidam.

Ἔνθα. Tunc.

Ἔνθα. Ubi.

Ἔνθεν. Hinc. Propterea.

Ἐν θέρει τὴν χλ. Æſtate lænam deteris. De iis dicitur, qui rebus neceſſariis alieno tempore utuntur.

Ἔνθεσις. Fruſtum panis. Buccella. Ariſtophanes: *Utinam buccellam male inventam male rurſus ex ore ejicias.* Dicitur hoc de iis, qui præter ſpem ex re bene geſta laudem & gloriam conſequuntur. Illud autem εὗρες, cum ſignificat labore & ſtudio rem aliquam conſequi, arguit prudentiam & conſilium ejus, qui operam in re aliqua ponit. Simpliciter vero rem aliquam adipiſci, fortunæ debetur, non autem prudentiæ & conſilio ejus, qui aliquid conſecutus eſt. Quare Cleon non conſilio res feliciter geſſit, ſed caſu.

Ἔνθεσμον. Legitimum. Licitum.

Ἔνθου. Sorbe. Proprie, ori inſere.

Ἔνθους. A numine agitatus. Numine aliquo afflatus. Fanaticus. Per ſynalœphen vero ἔνθους dicitur pro ἔνθεος. Appianus: *Scipio autem & habitu & vultu fanaticum furorem præ ſe ferens, dixit, Genium familiarem ſibi apparuiſſe, &, ut in hoſtem iret, hortatum eſſe.*

Ἐνθουσιᾷ. Fanatico furore agitatur. Numine aliquo afflatus furit.

Ἐνθουσιαζόμενοι. Fanaticorum inſtar irruentes. Vel, illuminati.

Ἐνθουσιασμός. Afflatus numinis. Vel, cum anima tota a Deo illuminatur.

Ἐνθουσιώσας. Inſanientes. Piſides: *Et nefarias inſanaſque voluptates Barbari calore temulentiæ inſuper accendebant.*

Ἔνθ' οὔτε μίμν. *Ubi neque manere, neque exire ventus nos ſinit.* Dicitur hoc de illis, qui in res difficiles & moleſtas incidunt. Id autem Philoctetes apud Æſchylum dicit.

Ἔνθρυπτον. Placenta. Vel, intritum. Quidam edulium hoc Initiis & ſacris convenire τὸ προσοικειοῦσι. καὶ Ἀπόλλων δὲ παρ' Ἀθηναίοις Ἔνθρυπτος.

---

[1] Ἐνισκήφθη] Imo ἐνεσκήφθη.

[2] Ἀριστοφάνης] *Equit.* pag. 311. (211. Ed. Baſ. *P.*) ubi vide Scholiaſtam, quem Noſter compilavit.

[3] Οὐ τοῦ εὑρόντος γν.] Sic recte Scholiaſta Ariſtophanis loco laudato. At priores Editt. καὶ τοῦ εὑρόντ. quod ſenſui omnino repugnat. Nos igitur manifeſtum errorem correximus, & τὸ οὐ pro καὶ, etiam abſque MStorum auctoritate, Suidæ reſtituere non dubitavimus.

[4] Ἀππιανός] *De Bellis Hiſpanicis*, pag. 450.

[5] Ἔνθρυπτον, τὸ ἐκ πέμμ.] Eadem habent Harpocratio, Heſychius, & Etymologus.

[6] Ἐνθρυπτόμενον] Sic ex MSS. correxi. Priores enim Editt. itemque Heſychius & Etymologus, male habent ἐνθρυβόμενα. Poſſis etiam ſcribere ἐντριβόμενα: quod & Portus monuit.

Ἐνθύμημα.[1] οὕτω λέγονται οἱ ῥητορικοὶ συλλογισμοί. ἐν ἐκείνοις γὰρ διὰ μιᾶς προτάσεως δοκεῖ γίνεσθαι ὁ συλλογισμὸς, τῷ τὴν ἑτέραν γνώριμον οὖσαν ὑπὸ τῶν δικαστῶν ἢ τῶν ἀκροατῶν προστίθεσθαι. οἷον, οὗτος ἄξιός ἐστι κολάσεως. προδότης γάρ ἐστι. προστίθησι γὰρ ὁ δικαστὴς, ὡς ἐναργὲς, τὸ, πάντα τὸν προδότην κολάσεως ἄξιον εἶναι. ἐφ' ὧν οὖν μὴ γνώριμόν ἐστι τὸ παραλειπόμενον, οὐκέτι ἐπὶ τούτων οἷόν τε τὸν δι' ἐνθυμήματος γίνεσθαι συλλογισμόν. ὁ γὰρ συλλογισμὸς σύνθεσίν τινα λόγων ἔοικε σημαίνειν.

Ἐνθυμήσιον.[2] ἄπειρον. ἔννομον.

Ἐνθυμιζόμενοι. λογιζόμενοι. οὕτω Δίων ἐν ἑπτακαιδεκάτῳ Ῥωμαϊκῶν.

Ἐνθύμιον.[3] ἄπορον. σεμνόν. κατὰ νοῦν. Καὶ δὴ τὰ πραχθέντα ἔθετο ἐνθύμιον, καὶ γενόμενος τῶν Μυρμιδόνων ἐγκρατὴς, παραλύει τὸν Ἄκαστον τῆς ἀρχῆς.

Ἐνθύμιον. Καὶ ἐγκατάλειμμα ἐνθυμίου βραχύ τι μόριον.

Ἐνθυμούμενοι. γενικῇ. Μή ποτε τῶν κοινῶν βίων ἐνθυμηθείς. καὶ αἰτιατικῇ δέ· Εἰ μή τι γε ἄλλο, ἐκεῖνο ἐνθυμούμενος.

Ἐνθύμιστον. ὕποπτον.

Ἐν Καρὶ τὸν κίνδυνον. ἐπὶ τῶν μισθῷ πωλούντων τὰ οἰκεῖα δυσχερῆ. διὰ τὸ τοὺς Κᾶρας πρώτους ἀνθρώπων μισθοῦ στρατεύεσθαι. εἴρηται οὖν ἡ παροιμία ἐπὶ τῶν ἐν ἀλλοτρίοις κινδυνευόντων.

Ἐν Καρὸς εἵπετο τάξει. ἀντὶ τοῦ ἐμισθοφόρει. ἐπειδὴ πρῶτοι Κᾶρες ἐμισθοφόρησαν.

Ἓν κηρίον. ἐπὶ πολλῶν ὁμοφωνούντων, ἢ στασιαστῶν, ἢ συνωμοτῶν.

Ἐν Κλάρῳ. σύνηθες τοῖς παλαιοῖς τὸ λέγειν, ἐπὶ μὲν τῶν Θεῶν, ὁ ἐν Μελίτῃ, ὁ ἐν Κλάρῳ· ἐπὶ δὲ ἀνθρώπων, ὁ ἐκ Κλάρου. ὡσαύτως καὶ ἐπὶ πάσης πόλεως καὶ χώρας.

Ἐν[4] Λίμναις [5] Διονύσιον. τόπος ἐστὶν ἐν Ἀθήναις Λίμναι, ἐν ᾧ ὁ τιμώμενος Διόνυσος.

Ἐν λόγῳ. ἐν τῇ ὑποθέσει. [6] Ἀριστοφάνης Ὄρνισιν·

Ἡμεῖς γὰρ ἄνδρες οἱ παρόντες ἐν λόγῳ.

Ἐν μετεώρῳ ἦν ἡ ναῦς. ἀντὶ τοῦ πελάγιος, καὶ μὴ [7] ἐπ' ἀγκυρῶν ἱσταμένη, ἀλλὰ ἀπέχουσα τῆς γῆς.

dicunt. Apud Athenienſes quoque Apollo vocatur Ἔνθρυπτος.

Ἐνθύμημα. Enthymema. Rhetorici ſyllogiſmi ſic appellantur: qui una tantum propoſitione conſtant, quod altera, quæ nota eſt, a Judicibus vel auditoribus addatur. Ut, Hic pœna dignus eſt. Eſt enim proditor. Judex enim ut rem evidentem addit illud, Omnem proditorem pœnis dignum eſſe. In quibus vero rebus, id, quod prætermittitur, non eſt notum, in iis per enthymema ſyllogiſmus confici non poteſt. Syllogiſmus enim certam quandam rationum connexionem videtur ſignificare.

Ἐνθυμήσιον. Infinitum. Legitimum.

Ἐνθυμιζόμενοι. Cogitantes. Reputantes. Ita Dio libro XVII. *Rerum Romanarum.*

Ἐνθύμιον. Dubium. Venerabile. Quod animo volvitur. [Quod ominis loco ducitur.] *Ille vero id, quod acciderat, ominis loco duxit, Myrmidonibuſque ſubactis, Acaſtū regno exuit.*

Ἐνθύμιον. Quod mente verſatur. * * * *

Ἐνθυμούμενοι. Genitivo jungitur. *Ne forte de communibus vitis cogitans.* Item accuſativo. *Si nihil aliud, illud ſaltem cogitans.*

Ἐνθύμιστον. Suſpectum.

Ἐν Καρὶ τὸν κίνδυνον. In Care periculum. Dicitur de iis, qui moleſtias pro aliis mercede ſuſcipiunt. Cares enim primi mortalium mercede militarunt. Proverbium igitur hoc dicitur in eos, qui pro aliis pericula ſuſcipiunt.

Ἐν Καρὸς εἵπ. Caris loco ſequebatur. Id eſt, mercede militabat. Primi enim Cares ſtipendia meruerunt.

Ἓν κηρίον. Unus favus. Proverbium hoc dicitur de pluribus, qui conſpirant, vel ſeditioſis, vel conjuratis.

Ἐν Κλάρῳ. In Claro. Antiquis uſitatum eſt, de Diis quidem dicere, Ille, qui eſt in Melite, vel in Claro: de hominibus vero, Ille, qui eſt ex Claro: idemque de quavis alia urbe & regione dicendum eſt.

Ἐν Λίμναις Διον. In Limnis Bacchi templum. Limnæ locus erat Athenis, in quo Bacchus colebatur.

Ἐν λόγῳ. In argumento. Ariſtophanes *Avibus: Nos enim viri, qui ratione præſentes ſumus.*

Ἐν μετεώρῳ ἦν ἡ ν. Navis in alto fluctuabat, ancoris non firmata, & a terra longe diſtans.

---

[1] Ἐνθύμημα. οὕτω λέγονται οἱ ῥητ.] Hæc, & quæ ſequuntur uſque ad finem articuli, ſunt verba Alexandri Aphrod. in *Topic.* lib. I. pag. 7. ut Pearſonius obſervavit.

[2] Ἐνθυμήσιον. ἄπειρον. ἔνν.] Sic etiam Heſychius. Idem tamen paulo poſt: Ἐνθύμιον. ἄπορον. σεμνόν: quæ ipſa etiam apud Suidam ſuo loco legas.

[3] Ἐνθύμιον] Huc ſpectant verba Scholiaſtæ Thucyd. ad lib. VII. cap. L. Ἐνθύμιον ποιούμενοι. δεισιδαιμονήσαντες, ἢ ἐκλογισάμενοι, κατὰ νοῦν ἔχοντες.

[4] Ἐν Λίμναις Διονύσιον] Ex Harpocratione.

[5] Διονύσιον] Id eſt, templum Bacchi. Erat autem hoc templum Bacchi in ipſa urbe Athenarum prope Arcem ſitum, ut diſcimus ex hoc loco Thucydidis lib. II. cap. XV. Τὰ γὰρ ἱερὰ ἐν αὐτῇ ἀκροπόλει καὶ ἄλλων Θεῶν ἐστι· καὶ τὰ ἔξω πρὸς τοῦτο τὸ μέρος τῆς πόλεως μᾶλλον ἵδρυται, τό, τε τοῦ Ὀλυμπίου, καὶ τὸ Πύθιον, καὶ τὸ τῆς Γῆς, καὶ τὸ ἐν Λίμναις Διονύσου. Scholiaſta ad eum locum: Λίμναι· τόπος ἐν τῇ ἀκροπόλει τῶν Ἀθηνῶν. Sed fallitur. Non enim Thucydides dicit, templum Bacchi Limnæi fuiſſe in ipſa Arce, ſed extra eam; prope tamen: ut ex verbis ejus adductis patet. Errorem hunc Scholiaſtæ notavit etiam Meurſius *Athen. Attic.* lib. III. cap. IV. quem adi. Ariſtophanes *Ranis* pag. 222.

Διόνυσον ἐν Λίμναισιν ἰαχήσαμεν.

Scholiaſta ad eum locum: Λίμναι, χωρίον τῆς Ἀττικῆς, ἐν ᾧ Διονύσου ἱερόν. Καλλίμαχος· Λιμναίῳ δὲ χοροστάδας ἦγον ἑορτάς. Plura vide apud Meurſium loco laudato.

[6] Ἀριστοφάνης Ὄρνισι] Pag. 543. (369. Ed. Baſ. P.)

[7] Μὴ ἐπ' ἀγκυρῶν] In prioribus Editt. negatio μὴ male omiſſa eſt, quam ex 2 MSS. Pariſ. revocavi.

Ἐν[1] μύρτου κλάδῳ τὸ ξίφος [2]κρατήσω. ὅ, τε Ἁρμόδιος καὶ Ἀριστογείτων, ἐν μύρτοις [3]ῥίψαντες τὸ ξίφος, Ἵππαρχον τὸν τύραννον ἀπέκτειναν.

Ἐνόδιον. τὸ ἐπὶ τῆς ὁδοῦ. Ἐνώδιον δὲ, τὸ ἐνώπιον· παρὰ τὸ οἰδεῖν τὰ ὦτα.

Ἐν ὁδῷ ἦσαν. ἐν ἔργῳ, ἐν ἔργοις, ἐν βίῳ, ἐν πίστει.

Ἐν ὅλμῳ ἐκοιμήθη. οἱ μὲν ὅλμον φασὶ μαντεῖον. οἱ δὲ τοὺς ἐν ὅλμῳ κοιμηθέντας μαντικοὺς γίνεσθαι. ὅτι καὶ οἱ τρίποδες τοῦ Ἀπόλλωνος, ὅλμοι καλοῦνται.

Ἐνόν. δυνατόν. ἢ ἐνυπάρχον. Οἱ δὲ οἷα δήπου θυσίαν λιτὴν ἐκ τῶν ἐνόντων καὶ παρόντων προσαχθεῖσαν αὐτοῖς ἐπαινοῦντες.

Ἐνοπή. πόλεμος. μάχη. Ὅμηρος·

Τρῶες μὲν κλαγγῇ τ' ἐνοπῇ τ' ἴσαν, ὄρνιθες ὥς.

καὶ αὖθις·

Οἷα περ[4] οὐκ ἐνοπᾶς, ἀλλὰ χορῶν ἔναρα,
Οἷς θάλαμον κοσμεῖτε γαμήλιον. --

Ἔνοπτρον. τὸ κάτοπτρον.

Ἐνόρσας. ἐμβαλών. μίξας.

Ἔνορχα. ἄρσενα.

Ἔνος. ὁ ἐνιαυτός.

Ἐνόσει. ἠῤῥώστει. Ὁ δὲ ἔπραττε κακῶς, καὶ πᾶσα ἡ οἰκία αὐτοῦ ἐνόσει, καὶ τὰ τῆς ἐμπορείας ἐπικερδῆ ἥκιστα ἦν αὐτῷ.

Ἐνοσίγαιος. ὁ κινῶν τὴν γῆν. σεισμοὺς ποιῶν.

Ἔνοσις. ἡ κίνησις. ἡ μίξις.

Ἐνοσίχθων. σείων τὴν γῆν.

Ἔννους. ὁ συνετός. [5]Σοφοκλῆς·

Ἔννους τὰ καινὰ τοῖς πάλαι τεκμαίρεται.

ἔννους ἀνὴρ διὰ τῶν φθασάντων τὰ παρόντα γινώσκει. εἰ γὰρ ὁ ὑπὸ Ἀπόλλωνος δοθεὶς χρησμὸς ἠκύρωται, δηλονότι καὶ τὰ νῦν, ἃ ἐμαντεύσατο ὁ Τειρεσίας. [6]καὶ αὖθις· Ταῦτα δράσας ὕστερον ἔννους ἐγένετο, καὶ ἐσωφρόνησεν.

Ἐνοφθαλμισμῶν. θεαμάτων.

Ἐνοχλῶ σοι. δοτικῇ. ἔστι δὲ καὶ αἰτιατικῇ· Ὁ δὲ ὠκυτάτοις ἵπποις αὐτὸν ἐνώχλει καὶ ὑπέφευγε.

Ἔνοχος. ὑπαίτιος. [7]Τίμαιος κατὰ τοῦ Ἐφόρου

Ἐν μύρτου κλ. *In myrti ramo enſem geſtabo.* Harmodius & Ariſtogiton, enſe in myrti ramis occultato, Hipparchum tyrannum interfecerunt.

Ἐνόδιον. In via poſitum. Quod in via nobis occurrit. Ἐνώδιον vero, per ω, idem quod ἐνώπιον, inauris: quod dictum eſt ab οἰδεῖν intumeſcere: quod aures [perforatæ] intumeſcant.

Ἐν ὁδῷ ἦσαν. In via erant. Id eſt, in opere, in operibus, in vita, in fide.

Ἐν ὅλμῳ ἐκ. In Holmo dormivit. Alii quidem ὅλμον dicunt eſſe oraculum. Alii vero tradunt, eos, qui in Holmo dormierint, vaticinandi peritos fieri. † Tripodes Apollinis etiam vocantur ὅλμοι.

Ἐνόν. Quod fieri poteſt. Vel, quod alicui rei ineſt. *Illi vero ſacrificium, tenue quidem, ſed quod pro facultatibus & præſenti rerum copia ab ipſis oblatum erat, æqui bonique conſulentes.*

Ἐνοπή. Bellum. Pugna. Clamor. Homerus: *Trojani vero cum clangore & clamore in hoſtes ibant, velut aves.* Et in Epigrammate: *Spolia, non qualia ſunt ea, quæ hoſtibus detrahuntur, ſed ſimilia inſtrumentis chororum, quibus thalamum nuptialem exornatis.*

Ἔνοπτρον. Speculum.

Ἐνόρσας. Qui injecit. Qui immiſit. Qui miſcuit.

Ἔνορχα. Coleata. Teſticulata. Maſcula.

Ἔνος. Annus.

Ἐνόσει. Morbo laborabat Ægrotabat. *Ille vero rem minus ex ſententia gerebat, totaque ejus domus morbo laborabat, & ex mercatura nullum vel minimum quæſtum faciebat.*

Ἐνοσίγαιος. Terram quatiens. Terræ motuum auctor.

Ἔνοσις. Motio. Quaſſatio. Mixtio.

Ἐνοσίχθων. Terræ quaſſator.

Ἔννους. Prudens. Sapiens. Sophocles: *Vir prudens ex præteritis æſtimat præſentia.* Sive, vir cordatus ex præteritis cognoſcit præſentia. Si enim oraculum ab Apolline redditum eventus irritum demonſtravit; certum eſt & ea, quæ Tireſias vaticinatus eſt, irrita fore. Et iterum: *Hæc cum feciſſet, ad ſe rediit, & ſanam mentem recepit.*

Ἐνοφθαλμισμῶν. Spectaculorum.

Ἐνοχλῶ σοι. Dativo jungitur. Moleſtus tibi ſum. Item accuſativo. *Ille vero velociſſimis equis eum nunc laceſſebat, nunc rurſus effugiebat.*

Ἔνοχος. Obnoxius. Reus. *Timæus Epho-*

---

[1] Ἐν μύρτου κλάδῳ τὸ ξ.] Hæc referenda ſunt ad locum illum Ariſtophanis *Lyſiſtr.* pag. 876. (555. Ed. Baſ. *P.*)

Ἀλλ' ἐμοῦ μὲν οὐ τυραννεύσουσιν, ἐπεὶ φυλάξομαι,
Καὶ φορήσω τὸ ξίφος τὸ λοιπὸν ἐν μύρτου κλαδί.

Scholiaſta ineditus ad illum locum: Ὅτι ἐν μυρσίνῳ κλάδῳ τὸ ξίφος φορέσομαι, ὥσπερ Ἁρμόδιος καὶ Ἀριστογείτων. οὗτοι γὰρ ἀπὸ μυρσίνων κλάδων τὰ ξίφη ἀνασπάσαντες, τὸν τύραννον κατέβαλον. Hæc verba Scholiaſtæ deſcripſit Suidas ſupra v. Ἀγοράσω. & infra v. Φορήσω.

[2] Κρατήσω] Rectius φορήσω: ut habet Ariſtophanes loco laudato, & ipſe Suidas infra v. Φορήσω. Eandem lectionem confirmat etiam Athenæus lib. xv. pag. 695. ubi ſic legitur:

Ἐν μύρτου κλαδὶ τὸ ξίφος φορήσω,
Ὥσπερ Ἁρμόδιος καὶ Ἀριστογείτων,
Ὅτε τὸν τύραννον ἐκαινέτην, &c.

Sic enim locum illum diſtinguendum eſſe puto.

[3] Ῥίψαντες] Meurſius in *Piſiſtrato* cap. XIII. & Portus ad hunc locum, ſcribendum cenſent κρύψαντες. Recte. Harmodius enim & Ariſtogiton Hipparchum non aperta vi, ſed ex inſidiis occiderunt, gladio in myrti ramis occultato.

[4] Οἷά περ οὐκ ἐνοπ.] Fragmentum hoc legitur Anthol. lib. VI. cap. XXV. Epigr. XV. ut Portus etiam monuit. Vide etiam ſupra v. Ἔναρα.

[5] Σοφοκλῆς] *Oedip. Tyran.* pag. 190. ut Portus obſervavit. Vide ad eum locum Scholiaſtam, cujus ſcrinia Suidas hic compilavit.

[6] Καὶ αὖθις· Ταῦτα δρ.] Hæc, & quæ ſequuntur, in prioribus Editt. male poſt verba Sophoclis collocata ſunt, ubi ſenſum & ſeriem orationis omnino interrumpunt.

[7] Τίμαιος κατὰ τοῦ Ἐφόρου πεπ.] Hæc, & quæ ſequuntur, ſunt verba Polybii, quæ Suidas ſumpſit ex Collectaneis Conſtantini a Valeſio editis, pag. 54. ubi eadem αὐτολεξεὶ leguntur.

πεποίηται καταδρομὴν, αὐτὸς ὢν δυσὶν ἁμαρτήμασιν ἔνοχος· τῷ μὲν, ὅτι πικρῶς κατηγορεῖ τῶν πέλας ἐπὶ τούτοις, οἷς αὐτὸς ἔνοχός ἐστι· τῷ δὲ, ὅτι καθόλου διέφθαρται τῇ ψυχῇ, τοιαύτας ἀποφάσεις ἐντιθέμενος τοῖς ὑπομνήμασι.

Ἐνώδιον. τὸ ἐνώπιον. παρὰ τὸ οἰδεῖν τὰ ὦτα.

Ἐνώμα. ἐκίνει.

Ἐνωμόρξατο. ἀπεμάξατο. ἀπεψήσατο.

Ἐνωμοτάρχης.[1] τάξεώς τινος στρατιωτικῆς ἄρχων παρὰ Λακεδαιμονίοις.

Ἐνωμοτία.[2] τάξις τις στρατιωτικὴ ἀνδρῶν ε' καὶ κ', παρὰ Λακεδαιμονίοις. εἴρηται δὲ ἐκ τοῦ ὀμνύναι αὐτοὺς μὴ λείψειν τὴν τάξιν. οἱ δὲ ἐνωμοτίαν τὸ ἥμισυ τοῦ λόχου· τὸ αὐτὸ καὶ δεκανίαν. οἱ δὲ τὸ τέταρτον τοῦ λόχου ἐνωμοτίαν φασί. καὶ ἐνωμοτάρχης, ὁ αὐτῆς ἄρχων.

Ἐνωμοτία. ἡ [3] ἀνταρσία.

Ἐνώμοτος. ἔνοχος τοῖς ὅρκοις. βέβαιος. καὶ ὁ ἀντάρτης.

Ἐνωμότως. ἐπιρρηματικῶς. ὁμοίως.

Ἐνών. ἐνυπάρχων. Παρήγγειλε μὴ ἄρα πού τις ἀπὸ τῆς ἄλλης στρατείας ἐνὼν, ἐπηρεάζῃ αὐτοῖς.

Ἐνωπή. ἡ πρόσοψις.

Ἐνώπια. εὐθέα.

Ἐνώπιον, καὶ ἐνώπιος. καὶ ἐνωπίως. ἔμπροσθεν.

Ἐνωρμίσθη. προσωρμίσθη.

Ἐννώσας. [4] παρὰ Ἡροδότῳ, διανοηθείς.

Ἕνωσις. διεστώτων πραγμάτων κοινωνικὴ συνδρομή. κατὰ δέκα δὲ τρόπους εἴρηται παρὰ τῇ θείᾳ γραφῇ. ἕνωσις δὲ εἴρηται, διὰ τὸ εἰς ἓν συνωθεῖσθαι τὰ πράγματα. γίνεται δὲ κατὰ δέκα τρόπους. κατ' οὐσίαν, ὡς [5] ἐπὶ τῶν ὑποστάσεων, τουτέστι τῶν ἀτόμων. καθ' ὑπόστασιν, ὡς ἐπὶ ψυχῆς καὶ σώματος. κατὰ σχέσιν, ὡς ἐπὶ τῶν γνωμῶν, ὡς ἓν θέλημα. κατὰ παράθεσιν, ὡς ἐπὶ τῶν σανίδων. καθ' ἁρμονίαν, ὡς ἐπὶ τῶν λίθων. κατὰ κρᾶσιν, ὡς ἐπὶ τῶν ὑγρῶν, οἴνου καὶ ὕδατος. κατὰ φύρσιν, ὡς ἐπὶ τῶν ξηρῶν καὶ ὑγρῶν, ἀλεύρου καὶ ὕδατος. κατὰ σύγχυσιν, ὡς ἐπὶ τῶν τηκτῶν, κηροῦ καὶ πίσσης. κατὰ σωρείαν, ὡς ἐπὶ τῶν ξηρῶν, σίτου καὶ κριθῆς. κατὰ συναλοιφὴν, ὡς ἐπὶ τῶν ἀποσπωμένων, καὶ αὖθις ἀποκαθισταμένων· οἷον λαμπάδος πυρὸς προερχομένης, καὶ πάλιν ἀποκαθισταμένης.

rum vehementer inſectatus eſt, cum ipſe duobus peccatis ſit obnoxius: uni quidem, quod alios acerbe criminetur ob ea maxime vitia, quorum ipſe reus eſt: alteri vero, quod ingenio fuerit plane corrupto, qui tales ſententias commentariis ſuis inſeruerit.

Ἐνώδιον. Idem quod ἐνώπιον. Inauris. Ab οἰδεῖν intumeſcere: quod aures [perforatæ] intumeſcant.

Ἐνώμα. Movebat. Agitabat.

Ἐνωμόρξατο. Abſterſit. Deterſit.

Ἐνωμοτάρχης. Enomotarcha. Apud Lacedæmonios ita vocatur ordinis cujuſdam militaris dux.

Ἐνωμοτία. Enomotia. Apud Lacedæmonios ita vocatur ordo quidam militaris xxv. virorum: ſic dictus, quod jurarent, ſe ordines ſuos non eſſe deſerturos. Alii vero ajunt, Enomotiam eſſe dimidiam partem λόχου; ſive δεκανίαν, i. e. Decuriam. Alii vero dicunt, Enomotiam eſſe quartam partem Lochi. Et Enomotarcha eſt ordinis illius dux.

Ἐνωμοτία. Conjuratio. Rebellio.

Ἐνώμοτος. Jurejurando obſtrictus. Conjuratus. Item, rebellis.

Ἐνωμότως. Adverbium. Facta conjuratione.

Ἐνών. Qui ineſt. *Præcepit, ne, ſi quis forte alterius expeditionis miles adeſſet, illis inſultaret.*

Ἐνωπή. Intuitus. Aſpectus.

Ἐνώπια. Recta. Quæ ſunt ante oculos.

Ἐνώπιον. Quod in conſpectu poſitum eſt. Et ἐνωπίως. In conſpectu. Coram.

Ἐνωρμίσθη. Ad portum appulit.

Ἐννώσας. Apud Herodotum ſignificat, qui intellexit, qui conſideravit.

Ἕνωσις. Unio, quæ eſt rerum disjunctarum in unum coitio. Ea autem decem modis in S. Scriptura ſumitur. Sive, unio dicta eſt, quod res diverſæ in unum cogantur: quæ decem modis fit. Secundum eſſentiam: ut in ſubſtantiis, ſive iis rebus, quæ dividi nequeunt. Secundum ſubſtantiam: ut in anima & corpore. Secundum affectionem, vel congruentiam: ut in ſententiis, cum plurium una eſt voluntas. Secundum appoſitionem: ut in tabulis. Secundum coagmentationem, ut in lapidibus. Secundum mixtionem: ut in liquidis, veluti vino & aqua. Secundum commixtionem, vel ſubactionem: ut in ſiccis & liquidis, veluti farina & aqua. Secundum confuſionem: ut in iis, quæ liqueſiunt, veluti cera & pice. Secundum accumulationem: ut in ſiccis, veluti tritico & hordeo. Secundum ſynalœphen: ut in iis, quæ ab aliqua re avelluntur, & eidem denuo reſtituuntur; veluti in face, quæ ex igne accenditur, & eidem rurſus reſtituitur.

---

[1] Ἐνωμοτάρχης] Vide infra v. Μορῶν.

[2] Ἐνωμοτία] Thucydides lib. v. cap. LXVIII. Lacedæmoniorum aciem deſcribens, etiam Enomotiæ meminit. Verba ejus hæc ſunt: Λόχοι μὲν γὰρ ἐμάχοντο ἑπτὰ, ἄνευ Σκιριτῶν, ὄντων ἑξακοσίων. ἐν δὲ ἑκάστῳ λόχῳ πεντηκοστύες ἦσαν τέσσαρες, καὶ ἐν τῇ πεντηκοστύϊ, ἐνωμοτίαι τέσσαρες. Scholiaſta ad eum locum dicit, in unaquaque Enomotia fuiſſe viros XXXII. a quo hic diſcrepat Suidas, qui XXV tantum viros Enomotiæ aſſignat. Sed hæc accuratius examinare, non eſt hujus loci.

[3] Ἀνταρσία] Eſt vox recentiorum Græcorum, *rebellionem* ſignificans: de qua vide Dufrenium in Gloſſario Græco.

[4] Παρὰ Ἡροδότῳ] Lib. 1. pag. 17. lin. 27. ut Portus monuit.

[5] Ὡς ἐπὶ τῶν ὑπος——καθ' ὑπόστασιν] Hæc verba non ſine diſpendio ſenſus in prioribus Editt. omiſſa ſunt, quæ ex 2 MSS. Pariſ. revocavi.

Ἐνώτια. κόσμος περὶ τὰ ὦτα. Ὁ δὲ ἐνωτίοις ἐκ μαργάρων κεκοσμημένοις δωρεῖται αὐτόν.

Ἐνωτίζω. αἰτιατικῇ. τὸ ἀκούω. καὶ ἐνώτισαι, ἄκουσον. εἴσω τῶν ὤτων γενέσθαι ποίησον. Ἐνώτισε δέ, [1] τὰ νῶτα περιεσκέπασεν.

Ἐν παντὶ μύθῳ καὶ τὸ Δαιδάλου μύσος. [2] Πασιφάην φασὶν ἐρασθεῖσαν ταύρου, Δαίδαλον ἱκετεῦσαι, ποιῆσαι ξυλίνην βοῦν, καὶ κατασκευάσαντα αὐτὴν ἐνθεῖναι· ἣν ἐπιβαίνων ὡς βοῦν ὁ ταῦρος, ἐγκύμονα ἐποίησεν. ἐξ ἧς ἐγεννήθη ὁ Μινώταυρος. Μίνως δὲ διά τινας αἰτίας ὀργιζόμενος τοῖς Ἀθηναίοις, ἑπτὰ παρθένους καὶ ἴσους νέους ἐξ αὐτῶν ἐδασμολογεῖτο· οἳ παρεβάλλοντο τῷ θηρίῳ. εἰς Δαίδαλον οὖν ἀρχηγὸν τούτων τῶν κακῶν αἴτιον γενόμενον, καὶ μυσαχθέντα, ἐξηνέχθη ἡ παροιμία.

Ἐν παραβύστῳ. ἐν μυστηρίῳ. [3] Ἠράσθη αὐτοῦ τὰ μὲν πρῶτα ἐν παραβύστῳ, τελευτῶσα δὲ καὶ οἰκετῶν παρόντων.

Ἐν παραβύστῳ. ἐν ἀποκρύφῳ. Προκόπιος· Ὕβριζον ἐς αὐτὸν οὐ σιγῇ, οὐδὲ ἐν παραβύστῳ, ἀλλ' ἐς ὄψιν.

Ἐν παρενθήκης μέρει. ἐν περιουσίας μέρει.

Ἐν παιδοτρίβου. εἰς τὸν τόπον, ὅπου γυμνάζονται καὶ διατρίβουσιν οἱ παῖδες. [4] Ἀριστοφάνης Νεφέλαις·

> Ἐν παιδοτρίβου δὲ βαδίζοντας, τὸν μηρὸν ἔδει
> προβαλέσθαι.

τουτέστιν, εὐκόσμως καθῆσθαι, ὡς μηδὲν τοῖς περιεστῶσιν ὑποδεῖξαι ἄκοσμον.

Ἐν [5] πέντε κριτῶν γόνασι. παρ' ὅσον τὸ παλαιὸν ε' κριταὶ ἔκρινον τοὺς κωμικούς, ὡς φησὶν Ἐπίχαρμος. σύγκειται δὲ παρ' Ὁμήρῳ, Θεῶν ἐν γούνασι κεῖται. ἐπειδὴ οἱ κριταὶ ἐν τοῖς γόνασιν εἶχον, ἃ νῦν εἰς γραμματεῖα ἐγγράφεται.

Ἐν πίθῳ τὴν κεραμείαν μανθάνειν. παροιμία ἐπὶ τῶν τὰς πρώτας μὲν μαθήσεις ὑπερβαινόντων, ἁπτομένων δὲ τῶν μειζόνων. τουτέστι τῶν παριέντων τὰς πρώτας μαθήσεις, καὶ ἐφιεμένων τῶν τελευταίων.

Ἐν προσχήματι. ἐν ὑποκρίσει.

Ἐν Πυθίῳ κρεῖττον ἦν ἀποπατῆσαι. οἷον κινδυνεῦσαι. καταφρονούντων γάρ τινων Ἀπόλλωνος, καὶ ἐν τῷ τεμένει αὐτοῦ ἀποπατούντων, Πεισίστρατος ἔγραψε νόμον, τὸν ἁλόντα ἐπὶ τούτῳ, θνήσκειν. καταγελώντων δὲ τοῦ γράμματος, καὶ πλειόνων μᾶλλον τοῦτο ποιούντων, ἔστησε φύλακας. ληφθέντος δέ τινος, ἐκέλευσε δήσαντας αὐτόν, παρὰ τὴν ὁδὸν μαστιγοῦν, κηρύσσοντας, ὅδ' ἀνὴρ κολασθεὶς ἀποθανεῖται, ὅτι ὀλιγωρεῖ τοῦ γράμματος. κολασθέντος δέ, οὕτω ἐνέδυ τὸ γινόμενον τοῖς Ἀθηναίοις, ὥστε νῦν τοὺς κακοπαθοῦντας, ἢ

Ἐνώτια. Ornamenta aurium. Inaures. *Ille vero inauribus, quæ margaritis ornatæ erant, eum donat.*

Ἐνωτίζω. Accuſativo jungitur. Audio. Et ἐνώτισαι, audi, auribus percipe. Ἐνώτισε vero, terga contexit.

Ἐν παντὶ μύθῳ καὶ τὸ Δαιδ. *In omni fabula & Dædali flagitium memoratur.* Paſiphaen ajunt amore tauri captam, Dædalum oraſſe, ut ligneam vaccam conficeret, ſeque opere perfecto in eam includeret. Cum igitur illam taurus ut vaccam iniens gravidam feciſſet, natus inde eſt Minotaurus. Minos vero quibuſdam de cauſis Athenienſibus iratus, ſeptem virgines, totidemque pueros, monſtro illi objiciendos, tributi nomine ab eis exegit. In Dædalum igitur, ut illorum malorum auctorem, & ideo exoſum, proverbium hoc jactatum fuit.

Ἐν παραβύστῳ. Clam. In occulto. *Primum quidem ipſum clam amavit: tandem vero & famulis præſentibus.*

Ἐν παραβύστῳ. In occulto. Occulte. Clam. Procopius: *Contumelia eum afficiebant, non tacite, nec occulte: ſed coram & aperte.*

Ἐν παρενθήκης μέρει. Additamenti loco.

Ἐν παιδοτρίβου. In domo pædotribæ. Sive in loco, ubi pueri exercentur & verſantur. Ariſtophanes *Nubibus: In domo pædotribæ vero ſedentes, femur opponere oportebat.* Id eſt, compoſite & decenter [pueros] ſedere oportebat, ne circumſtantibus aliquid indecori oſtenderent.

Ἐν πέντε κριτῶν γόνασι. *In quinque Judicum genibus.* Olim enim quinque Judices de Comicis judicabant, ut ait Epicharmus. Dictum autem hoc eſt ad imitationem illius Homerici: *Deorum in genibus ſitum eſt.* Judices enim olim in genibus habebant ea, quæ nunc in tabellis ſcribuntur.

Ἐν πίθῳ τὴν κεραμ. In dolio figlinam diſcere. Proverbium in eos, qui primas diſciplinas prætereunt, & ad majores ſtatim ſe conferunt. Vel qui primis diſciplinis prætermiſſis, ultimas affectant.

Ἐν προσχήματι. Sub prætextu. Sub ſpecie.

Ἐν Πυθίῳ κρ. *In templo Apollinis cacaſſe præſtitiſſet.* Quaſi dicas, periculum ſubiiſſe. Cum enim quidam Apollinem contemnerent, & in ejus fano ventrem exonerarent, Piſiſtratus lege lata capitale ſupplicium in eum conſtituit, qui in iſto facinore deprehenderetur. Cum vero omnes id edictum deriderent, & multo magis etiam, quam antea, illud facerent, cuſtodes ibi collocavit. Qui cum quendam deprehendiſſent, juſſit eum vinctum per viam flagris cædi, præcone proclamante: *Iſte verberibus cæſus capite plecte-*

---

[1] Τὰ νῶτα περιεσκ.] Sic habent MSS. Pariſ. itemque Heſychius. At priores Editt. male, τὰ ὦτα περιεσκ.

[2] Πασιφάην φασὶν ἐρασθ.] Fabulam hanc plenius exponit Zenobius Centur. IV. Adag. VI.

[3] Ἠράσθη αὐτοῦ τὰ μὲν πρ.] Fragmentum hoc ſumptum eſt ex Procop. *Hiſtor. Arc.* cap. I.

[4] Ἀριστοφάνης Νεφέλαις] Pag. 178. (108. Ed. Baſ. P.) ſed ubi pro βαδίζοντας legitur καθίζοντας.

[5] Ἐν πέντε κριτῶν γ.] Ex Zenobio.

τιμωρίαις ἐνεχομένους διά τινα αὐτῶν πλημμέλειαν, ἐπιλέγειν· Ἐν Πυθίῳ κρεῖττον ἦν αὐτὸν ἀποπατῆσαι.

Ἐν πυρὶ βέβηκας. τοῦτο ἐπιλέγειν χρὴ ἐν τοῖς ἐν ἐπισφαλέσι καὶ ἐπικινδύνοις πράγμασιν ἐμφιλοχωρεῖν ἐθέλουσι· [1] καὶ ὅτι χρὴ τὸν ἐν πυρὶ ταχέως ἐκβαίνειν.

Ἐνεράσσει. ὁρμητικῶς ἐφορμᾷ. [2] Ἰώσηπος· Ὁ δὲ Σαμψὼν ἐνεράσσει ταῖς πύλαις αὐταῖς, καὶ φλιαῖς, καὶ μοχλοῖς, ὅση τε ἄλλη περὶ αὐταῖς ἦν ξύλωσις.

Ἐνσείει τὴν ἵππον αὐτοῖς. ἀντὶ τοῦ, ἐπιτίθησιν. Ἐπάρας ἐνσείει τὴν ἵππον αὐτοῖς ἀθρόαν.

Ἐνσεισθείς. ἐντιναχθείς. [3] Ὁ δὲ Σαμψὼν ἐνσεισθεὶς τοῖς κίοσιν, ἐπικαταβάλλει τὸν οἶκον.

Ἐνσημαινόμενος. ἀντὶ τοῦ ἐνδεικνύμενος, καὶ ἐκφαίνων.

Ἐν Σιναΐ. Ἑβραϊκόν.

Ἐνσκειραμένη. [4] ἐκλελακυῖα. [5] λελιθωμένη. σεσαρκωμένη.

Ἐνσκειρωθείς. ἐμπαγείς. σκείρωμα γάρ, τὸ ἀνίατον πάθος.

Ἐν σκότῳ ὀρχεῖσθαι. ἐπὶ τῶν ἀμάρτυρα μοχθούντων, ὧν τὸ ἔργον ἀφανές.

Ἔνσπονδος. ὁ ἀπὸ πολέμου γινόμενος φίλος. Ἀππιανός· Λατῖνοι ἔνσπονδοι Ῥωμαίοις ὄντες, ἐστράτευον ἐπ' αὐτούς. καὶ αὖθις· Ὡς παλαιὸν δή τι νόμιμον, καὶ ἔνσπονδον ἐκλείποντι ἐπὶ καλῶν.

Ἔνστασις. Καὶ τὴν ἐξ ἀρχῆς αἱρεθεῖσαν ἔνστασιν τῆς ζωῆς. † Καὶ πᾶσαν ἔνστασιν θάμνου, καὶ πᾶσαν πέτρας προσβολὴν διερευνησάμενοι. ἔνστασιν οὖν συνηρεφῆ ἔκφυσιν καὶ πυκνὴν τῶν θάμνων λέγει.

Ἐνστάτης. [6] ὁ κατὰ πάντα ἐνιστάμενος. ἰδικῶς δὲ, καὶ ἐπὶ τῆς κρίσεως· οἷον ἀντίδικος. κυρίως δὲ ἐνστάτης λέγεται, ὁ ἐν τῇ ὁδῷ ἀνθεστηκώς τινι· ὥστε λέγοι τις τὸν Οἰδίποδα τοῦ Λαΐου ἐνστάτην γεγενημένον. καὶ Αἰλιανὸς ἐν τῷ περὶ [7] θείων ἐναργειῶν φησί· Κατά τινα χρησμὸν βουληθεὶς ἱλεώσασθαι τὸν τῷ οἴκῳ αὐτοῦ γεγενημένον ἐνστάτην δαίμονα. Καὶ αὖθις· Πικρότατος αὐτοῖς ἐνστάτης ἦν.

Ἐνστατικός. Ὁ δὲ Ἰσίδωρος ἐνστατικὸς ὢν, ἀήττητος ἔμενεν. ἀντὶ τοῦ, ἔνστασιν πρός τινα ποιούμενος.

Ἐνστερνισάμενος. περιπλεξάμενος.

tur, quod edictum contempſerit. Cum igitur ſupplicio affectus fuiſſet, factum hoc Athenienſes ita movit, ut, ſi qui poſtea malum aliquod paterentur, aut delicti alicujus pœnas darent, dicere ſolerent: *In fano Apollinis cacaſſe præſtitiſſet.*

Ἐν πυρὶ βέβηκας. Per ignem incedis. Hoc dicendum eſt de illis, qui in rebus aleæ & periculi plenis verſari amant. Ex igne enim celeriter exeundum eſt.

Ἐνεράσσει. Cum impetu irruit. Joſephus: *Sampſon vero ipſas portas cum poſtibus & vectibus cæteriſque repagulis ligneis cum impetu revulſit.*

Ἐνσείει τὴν ἵππον. Equitatum in eos immittit. *Signo dato equitatum in eos immiſit.*

Ἐνσεισθείς. Incuſſus. Cum impetu irruens. *Sampſon vero in columnas cum impetu irruens, una cum ipſis domum dejecit.*

Ἐνσημαινόμενος. Significans. Indicans. Oſtendens.

Ἐν Σιναΐ. In Sinai. Hebraicum.

Ἐνσκειραμένη. Lapidis inſtar indurata. Caroſa facta.

Ἐνσκειρωθείς. Infixus. Inhærens. Σκείρωμα enim eſt morbus inſanabilis.

Ἐν σκότῳ ὀρχεῖσθαι. In tenebris ſaltare. De iis, quorum labores teſte carent, & quorum opus in obſcuro latet.

Ἔνσπονδος. Qui ex hoſte factus eſt amicus. Qui fœdus nobiſcum iniit. Appianus: *Latini, fœdere cum Romanis conjuncti, bellum eis intulerunt.* Et iterum: * * * *

Appian. Hist. Rom. I. frag. XII. Vol. I. 29. Schweigh. qui huic fragm. aliud ap. Suid. V. Πόλεσοις adjunxit.

Ἔνστασις. Inſtitutum. *Secundum illud vitæ inſtitutum, quod ab initio ſibi propoſuerat.* Item dicitur de ſylva denſa & opaca. *Cum omnia denſa dumeta, & omnem rupis acceſſum perſcrutati eſſent.*

Ἐνστάτης. Qui quacunque in re alicui obſiſtit vel adverſatur: & peculiariter de adverſario in judicio dicitur. Proprie autem ἐνστάτης ſignificat eum, qui in via alicui reſiſtit: ut ſi quis Oedipodem, qui Laio in via reſtitit, ejus ἐνστάτην fuiſſe dicat. Ælianus in opere *de Providentiæ Divinæ evidentia* ait: *Ex oraculo quodam dæmonem familiæ ſuæ infeſtum placare volens.* Et iterum: *Acerbiſſimus eorum adverſarius erat.*

Ἐνστατικός. Qui non cedit alicui. Qui acriter in diſputando alicui reſiſtit. *Iſidorus vero, quod acerrimus eſſet diſputator, ab adverſariis vinci non potuit.*

Ἐνστερνισάμενος. Amplexus. Complexus.

---

[1] Καὶ ὅτι χρ.] Copulam hic dele. Eſt enim ſupervacanea.

[2] Ἰώσηπος] *Antiquit. Jud.* lib. v. cap. x. ſed ubi vox ἐνεράσσει, cujus gratia locum hunc adduxit Suidas, non reperitur. Sic enim hodie ibi legitur: Σαμψώνης δὲ περὶ τὴν μεσοῦσαν ἤδη τὴν νύκτα ἀναστὰς, τὰς πύλας σὺν αὐταῖς τε φλιαῖς καὶ μοχλοῖς, ὅση τε ἄλλη περὶ αὐτὴν ἦν ξύλωσις, ἀράμενος κατωμαδὸν, εἰς τὸ ὑπὲρ Ἑβρῶνος ὄρος φέρων κατατίθησι. Eadem vox ἐνεράσσει deeſt & apud ipſum Suidam infra v. Κατωμαδὸν, ubi locus hic repetitur.

[3] Ὁ δὲ Σαμψὼν ἐνσ.] Et hoc fragmentum legitur apud Joſephum in hiſtoria Samſonis.

[4] Ἐνσκειραμένη] Cum Porto malim ἐνεσκειρωμένη, cum augmento, & per ω, propter vocem ſequentem ἐνσκειρωθείς.

[5] Ἐκλελακυῖα] Hanc vocem de mendo ſuſpectam habeo.

[6] Ἐνστάτης. ὁ κατὰ π.——Λαΐου ἐνστάτην γεγενημένον] Ex Scholiaſta Sophoclis ad *Ajacem* pag. 7.

[7] Περὶ θείων ἐναργειῶν] Priores Editt. habent περὶ θείων ἐνεργειῶν. At in 2 MSS. Pariſ. exaratum eſt περὶ θείων ἐναργειῶν: quam lectionem confirmat ipſe Suidas v. Ἀνεμάξατο, v. Καλλιγόλας, & v. Ὠψιάθης; ut & ante me obſervavit Cl. Perizonius, in erudita ad Ælianum præfatione.

Ἐντομισμάτων.[1] Ἔπρασσε δὲ ταῦτα ὁ βασιλεὺς, χρήζων ἐντομισμάτων τῇ ἀρετῇ τῶν Ἰουδαίων εἰς φιλίαν χρήσασθαι.

Ἐντροβιλήσας.[2] ἀντὶ τοῦ συνειλίψας.

Ἐντακείς. ἐμφυείς.

Ἔντασις. ἡ ἐπίτασις. Καθ' ὅσον ἡ τοῦ βίου ἔντασις ἐπεδέχετο, κυνικωτέρα προελθοῦσα, καὶ φύσει, καὶ ἐπιτηδεύσει.

Ἔνταξίς ἐστιν, ἐπειδάν τις παραιρῆται τοὺς ψιλοὺς εἰς τὰ διαστήματα τῆς φάλαγγος ἐντάσσειν, ἄνδρα παρ' ἄνδρα. ἔνιοι δὲ τοῦτο καὶ παρένταξιν ὀνομάζουσιν.

Ἔντεα.[3] οὐ πάντα τὰ ὅπλα, ἀλλ' ἀσπὶς, καὶ περικεφαλαία. τὰ δὲ δόρατα, κατ' ἐπικράτειαν.

Ἐντεθηλότων. θαλλόντων.

Ἐντεθείωται.[4] ἐνεσκεύασται. ἀπὸ τῶν θείων. ἢ τὸ ἐντετυλίχθαι λέγεται ἐντεθειῶσθαι, ἀπὸ τοῦ σκευάσματος, ὃ ἐν τοῖς φύλλοις τῆς συκῆς εἰλεῖται· ἃ λέγεται θεῖα.

Ἐντελέστερον. τελειότερον.

Ἐντελέχεια.[5] ἡ τελειότης καὶ τὸ εἶδος τοῦ ὑποκειμένου. τουτέστι, τὸ εἶδος τὸ ἐπιγινόμενον ἐκ τῆς τοιᾶσδε συνθέσεως τῶν στοιχείων τῇ ὕλῃ. ἤτοι τὸ ἀχώριστον εἶδος τοῦ σώματος. καὶ γὰρ ἐντελέχειά ἐστι τὸ εἶδος καὶ ἡ τελειότης τοῦ σώματος. λέγεται δὲ ἐντελέχεια τὸ κεχωρισμένον τοῦ σώματος, ὡς ὁ πλωτὴρ τοῦ πλοίου. ἥτις ἐντελέχεια, ἔξωθέν τε οὖσα, τάττει καὶ διακοσμεῖ καὶ τελειοῖ τὸ ὑποκείμενον. ὅταν οὖν ἐντελέχειαν λέγῃ τὴν ἄλογον καὶ φυσικὴν ψυχὴν, τὸ ἀχώριστον εἶδος τῆς ἐντελεχείας λέγει. ὅταν δὲ τὴν λογικὴν ψυχὴν ἐντελέχειαν λέγῃ, τὸ κεχωρισμένον. ἐντελέχειά ἐστι τὸ εἶδος, παρὰ τὸ ἓν, καὶ τὸ τέλειον, καὶ τὸ συνέχον. καὶ γὰρ ἑνώσεώς ἐστι τῇ ὕλῃ τὸ εἶδος αἴτιον, καὶ τελειώσεως· ἐπεὶ καὶ τελειότης ἐστὶ τοῦ ὑποκειμένου, καὶ συνέχει αὐτό. ἀπὸ γὰρ τῆς οἰκείας ἐντελεχείας μάλιστα ἕκαστον, ὅ ἐστι, κατ' ἐκεῖνο λέγεται· ἐπεὶ καὶ ὁ ἀνδριὰς αὐτὸ τοῦτο ἀνδριὰς λέγεται, καὶ οὐ χαλκός. ἐντελέχειαν λέγει ὁ Πορφύριος τὴν ψυχήν· ὁ[6] κατὰ Χριστιανῶν γράψας Τύριος φιλόσοφος.

Ἐντομισμάτων. Frænorum, quæ in os equorum injiciuntur. *Hæc autem Rex faciebat, ut conciliatis ſibi Judæis, virtute eorum velut fræno uteretur, quo Satrapæ in officio continerentur.*

Ἐντροβιλήσας. Qui contorſit. Qui rotavit.

Ἐντακείς. Inſitus. Innatus.

Ἔντασις. Intentio. Contentio. *Quantum illa vitæ intentio admittebat, quæ & natura & inſtituto ad Cynicam vivendi rationem proxime accedebat.*

Ἔνταξις. Entaxis eſt, quum quis levis armaturæ milites in phalangis interſtitiis collocat, ita ut ſinguli velites juxta ſingulos gravis armaturæ milites collocentur. Nonnulli genus hoc aciei etiam παρένταξιν vocant.

Ἔντεα. Sic appellantur arma, non quævis, ſed [ea, quibus corpus tegitur, ut] clypeus & galea. Uſus tamen etiam obtinuit, ut haſtæ ſic appellentur.

Ἐντεθηλότων. Florentium.

Ἐντεθείωται. Apparatum eſt. Paratum eſt. A foliis ficulneis, quæ θεῖα vocantur. Vel ἐντεθειῶσθαι ſignificat, involutum eſſe: [per tranſlationem ductam] ab edulio, quod foliis ficus, quæ θεῖα vocantur, involvitur.

Ἐντελέστερον. Perfectius.

Ἐντελέχεια. Perfectio & forma ſubjecti. Id eſt, forma, quæ ex certa elementorum compoſitione materiæ accedit. Vel, inſeparabilis forma corporis. Nam ἐντελέχεια eſt forma & perfectio corporis. Dicitur autem ἐντελέχεια id, quod a corpore ſeparatum eſt; ut nauta a navi. Quæ ἐντελέχεια cum ſit extrinſecus, ordinat & gubernat & perficit ſubjectum. Quum igitur [Ariſtoteles] brutam & naturalem animam ἐντελέχειαν vocat, de ea entelechia loquitur, quæ eſt inſeparabilis. Cum vero animam ratione præditam ἐντελέχειαν appellat, ſeparatam dicit. Entelechia eſt forma: ſic dicta, quod unum quiddam, & perfectum, & continens ſit. Forma enim unionis & perfectionis cauſa eſt materiæ: eademque perfectio eſt ſubjecti, idque continet. Unumquodque enim a forma ſua præcipue dicitur id, quod eſt: ſiquidem & ſtatua, quod ſtatua appelletur, non vero æs, formæ debet. Porphyrius, Philoſophus Tyrius, qui contra Chriſtianos ſcripſit, animam vocat ἐντελέχειαν.

---

[1] Ἔπρασσε δὲ ταῦτα ὁ βασιλ.] Fragmentum hoc ſumptum eſt ex Joſephi *Antiq. Jud.* l. XVIII. c. XII. p. 646. ſed ubi rectius ſic legitur: Ἔπρασσε δὲ ταῦτα ὁ βασιλεὺς, χρήζων ἐντόμισμα τῇ ἀρετῇ τῶν Ἰουδαίων ἀδελφῶν εἰς φιλίαν κτήσασθαι τῶν ἐκείνου σατραπειῶν. Locum hunc Joſephi obſervaverat Pearſonius.

[2] Ἐντροβιλήσας. ἀντὶ τοῦ συντρ.] Lege Ἐνστροβιλίσας. ἀντὶ τοῦ συστρέψας. Significat enim στροβιλίζειν, (quam vocem non reperias in Theſauro H. Stephani) rotare & contorquere, turbinis inſtar, quem Græci στρόβιλον vocant. Heſychius: Ἐνστροβίλισας, συνέστρεψας. In Epigrammate quodam Philippi, quod ex Anthologia inedita integrum damus infra v. Κόμβαλα, de Gallo, ſive ſacerdote Deæ Cybeles dicitur, αὐχένα στροβιλίσας: id eſt, cervicem contorquens, vel rotans. Solebant enim Galli, & quivis alii fanatici, caput & cervicem rapido quodam motu jactare, crineſque rotare, ut vel ex hoc loco Quintiliani conſtat: *Frequens etiam capitis nutus non caret vitio: adeo caput jactare, & comas excutientem rotare, fanaticum eſt.* Idem etiam confirmat Antipater in Epigrammate quodam de Gallo, Anthol. lib. VI. cap. XI. cujus diſtichum primum ita habet:

Ἔκ ποτέ τις φρικτοῖο θεῆς σεσοβημένος οἴστρῳ
Ῥομβητὰς δεινῶν λυσσομανεῖς πλοκάμους.

Id eſt: *Gallus quidam a terribili Dea in furorem aliquando actus, & rotatos torquens fanaticos crines.* De eadem igitur re & Antipater ῥομβεῖν, & Philippus in antedicto Epigrammate στροβιλίζειν uſurpat: unde patet, duas illas voces ejuſdem eſſe ſignificationis. Hoc autem ideo moneo, quia Lexica vulgata verbum στροβιλίζειν vel prorſus omittunt, vel ſignificationem ejus nullo exemplo illuſtrant.

[3] Ἔντεα. οὐ πάντα τὰ ὅπλα, ἀλλ' ἀσπ.] Idem confirmat Athenæus lib. V. pag. 193. ubi ſic inquit: Τὰ γὰρ τῶν ὅπλων τὰ σκεπαστικὰ, θώρακα, καὶ κνημῖδας, καὶ τὰ τούτοις ἐμφερῆ, λέγουσιν ἔντη. Id eſt: *Nam ex armis ea, quæ corpus tegunt & defendunt, veluti loricam, ocreas, & his ſimilia, ἔντη vocant.*

[4] Ἐντεθρίωται] Nota hæc referenda eſt ad locum illum Ariſtophanis *Lyſiſtrata* pag. 879.

——— Ὡς τὸν ἄνδρα δεῖ
Ἀνδρὸς ὄζειν εὐθύς. ἀλλ' οὐκ ἐντεθριῶσθαι πρέπει.

Scholiaſta ineditus vocem ἐντεθριῶσθαι ibi ſic exponit: Ἐντετυλίχθαι. ἐσκευάσθαι. μετενήνεκται δὲ ἀπὸ τοῦ λεγομένου θρίου σκευάσματος, ὃ ἐν συκῆς φύλλοις εἰλεῖται. Hinc Suidas ſua mutuatus eſſe videtur.

[5] Ἐντελέχεια. ἡ τελειότης καὶ τὸ εἶδος τοῦ ὑποκ.] Hæc Suidas, ni fallor, ſumpſit ex Philopono in Ariſtotelem *de Anima*.

[6] Ὁ κατὰ Χριστιανῶν γράψας Τύριος φιλ.] Hæc verba eſſe gloſſema, & ex margine in textum irrepſiſſe, quivis facile videt.

'Εν τέλει. ἐν ἀρχῇ.

'Εντελεῖς. οἱ ἄρχοντες. καὶ οἱ ἄρξαντες. Πανοπλίας ἐντελεῖς κατασκευάσαντες. τουτέστιν, ἀρχοντικάς. [1]'Αππιανός· Ναυμαχίας δὲ γενομένης, καὶ βοῆς παμμιγοῦς, ὡς ἐν τῷδε λοιπὸν Καρχηδονίοις τῆς σωτηρίας οὔσης, 'Ρωμαίοις δὲ τῆς νίκης ἐντελοῦς.

'Εντελής. Ὅστις οἴεται ἄνευ φύσεως ἐντελὴς ἔσεσθαι, καὶ ἀτελὴς καὶ ἀπέραντος τοσούτῳ μᾶλλον, ὅσῳ πλείονα ἕξιν ἔχει, διατελέσει. ἀντὶ τοῦ τέλειος. 'Εντελῆ στρατόπεδα δύο ἐκάθητο 'Ρωμαϊκά.

'Εντέλλομαι. δοτικῇ.

'Εντελόμισθος. Ὁ δὲ ἔπλεε νηῒ οἰκείᾳ, ναύτας ἔχων ἐντελομίσθους, οἴκοθεν Κρῆτας. τουτέστιν, ἐντελῶς μεμισθωμένους.

'Εντεριώνη. τὸ ἐντὸς, ἢ ὁ φλοιὸς τοῦ δένδρου.

Ἔντερον. ἕτερον, καὶ οὐχ ὅμοιον. ἢ παρὰ τὸ ἐντὸς ῥεῖν.

'Εντερόνεια.[2] τὰ ἐγκοίλια, τὰ ἀπὸ τῆς τρόπιδος [3]ἀρχόμενα ξύλα, ἐντερόνεια καλεῖται. οἱ δὲ, τὸ τῆς νεὼς ἔδαφος. οἱ δὲ, τὰ ἐγκοίλια. βέλτιον δὲ τὴν τῶν ἐγκοιλίων ὕλην λέγειν. 'Ηρωδιανὸς συστέλλει καὶ προπαροξύνει. οὐ [4]δὲ τὴν ἐντεριώνην 'Αριστοφάνης φησίν· ὅπερ ἐστὶ τὸ μεσαίτατον τῆς νεώς· ὃ ἐστι συνεκτικώτατον, ἥτις ἐστὶν ἡ τρόπις. καλεῖται δὲ καὶ [5]μίτρα. Φησὶ δὲ ὁ κωμικὸς, [6]ὅτι εἰς τὰς τριήρεις ἡ Θεὸς ἐντερόνειαν ἔπεμψε.

'Εντευτλανωμένης.[7] μετὰ τεύτλων ἑψηθείσης. μετὰ γὰρ τεύτλων ἤσθιον τὰς ἐγχέλυς. λέγονται γὰρ τεύτλοις συνεψόμεναι, ἥδισται εἶναι. 'Αριστοφάνης·

--- Μηδὲ γὰρ θανών ποτε
Σοῦ χωρὶς εἴην ἐντευτλανωμένης.

'Εντέτηκεν. ἐγκεκόλληται. πέπηγε. Τούτοις ἀντ' ἀληθοῦς ψευδὴς ἐντέτηκε δόξα.

'Εντετριμμένη. ἀντὶ τοῦ σμηχθεῖσα. ἢ εἰδυῖα. [8]Ὅπως ἐντετριμμένη κανηφορῇς. τὰ κανίσκια ἔχουσα. πολλοὺς δὴ θυλάκους κάτω στρέψασα ἐμούς. ἀντὶ τοῦ κλέψασα.

'Εντεῦθεν. ἐκ τούτου.

Ἔντευξις. ἐντυχία. Φησὶν 'Αριστοτέλης, ὡς ἔστιν ἡ διαλεκτικὴ φιλοσοφία πρὸς γυμνασίαν, καὶ πρὸς τὰς κατὰ φιλοσοφίαν ἐντεύξεις. περὶ γυμνασίας προεγράφη ἐν γ' στοιχείῳ. ἐνταῦθα δὲ περὶ ἐντεύξεως. [9]'Εντεύξεις λέγει τὰς πρὸς τοὺς πολλοὺς συνουσίας· οἷς

'Εν τέλει. Qui magiſtratu fungitur.

'Εντελεῖς. Magiſtratus. Vel, magiſtratu functi. [Item, integras, perfectas.] *Cum perfectas armaturas corporis confeciſſent*. Vel, magiſtratu dignas. Appianus: *Cum prælium navale committeretur, diſſonus clamor ortus eſt, quod ab eventu hujus pugnæ Carthaginenſiũ ſalus; Romanorũ vero integra & plena victoria penderet.*

'Εντελής. Perfectus. *Quiſquis putat ſe ſine natura perfectum fore, ille & imperfectus erit, & irrito conatu ſemper laborabit, tanto magis, quanto majorem habitum habet.* † *Duo integri exercitus Romani ibi conſederant.*

'Εντέλλομαι. Dativo jungitur. Præcipio. Impero.

'Εντελόμισθος. Qui plenam & integram mercedem accipit. *Ille vero in navi ſua navigabat, habens nautas, domo Cretenſes, quibus integrum ſtipendium dabatur.*

'Εντεριώνη. Medulla, vel cortex arboris.

Ἔντερον. Inteſtinum. [Quaſi dicas] ἕτερον. Vel, ab ἐντὸς, intus, & ῥεῖν, fluere.

'Εντερόνεια. Sic vocantur interiora navis ligna, quæ a carina initium ducunt. Alii vero ſic appellant ipſam carinam navis. Alii interiores partes navis. Præſtat vero ſic vocare materiam, ſive ligna, ex quibus carina navis conficitur. Herodianus vocem hanc corripit, & acuto in antepenultima notat. Ariſtophanes autem ἐντερόνειαν vocavit, quam alii ἐντεριώνην: quæ eſt intima pars navis, quæque cæteras maxime continet; ſive carina. Eadem etiam vocatur μήτρα, i. e. matrix. Dicit autem Comicus: *Dea tibi ligna miſit, ex quibus carinam navis conficias.*

'Εντευτλανωμένης. Cum betis coctæ. Anguillas enim cum betis coctas veteres comedebant: eaſque ſic coctas ſuaviſſimas eſſe dicunt. Ariſtophanes: *Nam ne mortuus quidem te cum betis cocta unquam caream.*

'Εντέτηκεν. Conglutinatus eſt. Infixus eſt. *Horum animis opinio falſa pro vera infixa eſt.*

'Εντετριμμένη. Abſterſa. Lota. Vel, exercitata, perita. [Ariſtophanes:] *Ut perite caniſtrum feras: quæ multos meorum ſacculorum excuſſa pecunia invertiſti.*

'Εντεῦθεν. Hinc. Ex hoc loco.

Ἔντευξις. Colloquiũ. Diſputatio. Ariſtoteles dicit, Dialecticam philoſophiam inventam eſſe ad exercitationẽ & philoſophicas diſputationes. De exercitatione ſupra in litera Γ a nobis dictũ eſt. Hic vero de ἐντεύξεσι agetur. Vocat autẽ [Ariſt.] ἐντεύξεις, diſputationes cum homini-

---

[1] 'Αππιανός] *De Bellis Punicis* pag. 125.

[2] 'Εντερόνεια. τὰ ἐγκ.] Ex Scholiaſta Ariſtophanis ad *Equit.* pag. 355. (251. Ed. Baſ. *P.*)

[3] 'Αρχόμενα] Scholiaſta Ariſtoph. loco laudato habet ἀνερχόμενα: uti etiam in 2 MSS. Pariſ. exaratum reperi.

[4] Οὐ δὲ τὴν ἐντερ.] Legendum eſt, οὕτω δὲ τὴν ἐντερ.

[5] Μίτρα] Scholiaſta Ariſtophanis, μήτρα: quam lectionem in verſione ſecutus ſum.

[6] Ὅτι εἰς τὰς τρ.] Locus hic apud Ariſtophanem ſic legitur & diſtinguitur:

——'Επίτηδες αὐτ' ἔπεμψέ σοι
Εἰς τὰς τριήρεις ἐντερόνειαν ἡ Θεός.

[7] 'Εντευτλανωμένης. μετὰ τεύτλ.] Ex Scholiaſta Ariſtophanis ad *Acharnenſ.* pag. 414. (296. Ed. Baſ. *P.*)

[8] Ὅπως ἐντετριμμ.] Ariſtophanes *Eccleſiaz.* pag. 746. (501. Ed. Baſ. *P.*)

Ὅπως ἂν ἐντετριμμένη κανηφορῇς,
Πολλοὺς κάτω δὴ θυλάκους στρέψασ' ἐμούς.

Sic etiam hic apud Suidam ſcribendum & diſtinguendum eſt.

[9] 'Εντεύξεις λέγει τὰς πρὸς τοὺς πολλ.] Hæc, & quæ ſequuntur uſque ad finem articuli, ſunt verba Alexandri Aphrodiſienſis in lib. 1. *Topic.* pag. 17. ut Pearſonius etiam obſervaverat.

δεῖ μὲν ἐντυγχάνειν, κοινωνικούς τε ὄντας καὶ φιλανθρώπους, καὶ ἐντυγχάνειν ὠφελίμους. διὰ μὲν οὖν ἀληθῶν καὶ ἀποδεικτικῶν οὐχ οἷόν τε κοινολογεῖσθαι πρὸς αὐτούς. οὐδὲ γὰρ τὴν ἀρχὴν τῶν τοιούτων συνιέναι δύνανται· ἀλλ' οὐδὲ μανθάνειν ὑπομένουσι. διὸ οὐδὲ ὠφελεῖσθαι δύναιντ' ἂν διά τινος τῶν τοιούτων, ὧν γε τὴν ἀρχὴν μηδὲ συνιέναι δύνανται. εἰ δὲ διὰ τῶν ἐνδόξων τε καὶ δοκούντων καὶ αὐτοῖς ἐκείνοις, τὰς πρὸς αὐτοὺς συνουσίας ποιοίμεθα, παρακολουθοῖέν τε ἂν τοῖς λεγομένοις, καὶ ῥᾳδίως μεταβιβάζοιντο διὰ τῶν τοιούτων λόγων, εἴ τι μὴ εἶεν ὀρθῶς τιθέμενοι. τῷ γὰρ τὴν ἡδονὴν ἀγαθὸν ἡγουμένῳ, καὶ δουλεύοντι ταύτῃ, ἂν μέν τις διὰ τοῦ λέγειν τὴν ἡδονὴν γένεσιν εἰς φύσιν αἰσθητὴν εἶναι, τὴν δὲ τοιαύτην φύσιν μὴ δύνασθαι ἀγαθὴν εἶναι, τῷ τὴν γένεσιν ἀτελῆ εἶναι· μηδὲν δὲ ἀγαθὸν ἀτελές· ἂν δὴ διὰ τούτο τις δεικνύναι θέλῃ τῷ τοιούτῳ, ὅτι μή ἐστιν ἡ ἡδονὴ ἀγαθὸν, οὐδὲν ἂν πλέον ποιοῖτο, τῷ μηδὲ τὴν ἀρχὴν εἰδέναι, τί ποτέ ἐστι τὸ λεγόμενον. ἂν δὲ ἀπὸ τῶν κοινῶν τε καὶ ἐνδόξων ὁρμώμενος ἐξετάζῃ αὐτὸν, εἰ μὴ δοκεῖ αὐτῷ τὸ ἀγαθὸν ἀγαθοὺς ποιεῖν, ὥσπερ καὶ τὸ λευκὸν λευκοὺς, καὶ τὸ θερμὸν, θερμούς· καὶ τότε τοῦ τεθέντος προσκεχώρηται, εἰ ἡδονὴ δοκεῖ αὐτῷ ἀγαθοὺς ποιεῖν, λήψεται μὲν, ὅτι μὴ ποιεῖ. ἐναργὲς γὰρ τοῦτο. συνάξει δὲ, ὅτι μὴ ἀγαθὸν ἡ ἡδονὴ ἐκ τῶν ἐκείνου δοξῶν τε καὶ ἀποκρίσεων. διὸ καὶ μεταπείσειεν ἂν αὐτόν. εἴκει γάρ πως πᾶς τῷ ὑπ' αὐτοῦ τεθέντι.

Ἐντευξόμενος. διαλεχθησόμενος.

Ἐντεῖλαι. προστάξαι.

Ἐντείνας ἑαυτόν. Διόδωρος· Ἐς τὸν στρατιωτικὸν καὶ εὐτελῆ βίον ἐντείνας. ἀντὶ τοῦ ἐπιδούς. καὶ ἐντεῖναι, τανύσαι. καὶ ἐντείναντες, ἐπιθέντες. Πληγάς τε ἐντείναντες, τῆς κεφαλῆς ἀπετέμοντο. ἀντὶ τοῦ αἰκισάμενοι. καὶ αὖθις· Πληγάς τε τοῖς παραπίπτουσιν ἐντεινόμενοι.

Ἐντήκων. ἐμβάλλον. ἐνιείς. Καὶ αὐτοῦ τῷ στόματι ἐντήκων χρυσὸν, καὶ ταῖς ἀκοαῖς ἄργυρον, καὶ ἐς τὰς ῥῖνας ἐγχέων τῆς ὕλης αὐτῆς, ἀποκτεῖναι.

Ἐντήξας. ἀντὶ τοῦ ἐμβαλών. διδάξας. ἐμφυτεύσας. Καὶ ἐντήξας αὐτῶν ταῖς ψυχαῖς ἰσχὺν λόγων ἄμαχον, καὶ σειρῆνα, καὶ εὐγλωττίαν ἐφολκοτάτην.

Ἐντομίας. ὁ εὐνοῦχος. θλαδίας δὲ, ὁ τεθλασμένος.

Ἐντομίδαι. οἱ τοῖς σώμασιν ἐντεμνόμενοι. τοιαῦτα [1] εἰώθασι ποιεῖν ἐπὶ τοῖς νεκροῖς. ὅτι [2] τοῖς νεκροῖς τὰ ἔντομα ἔθυον τῶν τετραπόδων, ὡς ἄγονα· τὰ δὲ ἔνορχα, τοῖς Θεοῖς.

bus vulgaribus & indoctis, cum quibus oportet nos, qui ſumus ſociabiles & humani, colloqui & diſputare, ipſiſque per noſtra colloquia prodeſſe. Per veras autem & demonſtrativas enuntiationes, fieri non poteſt, ut cum ipſis diſputemus. Nam ne principium quidem earum intelligere poſſunt; neque etiam diſcere ſuſtinent. Quamobrem ne fructum quidem ullum capere poterunt ex ulla hujuſmodi re, cujus ne principium quidem intelligere poſſunt. Si vero ex probabilibus, & iis, quæ illis ipſis placent, cum ipſis diſputemus, probabunt ea, quæ a nobis dicentur, & facile a ſententia ſua deducentur, ſi quid perperam poſuerint. Illi enim, qui voluptatem bonum eſſe putat, & ei ſervit, ſi quis dicat, voluptatem eſſe generationem in natura ſentiente; talem vero non poſſe natura bonam eſſe, quod generatio ſit imperfecta; nullum vero bonum ſit imperfectum: ſi quis, inquam, per hoc demonſtrare velit hujuſmodi homini, voluptatem non eſſe bonum, nihil profecerit, quod ne principium quidem ejus, quod dicitur, intelligat. Si quis vero communibus & probabilibus argumentis utens, ex eo quærat, annon ipſi videatur id, quod bonum eſt, homines efficere bonos, ut album albos, & calidum calidos; & hoc poſito, ulterius eum roget, an ipſi voluptas videatur viros bonos facere; reſpondebit, non facere. Id enim eſt evidens & manifeſtum. Ex illius igitur opinionibus & reſponſionibus concludet, voluptatem non eſſe bonum: & ſic a ſententia quoque ipſum abducet. Quilibet enim concedet id, quod ab ipſo poſitum fuit.

Ἐντευξόμενος. Congreſſurus. Collocuturus.

Ἐντεῖλαι. Mandaſſe. Præcepiſſe.

Ἐντείνας ἑαυτόν. Qui ſe alicui rei totum addixit, & in eam omnes vires intendit. Diodorus: *Cum militari & viliori vitæ generi ſe totum addixiſſet.* Item ἐντεῖναι. Intendere. Extendere. Et ἐντείναντες. Qui intentarunt, vel inflixerunt. *Cum autem ipſi plagas inflixiſſent, caput [quoque ei] amputarunt.* Et iterum: *Et obviis quibuſvis plagas intentantes.*

Ἐντήκων. Infundens. Injiciens. Immittens. *Et aurum liquefactum in os ejus infundens, & in aures nareſque argentum, eum ſic necaſſe dicitur.*

Ἐντήξας. Qui immiſit, vel injecit. Qui docuit. Qui animo alicujus aliquid inſevit. *Cum animis illorum inſtillaſſet vim dicendi admirabilem, & eloquentiæ ſuavitatem ſingularem, & facundiam ad perſuadendum aptiſſimam.*

Ἐντομίας. Exſectus. Caſtratus. Θλαδίας vero dicitur, cujus teſticuli fracti vel contuſi ſunt.

Ἐντομίδαι. Qui corpora incidunt. Id autem mortuorum cauſa facere moris erat. † Mortuis quadrupedes caſtratæ, ut ſteriles; Diis autem coleatæ immolari ſolebant.

---

[1] Εἰώθασι ποιεῖν ἐπὶ τοῖς νεκροῖς. ὅτι τοῖς νεκρ.] Locum hunc ex MSS. Pariſ. ſupplevi & diſtinxi, qui in prioribus Editt. ſic legitur: Εἰώθασι ποιεῖν οἱ ἐπὶ τοῖς νεκροῖς τὰ ἔντομα ἔθυον, &c.

[2] Τοῖς νεκροῖς τὰ ἔντομα ἔθ.] Huc ſpectant verba Scholiaſtæ Apollon. Rhod. ad lib. 1. v. 587. Ἔντομα δὲ τὰ σφάγια κυρίως, τὰ τοῖς νεκροῖς ἐναγιζόμενα, διὰ τὸ ἐν τῇ γῇ αὐτῶν ἀποτέμνεσθαι τὰς κεφαλάς. Et paulo poſt: Ἄλλοι δὲ ἔντομα, φασὶ, τοῖς τεθνεῶσιν ἐνάγιζον, ὡς ἄγονα τοῖς ἀγόνοις· τοῖς δὲ οὐρανίοις Θεοῖς ἔνορχα ἔθυον. Locum hunc Scholiaſtæ obſervaverat etiam Portus.

Ἔντομα. οἷον σφὴξ, μύρμηξ, μέλιτται· ἃ οὔτε ἀναπνεῖ, οὔτε πνεύμονα ἔχει.

Ἐντομίς. ἡ ἐγχάραξις. ἡ γενικὴ, ἐντομίδος.

Ἔντονος. ἰσχυρά.

Ἐντοπίζω.

Ἐντός. οἱ [1] λογισμοὶ καὶ ἐνθυμήσεις καὶ πάντα τὰ τῆς ψυχῆς κινήματα. Δαβίδ· Καὶ πάντα τὰ ἐντός μου.

Ἐντὸς, καὶ ἐκτὸς, γενικῇ. ἐντὸς ἑβδόμης. [2] Ἀθήνησιν ἀπείρητο ἐντὸς ἑβδόμης στρατιὰν ἐξάγειν.

Ἐν τῷ μέρει τις καὶ τὸ πῦρ [3] σκαλευσάτω. παροιμία ἐπὶ τῶν εἰς κοινὸν μὴ τὰ ἴσα παρεχομένων. † Πλείονα δῶρα δοὺς, καὶ ἀντιλαβὼν ἐν τῷ μέρει.

Ἐν τῷ μέρει. ἀντὶ τοῦ, κατά τι μέρος διαδεχόμενος ἕτερος τὸν ἕτερον. καὶ αὖθις·

Ἰδὼν κἀκεῖνος, (ἐν μέρει γὰρ ἡλώκει)
Γαμεῖν ἔμελλεν.

Ἐν τῷ φρονεῖν γὰρ μηδὲν ἥδιστος βίος. [4] Σοφοκλῆς. ἐν τῷ μὴ ἀντιλαμβάνεσθαι τῶν κακῶν. ἐπεὶ ἔσται γελοιότατον, ὡς τιμῶντος τὴν ἀφροσύνην.

Ἐντραπεζίτιδος. παρασίτου.

Ἐντρέπῃ. ἐπιστρέφῃ.

Ἐντρεπομένους. ἐγκλίνοντας. Οἱ δὲ [5] Λίβυες θεωροῦντες τοὺς Ἴβηρας ἐντρεπομένους, καὶ δεδιότες μὴ λάθωσιν ἐγκαταλειφθέντες, ὥρμησαν ἐπὶ τὸ παραπλήσιον.

Ἐντριβής. συνήθης. ἄνθρωπος ἐντριβὴς τῆς χώρας.

Ἐν τριόδῳ εἰμὶ λογισμῶν. ἐπὶ τῶν ἀδήλων καὶ ἀμφιβόλων πραγμάτων. ἐπειδὴ ὁ ἐν τριόδῳ γενόμενος οὐκ οἶδε, ποίᾳ χρήσεται ὁδῷ.

Ἐντροπαλιζόμενος. ἐπιστρεφόμενος.

Ἐντροπίας. εὐμετάβολος. καὶ ἐντροπίας οἶνος, ὁ ὀξίνης.

Ἔντροφος. ἡ ἐντεθραμμένη.

Ἦ [6] που παλαιᾷ μὲν
Ἔντροφος ἁμέρᾳ,
Λευκᾷ τε γήρᾳ,
Μάτηρ νιν.

ἀντὶ τοῦ, ὄντως που ἡ τῇ παλαιᾷ ἡμέρᾳ, τουτέστι, τῷ παλαιῷ χρόνῳ ἔντροφος μήτηρ.

Ἐντρυφῶ. γενικῇ. Οἱ τῶν σῶν χαρισμάτων ἀεὶ ἐντρυφῶντες. δοτικῇ δέ· Ἵν' εὐπορήσωμεν καὶ ταῖς ἀλλοτρίαις συμφοραῖς ἐντρυφῆσαι.

Ἔντομα. Inſecta: ut veſpa, formica, apes; quæ nec reſpirant, nec pulmonem habent.

Ἐντομίς. Inciſio. Genitivus eſt, ἐντομίδος.

Ἔντονος. Intentus. Fortis. Robuſtus.

Ἐντοπίζω. In aliquo loco dego.

Ἐντός. Ratiocinationes, & cogitationes, & omnes animi motus, [τὰ ἐντὸς i. e. interna vocantur.] David: *Et omnia interna mea.*

Ἐντὸς, intra, & ἐκτὸς extra, genitivo junguntur. Ἐντὸς ἑβδ. Intra ſeptimum diem. Athenis lege interdictum erat, intra ſeptimum diem [menſis] exercitum educere.

Ἐν τῷ μέρει τις τ. *Per vices quilibet ignem fodicet.* Proverbium in eos, qui non ex æquo Reip. operam ſuam præſtant. † Plura dona dans, & viciſſim accipiens.

Ἐν τῷ μέρει. Per vices. Vel ita, ut alter alteri per vices ſuccedat. Pro parte. *Videns hoc & ille, (pro parte enim captus erat) uxorem ducere ſtatuerat.*

Ἐν τῷ φρ. *Illi demum ſumma cum voluptate vivunt, qui [mala ſua] non intelligunt.* Sophocles. Sic enim verba hæc intelligenda ſunt. Valde namque ridiculum foret, [locum hunc ſic accipere,] ac ſi [Sophocles] inſipientiam laudare voluiſſet.

Ἐντραπεζίτιδος. Fœminæ paraſitæ, ſive alienas menſas ſectantis.

Ἐντρέπῃ. Curas. Revereris.

Ἐντρεπομένους. Inclinantes. In fugam ſe vertentes. *Afri vero, cum viderent Iberos in fugam inclinantes, & vererentur, ne clam ab ipſis desererentur, & ipſi ad fugam ſpectare cœperunt.*

Ἐντριβής. Alicui rei aſſuetus. Vel, alicujus rei peritus. Ut, regionis peritus.

Ἐν τριόδῳ εἰμὶ λογ. In trivio ſum cogitationum. Proverbium, quod dicitur de rebus incertis & dubiis. Qui enim ad trivium pervenit, qua ſit eundum, ignorat.

Ἐντροπαλιζόμενος. Subinde ſe convertens, & reſpectans.

Ἐντροπίας. Levis. Inconſtans. Et ἐντροπίας οἶνος. Vinum acidum, vel aceſcens.

Ἔντροφος. In aliquo loco, vel cum aliquo nutrita. [Sophocles:] *Profecto grandæva mater, & præ ſenio jam cana, cum eum [inſaniæ morbo laborare audierit, graviſſime dolebit.]* Παλαιὰ ἡμέρα enim ſignificat ſenectutem: ut ſit ſenſus, mater ætate jam provecta, & ſenio gravis.

Ἐντρυφῶ. Genitivo jungitur. In deliciis ago. Ad delicias & voluptates abutor. *Qui ſemper gratiæ tuæ donis ad delicias abutuntur.* Item dativo. [Inſolenter inſulto.] *Ut nobis ſuppetat materia alienis calamitatibus inſultandi.*

---

[1] Οἱ λογισμοὶ καὶ ἐνθυμ.] Ex Theodoreto ad Pſalm. CII. v. 2.

[2] Ἀθήνησιν ἀπείρ.] Vide Petitum *de Leg. Attic.* pag. 555.

[3] Σκαλευσάτω] Sic recte MSS. Pariſ. At priores Editt. mendoſe, σκυλευσάτω. Vide Eraſmum in Adagio, *Ignem gladio ne fodito.*

[4] Σοφοκλῆς] In *Ajace* pag. 33. ut Portus etiam monuit.

[5] Οἱ δὲ Λίβυες θεωροῦντες τοὺς Ἴβ.] Fragmentum hoc puto eſſe Polybii, vel Appiani.

[6] Ἦ που παλαιᾷ μὲν ἔντρ.] Hæc ſunt verba Sophoclis *Ajace* p. 37.

Ἐν τοῖς ἱματίοις ἄνευ ὅπλων. Οἱ δὲ πολιτικοὶ ἔθεον ἐν τοῖς ἱματίοις.

Ἐντυγχάνειν, καὶ συντυγχάνειν, δοτικῇ. Ταυτόν ἐστιν ἐντυγχάνειν ἥρωσι.

Ἐντυπὰς[1] ἐν χλαίνῃ. ἀντὶ τοῦ ἐπικεκαλυμμένως, ὥστε διὰ τοῦ ἱματίου τοὺς τοῦ σώματος τύπους εὐδήλους εἶναι.

Ἐνοικέτις[2] τῶν νήσων. ἡ Ἀφροδίτη. ἐξαιρέτως γὰρ ἐν αὐταῖς ἐτιμᾶτο.

Ἐνυάλιος. πολεμικός· [3] Σοφοκλῆς. [4] διαστέλλει γὰρ τὸν Ἄρεα ἀπὸ τοῦ Ἐνυαλίου, ὡς ἕτερον δαίμονα ὑπουργὸν τοῦ μείζονος Θεοῦ. Ἀῤῥιανός· Οἱ δὲ τῷ Ἐνυαλίῳ ἀλαλάξαντες, ἐναντίοι ἐφέροντο. Καὶ αὖθις· [5] Φάλαγγα ἐκ σφῶν ποιησάμενοι, δρόμῳ ἐπῄεσαν, ἀλαλάζοντες τῷ Ἐνυαλίῳ.

Ἐνυδροβίων.

Καὶ [6] πολιὸν χηνῶν ζεῦγος ἐνυδροβίων.

Ἐν νυκτὶ ἡ βουλή. διὰ τὸ τὴν νύκτα κατὰ σχολὴν διδόναι λογισμοὺς τοῖς περὶ τῶν ἀναγκαίων βουλευομένοις.

Ἔνυξεν. ἔπληξεν.

Ἐνυώ. πολεμικὴ Θεός.

Ἐνύπνιον.[7] ἐφ' ὅσον τις ὑπνοῖ. ὄνειρος δὲ, παυομένων τῶν ὕπνων, ἐγείρων καὶ ὀρνύων τὴν ψυχήν. ἢ παρὰ τὸ εἴρειν, ὅ ἐστι λέγειν.

Ἔνυστρον.[8] τὸ μετὰ τὴν κοιλίαν ἔντερον. τὸ τῶν βρωμάτων δοχεῖον.

Ἐν Φρέατι κυσὶ μάχεσθαι. ἐπὶ τῶν μοχθηρῷ τινι προσμαχομένων, καὶ ἀποφυγεῖν μὴ δυναμένων. † Τί δὲ ἄν τις ἔχοι ποιεῖν, οὐκ ἐν Φρέατι συνεχόμενος ὑπὸ τοῦ παροιμιαζομένου κυνὸς, ἀλλ' ἐν βάθει μέν τινι ζητήσεως ὑπὸ θαυμαστῆς οὐδὲν ἧττον ἀπορίας, οὗ μὲν ἐφικτῆς γε οὐδενὶ ἀνθρώπων, πλὴν εἴ τῳ Θεὸς αὐτὴν μηνύσειεν.

Ἐν χρῷ. εἰς χρῶτα. πάνυ ἐγγὺς, ὡς καὶ ἐφάπτεσθαι τοῦ χρωτός. παρὰ δὲ Καλλιμάχῳ[9] ἐγκυτὶ, ἀντὶ τοῦ ἐγγὺς, ἢ ἐν χρωτί. πλησίον τοῦ χρωτός. [10] Τὸ δ' ἐγκυτὶ τέκνον ἐκέρσω. καὶ [11] Ἀγαθίας· Περισφίγξαντες ξυνῆπτον αὐτὰς ἀλλήλαις, καὶ συνεμίγνυον λίαν ἐν χρῷ πεπιεσμένας.

Ἐν τοῖς ἱματίοις. In palliis. Id eſt, ſine armis. *Cives vero ſine armis currebant.*

Ἐντυγχάνειν, & συντυγχάνειν, dativo junguntur. Incidere in aliquem. *Idem eſt, ac ſi in Heroes incidas.*

Ἐντυπὰς ἐν χλαίνῃ. Dicitur de eo, qui læna ita involutus & tectus eſt, ut veſtigia corporis ei impreſſa cernantur.

Ἐνοικέτις. Inſularum habitatrix. Sic dicebatur Venus, quod in Inſulis præcipue coleretur.

Ἐνυάλιος. Enyalius. Deus bellicus. Sophocles Martem ab Enyalio diſtinguit, ut alterum dæmonem majoris Dei miniſtrum. Arrianus: *Illi vero, cum clamorem bellicum ſuſtuliſſent,* [*hoſti*] *obviam iverunt.* Et iterum: *Phalange ex ſe ipſis facta, curſu* [*in hoſtem*] *iverunt, clamorem bellicum tollentes.*

Ἐνυδροβίων. In aqua viventium. [In Epigrammate:] *Et album anſerum par in aqua viventium.*

Ἐν νυκτὶ ἡ βουλή. In nocte conſilium [Proverbium hoc inde dictum eſt,] quod noctu per otium conſilia animo volvere liceat illis, qui de rebus neceſſariis conſultant.

Ἔνυξεν. Punxit. Percuſſit.

Ἐνυώ. Enyo. Dea bellica. Bellona.

Ἐνύπνιον. Sic vocatur ſomnium, quod tantum exiſtit, quamdiu quis dormit: [poſtea vero prorſus evaneſcit.] Ὄνειρος vero, cujus memoria etiam poſt ſomnum durat: ſic dictum quaſi ὀρνύων τὴν ψυχὴν, i. e. excitans animam. Vel ab εἴρειν, dicere.

Ἔνυστρον. Inteſtinum, quod eſt poſt ventrem. Ciborum receptaculum.

Ἐν Φρέατι κυσὶ μ. *In puteo cum canibus pugnare.* Dicitur de iis, qui cum malo aliquo conflictantur, quod effugere nequeunt. † *Quid vero quis faciat, non in puteo cum cane conflictans, ut trito fertur proverbio, ſed in quadam quaſi quæſtionis profunditate ab inſigni aliquo dubio vexatus, cujus explicationem nemo aſſequi queat, niſi cui Deus eam indicarit.*

Ἐν χρῷ. In cute. Ad cutem uſque. Prope admodum, adeo ut ipſam cutem tangat. Apud Callimachum vero legitur ἐγκυτὶ, [ſignificans idem quod ἐν χρῷ,] i. e. prope, in cute, vel prope cutem. *Puerum vero ad cutem uſque raſiſti.* Et Agathias: *Vinculis eas* (crates) *colligatas commiſerunt inter ſe & coaptarunt, valde arcte compreſſas.*

---

[1] Ἐντυπὰς ἐν χλαίνῃ] Homer. Il. Ω. v. 163.

[2] Ἐνοικέτις] Sic unus MS. Pariſ. At priores Editt. ἐνοικέτης, in genere maſculino: minus recte. Referenda enim hæc ſunt ad Venerem, ut ex ſequentibus patet.

[3] Σοφοκλῆς] *Ajace* pag. 12. Vide ibi veterem Enarratorem, cujus verba Suidas hic deſcripſit.

[4] Διαστέλλει γὰρ τὸν Ἄρ.] Diſtinguit etiam Ariſtophanes *Pace* pag. 653.

Ἄρεϊ δέ. Μὴ μή. Μηδ' Ἐνυαλίῳ γε; Μή.

Vetus Enarrator ad illum locum: Πρὸς τοὺς οἰομένους τὸν αὐτὸν Ἄρεα εἶναι καὶ Ἐνυάλιον, κατὰ τὸ ἐπίθετον. τινὲς δὲ Ἄρεος καὶ Ἐνυοῦς τὸν Ἐνυάλιον. οἱ δὲ Κρόνου καὶ Ῥέας. Ἀλκμᾶνα δὲ λέγουσιν ὁτὲ μὲν τὸν αὐτὸν λέγειν· ὁτὲ δὲ διαιρεῖν.

[5] Φάλαγγα ἐκ σφῶν ποιησ.] Fragmentum hoc legitur apud Arrianum *de Reb. Ind.* pag. 557.

[6] Καὶ πολιὸν χηνῶν ζεῦγος ἐνυδρ.] Pentameter hic decerptus eſt ex Epigrammate, quod ex cod. MS. Anthologiæ ineditæ integrum damus infra v. Κεγχρείτισι.

[7] Ἐνύπνιον. ἐφ' ὅσον τις ὑπν.] Loci hujus ſenſus ſupplendus eſt ex Artemidori lib. I. cap. I. unde Suidas iſta deſcripſit.

[8] Ἔνυστρον] Sic recte unus MS. Pariſ. At priores Editt. male ἔνυχρον. Pro ἔνυστρον autem dicitur etiam ἤνυστρον, per η, ut tum ex aliis Grammaticis conſtat, tum etiam ex ipſo Suida infra h. v.

[9] Ἐγκυτὶ, ἀντὶ τοῦ ἐγγ.] Hæc priores Editt. male a præcedentibus disjungunt, cum quibus eadem recte connectunt MSS. Pariſ. Vide etiam ſupra v. Ἐγκυτί.

[10] Τὸ δ' ἐγκυτὶ τέκν.] Sic recte unus MS. Pariſ. At priores Editt. male, ἐγκύτιον.

[11] Καὶ Ἀγαθίας] Lib. v. pag. 167. unde pleniorem hujus loci ſenſum pete.

Ἐν χρῷ κεκαρμένος. πρὸς αὐτῷ τῷ χρωτί. οἷον σύνεγγυς καὶ πλησίον τοῦ δέρματος ἐγένετο τὰς τρίχας ἐξυρημένος. καὶ αὖθις· Ἦν δὲ ἄρα αὐτῷ ἐν χρῷ φίλος. ὁ χρὼς, τοῦ χρῶ, Ἀττικῶς· ὡς γέλως, γέλω. οἱ δὲ ἀπὸ τοῦ χρὼς, χρωτὶ, ἀποκοπῇ τῆς τι συλλαβῆς.

Ἐν χρῷ παραπλέων, παρὰ Θουκυδίδῃ. ἀντὶ τοῦ πλησίον. ἔστι γὰρ ἡ ἀποκοπὴ, οἷον ἐν χρωτί. εἴρηται δὲ ἐκ τῆς κουρᾶς τῆς ἄχρι τοῦ χρωτὸς γινομένης.

Ἐξάγιστος. ἀκάθαρτος, ἢ πονηρός. Ὁ δὲ τὸ ψεῦδος ἀπεστρέφετο, καθάπερ ἄλλο τι τῶν ἐξαγίστων. Καὶ αὖθις· [1] Διὰ τὴν ἐξάγιστον ἡδονὴν καθάπαξ οἱ θηλυδρίαι τειχοπλάσται πάντες εἰσίν.

Ἐξάγιστος.[2] ἀντὶ τοῦ λίαν ἐναγής. Αἰσχίνης δὲ ἐπί τινος λιμένος εἴρηκε τοὔνομα.

Ἐξ ἀγορᾶς εἶ. ἀντὶ τοῦ ἀγοραῖος. Ἀριστοφάνης. Ἐξ ἀγορᾶς εἶ, καὶ θρασύς.

Ἐξαγοράζω. αἰτιατικῇ. Ἐξαγορεύω. δοτικῇ.

Ἐξαγωγή. Ἆρά γε χρὴ κολάσαι τὸν δοῦλον, καὶ ἐπ' ἐξαγωγῇ ἀποδόσθαι, ἢ ἐάσαι τοῖς περικειμένοις δεσμοῖς ἐναποθανεῖν; † [3] Ὁ δὲ τὴν δεξαμένην αὐτὸν φυγόντα, ἀξιοῦσαν εὐπαθεῖν, ἐπὶ τὸ τοῦ μετοικίου πωλητήριον ἤγαγε, καὶ τὴν ἀδελφὴν ἐπ' ἐξαγωγῇ πέπρακεν.

Ἐξαγώνιος. ἔξω τοῦ ἀγῶνος. οἱ μὲν πολλοὶ τοὺς ἐν ταῖς σκηναῖς ἀγωνιζομένους οἴονται καλεῖσθαι δεῖν, ὅταν ἢ παραλείπωσί τι τῶν ἐξ ἀνάγκης ῥήσεων, ἢ ποιεῖν τι δόξωσι παρὰ τὸ προσῆκον. Αἰσχίνης δὲ καὶ ἐπὶ τῶν ἔξω τοῦ ἀγῶνος λεγομένων λόγων· τουτέστιν, οὐ προσηκόντων εἰρῆσθαι.

Ἐξάδιος. ὄνομα κύριον. ὁ ἐξέχων ἐν τῷ διώκειν.

Ἐξαγκωνιῶ.[4] τοὺς ἀγκῶνας ὑπὸ ταῖς πλευραῖς ποιήσω. οὐδέποτε γὰρ οὕτω μέση ληφθήσομαι, ἢ παραδώσω, ἵνα τῶν χειρῶν ἕλκῃ με, καί με μέσην ἀράμενος γνῷ, ὅτι γυνὴ εἰμὶ ἐκ τῶν πιτθίων.

Ἐξ[5] ἀκαλαρρείταο βαθυρρόου ὠκεανοῖο. ἐκ τοῦ ἡσύχως ῥέοντος διὰ τὸ βαθύ.

Ἐξ ἀκεραίου. ἀντὶ τοῦ εὐχερῶς. εὐμαρῶς. [6] Πολύβιος· Οὔτε τοὺς ἐξ ἀκεραίου [7] συμπειθομένους τῶν ἀνδρῶν πρός τινας βασιλεῖς ἢ δυνάστας κοινωνίαν πραγμάτων, εὐθέως προδότας νομιστέον· οὔτε τοὺς κατὰ τὰς περιστάσεις μετατιθέντας τὰς αὑτῶν πατρίδας ἀπό τινων ὑποκειμένων πρὸς ἑτέρας φιλίας καὶ συμμα-

Ἐν χρῷ κεκαρμένος. Ad ipſam uſque cutem tonſus. Prope cutem raſus. [Interdum etiam ἐν χρῷ metaphoricam ſignificationem habet:] ut, *Erat autem ejus amicus intimus.* Ὁ χρὼς, τοῦ χρῶ, Atticum eſt: ut γέλως, γέλω. Alii vero dicunt τὸ χρῷ formatum eſſe ex χρωτὶ, per apocopen ſyllabæ τι.

Ἐν χρῷ παραπλέων. Apud Thucydidem ſignificat, prope littus navigans. (Dictum eſt autem τὸ χρῷ per apocopen, pro χρωτί.) Tranſlatio ducta eſt a tonſura, qua quis ad cutem uſque tondetur.

Ἐξάγιστος. Exſecrandus. Impurus. Vel, improbus. *Ille enim mendacium averſabatur, ut quamvis aliam rem exſecrabilem.* Et iterum: *Propter exſecrabilem voluptatem omnes homines impudici comam ſtudioſe ornant & componunt.*

Ἐξάγιστος. Ingenti piaculo obſtrictus. Æſchines vero de quodam portu nomen hoc uſurpavit.

Ἐξ ἀγορᾶς εἶ. Forenſis es. Ariſtophanes: *Forenſis es & audax.*

Ἐξαγοράζω. Redimo. Emo. Accuſativo jungitur. Ἐξαγορεύω vero, enuntio: dativo.

Ἐξαγωγή. Eductio. Exportatio. *Num igitur ſervum punire oportet, & vendere ut ex finibus noſtris exportetur: an vero in vinculis eum mori ſinemus? † Ille autem [Zobiam,] quæ eum exulem ſuſceperat, poſtulantem ab eo, ut gratiam ſibi referret, in forum inquilinorum abduxit, & ſororem in peregrinas terras abducendam vendidit.*

Ἐξαγώνιος. Fabulæ argumento non reſpondens. Vulgo quidem eos, qui in ſcenis certant, ſic appellandos eſſe putant, cum vel aliquid prætermittunt, quod dici oportebat; vel præter decorum aliquid faciunt. Æſchines tamen ſic etiam vocavit dicta, quæ argumento fabulæ non reſpondent, vel ab inſtituto aliena ſunt.

Ἐξάδιος. Exadius. Nomen propriũ. [Quaſi dicas,] qui in aliis perſequendis excellit.

Ἐξαγκωνιῶ. Cubito repellam. Nunquam enim ita media prehendar, vel me prehendi ſinam, ut per manum me trahat, & in altum ſublatam ex mammis mulierem me eſſe cognoſcat.

Ἐξ ἀκαλ. *Ex leniter fluente & profundo Oceano.*

Ἐξ ἀκεραίου. Rebus integris. Facile. Polybius: *Neque illi, qui rebus integris ſocietatis cum Regibus aut principibus ineundæ auctores ſunt: neque illi, qui ob temporum neceſſitatem cives ſuos ab amicitia ac ſocietate jam conſtituta, ad nova fœdera cum aliis ferienda traducunt, proditores habendi ſunt. Multum* χίας, οὐδὲ τούτους. πολλοῦ γε δεῖ. ἐπείτοι γε πολλάκις οἱ τοιοῦτοι τῶν μεγίστων ἀγαθῶν γεγόνασιν αἴτιοι ταῖς πατρίσι. καὶ [1] τὰ παραδείγματα ἐξ αὐτῶν τῶν ἐνεστώτων καιρῶν.

---

[1] Διὰ τὴν ἐξάγιστον ἡδ.] Fragmentum hoc legitur apud Syneſium in *Encom. Calvit.* pag. 85. unde pleniorem ejus ſenſum pete.

[2] Ἐξάγιστος. ἀντὶ τοῦ λίαν ἐναγ.] Ex Harpocratione.

[3] Ὁ δὲ τὴν δεξαμένην αὐτὸν φυγ.] Vide Suidam ſupra v. Ἀριστογείτων Σκυδίμου; ubi locus hic auctior legitur.

[4] Ἐξαγκωνιῶ] Ariſtophanes *Eccleſiazuſis* pag. 731. (491. Ed. Baſ. P.)

Ἐκεῖνο μόνον ἄσκεπτον· ἤν σε τοξόται
Ἕλκωσιν, ὅ, τι δράσεις τότε. Ἐξαγκωνιῶ.
Ὡδὶ μέση γὰρ οὐδέποτε ληφθήσομαι.

Ad hunc locum Ariſtophanis nota hæc referenda eſt.

[5] Ἐξ ἀκαλαρρείταο βαθυρρ.] Eſt verſus Homericus Il. H. v. 422.

[6] Πολύβιος· Οὔτε τοὺς ἐξ ἀκερ.] Totum hoc fragmentum Polybii exſtat in Collectaneis Conſtantini a Valeſio editis. pag. 90. unde id Suidas deprompſit. Vide etiam infra v. Προδότης, ubi locus hic auctior repetitur.

[7] Συμπειθομένους] Non diſplicet conjectura Cl. Jacobi Gronovii, qui legendum putat συντιθεμένους.

Ἐξ ἀκεραίου. Οὐ [2] δυνάμενος δὲ πείθειν ἐξ ἀκεραίου, διὰ τὴν εὐλάβειαν καὶ εὐπραγίαν τοῦ βασιλέως.

Ἐξακριβωθέντες. ἐκκριθέντες. Διόδωρος· Ἄνδρες ἐξακριβωθέντες ὑπὸ βασιλέως εἰς μέγεθός τε καὶ ὕψος σωμάτων, καὶ τόλμης ὀξύτητα, καὶ ἀγερωχίαν.

Ἐξαλλάξαι. ἀντὶ τοῦ [3] τέρψαι. Μένανδρος·

---Ἄνθρωπον ἐξαλλάξομεν,
Κακόν τί σοι δώσοντα.

Ἐξάλειπτρον. [4] τὴν τοῦ μύρου λήκυθον. τὸ ἀλάβαστρον, ἐξ οὗ ἀλείφονται οἱ δειπνοῦντες. Ἀριστοφάνης·

Ὕπεχ' ὧδε δεῦρο τοὐξάλειπτρον, ὦ γύναι.

Ἐξαληλιμμένος. ἠλειμμένος.

Ἐξαλίσας. [5] ἐκκυλισθῆναι ποιήσας εἰς τὴν κόνιν. ἀλινδήθρα δὲ καὶ ὁ τόπος, ἐν ᾧ τιθέντες ἑαυτοὺς οἱ ἵπποι τοῦτο ποιοῦσιν. ὡς [6] Ἀριστοφάνης ἐν Βατράχοις· Πολλὰς ἀλινδήθρας τε καὶ ἐκκυλίσματα.

Ἐξαλλομένους. ἀνασκιρτῶντας. [7] Ἰώσηπος· Οὐκ ἀξίους εἶναι σωτηρίας τοὺς φλεγομένης δι' αὐτοὺς τῆς πατρίδος ἐξαλλομένους.

Ἔξαλλος. καὶ ἐξάλλως, ἐπίρρημα. ἀντὶ τοῦ κατ' ἄλλον τρόπον. παραδόξως. Πολύβιος· [8] Τὸ γὰρ ἅμα τε θύειν, καὶ ἐξιλάσκεσθαι τὸ θεῖον προσκυνοῦντα καὶ λιπαροῦντα τοὺς βωμοὺς ἐξάλλως, καὶ πάλιν ταῦτα διαφθείρειν, μανίας ἐστίν.

Ἐξάλλως. καθ' ὑπεροχήν. [9] Τὸ γὰρ ἅμα μὲν θύειν καὶ ἐξιλάσκεσθαι τὸ θεῖον, λιπαροῦντα τοὺς βωμοὺς ἐξάλλως, ὅπερ εἴωθε Προυσίας ὁ βασιλεὺς ποιεῖν, γονυπετῶν καὶ γυναικιζόμενος· ἅμα δὲ ταῦτα λυμαίνεσθαι, καὶ διὰ τῶν τύπων [10] καταφθορᾶς τὴν ἐς τὸ θεῖον ὕβριν διατίθεσθαι, λυττῶντος ἔργα, καὶ ψυχῆς ἐξεστηκυίας τῶν λογισμῶν.

Ἐξ ἁμάξης. ἡ λεγομένη ἑορτὴ παρ' Ἀθηναίοις Λήναια· ἐν ᾗ ἠγωνίζοντο οἱ ποιηταὶ συγγράφοντές τινα ᾄσματα, τοῦ γελασθῆναι χάριν· ὅπερ Δημοσθένης ἐξ ἁμάξης εἶπεν. ἐφ' ἁμαξῶν γὰρ οἱ ᾄδοντες καθήμενοι ἔλεγόν τε καὶ ᾖδον τὰ ποιήματα. λέγεται καὶ Ληναΐτης, ὁ χορὸς ὁ τῶν Ληναίων.

Ἐξαμβλίσκειν. ἐκτιτρώσκειν. Αἰλιανός· Καὶ τὴν τῶν

certe abeſt. Hujuſmodi enim homines ſæpe maximorum bonorum civibus ſuis auctores fuere: cujus rei exempla hæc ipſa tempora nobis ſuppeditant.

Ἐξ ἀκεραίου. Re integra. *Cum autem ei, quaſi re integra, id perſuadere non poſſet, propter metum & felicitatem Regis.*

Ἐξακριβωθέντες. Singulari cura & ſtudio delecti. Diodorus: *Viri ſingulari ſtudio a Rege delecti, qui magnitudine & proceritate corporis, audaciaque & ferocia animi inſignes eſſent.*

Ἐξαλλάξαι. Vertere. Mutare. Menander:

—Hominem immutabimus,
Malum aliquod tibi daturum.

Ἐξάλειπτρον. Ampullam unguentariam. Alabaſtrum, ex quo cœnantes ſe ungunt. Ariſtophanes: *Huc age, mulier, & vas unguentarium ſuppone.*

Ἐξαληλιμμένος. Unctus.

Ἐξαλίσας. Qui in pulvere aliquem volutavit. Ἀλινδήθρα vero dicitur locus, in quo equi procumbentes ſe volutant. At Ariſtophanes in *Ranis* πολλὰς ἀλινδήθρας ἐπῶν metaphorice vocavit, ſubtiles quaſdam & ſpecioſas verborum nugas.

Ἐξαλλομένους. Exilientes. Saltu ſe ex aliquo loco proripientes. Joſephus: *Salute non eſſe dignos dicebat, qui ex patria propter ipſos flagrante ſe proriperent.*

Ἔξαλλος. Diverſus. Et ἐξάλλως, adverbium, diverſo modo, præter morem, inſigniter. Polybius: *Etenim ſimul victimas cædere, ut Deos habeas propitios, omnemque aram inſigni quadam religione adorare & colere, & rurſus eorundem fana evertere, extremæ dementiæ eſt.*

Ἐξάλλως. Excellenter. Eximie. [Polybius:] *Nam ſimul victimas cædere, ut Deos habeas propitios, omneſque aras inſigni quadam religione colere & flexis genibus venerari, more ſuperſtitioſarum muliercularum, quod Pruſias facere ſolebat: atque interim eorundem Deorum fana evertere, & hac ratione Numen contumelia afficere; id utique eſt hominis inſani & de ſtatu mentis deturbati.*

Ἐξ ἁμάξης. De plauſtro. Apud Athenienſes erat feſtum quoddam, Lenæa vocatum: in quo Poetæ certabant, conſcribentes quaſdam cantiones, riſus movendi gratia: quod Demoſthenes dixit ἐξ ἁμάξης, i. e. ex plauſtro. In plauſtris enim ſedentes hæc poemata dicere & canere ſolebant. Chorus autem Lenæorum vocabatur Lenaites.

Ἐξαμβλίσκειν. Abortire. Abortum facere.

---

[1] Καὶ τὰ παραδείγματα ἐξ αὐτῶν τῶν ἐνεσ.] Senſus horum verborum eſt mutilus & imperfectus, qui ſuppleri debet ex Collectaneis Conſtantini, loco ante laudato.

[2] Οὐ δυνάμενος δὲ πείθειν ἐξ ἀκερ.] Fragmentum hoc legitur etiam ſupra v. Ἀκέραιος.

[3] Τέρψαι] An potius τρέψαι? Certe quomodo τὸ τέρψαι voci ἐξαλλάττειν interpretationis loco jungi poſſit, non video.

[4] Ἐξάλειπτρον. τὴν τοῦ μύρου λήκυθον. τὸ ἀλάβαστρ.] Ex Scholiaſta Ariſtophanis ad *Acharnenſ.* pag. 422. (302. Ed. Baſ. *P.*)

[5] Ἐξαλίσας. ἐκκυλισθῆναι ποιήσ.] Ex Scholiaſta Ariſtoph. ad *Nubes*, pag. 124. (60. Ed. Baſ. *P.*)

[6] Ἀριστοφάνης ἐν Βατράχοις] Pag. 254. (166. Ed. Baſ. *P.*) ubi ſic legitur: Συσκεδῶν πολλὰς ἀλινδήθρας ἐπῶν.

[7] Ἰώσηπος] *De Bello Jud.* lib. VII. pag. 956.

[8] Τὸ γὰρ ἅμα τε θύειν καὶ ἐξιλ.] Vide vocem ſequentem, ubi idem hic locus auctior legitur.

[9] Τὸ γὰρ ἅμα μὲν θύειν καὶ ἐξιλ.] Hæc, & quæ ſequuntur, ſunt verba Polybii, quæ Suidas ſumpſit ex Collectaneis Conſtantini Imperat. a Valeſio editis, pag. 169. Vide etiam infra v. Προυσίας, ubi hic ipſe locus auctior legitur.

[10] Καταφθορᾶς] Sic melius MSS. & Polybius loco laudato, quam priores Editt. quæ habent καταφορᾶς.

πιτρατετραπόδων ἀγέλην ἐξαμβλίσκειν ἔφασαν.

Ἐξ ἀμβιτίωνος.[1] ἐκ περιδρομῆς τι πράττων παρὰ Ῥωμαίοις.

Ἐξαμέτροις τόνοις. ζήτει ἐν τῷ Τόνον.

Ἐξαμήσω. ἐξανύσω. ἐξοίσω. [2] Τοὺς πνεύμονας καὶ τἄντερ' ἐξαμήσω.

Ἔξαμμον μιλίου. ζήτει ἐν τῷ Βασιλική.

Ἐξ ἄμμου σχοινίον πλέκεις. ἐπὶ τῶν ἀδυνάτων.

Ἐξαμυστίσαι. ἀμυστὶ, τουτέστιν ἀπνευστὶ καὶ ἄνευ τοῦ ἀναπαύεσθαι πίνειν.

Ἐξ ἀναγκαίας τύχης. οἷον ἀναγκαστῷ μόρῳ, καὶ οὐκ ἐκ ταὐτομάτου. ἐκ βίας, οὐκ ἰδίῳ θανάτῳ. [3] Σοφοκλῆς·

Τέθνηκ' Ὀρέστης ἐξ [4] ἀναγκαίας τύχης.

Ἐξαναστάς. μετοικίσας. Ὁ δὲ Θεσπιάδης ἐξαναστὰς ἐξ Ἀθηνῶν, Θεσπίαν ἐν Βοιωτίᾳ ἔκτισεν.

Ἐξαναχωρεῖ.[5] Θουκυδίδης.

Ἐξανδρούμενος. τὴν ἡλικίαν ἔχων εἰς ἄνδρα.

Ἐξανεμοῦσθαι. ἐπαίρεσθαι.

Ἐξανθίζω. τὸ βάπτω. ὡς τὸ, Ποικίλας ἐξηνθίσατε τὰς βαφάς. Ἐξανθῶ δὲ, τὸ ἀναβλαστάνω· ὡς τὸ, Ἐξήνθησεν ἡ ἔρημος.

Ἐξανθρωπίζω.

Ἐξάντης. ἔξω ἄτης καὶ βλάβης. Καὶ οἱ μὲν ἔδρασαν ταῦτα. εἶτα μέντοι ἐξάντεις γίνονται τοῦ κακοῦ.

Ἐξάντη. ὑγιῆ. ἔξω ἄτης. Ζεῦ [6] γενέσθαι με τῆσδ' ἐξάντη νόσου. τὸ ν ἔγκειται δι' εὐστομίαν. † Ἀτὰρ ἐξάντης τοῦ τρώματος ὁ τραυματίας γενόμενος, καὶ τρίτον ἆθλον ἀσπάζεται. καὶ Αἰλιανός· Θυγάτηρ δὲ, ἥπερ ἦν ἡ τῶν ἐκείνου μηχανῶν τε καὶ ἐπιβουλῶν ἀμαθὴς, ἐξάντης γίνεται τοῦ κακοῦ. ἔστι δὲ καὶ ἐπιφώνημα.

Ἐξάντης[7] λεύσσω τοὐμὸν κακὸν ἄλλον ἔχοντα.

Πλάτων ἐν Φαίδρῳ.

Ἐξανύω.[8] κατεργάζομαι.

Ἐξαπάτη. ὁ Λογοθέτης ἐν τῷ μαρτυρίῳ τοῦ Καλλικελάδου· Ἐν ὀλίγῳ δὲ συνιδόντες, ὡς οὐκ ἐξαπάτη καὶ ὄνειρος τὰ ὁρώμενα, ἀλλ' ἐγρήγορσις καὶ ἀλήθεια.

Ἐξάπινα. ἐξαίφνης.

Ælianus: *Et quadrupedum gregem abortum facere dixerunt.*

Ἐξ ἀμβιτίωνος. Apud Romanos ſignificat, per ambitionem, vel ambitum.

Ἐξαμέτροις τόνοις. Hexametris verſibus. Quære in voce Τόνον.

Ἐξαμήσω. Demetam. Conficiam. Eximam. *Pulmones & inteſtina eximam.*

Ἔξαμμον μιλίου. Quære in voce Βασιλική.

Ἐξ ἄμμου σχ. Ex arena funem nectis. Dicitur de rebus, quæ fieri nequeunt.

Ἐξαμυστίσαι. Uno ſpiritu & continuo hauſtu bibere.

Ἐξ ἀναγκαίας τύχης. Morte coacta, vel violenta; non autem ſponte ſua. Per vim, nec morte naturali. Sophocles: *Obiit Oreſtes morte violenta.*

Ἐξαναστάς. Ex aliquo loco migrans. *Theſpiades autem, cum Athenis migraſſet, Theſpiam in Bœotia condidit.*

Ἐξαναχωρεῖ. Subterfugit. Declinat. Thucydides.

Ἐξανδρούμενος. Ætatem virilem habens.

Ἐξανεμοῦσθαι. Inaniter efferri. Ventoſum fieri.

Ἐξανθίζω. Tingo. Colore inficio. Ut, *Variis coloribus* [*hæc*] *tinxiſtis.* Ἐξανθῶ vero, effloreſco, germino. Ut, *Effloruit deſertum.*

Ἐξανθρωπίζω. Ad humanitatem traduco.

Ἐξάντης. Qui extra malum vel damnum conſtitutus eſt. Qui malum aliquod evadit. Incolumis. *Et illi quidem his factis, malum evaſerunt.*

Ἐξάντη. Sanum. Mali expertem. Malo defunctum. *Da, Jupiter, ut hunc morbum evadam.* Τὸ ν inſertum eſt, propter elegantiam pronuntiationis. † *Vulneratus vero ſanato vulnere tertiũ certamen ſuſcepit.* Et Ælianus: *Filia vero, quæ technarum & inſidiarum ejus ignara erat, malum evaſit.* Eſt etiam exclamatio quædam. *Incolumis videbo alium meo malo vexari.* [Uſus eſt etiam hac voce] Plato in *Phædro.*

Ἐξανύω. Conficio. Interficio.

Ἐξαπάτη. Deceptio. Impoſtura. Fallacia. Logotheta in Calliceladi martyrio: *Paulo poſt vero cognoverunt non eſſe impoſturam nec ſomnium, quæ viſa fuerant, ſed ea vigilantibus vere accidiſſe.*

Ἐξάπινα. Repente. Subito.

---

[1] Ἐξ ἀμβιτίωνος.] Vide Valeſium ad Amm. Marcellinum pag. 208.

[2] Τοὺς πνεύμονας καὶ τἄντ.] Hæc ſunt verba Ariſtophanis *Lyſiſtrata* pag. 858. (549. Ed. Baſ. P.) ubi locum integrum vide.

[3] Σοφοκλῆς] *Electra* pag. 82. ut Portus monuit. Vide ibi Scholiaſtam, cujus verba Suidas hic deſcripſit.

[4] Ἀναγκαίας τύχης] In prioribus Editt. poſt τύχης hæc addita leguntur, ἔστι δὲ Πυθικὸν παραμάντευμα.. Sed verba iſta recte deſunt in uno MS. Pariſ. quoniam nihil ad locum hunc faciunt, & collocanda erant in v. Ἐξαμέτροις τόνοις, ut patet ex ipſo Suida infra v. Τόνον.

[5] Ἐξαναχωρεῖ. Θουκυδ.] Vocem hanc Thucydides peculiari ſignificatione accipit pro, aliquid ſubterfugere & declinare, vel a promiſſis diſcedere; in loco hoc, qui exſtat lib. IV. cap. XXVIII. Οἱ δὲ, ὅσῳ μᾶλλον ὁ Κλέων ὑπέφευγε τὸν πλοῦν, καὶ ἐξανεχώρει τὰ εἰρημένα, &c. Enarrator ad illum locum: Ἐξανεχώρει. ἀντὶ τοῦ, ἀνεδύτο ποιεῖν, ὥσπερ ὑπέσχετο. ἀπέφευγεν. Huc Suidam reſpexiſſe puto. Thomas Magiſter: Ἐξαναχωρῶ, καὶ τὸ ἐκτρέπομαι (ſic enim legendum eſt pro ἐκφέρομαι,) καὶ τὸ παραβαίνω. Θουκυδίδης· Ἐξανεχώρει τὰ εἰρημένα. ἤτοι παρέβαινεν.

[6] Ζεῦ γενέσθαι με τῆσδ' ἐξάντ.] Eſt ſenarius Jambicus, ſed mutilatus & luxatus, qui apud Etymologum integrior ſic legitur:

Ὦ Ζεῦ γενέσθαι τῆσδέ μ' ἐξάντην νόσου.

Sed deſideratur verbum δὸς, vel ſimile quid. Et deinde pro ἐξάντην ſcribendum eſt ἐξάντη, ut hic apud Suidam.

[7] Ἐξάντης λεύσσω τοὐμὸν κ.] Zenobius Centur. III. Adag. XCVI. Ἐξάντης λεύσσω τοὐμὸν κακὸν ἄλλον ἔχοντα. τὸ ἐξάντης τὸν ὑγιῆ δηλοῖ, καὶ τὸν ἔξω ἄτης, ὅ ἐστι βλάβης· ὡς Πλάτων φησί. Locus Platonis ad quem Zenobius & Suidas reſpexerunt, exſtat in *Phædro* pag. 344.

[8] Ἐξανύω. κατεργ.] Reſpexit ad Homerum Il. Λ. v. 365.

Ἦ θήν σ' ἐξανύω γε, καὶ ὕστερον ἀντιβολήσας.

Scholiaſta: Ἐξανύω. ἐπὶ τέλος ἄξω. φονεύσω.

Ἐξαπίναιον. ἐξαίφνης. Οὐ μέγα ἦν συνέβη τὸ τῆς ἐπιθέσεως ἐξαπίναιον οὔτε βλάψαι Ῥωμαίους, οὔτ' ὠφελῆσαι. καὶ ἐξαπιναίως, ἐξαίφνης. ἢ κυκλόθεν. [1]Δαβίδ· Ἐξάπινα κατατοξεύουσιν.

Ἐξαπλῶν.[2] διπλασιάζων. πολυπλασιάζων. [3]ἀντὶ τοῦ, πότερα ἂν ἕλοιο, εἴ σοι δοίη τις αἵρεσιν, λυπῶν τοὺς φίλους αὐτὸς ἐν ἡδονῇ διάγειν· ἢ κοινωνεῖν τοῦ παντὸς, καὶ αὐτοὺς φίλους λυπεῖν. περὶ Αἴαντός φησιν·

Ἀνὴρ[4] ἐκεῖνος, ἡνίκ' ἦν ἐν τῇ νόσῳ,
Αὐτὸς μὲν ἥδεθ' οἷσιν εἴχετ' ἐν κακοῖς,
Ἡμᾶς δὲ τοὺς φρονοῦντας ἠνία ξυνών.
Νῦν δ', ὡς ἔληξε κἀνέπνευσε τῆς νόσου,
Κεῖνός τε λύπῃ πᾶς ἐλήλαται κακῇ·
Ἡμεῖς θ' ὁμοίως οὐδὲν ἧσσον, ἢ πάρος.
Ἆρ' ἐστὶ ταῦτα δὶς τόσ' ἐξ ἁπλῶν κακά;

Ἐξ ἀπόπτου. ἐξ ὑψηλοῦ τόπου.

Ἐξάπτεσθαι. ἐξαρτᾶσθαι. ἀντιλαμβάνεσθαι.

Ἐξάραντες. ἔξω ποιήσαντες.

Ἐξαράξειν. Καὶ ἔτι μᾶλλον ἐξήπτοντο εἰς ὀργὴν, καὶ ἠπείλουν τὰς θύρας ἐξαράξειν. τουτέστι, συντρίψαι, καταβαλεῖν.

Ἐξαράσασθαι.[5] τὸ ἐκτελέσαι τὰς ἀρὰς, τουτέστι, τὰς εὐχὰς, ἃς ἐπὶ ταῖς ἱδρύσεσι τῶν ναῶν εἰώθασι ποιεῖσθαι.

Ἐξαργυρῶσαι, οὐκ ἐξαργυρίσαι. [6]Θουκυδίδης η'· Οὐδ' ἦν δέῃ τελευτῶντα τὴν ἑαυτοῦ στρωμνὴν ἐξαργυρῶσαι.

Ἔξαρθρος. ἐκμελής. ἐξωστεϊσμένος.

Ἔξαρνος. ὁ τῷ ἀρνεῖσθαι ἐπιμένων, καὶ ἀρνούμενος καθόλου. Ὁ δὲ μαστιγωθεὶς, ἔξαρνος ἦν μηδὲν εἰρηκέναι.

Ἐξάρξαντες.[7] ἐκρήξαντες. κρούσαντες.

Ἐξάρξατε.[8] ἄρξατε μελῳδίας. ὑμνήσατε. προκατάρξατε. καταλλάξατε.

Ἐξάρσεις. ἐπάρσεις. Ὁ δὲ θρασύτερον προεκθέων, ἐξάρσεις τε τῶν ποδῶν καὶ περιδινήσεις ποιούμενος, βέλει τρωθεὶς, ἀπέλιπε τὸν βίον.

Ἐξαρτήσας. ἀντὶ [9]τοῦ ἐφευρίσκων. ἢ κρεμάσας. καὶ ἐξαρτῶμαι. συμπέπαρμαι. [10]Ἀριστοφάνης· Κἀξαρτῶμαι, κἀμπίπτω, καὶ σπουδάζω. Καὶ αὖθις· [11]Ἐν μὲν εἰρηνικαῖς σπονδαῖς ἐξαρτώμενος ἀεὶ νῷ δολερῷ ἐπὶ τοὺς πέλας πολέμου αἰτίας.

Ἐξαρτίζει. τελειοῖ. πληροῖ. παρασκευάζει.

Ἐξαρτύσας. ἐκπληρώσας. ἢ ἑτοιμάσας.

Ἐξαπίναιον. Subito. Repente. Repentinum. *Subita iſta aggreſſio Romanis nec nocuit multum, nec profuit.* Et ἐξαπιναίως, repente. Vel, undique, ab omni parte. David: *Undique ſagittis me petunt.*

Ἐξαπλῶν. Duplicans. Multiplicans. Id eſt, utrum eligere malles, ſi quis optionem tibi daret; amicoſne dolore afficere, ipſe gaudens & voluptate fruens: an vero iiſdem cauſam doloris præbere, ipſe quoque a ſenſu mali non immunis. [Sophocles] de Ajace inquit: *Vir ille, cum inſanus eſſet, ipſe quidem malo ſuo gaudebat; nos vero amici & familiares ejus dolebamus. Nunc vero, poſtquam furere deſiit, & a morbo liberatus eſt; & ipſe mærore totus conficitur, & nos pariter dolore non minus, quam ante, cruciamur. Hoccine igitur eſt duplex pro ſimplici malum?*

Ἐξ ἀπόπτου. Ex excelſo loco.

Ἐξάπτεσθαι. Ex aliqua re ſuſpenſum eſſe. Adhærere.

Ἐξάραντες. Qui extulerunt. Qui exportarūt.

Ἐξαράξειν. Effracturos eſſe. Contrituros eſſe. *Et ira magis accenſi, minabantur, ſe fores effracturos eſſe.*

Ἐξαράσασθαι. Templa ex voto dedicare.

Ἐξαργυρῶσαι, non ἐξαργυρίσαι. Vendere aliquid, ut pecuniam inde cogas. Thucydides: *Ne ſi oporteat quidem ſuum ipſius lectum vendere, ad pecuniam inde cogendam.*

Ἔξαρθρος. Cui membra luxata & articulis emota ſunt. Exoſſatus.

Ἔξαρνος. Qui aliquid pernegat. Qui conſtanter negat. *Ille vero flagris cæſus conſtanter negavit, ſe quidquam dixiſſe.*

Ἐξάρξαντες. Qui effregerunt. Qui pulſarunt.

Ἐξάρξατε. Cantandi initium facite. Hymnis celebrare incipite.

Ἐξάρσεις. Elationes. *Ille vero audacius in medium procurrens, pedibuſque agiliter ſubſiliens & ſe circumagens, telo percuſſus, vitam amiſit.*

Ἐξαρτήσας. Qui excogitavit. Qui invenit. Vel, qui ſuſpendit. Et ἐξαρτῶμαι. Confixus, vel trajectus ſum. Ariſtophanes: *Et inde pendeo, & incumbo, & laboro.* Et iterum: *Et pacis quidem tempore in vicinos novas ſemper belli cauſas animo ſubdolo comminiſcebatur.*

Ἐξαρτίζει. Perficit. Implet. Parat.

Ἐξαρτύσας. Qui abſolvit. Vel, qui paravit.

---

[1] Δαβίδ] Pſalm. LXIII. v. 4.

[2] Ἐξαπλῶν. διπλασιάζων] Peſſime. Τὸ ἐξαπλῶν enim in ſubjuncto loco Sophoclis, ad quem nota hæc referenda eſt, non eſt participium, quaſi ab ἐξαπλόω: ſed ſunt duæ diſtinctæ voces, ἐξ ἁπλῶν, i. e. *ex ſimplicibus*, vel, *pro ſimplicibus*: quibus τὸ διπλασιάζων non poſſe ἐκ παραλλήλου jungi, quis non videt? Poſſet quidem interpretatio iſta locum habere, ſi Suidas mentem Sophoclis ſecutus ſic ſcripſiſſet, Ἐξ ἁπλῶν δὶς τόσα παρέχων κακά. (i. e. *Pro ſimplicibus duplicia præbens mala*) τουτέστι, διπλασιάζων, πολυπλασιάζων. Sic enim ſenſus ratio loco huic utcunque conſtaret. Sed τὸ ἐξ ἁπλῶν ſimpliciter interpretari διπλασιάζων, vel πολυπλασιάζων, ineptum utique eſt.

[3] Ἀντὶ τοῦ, πότερα ἂν ἕλοιο, εἴ σοι δ.] Vide Scholiaſtam Sophoclis ad *Ajacem* pag. 18. ex quo apparebit, Suidam locum hunc abſque judicio inde conſarcinaſſe.

[4] Ἀνὴρ ἐκεῖνος, ἡνίκ' ἦν ἐν τῇ νόσῳ, αὐτ.] Hæc, & quæ ſequuntur, ſunt verba Sophoclis *Ajace*, pag. 17.

[5] Ἐξαράσασθαι] Ex Harpocratione: ad quem vide Valeſium.

[6] Θουκυδίδης η'] Cap. LXXXI. ſed ubi hodie legitur ἐξαργυρίσαι.

[7] Ἐξάρξαντες.] Imo, ἐξαράξαντες.

[8] Ἐξάρξατε] Pſalm. CXLVI. 7.

[9] Ἀντὶ τοῦ ἐφευρίσκων. ἢ κρεμάσας] Confudit hic Suidas vocem ἐξαρτήσας cum ἐξαρτύσας. Τὸ ἐφευρίσκων enim referendum eſt ad ἐξαρτύσας: at τὸ κρεμάσας ad ἐξαρτήσας.

[10] Ἀριστοφάνης] *Pace*, pag. 655. (450. Ed. Baſ. *P.*)

[11] Ἐν μὲν εἰρηνικαῖς σπονδαῖς ἐξαρτ.] Fragmentum hoc Suidas ſumpſit ex Procopii *Hiſtor. Arc.* cap. XVII. pag. 55. ſed ubi rectius hodie ſic legitur: Ἐν μὲν εἰρήνῃ καὶ σπονδαῖς ἐξαρτυόμενος, &c.

Ἐξάρτυσις. Πυθόμενος δὲ τὴν ἐξάρτυσιν τοῦ στόλου τῶν Ἰώνων. τουτέστι, τὴν παρασκευήν.

Ἐξάρχοντες. ᾄδοντες. Οἱ δὲ Τρῶες μετὰ θορύβου καὶ ἡδονῆς παιᾶνας ἐξάρχοντες.

Ἐξατμίσθη. ἐξελεπτύνθη.

Ἐξαπωρεία.[1] ἐλευθερία ἀπὸ στρατείας.

Ἐξαυδᾷ. ἐκφωνεῖ. ὁμολογεῖ.

Fragm. H. v. p. 66. Ἐξαυτῆς. παραυτίκα. εὐθέως. [2] Ἐξ αὐτῆς οἱ προειρημένοι βιβλιοφόρον ἔπεμπον πρὸς τὸν Περσέα, διασαφοῦντα τὸ [3] γεγονός. Καὶ αὖθις· Ὁ δὲ ἐξ αὐτῆς προῆγε, βάδην τῇ πορείᾳ χρώμενος. Fragm. Gr. v. p. 86.

Ἐξαψάμενος. κατασχών. περιπλακείς.

Ἐξαιθριασθέν.[4] λαμπρυνθέν.

Ἔξαιμοι. οἱ λείφαιμοι. οἱ πλεῖστον αἷμα κενώσαντες.

Ἐξαιρέσεως[5] δίκη. ὁπότε τις ἄγοι μέν τινα ὡς δοῦλον, ἄλλος δέ τις αὐτὸν ὡς ἐλεύθερον ἐξαιροῖτο, ἐξῆν τὸν ἀντιποιούμενον τοῦ ἀνθρώπου ὡς δούλου λαγχάνειν ἐξαιρέσεως δίκην τῷ εἰς τὴν ἐλευθερίαν αὐτὸν ἐξαιρουμένῳ.

Ἐξαιρετέα. ἀξία τοῦ καταστραφῆναι. Ἡ [6] Καρχηδὼν πολλοῖς Ῥωμαίων ἐξαιρετέα ἐδόκει εἶναι, καὶ Κορνηλίῳ Ὑπάτῳ· καὶ ἔλεγεν, ὅτι ἀδύνατόν ἐστι συνεστώσης αὐτῆς, ἀδεεῖς σφᾶς εἶναι.

Ἐξαίρετον. τὸ ἐπίλεκτον. ἐξαιρετὸν δὲ, ὀξυτόνως, τὸ ἐκβαλλόμενον.

Ἐξαίρει. ὑψοῖ.

Ἐξαιρεῖται. ἀφαιρεῖται. λαμβάνει. καὶ ἐξαιρήσομεν, ὁμοίως.

Ἐξαίροντες. [7] ἀνατρέποντες. Πρὸς ταῦτα τί λέγουσιν, οἱ τὴν πρόνοιαν ἐξαίροντες;

Ἐξαιρούμενος. ἀποκομιζόμενος.

Ἐξαιροῦσιν. ἐκβάλλουσιν. ἀφανίζουσι. [8] Φθίνοντα γὰρ Λαΐου θέσφατ᾽ ἐξαιροῦσιν ἤδη.

Ἐξαίσια. παντὸς ἐπέκεινα θαύματος. ὑπερβαλλόντως. πλοῦτος ἐξαίσιος. Πολύβιος· Ἐπιγίνεται χειμῶνος μέγεθος ἐξαίσιον.

Ἐξαίτης. ἀφαιρέτης.

Ἔξαιτον. τὸ [9] ἐξαίρετον. [10] Ἔξαιτα προτέρης ἀπὸ ληΐδος, ἦμος ἀπειρεῖς πέρσεν ὑπερθύμους Γέτας.

Ἐξάρτυσις. Apparatus. Inſtructio. *Cum autem audiviſſet Ionicæ claſſis apparatum.*

Ἐξάρχοντες. Qui canendi faciunt initium. Canentes. *Trojani vero cum tumultu & voluptate Pæanas canentes.*

Ἐξατμίσθη. In vaporem abiit. Extenuatus eſt.

Ἐξαπωρεία. Exauctoratio. Miſſio militum.

Ἐξαυδᾷ. Eloquitur. Enuntiat. Confitetur.

Ἐξαυτῆς. Ex tempore. Confeſtim. Statim. *Confeſtim autem ante memorati* [*duces*] *tabellarium ad Perſeum miſerunt, qui, quod acciderat, ei ſignificaret.* Et iterum: *Ille vero confeſtim præceſſit, pedetentim incedens.*

Ἐξαψάμενος. Ex aliqua re ſuſpenſus. Complexus.

Ἐξαιθριασθέν. Serenatum. Quod clarum & nitidum evaſit.

Ἔξαιμοι. Exſangues. Qui multum ſanguinis fuderunt.

Ἐξαιρέσεως δίκη. Quum quis aliquem ut ſervum abducebat, alter vero eum liberali cauſa manu aſſerebat; licebat ei, qui hominem in ſervitutem vindicabat, dicam ἐξαιρέσεως ſcribere alteri, qui eundem in libertatem aſſerebat.

Ἐξαιρετέα. Delenda. Evertenda. *Carthago pleriſque Romanis, & Cornelio Conſuli videbatur evertenda eſſe. Dicebat enim fieri non poſſe, ut ea ſtante, ipſi a metu vacarent.*

Ἐξαίρετον. Eximium. Delectum. Ἐξαιρετὸν vero, cum acuto in ultima, quod ejicitur.

Ἐξαίρει. Extollit. In altum tollit.

Ἐξαιρεῖται. Eximit. Aufert. Capit. Et ἐξαιρήσομεν, auferemus, eximemus.

Ἐξαίροντες. Evertentes. Tollentes. *Ad hæc quid dicunt, qui providentiam tollunt?*

Ἐξαιρούμενος. Qui abſportatur. Qui e medio tollitur.

Ἐξαιροῦσιν. Ejiciunt. Delent. E medio tollunt. *Antiqua enim Laji oracula jam rejiciunt.*

Ἐξαίσια. Quæ omnem admirationem ſuperant. Inſignia. Maxima. Ut, Divitiæ maximæ. Et Polybius: *Tempeſtas inſolita & maxima conſecuta eſt.*

Ἐξαίτης. Qui aufert. Qui eximit.

Ἔξαιτον. Eximium. Delectum. [In Epigrammate:] *Primitias prioris prædæ,* [*tunc captæ,*] *cum indomitos & feroces Getas debellaret.*

---

[1] Ἐξαπωρεία] Eſt ipſa vox Latina *exauctoratio*. Quare cum Porto ſcribere malim ἐξαυτωρεία.

[2] Ἐξ αὐτῆς οἱ προειρ.] Fragmentum hoc Polybio tribuit Fulv. Urſinus.

[3] Τὸ γεγονός] Sic recte 2 MSS. Pariſ. At priores Editt. male, τὸ γένος.

[4] Ἐξαιθριασθέν] Vox hæc legitur apud Joſephum *de Bello Jud.* lib. III. pag. 860. ad quem locum Suidam reſpexiſſe puto.

[5] Ἐξαιρέσεως δίκη] Ex Harpocratione. Vide etiam Petitum *de Legibus Attic.* pag. 178.

[6] Ἡ Καρχηδὼν πολλοῖς Ῥωμ.] Hæc ſunt verba Dionis in *Excerptis Legat.* a Fulv. Urſino editis, pag. 381. ut Pearſonius etiam obſervaverat.

[7] Ἀνατρέποντες. Πρὸς ταῦτα τί λέγουσιν οἱ τὴν πρόνοιαν ἐξαίρ.] Hæc ex uno MS. Pariſ. addidi, quæ in prioribus Editt. deſiderantur.

[8] Φθίνοντα γὰρ Λαΐου θέσφ.] Fragmentum hoc legitur apud Sophoclem *Oedip. Tyran.* pag. 189. ut Portus monuit.

[9] Τὸ ἐξαίρετον] Sic recte MSS. itemque Heſychius. At priores Editt. male ἔξαιτον, quæ eſt ταυτολογία manifeſta. Dictum eſt autem ἔξαιτον pro ἐξαίρετον, per ſyncopen, ut Portus recte monuit. Scholiaſta Apollonii Rhodii ad lib. IV. v. 1004. Ἔξαιτον. ἐξαίρετον, κατὰ συγκοπήν.

[10] Ἔξαιτα προτέρης ἀπὸ λ.] Locus hic eſt corruptus & mutilus, qui ex Anthologia Epigrammatum inedita ſic ſcribendus & ſupplendus eſt:

Ἔξαιτα προτέρης ἀπὸ ληΐδος, ἦμος ἀτειρὴς
Πέρσεν ὑπερθύμους ᾧ ὑπὸ δουρὶ Γέτας.

Eſt autem diſtichum hoc pars Epigrammatis in donaria, quæ Trajanus victis Getis Jovi Caſio appendit, ut Lector diſcere poterit ex iis, quæ notamus infra ad v. Κάσιον ὄρος, ubi Epigramma hoc ex cod. MS. Anthologiæ integrum damus.

Ἐξεβοήθη. τὸ ἐλαλήθη. Ἐξεβοήθει δὲ, τὸ ἐβοήθησεν.

Ἐξεγεγραφάμην. ἀντὶ τοῦ ἐμνημόνευσα. [1] Ἀριστοφάνης Ὄρνισιν· Ὃν ἐγὼ παρὰ τοῦ Ἀπόλλωνος ἐξεγεγραφάμην.

Ἐξεγρόμενος. ἐγερθείς.

Ἐξεγγύησις. [2] τὸ ἐκτελέσαι τινὰ διὰ τῆς τῶν ἐγγυητῶν καταστάσεως. οὕτω Δημοσθένης.

Ἐξεδιῄτησε. κακῶς διῴκησε.

Ἐξέδισεν. ἐξεζήτησεν. ἐκ τοῦ δίζω, τὸ [3] ζητῶ.

Ἐξέδοτο. ἐξέδωκε.

a Diog. Laert IV. 19. Vol. I. p. 238. quibus cum conferri possunt Dion. Chrys. p. 288. D. et Harpocr. V. Λέσχαι. Valcken. in Herodot. VII. p. 531. 38.

Ἐξέδρα. [4] Ὁ δὲ κατῆρχε χωμάτων, τοῦ μὲν κατὰ τὴν Βόρειον ἐξέδραν, ἣ μεταξὺ τῶν δύο πυλῶν ἦν. Καὶ αὖθις· [a] Κατῴκουν πλησίον τοῦ μουσείου καὶ τῆς ἐξέδρας.

Ἔξεδρον. [5] Ἔξεδρον χόαν ἔχων. τουτέστι, παρηλλαγμένην. καὶ Σοφοκλῆς· Οὐκ ἔξεδρος, ἀλλ' ἔντοπος ἀνήρ. † Οἰωνοὶ ἐλέγοντο ἔξεδροί τε εἶναι, καὶ μηδαμῆ χρηστοί.

Ἐξέζεσεν. ἐπληρώθη. Καὶ τὸ σύμπαν αὐτοῖς σῶμα ἑλκῶν ἐξέζεσεν.

6. Polybius. Fragm. Gram. 51. Vol. V. p. 86. et Suid. infr. II. 169. V. Θεατρίζω.

Ἐξεθεάτρισαν. ἐστηλίτευσαν. ἐξεπόμπευσαν. [6] Οὐ μόνον ἑαυτοὺς ἐξεθεάτρισαν, ἀλλὰ καὶ τὴν Ἑλλάδα πᾶσαν κατέστρεψαν.

Ἐξέθει. ἐξέτρεχεν.

Ἐξεθύσαντο. ἐμαντεύσαντο. Οἵγε μάντεις ἐξεθύσαντο, ὡς ἥκιστα ὅσιον ὂν τοῦτο.

Ἐξέθορεν.

Ἐξεκάκησα. ἀπηγόρευσα.

Ἐξεκαρυκεύθη. ὠψοποιήθη. συνεκόπη.

Ἐξεκεκλήκει. [7] ἐκ τοῦ δείπνου ἀνίστη. Νυκτὸς δὲ γενομένης, τοὺς οἰκέτας ἐξεκεκλήκει τοῦ Ναννάρου.

Ἐξεκέκλητο. προσεκαλεῖτο. Ταχὺ δὲ ἐξεκέκλητο αὐτοὺς πρὸς τὴν πρᾶξιν, ἅτε οἰκείους ὄντας τῶν τοιούτων ἐγχειρημάτων.

Ἐξεκίνησεν. ἐξεδίωξε. [8] Σοφοκλῆς·

Παίζων κατ' ἄλσος, ἐξεκίνησεν ποδοῖν
Στικτὸν κεράστην ἔλαφον.

Ἐξεκκλησίασε. συνήθροισε.

Ἐξέκνισεν. ἐξέκοψεν. [9] Ἡρόδοτος· Δελτίον δίπτυχον λαβὼν, τὸν κηρὸν αὐτοῦ ἐξέκνισεν.

Ἐξεβοήθη. Cum clamore prolatum, vel pronuntiatum eſt. Ἐξεβοήθει vero, opem ferebat.

Ἐξεγεγραφάμην. Deſcripſi. In commentarios retuli. Ariſtophanes *Avibus: Quod* [*oraculum*] *ego ab Apolline acceptum in commentarios retuli.*

Ἐξεγρόμενος. Excitatus. Expergefactus.

Ἐξεγγύησις. Fidejuſſio, vel ſponſio, qua debitor a vinculis vel nexu liberatur. Sic Demoſthenes.

Ἐξεδιῄτησε. Male rem adminiſtravit.

Ἐξέδισεν. Exquiſivit. Inquiſivit. A verbo δίζω, quæro.

Ἐξέδοτο. Edidit. Tradidit.

Ἐξέδρα. Exedra. *Ille vero initium aggerum fecit, alterius quidem a ſeptentrionali exedra, quæ inter duas portas erat.* Et rurſus: *Habitabant prope Muſeum & exedram.*

Ἔξεδρον. Inſolitum. Inauſpicatum. Infauſtum. A ſede vel loco aliquo remotum. [*Quænam eſt avis hæc,*] *inſolitum colorem habens?* Et Sophocles: *Vir iſte non procul hinc abeſt, ſed prope agit.* † Οἰωνοὶ ἔξεδροι dicebantur aves infauſtæ & mali ominis.

Ἐξέζεσεν. Ebullivit. Repletum eſt. *Et totum ipſorum corpus ulceribus repletum eſt.*

Ἐξεθεάτρισαν. Publice traduxerũt. Infamia notarunt. Publice contemptu & ignominia affecerunt. *Non ſolũ ſe ipſos publico contemptui expoſuerunt, ſed etiam totam Græciam everterunt.*

Ἐξέθει. Excurrebat.

Ἐξεθύσαντο. Inſpectis extis prædixerunt, vel pronuntiarunt. *Vates vero inſpectis extis pronuntiarunt, rem iſtam minime piam eſſe.*

Ἐξέθορεν. Exiliit.

Ἐξεκάκησα. Malis ſuccubui. Animum deſpondi.

Ἐξεκαρυκεύθη. Suaviter conditum eſt. Minutatim conciſum eſt.

Ἐξεκεκλήκει. A cœna evocavit. *Cum autem nox ingruiſſet, Nannari famulos evocavit.*

Ἐξεκέκλητο. Evocavit. Provocavit. *Celeriter autem ipſos ad rem gerendam evocavit, ut qui apti eſſent ad talia facinora perpetranda.*

Ἐξεκίνησεν. Excitavit. Exagitavit. Perſecutus eſt. Sophocles: *Ludens in luco, excitavit maculis variis diſtinctum & cornigerum cervum.*

Ἐξεκκλησίασε. Congregavit. Ad concionem convocavit.

Ἐξέκνισεν. Abraſit. Herodotus: *Sumptis tabellis duplicatis, earum ceram abraſit.*

---

[1] Ἀριστοφάνης Ὄρνισιν] Pag. 588. (407. Ed. Baſ. P.)

[2] Ἐξεγγύησις] Ex Harpocratione: ſed ubi pro ἐκτελέσαι rectius legitur ἐξελέσθαι.

[3] Ζητῶ] Sic rectius unus MS. Pariſ. quam priores Editt. quæ habent ψηλαφῶ.

[4] Ὁ δὲ κατῆρχε χωμ.] Fragmentum hoc Valeſius ad Polybium refert.

[5] Ἔξεδρον χόαν ἔχων] Ariſtophanes *Avibus* pag. 553. (378. Ed. Baſ. P.)

Νὴ Δί', ἕτερος δὴ τίς γ' οὗτος ἔξεδρον χώραν ἔχων.

Scholiaſta ad eum locum: Ἐκ τῆς Σοφοκλέους δευτέρας Τυροῦς ἡ ἀρχή·

Τίς ὄρνις οὗτος, ἔξεδρον χώραν ἔχων;

ὡς εἰ εἴποι χροιάν. Ἔξεδρον δὲ, παρηλλαγμένην. Σοφοκλῆς· Οὐκ ἔξεδρος, ἀλλ' ἔντοπος ἀνήρ. Sic & apud Suidam ſcribendum eſt. Locus Sophoclis exſtat in *Philoctete* pag. 385. ut & Portus monuit.

[6] Οὐ μόνον ἑαυτοὺς ἐξεθ.] Fragmentum hoc Caſaubonus Polybio tribuit.

[7] Ἐξεκεκλήκει] Sic recte unus MS. Pariſ. At priores Editt. male, ἐξεκλήκει.

[8] Σοφοκλῆς] *Electra* pag. 108. ut Portus obſervavit.

[9] Ἡρόδοτος] Lib. VII. pag. 293. ut Portus monuit. Sed ibi pro ἐξέκνισε rectius legitur ἐξέκνησε, per η, ab ἐκκνάω. Infra vero v. Ἐπίτηξε, Suidas legit ἐπέτηξε: quem locum confer.

Ἐξεκόκκισεν.[1] ἀντὶ τοῦ ἐξέκλασεν. ἐξέβαλεν. ἡ μεταφορὰ ἀπὸ τῶν κόκκων.

Ἐξεκόπη[2] τὸν ὀφθαλμόν. ἐπηρώθη. Ὡράτιος ὁ Ῥωμαῖος· καὶ ἐπεκλήθη Κόκλης. τὸν γὰρ ὀφθαλμὸν ὀκουλὲμ καλοῦσι Ῥωμαῖοι.

Ἐξεκώμασεν. ἐξεπόρνευσεν.

Ἐξεκύκλησαν.[3] ἐξήνεγκαν. Αἰλιανός· Ἐπεὶ δὲ εἰς τὸ θέατρον ἐξεκύκλησαν αὐτὸν, ἐπηλυγασάμενος τὴν κεφαλὴν ἦν[4] τὸ ἄσωτον.

Ἐξέλαθον. λαθεῖν ἠδυνήθησαν.

Ἐξελέγχειν. φανεροποιεῖν. Ὁ δὲ ἠξίου ἢ τάχος τὰ πραχθέντα βασάνοις ἐξελέγχειν.

Ἐξέλεξε. συνήθροισε. Χρήματα δὲ παρὰ τῶν Λιβύων πολλὰ μὲν ἐς τὸ κοινὸν, πολλὰ δὲ καὶ ἐς τὸ ἴδιον ἐξέλεξεν.

Ἐξελιγμῶν[5] ἰδέαι διτταί· ἡ μὲν κατὰ λόχους, ἡ δὲ, κατὰ ζυγά. εἴδη δὲ ἀνὰ ἑκατέρους αὐτῶν, τρία. καλεῖται γὰρ ὁ μὲν, Μακεδών· ὁ δὲ, Λάκων· ὁ δὲ, [6] Χώρειος· ὃν καὶ Κρητικὸν καὶ Περσικὸν καλοῦσι. Μακεδὼν δὲ ἐξελιγμός ἐστιν, ὁ κατὰ λόχους, ὁ μεταλαμβάνων τῆς φάλαγγος τὸν ἔμπροσθεν τόπον· ἀντὶ [7] δὲ τῆς κατὰ πρόσωπον ἐπιφανείας, τὴν ὄπισθεν. Λάκων δέ ἐστιν, ὁ μεταλαμβάνων τῆς φάλαγγος τὸν ὀπίσω τόπον· ὁμοίως δὲ ἀντὶ τῆς ἔμπροσθεν ἐπιφανείας τὴν ὄπισθεν. Χώρειος δέ ἐστιν, ὁ τὸν αὐτὸν ἐπέχων τόπον τῆς φάλαγγος, τῶν κατὰ μέρος ὁπλιτῶν, ἀνθ' ὧν προκατεῖχον τόπων, ἑτέρους μεταλαμβανόντων· τοῦ μὲν λοχαγοῦ, τὴν τοῦ οὐραγοῦ· τοῦ δὲ οὐραγοῦ, τὸν τοῦ λοχαγοῦ· ἀντὶ δὲ τῆς κατὰ πρόσωπον ἐπιφανείας, τὴν ὄπισθεν. οἱ δὲ δὴ κατὰ ζυγὰ ἐξελιγμοὶ γίνονται, ἐπειδὰν ἐπὶ τῶν ἀποτομῶν βουληθῇ τις τὰ κέρατα καθιστάναι· τὰς δὲ ἀποτομὰς ἐπὶ τῶν κεράτων, χάριν τοῦ καὶ τὰ μέσα ἰσχυροποιεῖσθαι, καὶ ὁμοίως τὰ δεξιὰ ἐν τοῖς εὐωνύμοις, καὶ τὰ εὐώνυμα ἐν τοῖς δεξιοῖς.

Ἐξελίξαντες. [8] Εἶτα ὑμεῖς τὰς φάλαγγας ἐξελίξαντες, ἀγχίστροφοι γινόμενοι, ἀντιμέτωποι γίνεσθε τοῖς διώκουσιν. † Κᾆτα ἐνόπλιοι διαδρομαί τινες ἐγίνοντο, καὶ ἐξελίξεις, καὶ περίοδοι.

Ἐξέλιπε φυσητὴρ, ἐξέλιπε μόλιβδος. φυσητὴρ, καὶ τὸ ὄργανον, ᾧ ἐμφυσᾷ ὁ χρώμενος· καὶ ὁ ἄνθρωπος, ὁ τὸ ὄργανον μεταχειριζόμενος. συγκαίουσι δὲ τῷ ἀργύρῳ μόλιβδον, ἵνα συγκαιόμενος ἀνιμᾶται καὶ ἀναλαμβάνῃ εἰς αὐτὸν τὸ νόθον.

Ἐξεκόκκισεν. Excuſſit. Ejecit. Metaphora ſumpta eſt a granis.

Ἐξεκόπη τὸν ὀφθαλμόν. Erutus ipſi eſt oculus. Altero oculo privatus eſt. Horatius Romanus alterum oculum amiſit. Unde dictus eſt Cocles. Romani enim oculum vocant, quem Græci ὀφθαλμόν.

Ἐξεκώμασεν. Comeſſatum ivit. Impudice vixit.

Ἐξεκύκλησαν. In medium protulerunt. Ælianus: *Cum autem eum in theatrum produxiſſent, velato capite ſedebat.*

Ἐξέλαθον. Delituerunt. Latere potuerunt.

Ἐξελέγχειν. Arguere. Manifeſtum facere. Convincere. *Ille autem rei veritatem tormentis confeſtim exprimi volebat.*

Ἐξέλεξε. Collegit. Exegit. *Pecuniam ab Afris exegit, cujus magnam quidem partem Reip. ſervavit; non minorem vero in privatum uſum vertit.*

Ἐξελιγμῶν ἰδ. Evolutionum duo ſunt genera: unum per manipulos: alterum vero per juga. Et horum utriuſque generis promiſcue ſunt tres ſpecies. Nam prima vocatur Macedonica: ſecunda, Laconica: tertia vero, Choria; quam & Creticam, & Perſicam vocant. Macedonica evolutio eſt ea, quæ per manipulos anteriorem phalangis locum facta mutatione accipit, & pro ſuperficie, quæ eſt a fronte, poſteriorem. Laconica vocatur ea, quæ facta mutatione accipit poſteriorem phalangis locum: ſimiliter etiam pro anteriore ſuperficie poſteriorem. Choria vero eſt ea, quæ eundem phalangis locum obtinet, ſingulis gravis armaturæ militibus pro locis, quæ ante tenebant, alia loca facta mutatione accipientibus; ita ut manipuli dux occupet locum caudæ ductoris, & caudæ ductor locum ducis manipuli; & pro anteriore ſuperficie, poſteriorem occupet. Explicationes per juga fiunt, quum quis in reſectionibus cornua conſtituere voluerit; reſectiones vero in cornibus, ut & media firmentur, item & dextra in ſiniſtris, & ſiniſtra in dextris. *Port.*

Ἐξελίξαντες. Evolventes. *Deinde vos evolutis phalangibus celeriter converſi, adverſa fronte occurrite hoſtibus vos perſequentibus.* † *Deinde vero armatorum diſcurſus, & evolutiones, & circuitus facti ſunt.*

Ἐξέλιπε φυσητ. Defecit follis: defecit etiam plumbum. φυσητὴρ dicitur tam follis ipſe quo ignis ſufflatur; quam homo, qui ſufflat. Cum argento vero plumbum etiam in fornace uritur, ut ſimul cum eo uſtum, attrahat & ſecum ferat id, quod eſt adulterinum.

---

[1] Ἐξεκόκκισεν] Voce hac uſus eſt Ariſtophanes *Acharnenſ.* pag. 426. (308. Ed. Baſ. *P.*) ad quem locum Suidas procul dubio reſpexit.

[2] Ἐξεκόπη τὸν ὀφθαλμόν. ἐπηρώθη. Ὡράτιος ὁ Ῥωμ.] Locus hic ita ſcribendus & ſupplendus eſt: Ἐξεκόπη τὸν ὀφθαλμόν. ἐπηρώθη. Ὡράτιος ὁ Ῥωμαῖος ἐξεκόπη τὸν ὀφθαλμόν· καὶ ἐπεκλήθη, &c.

[3] Ἐξεκύκλησαν] Vide ſupra v. Ἐγκυκλήθητι.

[4] Τὸ ἄσωτον] Hæc vox ſalvo ſenſu abeſſe poteſt, nec quid ea hic ſibi velit, video.

[5] Ἐξελιγμῶν ἰδέαι διτταί· ἡ μὲν κατὰ λ.] Hæc, & quæ ſequuntur uſque ad finem articuli, αὐτολεξεὶ pene etiam leguntur apud Ælianum in *Tacticis* cap. xxvii. unde Suidas ſua procul dubio deſcripſit. Cæterum, verſionem Porti hic retinui, non quod eam probarem, ſed quia per temporis anguſtiam aliter hæc vertere non licebat. Quare Lector veniam mihi dabit, ſpero.

[6] Χώρειος] Apud Ælianum loco laudato rectius legitur Χορεῖος, i. e. *Chorica.*

[7] Ἀντὶ δὲ τῆς κατὰ πρόσωπον ἐπιφανείας, τὴν ὄπισθεν] Hæc ſic verte: *Et a fronte vertuntur in tergum.* Quid enim Porti verſio hic ſibi velit, vix intelligas.

[8] Εἶτα ὑμεῖς τὰς φάλ.] Fragmentum hoc legitur etiam ſupra v. Ἀγχίστροφοι.

Ἐξελίσσουσι. κινοῦσιν.

Ἐξελοφίζετο. [1] Ἡ δὲ γῆ ἐκ τῆς δικαιαρχιστελόφων ἐξελοφίζετο.

Ἐξεμεῖν. ἐκκενοῦσθαι. [2] Ἀριστοφάνης· Μὴ δῆθ᾽ ἱκετεύω, (τουτέστι, μὴ εἴπῃς) πλήν γ᾽ ὅτε μέλλω ἐξεμεῖν. τότε λέγε, φησίν· ἐπιτηρήσας ὅτε μέλλω ἐξεμεῖν. ῥᾷστα γὰρ ἂν μᾶλλον ἐξεμέσαιμι.

Ἐξεμηρύσατο. διεξῆλθεν. [3] Ὁ δὲ [4] Ἀννίβας ἐν ὅλῃ τῇ νυκτὶ μόλις ἐξεμηρύσατο τὰς χαράδρας.

Ἐξ ἐμοῦ. παρ᾽ ἐμοῦ.

Ἐξ ἐναντίας. ἐπίρρημα.

Ἐξένευσαν. παρῃτήσαντο. ἀπηρνήσαντο. Οἱ δὲ μὴ θέλοντες βοηθεῖν αὐτοῖς, ὡς πρὸς ἄλλους πόλεμον ἔχοντες, ἐξένευσαν τὴν βοήθειαν.

Ἐξένευσαν. ἐξεκολύμβησαν. [5] Θουκυδίδης· Τὰς δὲ ἄλλας ναῦς ἐπικαταλαβόντες, ἐξέωσάν τε πρὸς τὴν γῆν, καὶ πολλοὺς ἀπέκτειναν, ὅσοι μὴ ἐξένευσαν αὐτῶν.

Ἐξένιζεν. [6] ἀντὶ τοῦ ξένος ἦν. Δίδυμος δέ φησιν ἀντὶ τοῦ, οὐκ Ἀττικοῖς, ἀλλὰ ξένοις ῥήμασι διελέγετο.

Ἐξένισεν. ἐξενοδόχησε. καὶ ἀντὶ τοῦ ἀπέκτεινεν. [7] Ἠλέκτρα φησίν· Ὁ δὲ Ἄρης οὐκ ἐξένισεν αὐτόν. τουτέστιν, οὐκ ἀπέκτεινε. ξενία γὰρ Ἄρεως, τραύματα καὶ φόνοι. καὶ Ἀρχίλοχος·

Ξείνια δυσμενέσιν λυγρὰ χαριζόμενος.

ταῦτα [8] θρηνεῖ ἀδελφὴ τοῦ Ὀρέστου.

Ἐξ ἑνὸς τὰ πάνθ᾽ ὁρᾷ. ἐπὶ τῶν παρορώντων.

Ἐξέπεσον. πόρρω ἀπέφυγον. Καὶ τελευτῶντες τῆς νήσου ἐξέπεσον. ἀντὶ τοῦ, ἐξεβλήθησαν.

Ἐξ ἐπιμέτρου. [9] Ἡ τῶν Ἐσσαίων αἵρεσις, οἵ εἰσιν Ἰουδαῖοι, τῶν Φαρισαίων καὶ Γραμματέων τὴν δικαιοσύνην ἐξ ἐπιμέτρου διανέστηκεν.

Ἐξεπιώκατον. θλίβουσιν. ἢ ἐθλίψατε.

Ὡς ἐμοῦ γε τὼ ξύλω τὸν ὦμον ἐξεπιώκατον.

Ἀριστοφάνης [10] Λυσιστράτῃ.

Ἐξ ἐπιπέδου. ἐξ ἐπιπολῆς. οἷον οὐκ εἰς βάθος, ἀλλ᾽ εἰς ὄψιν.

Ἐξ ἐπιτάγματος. Καὶ ὁ Καῖσαρ παρῆν ἐξ ἐπιτάγματος· ἀλλ᾽ ἐσιώπα, καὶ εἵπετο.

Ἐξεπίτηδες, [11] καὶ ἐπίτηδες. ἑκατέρως λέγουσιν

Ἐξελίσσουσιν. Evolvunt. Explicant. Movent.

Ἐξελοφίζετο. * * * *

Ἐξεμεῖν. Evomere. Ariſtophanes: *Ne quæſo iſtud dic, niſi cum ſum vomiturus.* Obſerva, inquit, tempus, quo vomiturus ſum: & tunc iſtud dic. Facillime enim tunc vomam, ſi illud dixeris.

Ἐξεμηρύσατο. Tranſivit. *Annibal vero vix tota nocte confragoſam convallem tranſivit.*

Ἐξ ἐμοῦ. Ex me. A me.

Ἐξ ἐναντίας. Adverbium. Ex adverſo.

Ἐξένευσαν. Abnuerunt. Recuſarunt. *Illi vero, cum opem eis ferre nollent, cauſati, ſe cum aliis bellum gerere, auxilium abnuerunt.*

Ἐξένευσαν. Enatarunt. Thucydides: *Cum autem cæteras naves aſſecuti fuiſſent, eas ad littus propulerunt, omneſque interfecerunt, quotquot non enataverant.*

Ἐξένισεν. Peregrinus erat. Didymus vero accipit pro, non Attico, ſed peregrino ſermone loquebatur.

Ἐξένισεν. Hoſpitio excepit. Item, interfecit. Electra [apud Sophoclem] inquit: *Mars vero eum hoſpitio non excepit.* Id eſt, occidit. Hoſpitalitas enim, qua Mars hoſpites excipit, ſunt vulnera & cædes. Et Archilochus: *Xenia triſtia hoſtibus largiens.* Hæc autem Oreſtis ſoror lamentabunda dicit.

Ἐξ ἑνὸς τὰ πάνθ. Ex uno videt omnia. Dicitur de iis, qui negligenter & obiter aliquid vident.

Ἐξέπεσον. Longe aufugerunt. Ejecti, ſive expulſi fuerunt. *Et tandem ex inſula ejecti fuerunt.*

Ἐξ ἐπιμέτρου. Cum auctario. Abunde. *Secta Eſſæorum, qui ſunt Judæi, Phariſæorum & Scribarum juſtitiam longe ſuperavit.*

Ἐξεπιώκατον. Premunt. Vel, preſſiſtis. *Ut humerum meum hæc ligna premunt.* Ariſtophanes *Lyſiſtrata.*

Ἐξ ἐπιπέδου. In ſuperficie. Non in profundo, ſed parte ſumma, quæ oculis expoſita eſt.

Ἐξ ἐπιτάγματος. Ex mandato. Alicujus juſſu. *Cæſar juſſus aderat, tacituſque ſequebatur.*

Ἐξεπίτηδες, & ἐπίτηδες. Utrumque dicunt

---

[1] Ἡ δὲ γῆ ἐκ τῆς δικαιαρχ.] Loci hujus tenebras nemo diſcutiat, quin prius auctorem, unde hæc ſumpta ſunt, inveſtigaverit. Quare quærat diligens Lector.

[2] Ἀριστοφάνης] Initio *Ranarum*, ubi locus hic ſic legitur & diſtinguitur:

Μὴ δῆθ᾽ ἱκετεύω, πλήν γ᾽ ὅταν μέλλω ᾽ξεμεῖν.

Vide ibi Scholiaſtam.

[3] Ὁ δὲ Ἀννίβας ἐν ὅλῃ τῇ νυκτ.] Hæc ſunt verba Polybii lib. III. cap. LIII. Vide etiam ſupra v. Ἐκμηρυσάμενος.

[4] Ἀννίβας] Priores Editt. incpte habent Ἀνανίας: cujus loco Ἀννίβας legendum eſſe ex dicto loco Polybii patet.

[5] Θουκυδίδης] Lib. II. cap. XC.

[6] Ἐξένιζεν] Ex Harpocratione.

[7] Ἠλέκτρα φησὶν] Apud Sophoclem *Electra* pag. 85. ut Portus obſervavit. Vide ibi Scholiaſtam, cujus verba Suidas hic deſcripſit. Confer etiam Suidam infra v. Ξενία.

[8] Ταῦτα θρηνεῖ ἀδελφὴ τοῦ Ὀρέστου] Hæc alieno loco poſita ſunt, quæ collocari debebant poſt verba illa Sophoclis: Ὁ δ᾽ Ἄρης οὐκ ἐξένισεν αὐτόν. Apud Sophoclem enim verba iſta proferuntur ab Electra, Oreſtis ſorore, quæ mortem Agamemnonis patris ſui, a Clytemnæſtra per inſidias occiſi, lugens introducitur. Vel potius, verba hæc, tanquam ſupervacanea, delenda ſunt, quoniam apud Suidam præcedit, Ἠλέκτρα φησίν. Cum enim Electra Oreſtis ſoror fuerit, ut diximus, ταυτολογία fuerit, utramque ῥῆσιν hic adhibere.

[9] Ἡ τῶν Ἐσσαίων αἵρεσις, οἵ εἰσιν Ἰουδ.] Hæc, & quæ ſequuntur, αὐτολεξεὶ etiam leguntur apud Cedrenum pag. 98. Vide etiam Noſtrum infra v. Ἐσσαῖοι.

[10] Ἀριστοφάνης Λυσιστράτῃ] Pag. 854. (547. Ed. Baſ. P.)

[11] Ἐξεπίτηδες, καὶ ἐπίτηδες. ἑκατ.] Ex Scholiaſta Ariſtophanis ad *Plutum* pag. 91. (45. Ed. Baſ. P.

Ἀττικοί. ἀντὶ τοῦ μάτην, ἐξ ἀνάγκης, ἀργῶς. Οὐκ ἐπίτηδες ἡ πόλις ἀρχὴν καθίστησι δικαστάς.

Ἐξέπλευσεν. ἐξώκειλε. παρεξετράπη. Ὁ δὲ [1] ἐξέπλευσε τῶν φρενῶν, καὶ πολλὰ εἰς τὸ ἄγαλμα παρῴνησεν.

Ἐξέπλωσας. [2] Ἡρόδοτος· Πῶς οὐκ ἐξέπλωσας τῶν φρενῶν, σαυτὸν διαφθείρας; ἀντὶ τοῦ ἐξέπλευσας· τουτέστι, παρεξετράπης, καὶ ἐξώκειλας.

Ἐξεπολεμώθη. ἐνικήθη.

Ἐξέπραξεν. ἀντὶ τοῦ ἀνεῖλεν. [3] Οὔτε πυρφόρος Θεοῦ κεραυνὸς ἐξέπραξεν.

Ἐξεπρέμνιζον. [4] ἀντὶ τοῦ κατέβαλλον τὰ πρέμνα. τουτέστι, μέχρι ῥιζῶν τὰ στελέχη. οὕτω Δημοσθένης.

Ἐξεράσατε [5] τοὺς λίθους. ἐκκενώσατε. ἐκβάλλετε. ἀπορρίψατε. πεποίηται δὲ ἡ λέξις ἀπὸ τῆς ἔρας, ὅ ἐστι τῆς γῆς.

Ἐξερέων. ἀντὶ τοῦ ἐρευνῶν.

Ἐξερεύξεται. ἐκφέρει. ἐξενέγκει.

Ἐξερήσομεν. ἐρωτήσομεν.

Ἐξεελθεύονται. πρὸς [6] κακίαν ἐκκαλοῦσι. [7] Πολύβιος· Οἱ τῆς στρατηγίας ὀρεγόμενοι, ἐξεελθεύονται τοὺς νέους, καὶ παρασκευάζουσιν εὔνους συναγωνιστὰς εἰς τὸ μέλλον.

Ἐξέρκετον. κατὰ Ῥωμαίους τὸ στρατόπεδον.

Ἐξερῶ. ἐξώσω.

Ἐξεῤῥωγυῖα. διεφθαρμένη. [8] Προκόπιος· Γυνὴ τὸν τρόπον ἐξεῤῥωγυῖα. † Καὶ οἱ θυμοὶ τῶν ὑπασπιστῶν τῆς Εὐδοξίας κατὰ τοῦ Χρυσοστόμου [9] ἐξεῤῥώγησαν.

Ἐξ ἔρωτος. ὅτι ἐξ ἔρωτος ἐνίοτε νόσος ἐπισυμβαίνει· [10] ὅπερ Ἀντίοχος ὁ Σελεύκου παῖς ἔπαθεν. εἶτα ὑπὸ ἰατρῶν ἐφωράθη τὸ πάθος.

Ἐξερπύσασι. βαδίσασι.

Ἐξεῤῥύησαν. ἠφανίσθησαν. λαμβάνεται δὲ καὶ ἐπὶ τῶν ἐν πόλει φευγόντων.

Ἐξεσάλαξας. μετεκίνησας. ἐν Ἐπιγράμματι·

— Τήνδε δὲ θυμοῦ
Ἐξεσάλαξας ὅλην θάμβεϊ φαντασίην.

Ἐξεσία. ἡ πρεσβεία.

Ἐξεσκληκός. τὸ ἀποξηρανθέν.

Ἐξεσόβησα. ἐξεδίωξα. ἐν [11] Ἐπιγράμματι·

Attici. Temere. Fruſtra. Neceſſario. Otioſe. [Ariſtophanes:] *Ergo civitas fruſtra Judices conſtituit, qui jus dicant.*

Ἐξέπλευσεν. A recto curſu deflexit. In tranſverſum actus eſt. *Ille vero in furorem actus, proterve & petulāter ſimulacro inſultavit.*

Ἐξέπλωσας. Idem quod ἐξέπλευσας. Herodotus: *Nonne vero a ſana mente deſciviſti, qui te ipſe tam fœde laceraris?* Hic τὸ ἐξέπλωσας ſignificat, deflexiſti, vel in tranſverſum actus es.

Ἐξεπολεμώθη. Debellatus eſt. Devictus eſt.

Ἐξέπραξεν. Occidit. [Sophocles:] *Nec igneum Dei fulmen eum interfecit.*

Ἐξεπρέμνιζον. Stipites arborum ad radices uſque exſcindebant. Arbores exſtirpabant. Sic Demoſthenes.

[6] Ἀπώμοτος] Sic habent MSS. Pariſ. itemque Harpocratio & Etymologus. At priores Editt. minus recte ἐπώμοτος: quam lectionem tamen Mauſſacus ad Harpocrationem, quod miror, præ altera probat & amplectitur. Scribendum enim hic eſſe ἀπώμοτος, vel ex voce ſequenti κατώμοτος manifeſtum eſt. Cum enim Suidas diverſas jurisjurandi ſpecies hic recenſeat, & inter eas *affirmativi* mentionem faciat; non potuit nec debuit juſjurandum *negativum*, (id enim Græcis eſt ὅρκος ἀπώμοτος, vel ἀπωμοτικὸς) ut ſpeciem priori oppoſitam, omittere. Gloſſæ veteres: *Abnutivum*, ἀπωμοτικόν. *Adnutivum*, κατωμοτικόν. Sic Græci ſemper τὸ ἀπωμοτικὸν & κατωμοτικὸν, vel ἀπομόσαι & κατομόσαι, inter ſe opponunt. Vide Noſtrum ſupra v. Ἀπομόσαι, & infra v. Νὴ τὴν ἱερὰν κεφαλήν. Hinc autem apparet, Nicolaum Blancardum τὸ ἀπώμοτον, quod priores Editt. Harpocrationis habebant, male in ſua Edit. in ἐπώμοτος mutaſſe: idque nulla auctoritate MStorum, ſed ſolo judicio Mauſſaci fretum: quæ licentia in veterum auctorum editoribus nullo modo ferenda eſt.

Ἐπακτρία[1] χώρα. κατὰ τοὺς παλαιοὺς χρόνους κωμηδὸν οἰκοῦντας τοὺς Ἀθηναίους ὁ Κέκροψ συναγαγὼν, κατῴκισεν εἰς φυλὰς ιβʹ, καὶ[2] τὴν τῶν πολιτῶν ἐπωνυμίαν ἀφ' ἑαυτοῦ Κεκροπίαν προσηγόρευσεν. δύο δὲ τετραπόλεις ἐκάλεσεν, ἐκ τῶν τεττάρων πόλεων ἑκατέραν μοῖραν καταστήσας. [3]τρεῖς δὲ τὰς λοιπὰς [4]Ἐπακτρίδας ὠνόμασε. καὶ ἡ προσεχὴς χώρα ταύταις ταῖς τρισὶν ὁμωνύμως αὐταῖς [5]Ἐπακτριὰς ἐκαλεῖτο.

Ἐπακτρεῖς. εἶδος πλοίου. Ἐμβάντες γὰρ εἰς τὰς ἐπακτρίδας, καὶ τὰς δρομάδας ὁλκάδας, τὸν ὅρμον περιενόστησαν.

Ἐπακτροκέλης.[6] πλοῖον λῃστρικὸν, μεταξὺ ἐπακτρίδος καὶ κέλητος· ἅπερ καὶ αὐτὰ πλοιάρια ἐστίν.

Ἐπαλαμᾶτο. ἐμηχανᾶτο. ἐτεχνάζετο. παλάμαι γὰρ αἱ τέχναι. καὶ ἐπαλαμήσατο. ἐμηχανήσατο. ἐπενόησεν. [7] Ἀριστοφάνης Νεφέλαις·

Τί οὖν πρὸς τἄλφιτ' ἐπαλαμήσατο;

Ἐπαλλάξαντες. ἐπιλέξαντες.

Ἐπαλλάξεις.[8] ἀντὶ τοῦ συναλλαγὰς, ἢ μίξεις. Ἀντιφῶν.

Ἐπαλεξήσων. βοηθήσων.

Ἐπαλείφων. γυμνάζων, καὶ χρίων. Κασσιτέρῳ δὲ ἐπαλήλιπτο τὰ κράνη αὐτῶν.

Ἐπαληθείς. πλανηθείς.

Ἐπάλληλον. ὅμοιον.

Ἐπάλξεις. προμαχεῶνες οἱ τῶν τειχέων καὶ τῶν πύργων. καὶ ἐν Ἐπιγράμματι· Προβλὴς ὥς τις ἔπαλξις ἀνέμβατος.

Ἐπαλξίτης.

Ἐπαμητάμενος. ἀνακινήσας. Ἡρόδοτος.

Ἐπαμινώνδας. [9]Ἀθηναίων καὶ Μαντινέων μαχεσαμένων, Ἐπαμινώνδας τιτρώσκεται κατὰ τὸν πόλεμον· καὶ τετρωμένον αὐτὸν κομίζουσιν ἐκ τῆς παρατάξεως ἔτι ζῶντα. ὁ δὲ τέως μὲν τὴν χεῖρα ἔχων ἐπὶ τῷ τραύματι ἐταλαιπώρει, καὶ ἐς τοὺς συμμάχους ἀφεώρα. λαβόντος δὲ ἴσον τοῦ ἀγῶνος τὸ πέρας, οὕτω τὴν χεῖρα ἀπέχε τοῦ τραύματος, καὶ αὐτὸν ἀφέντα τὴν ψυχὴν ἔθαψαν, ἔνθα σφίσιν γέγονεν ἡ συμβολή. τῷ τάφῳ δὲ κίων ἐφέστηκεν, καὶ ἀσπὶς ἐπ' αὐτῷ, δράκοντα ἔχουσα ἐπειργασμένον. ἤθε-

Ἐπακτρία χώρα. Epactria regio. Antiquis temporibus Athenienſes ſparſim habitantes Cecrops in civitatem coactos in duodecim Tribus diſtribuit, & a ſe Cecropios appellavit. Duas vero Tetrapoles, ſingulas ex quatuor urbibus compoſitas, conſtituit: & tres reliquas Epactrides vocavit. Unde & regio, tribus his urbibus vicina, Ἐπακτρὶς vocata fuit.

Ἐπακτρίς. Navis genus. Epactris. *Cum enim epactrides & curſorias holcades conſcendiſſent, portum circumnavigarunt.*

Ἐπακτροκέλης. Epactroceles. Navigium prædatorium, medium inter epactridem & celetem, quæ & ipſa parva ſunt navigia.

Ἐπαλαμᾶτο. Machinabatur. Moliebatur. Nam παλάμαι ſunt artes. Et ἐπαλαμήσατο. Machinatus eſt. Molitus eſt. Excogitavit. Ariſtophanes *Nubibus: Ad farinas igitur quid excogitavit?*

Ἐπαλλάξαντες. Qui delegerunt.

Ἐπαλλάξεις. Permutationes. Contractus. Vel, mixtiones. Antiphon.

Ἐπαλεξήσων. Auxiliaturus. Opem laturus.

Ἐπαλείφων. Exercens. Et, inungens, illinens. *Stanno autem galeæ illorum illitæ erant.*

Ἐπαληθείς. Vagatus. Qui aberravit.

Ἐπάλληλον. [Crebrum. Alterum alteri ſuccedens.] Simile.

Ἐπάλξεις. Murorum & turrium propugnacula. In Epigrammate: *Velut propugnaculum prominens & inacceſſum.*

Ἐπαλξίτης. Lapis ſupra propugnaculum muri poſitus.

Ἐπαμησάμενος. Qui coacervavit. Qui loco aliquid movit.

Ἐπαμινώνδας. Epaminondas. Athenienſibus & Mantinenſibus prælium inter ſe committenbus, Epaminondas vulneratus fuit. Cum igitur ſaucium quidem, at tamen adhuc viventem, ſui ex acie retuliſſent, vulnus oppoſita manu compreſſit; ſuoſque proſpectans, dolorem eo uſque pertulit, donec æquatum vidit pugnæ exitum. Inde cum manu a vulnere remota animam efflaſſet, eo ipſo in loco, quo prælium commiſſum fuerat, ſepulturæ mandatus eſt. Tumulo ejus impoſita erat columna cum ſcuto, in quo draco cælatus erat.

---

[1] Ἐπακτρία χώρα. κατὰ τοὺς παλ.] Eadem habet Etymologus; ſed apud quem rectius legitur Ἐπακρία; quo nomine eandem tribum vel urbem etiam appellat Stephanus Byzantius; itemque Strabo lib. ix. pag. 397.

[2] Καὶ τὴν τῶν πολιτῶν ἐπωνυμίαν ἀφ' ἑαυτοῦ Κεκρ.] Legerim potius, καὶ τὴν μιᾶς τῶν πόλεων ἐπωνυμίαν ἀφ' ἑαυτοῦ, &c. Una enim urbium vel tribuum a Cecrope inſtitutarum appellata fuit Cecropia, teſte Strabone, & aliis. Certe ex lectione vulgata non videtur ſenſus ſatis commodus elici poſſe.

[3] Τρεῖς δὲ τὰς λοιπάς] Si verum eſt, quod Suidas paulo ante dixit, Cecropem in xii. urbes vel tribus incolas Atticæ diſtribuiſſe; hic ſcribendum erit τέσσαρας δὲ τὰς λοιπάς: & paulo poſt, ταῖς τέσσαρσιν ὁμωνύμως. Vel, ſi lectio recepta hujus loci vera eſt, paulo ante ſcribendum erit, εἰς φυλὰς ιαʹ, i. e. *in tribus* xi: ne Suidas ſecum ipſe pugnet. Prius tamen potius placet, quoniam & Strabo loco laudato affirmat, xii urbes a Cecrope in Attica inſtitutas fuiſſe. Vide tamen Stephanum Byzantium v. Ἀθῆναι, qui ſententiæ huic obſtare videtur.

[4] Ἐπακτρίδας] Scribe, Ἐπακρίας.

[5] Ἐπακτριάς] Ἐπακρία.

[6] Ἐπακτροκέλης. πλοῖον λῃστρ.] Ex Harpocratione. Ammonius: Κέλης καὶ ἐπακτροκέλης διαφέρει. Κέλης μὲν γάρ ἐστι πηδάλιόν τι μικρόν. Ἐπακτροκέλης δὲ, κακοῦργον καὶ λῃστρικὸν σκάφος, μεταξὺ ἐπακτρίδος καὶ κέλητος. Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου· Ἀλλ' αἱ περιττοῖς τοῦ σώματος ἡδοναί, καὶ τὸ μηδὲν ἱκανὸν εἶναι, ταῦτα πληροῖ τὰ λῃστήρια· ταῦτα εἰς τὸν ἐπακτροκέλητα ἐμβιβάζει.

[7] Ἀριστοφάνης Νεφέλαις] Pag. 133. (68. Ed. Baſ. *P.*)

[8] Ἐπαλλάξεις] Ex Harpocratione.

[9] Ἀθηναίων καὶ Μαντινέων μαχεσαμένων, Ἐπαμ.] Hæc, & quæ ſequuntur uſque ad finem articuli, ſunt verba Pauſaniæ lib. viii. cap. xi.

λε δὲ ὁ δράκων σημαίνειν τοῦ γένους τῶν [1] Σπαρτῶν ὄντα. τὸν Ἐπαμινώνδαν στρατηγίας ἕνεκα τῶν παρ' Ἕλλησιν εὐδοκιμησάντων μάλιστα ἐπαινέσαι τις ἄν, ἢ οὐδενὸς ποιήσαιτο ὕστερον. ὅτι ἐγεγόνει τῷ Ἐπαμινώνδᾳ χρησμὸς, πέλαγος αὐτὸν φυλάττεσθαι. καὶ ὁ μὲν ἐπιβῆναι πλοίου δεῖμα εἶχε. τῷ δὲ ἄρα πέλαγος δρυμὸν, καὶ οὐ θάλασσαν, προὔλεγεν ὁ δαίμων. χωρία δὲ ὁμώνυμα.

Ἐπαμῦναι. ἐπιβοηθῆσαι. δοτικῇ δὲ συντάσσεται. Ἐπήμυνε τοῖς ἀδικουμένοις. καὶ ἐπάμυνον. βοήθησον.

Ἐπαμφοτερίσαι. εἰς ἀμφιβολίαν ἀγαγεῖν τὸν λόγον, ὡς καθ' ἑκάτερον ἐλέγχεσθαι.

Ἐπανάκρουσαι πάλιν. ἀπὸ τῶν ἐρετῶν, [2] ὅταν στρέψαντες τὴν πρύμναν ἀνακρούσωνται, ἵνα ὀπίσω τὸ πλοῖον ἀναχωρήσῃ. [3] Ἀριστοφάνης Ὄρνισι· Δεῦρ' ἐπανάκρουσαι πάλιν. ἀντὶ [4] τοῦ, ἐπανάκαμπτε. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν τὰς ἡνίας ἀνακρουομένων, ἢ τὰς ναῦς. ἢ ὑπόστρεψον. ἐπάνιθι. ἐπανάκρουσις δὲ κυρίως τὸ ἐπισχεῖν τὴν ἐπερχομένην ναῦν μεθ' ὁρμῆς εἰς τὸν ὅρμον, ἵνα μὴ προσελθοῦσα θραυσθῇ. τὸ δὲ πάλιν, ἐπὶ τοῦ ὀπίσω· ἀπὸ τῶν εἰς τοὔμπροσθεν ἐρεσσόντων. ἢ ἀντὶ τοῦ, ᾄσας περὶ τούτου, πάλιν ᾆσον, καὶ ἐπανάλαβε.

Ἐπαναβάλεσθε. περιστολίσεσθε. Ἱμάτια τἀνδρεῖα περιστολίσεσθε.

Ἐπαναβαίνω. δοτικῇ συντάσσεται. Οἱ δὲ ἐπανέβαινον τῷ ὄρει. καὶ γενικῇ. Ἐπαναβαίνειν τῶν τοιούτων τῆς νεὼς πειρώμενοι.

Ἐπαναφορά. [5] ἀναφέρειν καὶ ἀνακοινοῦσθαι τῷ πλήθει.

Ἐπαναχθέντες. [6] ἐπανακομισθέντες.

Ἐπανέβην. αἰτιατικῇ.

Ἐπανεθήσεται. ἀντὶ τοῦ ἐπαφεθήσεται. Κἀμοί τε τῶν τελῶν ἐπανεθήσεται, καὶ μεγάλα κερδανῶ.

Ἐπανέντας. ἀφέντας.

Ἐπανέσχετο. ἐπανελάβετο. Ὁ δὲ τὸν πρὸς Γέτας πόλεμον ὡς μάλιστ' ἐπείγοντα, ἐπανέσχετο.

Ἐπανετείνοντο. δοτικῇ. Ξενοφῶν· Ἐπανετείνοντο δὲ καὶ μείζονες ἐλπίδες τοῖς ἀξίοις, ἔπαινοί τε, καὶ εἴ τι ἐν τῷ ἐπιόντι χρόνῳ ἀγαθὸν εἶναι μεῖζον φαίνοιτο. Ἐπανετείνοντο οὖν, ἐν προσδοκίᾳ ἦσαν. ἢ ηὔξοντο, ἐμεγαλύνοντο.

Significabat autem draco iſte, Epaminondam ab iis genus ducere, qui *Sparti* vocabantur; [quod e ſatis draconis dentibus nati crederentur.] Huic Epaminondæ inter clariſſimos Græcorum Imperatores merito quis principem locum tribuat, vel ſaltem eum nulli ſecundum dixerit. † Epaminondas accepto oraculo, quo pelagus cavere jubebatur, navem conſcendere veritus eſt. At Deus præmonuerat, non mare, ſed ſaltum ei vitandum eſſe, cui Pelagus nomen erat.

Ἐπαμῦναι. Auxiliari. Opem ferre. Cum dativo conſtruitur. Ut, *Injuriam patientibus opem tulit*. Et ἐπάμυνον. Opem fer.

Ἐπαμφοτερίσαι. Oratione ambigua uti; & quæ in utramque partem accipi poſſit.

Ἐπανάκρουσαι. Recede. Retro curſum flecte: Tranſlatio ducta eſt a remigibus, cum puppe non converſa navem in poſticam partem repellunt. Ariſtophanes *Avibus*: *Huc revertere*. Ἐπανάκρουσαι enim hic idem ſignificat, quod ἐπανάκαμπτε. Metaphora autem ducta eſt ab illis, qui habenis retractis equos recedere cogunt. Vel ab iis, qui navem remis retro agunt. [Senſus igitur eſt,] revertere, redi. Ἐπανάκρουσις autem proprie eſt, cum navis, quæ celeri curſu portum ſubit, inhibetur, ne terræ illiſa frangatur. Πάλιν vero ſignificat retro: [qua voce hic uſus eſt Ariſtophanes per tranſlationē ductam] a remigibus, qui navē remis retro agunt. Vel hic eſt hujus loci ſenſus: Si ante cecinisti, iterum cane, & carmen itera.

Ἐπαναβάλεσθε. Induite. Veſtes viriles induetis.

Ἐπαναβαίνω. Cum dativo conſtruitur. *Illi vero in montem adſcendebant*. Et cum genitivo: ut, *Talium hominum navem conſcendere conantes*.

Ἐπαναφορά. Relatio ad populum. Relatio.

Ἐπαναχθέντες. Revecti. Relati. Reverſi.

Ἐπανέβην. Accuſativo jungitur. Conſcendi.

Ἐπανεθήσεται. Remittetur. *Et mihi de vectigalibus aliquid remittetur: unde magnum ad me lucrum redibit*.

Ἐπανέντας. Illos, qui remiſerunt, aut dimiſerunt.

Ἐπανέσχετο. Iterum ſuſcepit. Reſumpſit. *Ille vero bellum contra Getas, ut maxime urgens, reſumpſit*.

Ἐπανετείνοντο. Dativo jungitur. Intentabantur. Proponebantur. Xenophon: *Illis vero, qui [præmiis videbantur] digni, majores etiam ſpes proponebantur, & laudes, & ſi quod majus bonum in poſterum fore videbatur*. Ἐπανετείνοντο igitur ſignificat, expectabant: vel, augebantur, magnifice extollebantur.

---

[1] Σπαρτῶν] Sic recte habent MSS. Pariſ. itemque Pauſanias loco laudato. At priores Editt. male Σπαρπατῶν. Σπαρτοὶ autem appellabantur Thebani, quod ex dentibus draconis a Cadmo ſatis procreati eſſe crederentur. Res nota eſt ex Æſchylo, Pindaro, aliiſque ſcriptoribus veteribus.

[2] Ὅταν στρέψαντες τὴν πρ.] Quamvis ſic habeant libri tam manu exarati quam excuſi, puto tamen addita negatione ſcribendum eſſe, ὅταν μὴ στρέψαντες τὴν πρύμναν. Remiges enim ἐπανακρούσασθαι, vel κρούσασθαι τὴν πρύμναν dicebantur, cum ipſi quidem converſi, at puppi non converſa, navem in poſticam partem repellerent. Clare Scholiaſta Thucydidis ad lib. 1. cap. L. Πρύμναν κρούσασθαί ἐστι, τὸ κατ' ὀλίγον ἀναχωρεῖν, μὴ στρέψαντα τὸ πλοῖον. ὁ γὰρ οὕτως ἀναχωρῶν, ἐπὶ τὴν πρύμναν κωπηλατεῖ. τοῦτο δὲ ποιοῦσιν, ἵνα μὴ δόξωσι φανερῶς φεύγειν, οὕτω κατ' ὀλίγον ὑπαπιόντες. ἢ ἵνα μὴ τὰ νῶτα τοῖς πολεμίοις δόντες, ῥᾷον τιτρώσκωνται. Hunc locum deſcripſit Suidas infra v. Πρύμναν κρούσασθαι. Scholiaſta Ariſtophanis ad *Veſpas* pag. 457. Τὸ δὲ πρύμναν κρούεσθαι φασί τινες λέγεσθαι, ὅταν μετακαθίσαντες οἱ ἐρέται, ἐλαύνωσιν ὀπίσω ἐπὶ τὴν πρύμναν. ὅταν εἰς λιμένα εἰσέρχωνται, ἵνα τὴν πρύμναν εἰς γῆν ἔχωσι νεύουσαν, καὶ τὴν πρῷραν ἔξω, ὅπως ἄνευ τροπῆς εἴη εἰς ἔξοδον ἡ ναῦς. Hæc, ut arbitror, conjecturæ noſtræ veritatem clare confirmant.

[3] Ἀριστοφάνης Ὄρνισι] Pag. 571. (393. Ed. Baſ. P.)

[4] Ἀντὶ τοῦ, ἐπανάκαμπτε] Hæc, & quæ ſequuntur, ſunt verba Scholiaſtæ ad modo indicatum locum Ariſtophanis.

[5] Ἐπαναφορά] Ex Harpocratione.

[6] Ἐπανακομισθέντες] Hanc vocem ex uno MS. Pariſ. addidi; quæ in prioribus Editt. deſideratur.

Ἐπανέχειν. Οἰκείᾳ συνέσει χρῆσθαι, καὶ μὴ ταῖς βίβλοις ἐπανέχειν.	Ἐπανέχειν. Incumbere. [*Oportet*] *propria prudentia uti, nec libris ſemper incumbere.*
Ἐπανέχειν. ὑψοῦν.	Ἐπανέχειν. In altum tollere. Extollere.
Ἐπανεῖπον. ἐκήρυξαν. Θουκυδίδης η΄· Τῶν δὲ διαφυγόντων θάνατον καταγνόντες, ἐπανεῖπον ἀργύριον τῷ ἀποκτείναντι.	Ἐπανεῖπον. Edixerunt. Per præconis vocem edixerunt. Thucydides libro octavo: *Illos autem, qui aufugerant, capite damnarunt, & pecuniam per præconis vocem promiſerunt illi, qui ipſos interfeciſſet.*
Ἐπάνηκε. ἐπάνελθε.	Ἐπάνηκε. Reverte. Redi.
Ἐπανήρατο. ἐπειρᾶτο. εἵλετο.	Ἐπανήρατο. Tentavit. Suſcepit. Aggreſſus eſt.
Ἐπανῃρημένος. προῃρημένος. θέλων.	Ἐπανῃρημένος. Qui aliquid ſuſcepit. Qui aliquid ſibi propoſuit faciendum.
Ἐπανιτέον. ἐπανακτέον.	Ἐπανιτέον. Revertendum eſt. Redeundũ eſt.
Ἐπανιστῶ. δοτικῇ. καὶ ἐπανίσταμαι, δοτικῇ.	Ἐπανιστῶ. Dativo jungitur. Concito aliquẽ in alium. Et ἐπανίσταμαι, itidem dativo. Inſurgo in aliquem.
Ἐπανορθῶ. αἰτιατικῇ.	Ἐπανορθῶ. Corrigo. Emendo.
Ἐπαντλῶ. αἰτιατικῇ.	Ἐπαντλῶ. Aquam hauſtã in aliquid infundo.
Ἐπάντους. ὑψηλοῦ. [1]Θουκυδίδης· Οἱ δὲ Ἀθηναῖοι βαλλόμενοι ὑπὸ πολλῶν ἀπὸ τοῦ λόφου ἐπάντους ὄντος, διικνοῦντο γὰρ ῥᾷον οἱ ἄνωθεν, οὐ δυνάμενοι βιάσασθαι, ἀνεχώρουν.	Ἐπάντους. Acclivis. Excelſi. Alti. Thucydides: *Athenienſes autem, quod multi de excelſo colle ſagittis eos peterent, (tela enim e loco ſuperiore miſſa facilius penetrabant) cum locum vi expugnare non poſſent, receſſerunt.*
Ἐπαποδυώμεθα. ἀντὶ τοῦ ἐπιχειρήσωμεν. [2]Ἀριστοφάνης· Ἀλλ' ἐπαποδυώμεθα τουτῳὶ τῷ πράγματι. Ar. Lysistr. 616. R.P. praef. E. Hecub. 54.	Ἐπαποδυώμεθα. Suſcipiamus. Aggrediamur. Ariſtophanes: *Sed aggrediamur, viri, hoc negotium.*
Ἐπαπόρησις. ἀπορία.	Ἐπαπόρησις. Dubitatio.
Ἐπαποδύρομαι. αἰτιατικῇ.	Ἐπαποδύρομαι. Defleo. Lugeo.
Ἐπάρας.[3] πείσας. Θρασυτάτους ἄνδρας ἐλπίσιν εὐεργεσιῶν ἐπάρας ἀνοσίων ἔργων ἀρχηγοὺς γενέσθαι. Καὶ αὖθις· [4]Μειζόνως ἐπαινέσας, τοῖς τε ἄλλοις ἐπάρας, καὶ ὅτι ἀποχρῶν ἔσται τοῖς ἀμφ' αὐτὸν ὠνεῖσθαι τὰ ἐπιτήδεια τῆς ξυμβαινούσης τιμῆς. Καὶ αὖθις· Καὶ καταψευσάμενος τοῦ βασιλέως θάνατον, καὶ ἐπάρας πολλοὺς τὰ λυσιτελῆ οἱ φρονεῖν, καὶ τῆς ἐκείνου μερίδος εἶναι, ἤθροισε δύναμιν ῥᾳδίως πολλήν.	Ἐπάρας. Qui impulit. Qui perſuaſit. Qui induxit. *Cum autem audaciſſimos homines ſpe beneficiorum ad nefaria facinora perpetranda impuliſſet.* Et iterum: *Cum pluribus laudibus eos cumulaſſet, & tum aliis dictis ad rem aggrediendam impuliſſet, tum etiam his; militibus ſuis non defuturos eſſe commeatus, quos æquo pretio emant.* Et iterum: *Et cum falſum de morte Regis rumorem divulgaſſet, multoſque induxiſſet, ut commodis ſuis ſtuderent, partibuſque ſuis ſe adjungerent, facile ingentem exercitum coegit.*
Ἐπάρατοι. [5]ἐπαγωγοί. καὶ ἐπάρατος. ἐπικατάρατος.	Ἐπάρατοι. Maledicti. Execrandi. Et ἐπάρατος. Maledictus. Execrandus.
Ἐπαρήγειν. βοηθεῖν.	Ἐπαρήγειν. Auxiliari.
Ἐπαρώμενοι. δοτικῇ. καταρώμενοι.	Ἐπαρώμενοι. Dativo jungitur. Imprecantes.
Ἐπαρκῶ. δοτικῇ.	Ἐπαρκῶ. Sufficio. Suppedito. Dativo jungitur.
Ἐπαρτήσας. ἐπικρεμάσας. Ὁ δὲ εἰς πέρας ἤγαγεν αὐτούς, κακὴν δουλείαν ἐπαρτήσας αὐτοῖς. καὶ αὖθις Αἰλιανός· [6]Μὴ ὑποδέξασθαι τὰς ψυχὰς αὐτῶν σὺν εὐμενείᾳ, ἀλλ' ἐπαρτῆσαι τὰς δι' αἰῶνος τιμωρίας αὐτοῖς.	Ἐπαρτήσας. Qui ſupra aliquem aliquid ſuſpendit. [Qui injunxit. Qui impoſuit.] *Ille autem ad finem eos perduxit, poſtquam malam ſervitutem cervicibus eorum impoſuiſſet.* Et iterum Ælianus: [*Precati ſunt,*] *ne animas eorum propitius ſuſciperet, ſed æternas pœnas eis irrogaret.*
Ἐπαρτωμένων. ἐπικρεμαμένων. Τὸν ἄνδρα ἐπὶ τοσόνδε καρτερίας ἐλθεῖν, ὥστε μεγίστων φόβων ἐπαρτωμένων, καὶ βασάνων προσαγομένων αὐτῷ, οὐδὲν τῶν ἀπορρήτων εἰπεῖν.	Ἐπαρτωμένων. Impendentium. [*Ajunt*] *virum illum adeo conſtantis & obfirmati animi fuiſſe, ut nec impendente graviſſimorum malorum metu, nec tormentis admotis adduci poſſet, ut arcana enuntiaret.*
Ἐπαρυστρίδες. ἀντλητίδες.	Ἐπαρυστρίδες. Hauſtra. Hydriæ. Situlæ.

---

[1] Θουκυδίδης] Lib. VII. cap. LXXIX.

[2] Ἀριστοφάνης] *Lyſiſtrata*, pag. 876. (555. Ed. Baſ. P.)

[3] Ἐπάρας] Vide infra v. Ἐπῆρε.

[4] Μειζόνως ἐπαινέσας, τοῖς τε ἄλλοις ἐπ.] Idem fragmentum legitur etiam ſupra v. Ἀποχρῶν.

[5] Ἐπαγωγοί] Hæc interpretatio mihi ſuſpecta eſt.

[6] Μὴ ὑποδέξασθαι τὰς ψυχ.] Fragmentum hoc ampliari poteſt ex Suida infra v. Κατηύχοντο.

Ἔπαρχος πραιτωρίων. ὁ τῶν ἑῴων τῆς φορολογίας τὴν [1] ἐπίστασιν ἔχων παρὰ Ῥωμαίοις.

Ἐπάσαντο. ἐγεύσαντο.

Ἐπαοιδός. φαρμακός. γόης. καὶ θηλυκῶς, ἐπαοιδία.

Ἐπαυδῆσαι. ἐπειπεῖν.

Ἐπαύλειος. ἡ τῆς αὐλῆς ὁδός.

Ἐπαύλια [2] λέγεται, καθόσον ἐν τῇ τοῦ νυμφίου οἰκίᾳ ἡ νύμφη τότε πρῶτον ἐπηύλισται. καλεῖται δ᾽ ἐπαύλια καὶ τὰ μετὰ τὴν ἐχομένην ἡμέραν τῶν γάμων παρὰ τοῦ τῆς νύμφης πατρὸς δῶρα φερόμενα τῷ νυμφίῳ καὶ τῇ νύμφῃ ἐν πομπῆς σχήματι. παῖς γὰρ ἡγεῖται χλανίδα λευκὴν ἔχων, καὶ λαμπάδα καιομένην. ἔπειτα μετὰ τοῦτον κανηφόρος· εἶθ᾽ αἱ λοιπαὶ ἀκολουθοῦσιν ἐφεξῆς, φέρουσαι χρυσία, λεκανίδας, σμήγματα, φορεῖα, κτένας, κοίτας, ἀλαβάστρους, σανδάλια, θήκας, [3] μυραλείπτρα. ἐνίοτε δὲ καὶ τὴν προῖκα ἅμα τῷ νυμφίῳ φέρουσιν. οἱ δέ φασιν ἐπαύλια τὴν δευτέραν μετὰ τοὺς γάμους ἡμέραν καλεῖσθαι, ἐν ᾗ πρῶτον ἐπαυλίζεται τῷ νυμφίῳ ἡ νύμφη. ἐπαύλιον δὲ, μονή. Περὶ Ἑκάλης θανούσης·

——Ἴθι πρηεῖα γυναικῶν
Τὴν ὁδὸν, ἣν ἀνίαι θυμαλγέες οὐ περόωσι.
Πολλάκι [4] σεῖο, μαῖα, [5] φιλοξείνοιο καλιῆς
Μνησόμεθα· ξῦνον γὰρ ἐπαύλιον ἔσκεν ἅπασιν.

Ἔπαυλις. ἡ οἰκία, ἐν ᾗ τὴν αὖλιν ποιοῦνται. αὖλις δὲ, ἡ κοίτη. καὶ ἐπαυλόσυνος, ὁ εἰς τὴν ἔπαυλιν ἰών.

--- Οὔτε [6] τιν᾽ ἀνδρῶν,
Οὔτε [7] βροτῶν βλάψας, οἴχετ᾽ ἐπαυλόσυνος.

Περὶ λέοντος ὁ λόγος.

Ἐπαυλόσυνος. ὁ εἰς τὴν ἔπαυλιν ἰών. καὶ ἐπαυλίζονται, ἐπισκιάζονται.

Ἔπαυλις. μάνδρα βοῶν, καὶ προβάτων αὐλή. [8] Τότε μὲν οὖν ἀμφότεροι τὴν ἔπαυλιν ἐπὶ τοῦ χώματος ἐποιήσαντο οἵ τε Ῥωμαῖοι, καὶ οἱ Καρχηδόνιοι. τουτέστι, τὴν κοίτην.

Ἐπαύρασθαι. ἐπαπολαῦσαι. Τούτων τὴν αἴτησιν προσεμένων, καὶ συγχωρούντων ἐπαύρασθαι τῆς χλιδῆς. Καὶ αὖθις· Ἄπιθι τῆς Ἀκαδημίας, καὶ φεῦγε φιλοσοφίαν. οὐ γάρ σοι θέμις ἐπαύρασθαι αὐτῆς. ὁρᾷ γὰρ πρὸς σε ἔχθιστον. [9] πρὸς Κλέαρχον ὁ λόγος τὸν Σολέα, ὃς ἔγραψε διάφορα.

Ἔπαρχος πραιτωρίων. Sic apud Romanos dicebatur Præfectus Prætorio, cujus curæ tributa gentium Orientalium commiſſa erant.

Ἐπάσαντο. Guſtarunt.

Ἐπαοιδός. Incantator. Veneficus. Præſtigiator. Et fœminino genere ἐπαοιδία, incantatio.

Ἐπαυδῆσαι. Alloquutum eſſe. Alloqui.

Ἐπαύλειος ὁδός. Via veſtibuli, vel aulæ.

Ἐπαύλια. Hæc vox dicta eſt ab ἐπαυλίζεσθαι, i. e. in aliquo loco commorari, vel pernoctare: quod tunc ſponſa primum in domo ſponſi pernoctaret. Ἐπαύλια vero dicebantur etiam munera illa, quæ poſtridie nuptiarum a ſponſæ patre ſponſo & ſponſæ cum pompæ ſpecie ferebantur. Puer enim præcedebat, alba veſte indutus, & facem accenſam tenens: quem caniſtrifera excipiebat. Hanc deinceps reliquæ ſequebantur, ferentes aurea vaſa, patellas, ſmegmata, lecticas, pectines, lectos, alabaſtra, ſandalia, thecas, pyxides unguentarias. Interdum etiam dotem ſimul ſponſo afferebant. Alii vero dicunt ἐπαύλια vocari ſecundum a nuptiis diem, quo ſponſa primum in domo ſponſi pernoctabat. Significat autem ἐπαύλιον, manſionem, ſive ſtationem, hoſpitium, domicilium. [Callimachus] de Hecale defuncta ait: *I, mitiſſima mulier, viam illam, quam dolores animum cruciantes non attingunt. Nos interim ſæpe, grandæva mater, memores erimus hoſpitalium ædium tuarum, quæ commune omnium hominum hoſpitium quondam fuerunt.*

Callim. Fragm. CXXXI. p. 494.

Ἔπαυλις, Domus, in qua quis pernoctat, vel commoratur. Αὖλις enim ſignificat ſtationem, ſtabulum, vel cubile. Et ἐπαυλόσυνος, qui ſe ad domicilium vel cubile ſuum confert. [In Epigrammate:] *Nec ullo paſtorum pecorumve læſo, cubile* [vel luſtrum] *ſuum repetiit.* De leone hæc dicuntur.

Ἐπαυλόσυνος. Qui in ſtationem, vel domicilium ſuum abit. Et ἐπαυλίζονται, inumbrantur.

Ἔπαυλις. Stabulum boum, oviumque caula. [Locus, in quo quis commoratur. Domicilium.] *Tunc igitur utrique, & Romani & Carthaginenſes, in aggere pernoctarunt.* Ἔπαυλις hic idem ſignificat, quod κοίτη, i. e. cubile.

Polybius. XXXIX. Vol. V. p. 50.

Ἐπαύρασθαι. Frui. Fructum percipere. *His illorum petitionem admittentibus, & permittentibus, ut his deliciis fruerentur.* Et iterum: *Abi ex Academia, & fuge Philoſophiam. Neque enim tibi fas eſt ea frui, quæ infeſtis oculis te intuetur.* Hæc dicuntur ad Clearchum Solenſem, qui varia ſcripſit.

---

[1] Ἐπίστασιν] Sic recte unus MS. Pariſ. At priores Editt. male, ἐπίτασιν.

[2] Ἐπαύλια λέγεται ———— ἐνίοτε δὲ καὶ τὴν προῖκα] Hæc omnia αὐτολεξεὶ etiam leguntur apud Euſtathium ad Il. Ω. pag. 1337. qui ea ex Lexico Pauſaniæ ſe deſcripſiſſe teſtatur.

[3] Μυραλείπτρα] Euſtathius loco laudato habet, μύρα, νίτρα. Sed lectio Suidæ magis placet.

[4] Σεῖο, μαῖα] Metri gratia ſcribendum eſt, σεῖ᾽, ὦ μαῖα: ut recte me monuit Illuſtris Bentlejus.

[5] Φιλοξείνοιο καλ.] De Hecales hoſpitalitate habes & infra v. Ἑκάλη.

[6] Οὔτε τιν᾽ ἀνδρῶν, οὔτε βρ.] Verba hæc decerpta ſunt ex Epigrammate, quod integrum exſtat Anthol. lib. I. cap. XXXIII. pag. 71. Sed ibi pro ἐπαυλόσυνος, legitur ἀπαυλόσυνος, id eſt, a caula recedens: quæ lectio magis placet.

[7] Βροτῶν] Scribe βοτῶν, id eſt pecudum: ut recte legitur in Anthologia loco laudato.

[8] Τότε μὲν οὖν ἀμφότεροι τὴν ἔπ.] Fragmentum hoc Caſaubonus Polybio tribuit.

[9] Πρὸς Κλέαρχον ὁ λόγος τὸν Σολέα] Imo de Clearcho Pontico hæc intelligenda ſunt, ut patet ex ipſo Suida infra v. Κλέαρχος, ubi locum integrum vide. Notula autem hæc non eſt ipſius Suidæ, ſed a librario aliquo ad marginem prius adſcripta, in textum poſtea irrepſit: ne quis Grammaticum noſtrum ſui hic oblitum eſſe, vel a ſe ipſo diſcrepare putet.

Ἐπαυρίζω. τὸ φυσῶ. καὶ ἐπαυρίσκω.

Ἐπ' αὐτόπτῳ. ἐπ' αὐτοφώρῳ.

Ἐπ' αὐτοφώρῳ. ἐπ' ὀφθαλμοῖς, ἐπ' αὐτῷ τῷ κλέμματι ἁλούς. [1] Ὁ δὲ ἐπ' αὐτοφώρῳ τὴν πρᾶξιν λαβὼν ἐν Καρχηδόνι, ἐξηπατῆτο πρὸς τῆς γυναικὸς ἑκών γε εἶναι.

Ἐπαυχοῦσι. μέγα φρονοῦσι. καὶ [2] Ἀριστοφάνης· Ἐπαυχήσατο τοῖς σοῖς λόγοις. ἀντὶ τοῦ ἐμεγαλοφρόνησεν.

Ἐπαυχῶ. βεβαίως οἶδα. [3] Σοφοκλῆς·

Ὡς κἄμ' ἐπαυχῶ τῆσδε τῆς φήμης ἄπο
Δεδορκότ' ἐχθροῖς ἄστρον ὣς λάμψειν ἔτι.

Ἐπαφαυάνθην.[4] ἐξηράνθην. [5] Ἀριστοφάνης Βατράχοις· Ὥσθ' ἀπεφαυάνθην Παναθηναίοις γελῶν.

Ἐπαφωμένων. γενικῇ. ψηλαφωμένων. Ὁ δὲ τοῦ τόξου ἐπαφώμενος, ὡς καὶ ταύτῃ περιορᾶν δοκεῖν τὰ Ῥωμαίων πράγματα.

Ἐπαφρόδιτος. ἐπίχαρις. ἡδύς. Ἀππιανός· Καὶ μὴν ἐν πᾶσιν ἐπαφροδισίαν ὑπεραίρων, ἐσεμνολόγει περὶ ἑαυτοῦ.

φ ἡδύς. Καὶ Ἐπαφροδισία.
Ἀππιανός.— Appian. Fragm.
Incert. Schweigh. III. 14. et
900.

Ἐπαφρόδιτος,[6] Χαιρωνεύς, γραμματικός, Ἀρχίου τοῦ Ἀλεξάνδρου γραμματικοῦ θρεπτὸς, παρ' ᾧ παιδευθεὶς, ὠνήθη ὑπὸ τοῦ Μοδέστου, ἐπάρχου Αἰγύπτου, καὶ παιδεύσας τὸν υἱὸν αὐτοῦ Πιτηλῖνον, ἐν Ῥώμῃ διέπρεψεν ἐπὶ Νέρωνος, καὶ μέχρι Νέρβα, καθ' ὃν χρόνον καὶ Πτολεμαῖος ὁ Ἡφαιστίωνος ἦν, καὶ ἄλλοι συχνοὶ τῶν ὀνομαστῶν ἐν παιδείᾳ. ὠνούμενος δὲ ἀεὶ βιβλία, ἐκτήσατο μυριάδας τρεῖς, τούτων δὲ σπουδαίων καὶ [7] ἀνακεχωρηκότων. τὸ δὲ σῶμα ἦν μέγας τε καὶ μέλας, ὡς ἐλεφαντώδης. ᾤκει δὲ ἐν τοῖς καλουμένοις Φαινιανοκορίοις, δύο οἰκίας αὐτόθι κτησάμενος. ὁ δὲ καὶ ε' ἔτος ἄγων ἐτελεύτησεν, ὑδέρῳ περιπεσών. συγγράμματα δὲ κατέλιπεν ἱκανά.

Ἐπαφροδιτώτερος. ἐπιχαριτώτερος.

Ἐπάχνωσεν.[8] ἐλύπησεν. ἔφθειρεν. μεταφορὰ ἀπὸ τῆς πάχνης, τῆς φθειρούσης, καὶ λύπην ἐμποιούσης τοῖς φυτοῖς. [9] Ἡσίοδος·

Καί τε σμικρὸν ἐὸν τό γ' ἐπάχνωσεν φίλον ἦτορ.

Ἐπαιγίζων.[10] σφοδρῶς πνέων.

Ἐπαινέσας. ἀποδεξάμενος εὐχαρίστως. Οὓς ἐπαινέσας τῆς προθυμίας, ἀρκεῖσθαι ἔφη τοῖς παροῦσι. καὶ αὖθις· Ἐπαινέσας αὐτὴν τῆς φιλανδρίας.

Ἐπαυρίζω. Aura afflo. Leniter adſpiro. Et ἐπαυρίσκω, fruor.

Ἐπ' αὐτόπτῳ. In conſpectu. In ipſo facto.

Ἐπ' αὐτοφώρῳ. In conſpectu. Palam. Proprie de eo dicitur, qui in ipſo furto deprehenditur. *Cum autem Carthagine rem manifeſte deprehendiſſet, ab uxore volens deceptus eſt.*

Ἐπαυχοῦσι. Gloriantur. Seſe jactant. Ariſtophanes: *Dictis tuis gloriatus eſt.* Vel, ſeſe jactavit.

Ἐπαυχῶ. Glorior. Certo perſuaſus ſum. Sophocles: *Et ob redditum mihi oraculum iſtud perſuaſus ſum, me viventem adhuc hoſtibus inſtar ſideris effulſurum eſſe.*

Ἐπαφαυάνθην. Exſiccatus ſum. Ariſtophanes *Ranis: Panathenæis riſu pene emortuus ſum.*

Ἐπαφωμένων. Genitivo jungitur. Attrectantium. *Ille vero manibus arcum contrectans, ut & eo modo res Romanorum contemnere videretur.*

Ἐπαφρόδιτος. Venuſtus. Jucundus. [Et ἐπαφροδισία, venuſtas.] Appianus: *Et venuſtatem ſuam in omnibus rebus extollens, magnifice ſeſe jactabat.*

Ἐπαφρόδιτος. Epaphroditus, Chæronenſis, Grammaticus, Archiæ Alexandrini Grammatici alumnus, apud quem inſtitutus, a Modeſto Ægypti Præfecto emptus eſt, cujus filium Pitelinum inſtituit. Claruit Romæ ſub Nerone ad Nervam uſque: quo tempore & Ptolemæus Hephæſtionis filius vixit, & multi alii viri doctrina clari. Idem, cum libros ſubinde emeret, ad XXX. mille ſibi comparavit, eoſque bonos & minime vulgares. Corpore fuit magno & nigro, inſtar elephanti; habitavitque in Phænianocoriis, ita dictis, ubi binas ædes habuit. Deceſſit aqua intercute, annum agens LXXV. multaque ſcripta reliquit.

Ἐπαφροδιτώτερος. Venuſtior. Jucundior.

Ἐπάχνωσεν. Dolore affecit. Cruciavit. Corrupit. Tranſlatio ducta eſt a pruina, quæ plantas corrumpit, iiſque nocet. Heſiodus: *Res iſta, quamvis parva, dolore tamen dilectum animum affecit.*

Ἐπαιγίζων. Vehementer ſpirans.

Ἐπαινέσας. Qui laudavit. Qui probavit. Qui gratias egit. *Quibus cum ob promptum ſtudium gratias egiſſet, ſe præſentibus contentum eſſe dixit.* Et iterum: *Cum amorem ejus erga maritum laudibus proſecutus fuiſſet.*

---

[1] Ὁ δὲ ἐπ' αὐτοφώρῳ τὴν πρ.] Fragmentum hoc legitur apud Procopium *Hiſt. Arc.* cap. 1.

[2] Ἀριστοφάνης] *Avibus*, pag. 571. (393. Ed. Baſ. *P.*) ſed ubi ſic legitur: Ἐπαυχήσαις δὲ τοῖσι σοῖς λόγοις.

[3] Σοφοκλῆς] *Electra* pag. 83. ut Portus monuit.

[4] Ἐπαφαυάνθην] Imo, ἀπεφαυάνθην, ut recte legitur in ſubjuncto loco Ariſtophanis.

[5] Ἀριστοφάνης Βατράχοις] Pag. 263. (173. Ed. Baſ. *P.*)

[6] Ἐπαφρόδιτος] Epaphroditus hic Grammaticus fuit celebris, cujus veteres Grammatici & Scholiaſtæ ſæpe meminerunt. Citatur ἐν ταῖς λέξεσιν, a Scholiaſta Ariſtophanis ad *Equit.* pag. 353. Ἐν ὑπομνήματι Καλλιμάχου Αἰτίων β', a Scholiaſta Æſchyli ad *Eumenides*, v. 2. Ἐν ὑπομνήματι τῆς Ἰλιάδος, ab Etymologo v. Γάργαρος. Ἐν ὑπομνήματι τῆς Ὀδυσσείας, ab eodem Etymologo v. Ἄωροι, & v. Κεφαλληνία. Præterea abſque nomine operis laudatur a Scholiaſta Theocriti ad Idyll. 1. v. 117. a Suida infra v. Νάρθηξ: ab Etymologo pluribus in locis: ab Euſtathio ad Il. Α. pag. 886. 53. & ad Il. Τ. pag. 1172. 21.

[7] Ἀνακεχωρηκότων] Vide ſupra h. v.

[8] Ἐπάχνωσεν. ἐλύπ.] Apollonius Rhodius lib. IV. v. 1279.

———Ἐν δ' ἄρα πᾶσι
Παχνώθη κραδίη.

Scholiaſta ad illum locum: Παχνώθη. ἀντὶ τοῦ ἐπάγη. ἐλυπήθη. ὁ τρόπος εἴληπται ἀπὸ τῆς πάχνης. Vide etiam infra v. Παχνοῦται.

[9] Ἡσίοδος] Ἐν Ἔργ. καὶ Ἡμ. v. 360.

[10] Ἐπαιγίζων] Eſt vox Homerica Il. Β. v. 148.

Ἐπαινέτης. Ἀρριανός· Τῶν τε ξὺν κόσμῳ δρωμένων ἐπαινέτης, καὶ τῶν ἀκοσμήτων ἐν τῷ παραυτίκα ἐπιτιμητὴς, καὶ τῶν ἐσύστερον κολαστής.

Ἐπαινεῖσθε. ἀντὶ τοῦ καυχᾶσθε. Δαβίδ· Ἐπαινεῖσθε ἐν τῷ ὀνόματι τῷ ἁγίῳ αὐτοῦ.

Ἐπαίομεν[1] ἐν Βραύρωνι. συνουσιάζομεν. ἠλαύνομεν. Βραύρων δὲ τόπος Ἀθήνησιν.

Ἐπαιώνιστο.[2] εὐφήμιστο.

Ἐπαιρόμενος.[3] Δημοσθένης ἐν μὲν τῷ ὑπὲρ Κτησιφῶντος ἀντὶ τοῦ, ἐπανατεινόμενος.[4] ἀλλαχοῦ δέ.

Ἐπαίρω. ὑψῶ.

Ἐπαίρεσθαι. τὸ φυσοῦσθαι.

Ἔπαισεν. ἔτυψεν. ἔκρουσεν. Ἔπαισε δὲ τὸν ἵππον τῇ λόγχῃ.

Ἐπαισχές.[5] αἰσχύνης παραίτιον. Κἀμοὶ μὲν ἐπαισχές ἐστι τὸ πρᾶγμα καὶ βλαβερὸν, κἀκείνῳ πολὺ αἴσχιον, καὶ βλαβερώτερον. † Τῆς μὲν προσεδρείας ἐπιπόνου οὔσης· τῆς δὲ ἀποχωρήσεως, ἐπαισχοῦς.

Ἐπαίτης. ὁ πτωχός. καὶ κλίνεται ἐπαίτου.

Ἐπαίχθη. ἐνεπαίχθη. ἐκ τοῦ παίζω. Ἐπέχθη δὲ, ἐκτενίσθη.

Ἐπέβαλεν. ἤρξατο. ἐπεχείρησεν. ἢ ἀντὶ τοῦ συνῆν. Ὃς[6] καὶ Ἑκαταίῳ τῷ Μιλησίῳ ἐπέβαλεν, γεγονότι κατὰ τὰ Περσικὰ, καὶ[7] μικρῷ πρός. ἐξέτεινε δὲ μέχρι τῶν[8] Περδίκκου χρόνων. Ἐπιβολὴ δὲ λέγεται ἔννοια, ἐπιχείρησις.

Ἐπεβάτευον. συνουσίαζον.[9] Ἡρακλῆς φησι πρὸς τὸν Διόνυσον· Ποῖ γῆς ἀπεδήμεις; ὁ δέ φησιν· Ἐπεβάτευον Κλεισθένους. τὸ ἐπιβατεύειν, ἐπὶ συνουσίας· ἀπὸ μεταφορᾶς τῶν ζώων, ἃ ἐπιβαίνοντα συνουσιάζει. ὁ δὲ Κλεισθένης ἐπ᾽ αἰσχρότητι κωμῳδεῖται. ἦν δὲ λεῖος τὸ γένειον, ὡς εὐνούχῳ εἰκάζειν αὐτόν. τὸν δὲ Κλεισθένην καὶ ἐπὶ τοῦ παθητιᾷν κωμῳδοῦσι. τὸ δὲ ἐπεβάτευον, κακέμφατον.

Ἐπέβρισεν. ἐπεβάρησεν.

Ἐπεγράφου. ἀντὶ τοῦ[10] ἔξω γράφεις. Ἀριστοφάνης·

Καὶ γὰρ σὺ μεγάλην ἐπεγράφου τὴν Γοργόνα.

καὶ[11] ἐπεγράψατο, ἀντὶ ἀπεγράψατο, ἐχειροτόνησε, κατέστησεν. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν μετοίκων, τοὺς προστάτας προσγραφόντων ἑαυτοῖς.

Ἐπαινέτης. Laudator. Arrianus: *Ea, quæ recte & decenter fiebant, laudibus proſequebatur; quæ ſecus, in præſens verbis caſtigabat, & deinde puniebat.*

Ἐπαινεῖσθε. Gloriamini. David: *In ſancto ipſius nomine gloriamini.*

Ἐπαίομεν ἐν Βρ. *Braurone ſubigebamus.* Vel, ſubagitabamus. Ἐπαίομεν enim hic idem ſignificat quod συνουσιάζομεν. Βραύρων autem eſt locus in Attica.

Ἐπαιώνιστο. Pæane celebratus fuerat.

Ἐπαιρόμενος. Demoſthenes in oratione pro Cteſiphonte hac voce utitur pro ἐπανατεινόμενος. Alibi vero aliter hanc vocem accipit.

Ἐπαίρω. Extollo. Effero.

Ἐπαίρεσθαι. Inflari. Extolli.

Ἔπαισεν. Verberavit. Percuſſit. *Equum vero percuſſit haſta.*

Ἐπαισχές. Turpe. Pudendum. *Mihi quidem res iſta turpis eſt & pernicioſa: illi vero longe turpior & pernicioſior.* † *Cum diu in obſidione iſtius loci hærere, laboris & moleſtiæ plenum eſſet; at re infecta diſcedere, turpe.*

Ἐπαίτης. Mendicus. Et declinatur ἐπαίτου.

Ἐπαίχθη. Ludibrio habitus eſt. A παίζω. At ἐπέχθη, pexus eſt, [a πέκω.]

Ἐπέβαλεν. Cœpit. Aggreſſus eſt. Vel, cum aliquo erat. Aliquem ſectabatur. *Qui etiam Hecatæum Mileſium ſectatus eſt, qui tempore belli Perſici, & paulo ante vixit, & ad Perdiccæ uſque ætatem pervenit.* Ἐπιβολὴ vero dicitur conſilium, conatus, inceptum.

Ἐπεβάτευον. Inibam. Subigebam. Hercules Bacchum rogat: *Quo terrarum profectus eras?* Ille reſpondet: *Inibam Cliſthenem.* Τὸ ἐπιβατεύειν enim de coitu venereo dicitur: per metaphoram ductam ab animalibus, quæ coitura fœminas inſcendunt. Cliſthenes vero ob impudicitiam a Comicis perſtringebatur; eratque mento glabro & vulſo, ita ut [Ariſtophanes] eum eunucho aſſimilet. Alii etiam Comici hunc Cliſthenem traducebant, quod muliebria pateretur. Ἐπιβατεύειν vero eſt vox obſcœna.

Ἐπέβρισεν. Ingruit. Cum pondere incubuit.

Ἐπεγράφου. Inſcribebas. Pingebas. Ariſtophanes: *Nam & tu [clypeo tuo] magnam inſcribebas Gorgonem.* Et ἐπεγράψατο, inſcripſit, adſcivit, ſuffragio ſuo elegit, conſtituit. Metaphora ducta eſt ab inquilinis, qui [ex civibus] patronum aliquem ſibi adſciſcebant.

---

[1] Ἐπαίομεν ἐν Βραύρωνι] Ariſtophanes *Pace*, pag. 689. (468. Ed. Baſ. *P.*)

> Αὕτη Θεωρία 'στὶν, ἣν ἡμεῖς ποτε
> Ἐπαίομεν Βραυρωνάδ᾽ ὑποπεπωκότες.

Vide ibi Scholiaſtam.

[2] Ἐπαιώνιστο] Scribe ἐπεπαιώνιστο: ut infra ſuo loco.

[3] Ἐπαιρόμενος. Δημοσθ.] Ex Harpocratione.

[4] Ἀλλαχοῦ δέ] Adde ex Harpocratione, ἐπ᾽ ἄλλου σημαινομένου φησί.

[5] Αἰσχύνης] Sic recte MSS. Pariſ. At priores Editt. male, αἰσχίνης.

[6] Ὃς καὶ Ἑκαταίῳ τῷ Μιλ.] Verba hæc intelligenda ſunt de Hellanico, ut patet ex ipſo Suida ſupra v. Ἑλλάνικος: ubi hic ipſe locus auctior legitur.

[7] Μικρῷ πρός] Cum Porto legere malim μικρῷ πρό.

[8] Περδίκκου] Sic habent MSS. Pariſ. At priores Editt. Περδίκου: quam lectionem licet ſupra v. Ἑλλάνικος probaverim, nunc tamen alteram ei præfero; non ſolum propter auctoritatem MStorum, ſed etiam quia ætates auctorum nomine Regis vel Principis συγχρόνου potius, quam privati alicujus hominis a ſcriptoribus ſignari ſolent. Perdiccas enim fuit Rex Macedonum; at Prodicus, Sophiſta: de quo Suidas infra ſuo loco. Intelligendus hic autem eſt Perdiccas ille, qui Philippum patrem Alexandri M. proxime præceſſit: quod ideo moneo, quia inter Reges Macedonum plures Perdiccæ fuerunt.

[9] Ἡρακλῆς φησι πρὸς τὸν Διόνυσον] Apud Ariſtophanem *Ranis* pag. 212. (132. Ed. Baſ. *P.*) Vide ibi Scholiaſtam, cujus ſcrinia Suidas hic compilavit.

[10] Ἔξω γράφεις] Sic omnes Editt. mendoſe. Scribendum enim eſſe ἐξωγράφεις, recte monuit eruditiſſimus Pearſonius.

[11] Καὶ ἐπεγράψατο, ἀντὶ τοῦ ἀπεγρ.] Hæc referenda ſunt ad locum illum Ariſtophanis in *Pace* pag. 672. (459. Ed. Baſ. *P.*)

> Αὑτῷ πονηρὸν προστάτην ἀπεγράψατο.

Vide ibi Scholiaſtam, cujus verba Suidas hic repetiit.

Ἐπεγράψαντο. ἀντὶ τοῦ [1] διϊσχυρίζοντο. ἐβεβαίουν. Οἱ δὲ [2] εἰς Θρᾴκην εὐδοκιμοῦντα αὐτὸν, οἰκιστὴν ἀντὶ τοῦ Ἅγνωνος ἐπεγράψαντο.

Ἐπεγχανών. [3] καταγελάσας. Οὐ [4] μὴν ἡ τιμωρὸς δίκη τὸν ὑβριστὴν καὶ ὑπερόπτην εἴασεν ἐπεγχανεῖν τῷ τοῦ [5] Μελήτου θανάτῳ.

Ἐπεδαψιλεύσατο. κατακόρως ἐχρήσατο. Ἐπεδαψιλεύσατο ταῖς ὑποθέσεσι τῆς ἀποκηρύξεως.

Ἐπεδίκασε, [6] καὶ ἐπεδικάσατο. Δημοσθένης ἐν τῷ κατ' Ὀλυμπιοδώρου. τὸ μὲν ἐπεδίκασεν, οἷον [7] προσέκρινε. τὸ δὲ ἐπεδικάσατο, οἷον ἔπεισε τοὺς δικαστὰς ἑαυτῷ προσνεῖμαι τὸν κλῆρον.

Ἐπέθεντο. ἐπανέστησαν. Οὐδὲ χρημάτων ἀφαιρέσει ἐπέθεντο. ἀντὶ τοῦ ἐλιχνεύσαντο. ἐτέρφθησαν.

Conf. Menand. p. 137. D. Excerpt. de Legat.

Ἐπεθείαζε. μανικῶς διετίθετο. θεόληπτος ἐγίγνετο. Μένανδρος. Ὁ δὲ ἡγεμὼν ἐν ἑνὶ τῶν ζ' λόφων ἀνελθὼν, ἐπεθείαζε ῥήμασι βαρβάροις, καὶ γαύρῳ τῷ φρονήματι μεγαληγορίᾳ ἐχρῆτο.

Ἐπεθείαζον. ἐχόρευον.

Ἐπέθρωσκον. ἐπεπήδων.

Ἐπεκάλει. ὠνείδιζεν. ἐμέμφετο. Καὶ αὐτῷ μὲν οὐδεὶς ἐπεκάλει τῶν πώποτε φίλων, οὔτε ὄκνου πρόφασιν οὔτε μαλακιζομένῳ τινὰ ἀναβολὴν ἐν ταῖς χρείαις, οὔτε ῥᾳθυμίαν ἀργίας ἢ δειλίας ἔκγονον. † Ὁ δὲ πολλοῖς ἐπεκάλει τῶν φίλων τὰ τοιαῦτα ἐγκλήματα. ἀντὶ τοῦ ὠνείδιζε. καὶ αὖθις· Ἐπεκάλουν αὐτὸν φθορέα τῶν νέων, καὶ κιναιδολόγον ἀποκαλοῦντες.

Ἐπεκερτόμησεν. ἐχλεύασεν. ἔσκωψεν. Ὁ δὲ ἐπεκερτόμησεν αὐτὸν τῆς ἀβουλίας.

Ἐπέκεινα. παρεκεῖ.

Ἐπεκήρυξαν. [8] διασήμως καὶ διαπρυσίως ἐλάλησαν. Ἐπεκήρυξάν τε τάλαντα δώσειν τῷ μηνύσαντι. καὶ αὖθις· [9] Οἱ δὲ ἀντισχεῖν τῷ δίψει μὴ δυνηθέντες, ἐπεκηρυκεύσαντο.

Ἐπεκηρυκεύετο. διὰ κήρυκος ἔλεγεν. Ἐπεὶ μηδὲ εἷς ἐπεκηρυκεύετο ὑπὲρ τοῦ Λουκίου, διελέγετο αὐτῷ ὁ Δεκέβαλος.

Ἐπέκλωσεν. ἐπεκλήρωσεν. ἐμέρισεν.

Ἐπεγράψαντο. Aſſeverarunt. Affirmarunt. Confirmarunt. [Adſciverunt.] *Illi vero* [*Braſidam,*] *rebus geſtis in Thracia clarum, loco Agnonis conditorem ſibi adſciverunt.*

Ἐπεγχανών. Qui aliquem deriſit. Qui alicui inſultavit. *Haud tamen divina Nemeſis inſolentem illum & ſuperbum adoleſcentem Meleti morti impune inſultare paſſa eſt.*

Ἐπεδαψιλεύσατο. Ad ſatietatem uſque uſus eſt. *Abdicationis argumentis ad ſatietatem uſque immoratus eſt.*

Ἐπεδίκασε, & ἐπεδικάσατο. Demoſthenes in oratione contra Olympiodorum [utroque verbo uſus eſt.] Et ἐπεδίκασεν quidem ſignificat, adjudicavit. Ἐπεδικάσατο vero, Judicibus perſuaſit, ut hæreditatē ſibi adjudicarent.

Ἐπέθεντο. Invaſerunt. Aggreſſi ſunt. Inhiarunt. *Neque bonorum direptioni inhiarunt.* Ἐπέθεντο enim hic idem ſignificat, quod ἐλιχνεύσαντο, concupiverunt: vel ἐτέρφθησαν, delectati ſunt.

Ἐπεθείαζε. Inſaniebat. Numinis afflatu agitabatur. Fanatico furore correptus erat. Menander: *Dux vero in unum ex ſeptem collibus adſcendit, & fanatici inſtar barbara verba proloquens, animo inſolenti & ſuperbo orationem jactationis plenam habuit.*

Ἐπεθείαζον. [Ut fanatici] ſaltabant.

Ἐπέθρωσκον. Inſiliebant. Inſultabant.

Ἐπεκάλει. Exprobrabat. Accuſabat. Criminabatur. *Nec ullus unquam amicorum ei exprobravit, quod vel ſpecioſam pigritiæ ſuæ cauſam obtenderet; vel in rebus ſtrenue gerendis dilatione uteretur; vel præ ſocordia & ignavia negligenter quidquam ageret.* † *Ille vero multis amicorū talia crimina exprobrabat.* Et iterum: *Eum criminabantur, ut juventutis corruptorem, & impudicitiæ magiſtrum.*

Ἐπεκερτόμησεν. Deriſit. Cavillis excepit. *Ille vero inconſultam ejus temeritatem deriſit.*

Ἐπέκεινα. Ultra. Trans.

Ἐπεκήρυξαν. Per præconem edixerunt. Clara & elata voce clamarunt. *Illi vero per præconem ſignificarunt, ſe aliquot talenta daturos eſſe illi, qui rem indicaſſet.* Et iterum: *Illi vero, cum ſitim ferre non poſſent, caduceatores de pace facienda miſerunt.*

Ἐπεκηρυκεύετο. Per caduceatorem dixit, vel egit. *Cum nemo caduceatorem Lucii gratia mitteret, Decebalus cum eo collocutus eſt.*

Ἐπέκλωσεν. Injunxit. Diſtribuit. [Fatum alicui nevit.]

---

[1] Διϊσχυρίζοντο. ἐβεβαίουν] Hæc interpretatio inepta eſt, nec vim vocis ἐπεγράψατο ullo modo exprimit. Certe in exemplo ſubjuncto vox iſta aliter accipitur.

[2] Οἱ δὲ εἰς Θρᾴκην εὐδοκ.] Fragmentum hoc intelligendum eſſe de Braſida, duce Lacedæmoniorum, non ſolum patet ex ipſo Suida ſupra v. Βρασίδας, ubi hæc ipſa verba occurrunt; ſed etiam ex Thucydide, apud quem lib. v. cap. xi. inter alia & hæc leguntur: Καὶ τὸ λοιπὸν οἱ Ἀμφιπολῖται περιέρξαντες αὐτοῦ (i. e. Braſidæ) τὸ μνημεῖον, ὡς ἥρωΐ τε ἐντέμνουσι, καὶ τιμὰς δεδώκασιν ἀγῶνας καὶ ἐτησίους θυσίας· καὶ τὴν ἀποικίαν ὡς οἰκιστῇ προσέθεσαν, καταβαλόντες τὰ Ἁγνώνεια οἰκοδομήματα, &c. Hæc Suidæ lucem non exiguam fœnerantur, & aperte oſtendunt, ad quam hiſtoriam fragmentum hoc referendum ſit.

[3] Ἐπεγχανών] Confer Noſtrum ſupra v. Ἐγχανών, & infra v. Ἐπιχάνῃ.

[4] Οὐ μὴν ἡ τιμωρὸς δίκη τὸν ὑβρ.] Fragmentum hoc intelligendum eſt de Timagora, adoleſcente formoſo, cujus amore captus Melitus mortem ſibi conſcivit, quod nullis precibus vel blanditiis rigidum ipſius animum flectere poſſet. Vide infra v. Μέλιτος, ubi locus integer cujus fragmentum hoc pars eſt, ex Æliano adducitur.

[5] Μελήτου] Scribe Μελίτου, ut recte infra v. Μέλιτος.

[6] Ἐπεδίκασε, καὶ ἐπεδ.] Ex Harpocratione.

[7] Προσέκρινε] Sic recte unus MS. Pariſ. At priores Editt. ut & Harpocratio male, προέκρινε: de quo mendo jam ante etiam Lectorem monuerat Valeſius ad Harpocrationem, & προσέκρινε ſcribendum eſſe ex ſenſu hujus loci recte conjecerat.

[8] Διασήμως καὶ διαπρυσ.] Sic melius MSS. Pariſ. quam priores Editt. in quibus legitur, παρασήμως καὶ διαπρυσίως ἐλάλ.

[9] Οἱ δὲ ἀντισχεῖν τῷ δ.] Idem fragmentum legitur & ſupra v. Ἀντισχεῖν.

Ἐπέκλυσεν. ἐκαθάρισεν. ἢ ἀντὶ τοῦ ἐπέρρευσε. Τοσαῦτα καὶ τοιαῦτα ἐπέκλυσε κακά, [1] ὥστε χρυσὸς ἦν αὐτοῖς, καὶ λευκή τις ἡμέρα, κρατῆσαι τοὺς βαρβάρους.

Ἐπεκώμαζεν. ὠρχεῖτο. αἰσχρῶς ἐλάλει. Ὁ δὲ προεκθέων ἐπεκώμαζε τοῖς βαρβάροις. καὶ αὖθις· Πολλαὶ εἰς τὰς ἐκκλησίας ἐπεκώμασαν ταραχαί.

Ἐπ' ἐλάχιστον. ἐπ' ὀλίγον. πρὸς βραχύ. [2] Δαμάσκιος· Εἶχε δὲ ἐπ' ἐλάχιστον τὸ πρὸς τὰ ποιητικὰ συμπαθείας, ἅτε οὐχ ἁπτόμενα τῆς ψυχῆς, ἀλλὰ μέχρι φαντασίας καὶ γλώττης ἱστάμενα.

Ἐπελέξαντο. ἀνέγνωσαν. [3] Εὑρόντες δὲ τὰ γράμματα ἐν τῷ ξύλῳ τοῦ διπτύχου, ταῦτα ἐπελέξαντο. Ἡρόδοτος. καὶ αὖθις· Ὁ δὲ γραμματεὺς ἐπελέγετο τὰ γράμματα.

Ἐπελήκεον. ἐπεβόων. ἐπεκρότουν.

Ἐπελήφθη. ἐπήρξατο. Ἀρριανός· Ἤδη τε ἐπελήφθη νὺξ τῆς τρίτης φυλακῆς, καὶ ὁ ἡγεμὼν τοὺς λόχους καθίστατο.

Ἐπελπίζων. εἰς ἐλπίδας ἄγων. Τὰ μὲν αὐτοὺς ἐπελπίζων ταῖς ὑποσχέσεσι, τὰ δὲ ὑποσπείρων αὐτοῖς ὀλίγα κέρδη, τοὺς δὲ ἐν ἀξιώσει τε καὶ δυνάμει περισυλῶν καὶ δημεύων.

Ἐπεμαρτύραντο. μάρτυσιν ἐχρήσαντο. Οἱ δὲ πιστὰ δόντες καὶ λαβόντες, ἐπεμαρτύραντο τοὺς θεούς. οὕτω Ξενοφῶν.

Ἐπεμβαίνων. δοτικῇ. ἐπιχλευάζων. ἐπικερτομῶν. Ὁ δὲ ἐπεμβαίνων τῇ τύχῃ αὐτῶν σφόδρα ἀμαθῶς, καὶ ἀνθρωπίνως ἥκιστα.

Ἐπεμήνατο ἐπεμάνη.

Ἐπέμυξεν. ἐξεμυκτήρισεν. ἦχον διὰ τῶν ῥινῶν ἐποίησεν.

Ἐπενεγκεῖν [4] δόρυ ἐπὶ τῇ ἐκφορᾷ, καὶ [5] προαγορεύειν ἐπὶ τῷ μνήματι. ἐπὶ τοῦ βιαίως ἀποθανόντος ταῦτα πράττεται. καὶ Ἴστρος ἐν τῇ συναγωγῇ τῶν Ἀτθίδων φησί· Τινὲς ἐπὶ τοῦ τάφου δόρυ φασὶ καταπεπηγέναι τὸν Ἐρεχθέα, τὸ πάθος σημαίνοντα, διὰ τὸ νόμον εἶναι τοῖς προσήκουσι τοῦτον τὸν τρόπον μετέρχεσθαι τοὺς φονέας.

Ἐπενεγκών. δοτικῇ. καταδικάσας. Προκόπιος·

Ἐπέκλυσεν. Aqua abluit. Vel, inundavit. *Tot & tanta mala* [*imperium Romanum*] *inundaverant, ut Barbaros viciſſe, aurum quaſi ipſis eſſet, & albus quidam dies.*

Ἐπεκώμαζεν. Saltabat. Obſcœne loquebatur. [Inſultabat. Accedebat.] *Ille vero ante reliquos procurrens, Barbaris inſultabat.* Et iterum: *Eccleſias multæ turbæ invaſerunt.*

Ἐπ' ἐλάχιστον. Minimum. Parum. Ad breve tempus. Damaſcius: *Poeticis haud multum addictus erat, utpote quæ animum non tangerent, ſed intra imaginationem & linguam ſubſiſterent.*

Ἐπελέξαντο. Legerunt. *Cum autem literas in ligno pugillarium* [*exaratas*] *inveniſſent, eas legerunt.* Herodotus. Et iterum: *Scriba vero literas legit.*

Ἐπελήκεον. Acclamabant. Plauſu excipiebant.

Ἐπελήφθη. Cæpit. Incepit. Arrianus: *Jam autem tertia vigilia noctis inceperat, & dux cohortes ordinabat.*

Ἐπελπίζων. In ſpem inducens. Spe lactans. *Partim quidem promiſſis ſpem eorum alens, partim vero exigua quædam lucra cum ipſis ſubinde communicans, hominesque dignitate & opibus præſtantes ſpolians, & bona eorum publicans.*

Ἐπεμαρτύραντο. Obteſtati ſunt. *Illi vero data acceptaque fide Deos teſtes invocarunt.* Ita Xenophon.

Ἐπεμβαίνων. Inſultans. Irridens. Illudens. *Ille autem imperite admodum & inhumaniter fortunæ eorum inſultans.*

Ἐπεμήνατο. Amore alicujus inſanivit.

Ἐπέμυξεν. Naſo adunco ſuſpendit. Naribus ſtrepitum aliquem edidit.

Ἐπενεγκεῖν δόρυ ἐπὶ τῇ ἐκφ. Haſtam in funere præferre, & ad ſepulcrum proclamare. Id autem tunc fieri ſolebat, cum quis morte violenta perierat. Et Iſter in Collectaneis rerum Atticarum inquit: *Quidam ajunt Erechtheum in ſepulcro haſtam defixiſſe, ut cædem factam eſſe ea ratione ſignificaret. Unde ortum eſſe morem* [*dicunt,*] *ut cognati hoc modo cædis auctoribus ultionem denunciarent.*

Ἐπενεγκών. Dativo jungitur. Qui condem-

---

[1] Ὥστε χρυσὸς ἦν αὐτ.] Elegans eſt proverbium apud Græcos, quod dicitur de re quadam expetenda, & alteri longe præferenda. Epitomator Dionis in *Cæſare Auguſto* pag. 170. Οὕτω τὰ πράγματα πρός τε τὸ βούλημα καὶ πρὸς τὸ ἐπιθύμημα τὸ ἑαυτῶν διῆγον, ὥστε χρυσὸν τὴν τοῦ Ἰουλίου Καίσαρος μοναρχίαν φανῆναι. Id eſt, *Adeo cuncta ad eorum arbitrium libidinemque gerebantur, ut regnum Julii Cæſaris aureum fuiſſe videretur.* Eunapius in *Excerpt. Legat.* pag. 20. Edit. Pariſ. Ὥστε χρυσὸν ἀποδειχθῆναι πρὸς τὰ Θρᾴκια πάθη τὴν Μυσῶν παροιμιώδη λείαν. Cantoclarus hæc ſic Latine interpretatus eſt: *Ut, ſi alicui aurum eſſe indicaretur, dum Thracia in his malis erat, illud, ut eſt in proverbio, Myſorum præda eſſet.* Male omnino. Tu ſic verte: *Ut vetus illa Myſorum prædatio proverbio celebrata, cum hac Thraciæ vaſtatione collata, aurum eſſe videretur.* Vide Valeſium in notis ad illum locum, qui plura proverbii hujus exempla adducit.

[2] Δαμάσκιος· Εἶχε δὲ ἐπ' ἐλάχ.] Fragmentum hoc Damaſcii legitur etiam apud Photium in Excerptis ex illo ſcriptore pag. 1040.

[3] Εὑρόντες δὲ τὰ γράμματα ἐν τῷ ξύλῳ τοῦ διπτ.] Herodotus lib. VII. in fine: Δελτίον δίπτυχον λαβών, τὸν κηρὸν αὐτοῦ ἐξέκνησε, καὶ ἔπειτα ἐν τῷ ξύλῳ τοῦ δελτίου ἔγραψε τὴν βασιλέως γνώμην. ποιήσας δὲ ταῦτα, ὀπίσω ἐπέτηξε τὸν κηρὸν ἐπὶ τὰ γράμματα, ἵνα φερόμενον κεινὸν τὸ δελτίον, μηδὲν πρῆγμα παρέχοι πρὸς τῶν ὁδοφυλάκων. ἐπεὶ δὲ ἀπίκετο ἐς τὴν Λακεδαίμονα, οὐκ εἶχον συμβαλέσθαι οἱ Λακεδαιμόνιοι πρίν γε δή σφι, ὡς ἐγὼ πυνθάνομαι, Κλεομένεος μὲν θυγάτηρ, Λεωνίδεω δὲ γυνὴ Γοργὼ ὑπέθετο, ἐπιφρασθεῖσα αὐτή, τὸν κηρὸν κνᾷν κελεύουσα, καὶ εὑρήσειν σφέας γράμματα ἐν τῷ ξύλῳ. πειθόμενοι δέ, εὗρον, καὶ ἐπελέξαντο. Hinc Suidas fragmentum hoc conſarcinavit; cujus ſenſum nemo abſque integro illo loco Herodoti intellexerit.

[4] Ἐπενεγκεῖν δόρυ ἐπὶ τῇ ἐκφ.] Demoſthenes orat. contra Euergum pag. 688. Πρῶτον μὲν ἐπενεγκεῖν δόρυ ἐπὶ τῇ ἐκφορᾷ, καὶ προαγορεύειν ἐπὶ τῷ μνήματι, εἴ τις προσήκων ἐστὶ τοῦ ἀνθρώπου. ἔπειτα τὸ μνῆμα φυλάττειν ἐπὶ τρεῖς ἡμέρας. Hunc locum Demoſthenis hic interpretatur Suidas, vel potius Harpocratio, ex quo Suidas ſua deſcripſit. Pollux lib. VIII. cap. VII. Δόρυ ἐπὶ τῇ ἐκφορᾷ ἐπὶ τῶν βιαίως ἀποθανόντων ἐπεφέρετο, καὶ αἱ προθέσεις διὰ τοῦτο ἐγίγνοντο, ὡς ὁρῷτο ὁ νεκρός, μή τι βιαίως πέπονθε. Reſpexit ad eundem locum Demoſthenis. Vide etiam Petitum *de Leg. Att.* pag. 521.

[5] Προαγορεύειν] Hanc lectionem ex Demoſthene revocavi: cujus loco priores Editt. minus recte habent προσαγορεύειν. Quid autem τὸ προαγορεύειν hic ſignificet, ex loco Demoſthenis paulo ante adducto patet.

Ἐπενεγκών τε αὐτῷ, ὅτι δὴ ὡς ἥκιστα ἀληθίζεται, ἄμφω τὼ χεῖρε ἀπέκοψεν.

Ἐπενδύτης. τὸ ἐσώτατον ἱμάτιον, ὃ καὶ ὑποκάμισον λέγεται.

Ἐπενήνεον.[1] συγκατετίθεντο.

Ἐπενήνοθεν.[2] ἐπήνθει. ἐπέκειτο.

Ἐπεντρυφήσαντος. καταπολαύσαντος. Ἕτερά τε οὐκ ἀνεκτὰ περὶ τὴν τοῦ χρυσίου παράληψιν καταυθαδισαμένου καὶ ἐπεντρυφήσαντος αὐτοῖς.

Ἐπ' ἐξαγωγῇ. Ἐμαστιγοῦτο ῥάβδοις, εἶτα ἐπ' ἐξαγωγῇ ἐπιπεράσκετο, δειλίας καὶ ἀποδράσεως τίμημα φερόμενος δοῦλος εἶναι.

Ἐπεξιέναι. αἰτιατικῇ, καὶ γενικῇ. Ἐπεξιοῦσα νεᾶνις ἄρτι τῶν παρθενικῶν θαλάμων.

Ἐπεπάμεθα. ἐκεκτήμεθα.

Πάνθ'[3] ὅσα κ' ἐν ζωοῖς [4]ἐπεπάμεθα, ταῦτα παρ' ᾅδην
Ἔρχομ' ἔχων· λείπω δ' οὐδὲν ὑπ' ἠελίῳ.

Ἐπεπαιώνιστο. ἐξύμνητο.

Ἐπεπαίχειν. ὑπερσυντέλικος, τὸ ἐνεπαίχθην. Ἐπεπέχειν δὲ, ἐπεπέχεισαν. ἐκ τοῦ πέκω, τὸ κτενίζω.

Ἐπεπολεῖτο. ἐπεπορεύετο.

Ἐπεπόνθη. ἀντὶ τοῦ ἐπεπόνθει. καὶ ἑωράκη, ἀντὶ τοῦ ἑωράκει· καὶ ᾔδη, ἀντὶ τοῦ ᾔδει.

Ἐπέπυστο. ἤκουσεν.

Ἐπέῤῥαξεν. ἐπέπεσε. συνεπλάκη. μάχην συνῆψεν. Ὁ δὲ πολλὴν διανύσας ὁδὸν, ἄφνω τούτοις ἐπέῤῥαξεν.

Ἐπέραστος. ἐράσμιος.

Ἐπερατώθη. ἐτελειώθη.

Ἐπεραιώθη. ἐπέρασεν. ἐτελειώθη.

Ἐπαίρεσθαι. τὸ φυσοῦσθαι. Ἐπέρεσθαι δὲ, τὸ ἐρωτῆσαι.

Ἐπεῤῥίφην. ἔπεσον.

Ἐπεῤῥώσαντο.[5] ἐπεσείσθησαν. καὶ [6]ἐπεῤῥόθησαν.

Ἐπέρω. τὸ ἐρωτῶ. καὶ ἐπερόμενος, ἐρωτώμενος.

Ἐπεῤῥύη. ἐπέβρυσεν. ἀνέβλυσεν.

Ἐπέσαξε[7] τὴν ὄνον αὐτοῦ. ἀντὶ τοῦ, ἐπεφόρτισεν.

Ἐπέσβη.[8] ἐπεισῆλθε.

Ἐπεσβόλον. λοίδορον. φλύαρον.

Ἐπέσειεν. ἐπανετείνετο. Τοῖς δὲ ἐπέσειε φόβον, ὡς αὐτίκα [9]τεθνήξοντος.

navit. [Qui objecit. Qui exprobravit.] Procopius: *Cum ipſi exprobraſſet, eum manifeſte mentiri, ambas ejus manus amputavit.*

Ἐπενδύτης. Induſium: quod & ὑποκάμισον vocatur.

Ἐπενήνεον. Conſentiebant. Aſſentiebantur.

Ἐπενήνοθεν. In ſuperficie effloreſcebat. In parte exteriore exiſtebat.

Ἐπεντρυφήσαντος. Illudentis. Inſultantis. *Cum & alia multa non toleranda in accipiendo auro arroganter prolocutus fuiſſet, ac eis inſolenter inſultaſſet.*

Ἐπ' ἐξαγωγῇ. *Virgis cædebatur, & deinde peregre vendebatur, ignaviæ & fugæ mercedem referens ſervitutem.*

Ἐπεξιέναι. Accuſativo & genitivo jungitur. *Puella ex virgineis thalamis recens egreſſa.*

Ἐπεπάμεθα. Poſſedimus. [In Epigrammate:] *Omnia, quæ in hac vita poſſedi, ad Inferos deſcendens mecum fero, nec ſub ſole quicquam relinquo.*

Ἐπεπαιώνιστο. Pæane celebratus eſt.

Ἐπεπαίχειν. Luſeram. Illuſeram. Pluſquamperfectum, a παίζω. At ἐπεπέχειν, & ἐπεπέχεισαν, a πέκω, pecto.

Ἐπεπολεῖτο. Obibat.

Ἐπεπόνθη. Pro ἐπεπόνθειν. Paſſus fuerat. Sic etiam ἑωράκη dicitur pro ἑωράκειν; & ᾔδη, pro ᾔδειν.

Ἐπέπυστο. Audiverat.

Ἐπέῤῥαξεν. Irruit. Irrupit. Congreſſus eſt. Pugnam commiſit. *Ille vero magno itinere confecto, repente hoſtes adortus eſt.*

Ἐπέραστος. Amabilis. Expetendus.

Ἐπερατώθη. Ad finem perductus eſt. Perfectus eſt.

Ἐπεραιώθη. Trajecit. Abſolutus eſt.

Ἐπαίρεσθαι. Inflari. Efferri. Superbire. Ἐπέρεσθαι vero, per ε, interrogare.

Ἐπεῤῥίφην. Injectus ſum. Cecidi.

Ἐπεῤῥώσαντο. Concuſſi, vel quaſſati ſunt. Et ἐπεῤῥόθησαν, [concuſſerunt.]

Ἐπέρω. Interrogo. Et ἐπερόμενος, interrogans.

Ἐπεῤῥύη. Affluxit. Ex ſcaturigine ebullivit.

Ἐπέσαξε τὴν ὄνον αὐτ. Aſinam ejus ſarcinis oneravit.

Ἐπέσβη. Intravit. Ingreſſus eſt.

Ἐπεσβόλον. Maledicum. Conviciatorem. Garrulum.

Ἐπέσειεν. Incutiebat. Intentabat. *Illis vero terrorem incutiebat, ut confeſtim morituris.*

---

[1] Ἐπενήνεον] Imo ἐπήνεον, vel ἐπήνουν. Ut recte infra ſuo loco. Τὸ ἐπενήνεον enim aliud ſignificat. Vide Heſychium h. v.

[2] Ἐπενήνοθεν. ἐπήνθει. ἐπέκ.] Ex Scholiaſta Homeri ad Il. Β. v. 219.

[3] Πάνθ' ὅσα κ' ἐν ζωοῖς ἐπεπ.] Diſtichum hoc eſt pars Epigrammatis in Diogenem Cynicum, quod integrum legitur Anthol. lib. III. cap. XXXIII. pag. 420.

[4] Ἐπεπάμεθα] Metri gratia ſcribendum eſt ἐπεπάμμεθα: ut legitur in Anthologia Epigrammatum loco laudato.

[5] Ἐπεῤῥώσαντο. ἐπεσ.] Ex Scholiaſta Homeri ad Il. Α. v. 529. Confer etiam Heſychium & Etymologum.

[6] Ἐπεῤῥόθησαν] Sic habent MSS. Pariſ. At priores Editt. ἐπεῤῥώθησαν: quod minus placet. Heſychius: Ἐπεῤῥόθησεν, ἔσεισεν.

[7] Ἐπέσαξε τὴν ὄνον αὐτοῦ] *Geneſ.* XXII. Ἀναστὰς δὲ, ἐπέσαξε τὴν ὄνον αὐτοῦ. Hunc locum Suidas repetere voluit.

[8] Ἐπέσβη] Pro ἐπεσέβη.

[9] Τεθνήξοντος] Portus legit τεθνηξομένοις: quod nec probo nec repudio, quoniam in tam brevi fragmento nihil certi de ſenſu ſtatui poteſt.

‡

Ἐπεσυ-

Ἐπεσημηνάμεθα. ἐξεπλάγημεν. ἐθαυμάσαμεν. καὶ [1] Πολύβιος· Τίς οὐκ ἂν ἐπισημήναιτο καὶ θαυμάσειε τὸν προειρημένον ἐπὶ τούτοις ἡγεμόνα.

Ἐπέσθων. ἐπεσθίων. εὐωχούμενος. [2] Τὴν ἁλίην Εὔδημος, ἐφ' ἧς ἅλα λιτὸν ἐπέσθων, χειμῶνας μεγάλους ἐξέφυγε, θῆκε Θεοῖς Σαμόθραξιν.

Ἐπεσκήψατο. [3] ἀντὶ τοῦ ἐνεκάλεσε ψευδομαρτυριῶν. σπανιάκις δὲ καὶ ἐπὶ τοῦ ἐγκαλέσαι φόνου· ὡς Ἀντιφῶν. τὸ δὲ ἐνεργητικὸν τὸ ἐπέσκηψεν, ἀντὶ τοῦ ἐνετείλατο. τὸ δὲ ἐπισκήπτω ἀντὶ τοῦ μετά τινος ἐπιθειασμοῦ λέγω, καὶ οἷον ἐξορκίζω, Ἀνδοκίδης καὶ Λυσίας ἔλαβε. καὶ ἐπεσκήψατο, ἔβλαψεν.

Ἐπέσκηψεν. ἐπέπληξε.

Ἐπέσπερχε. διήγειρε. παρέθηγεν. Ὃς δὴ μάλιστα ἐπέσπερχεν αὐτόν.

Ἐπεστάτει. ἦρχεν. ἡγεμόνευεν. [4] Ξενοφῶν· Ἐνταῦθα ἦν Κλέαρχον καταμαθεῖν ὡς ἐπεστάτει, ἐν μὲν τῇ ἀριστερᾷ χειρὶ δόρυ ἔχων, ἐν δὲ τῇ δεξιᾷ, βακτηρίαν.

Ἐπέστησε. γενικῇ. Ἐπέστησεν ἐξαίφνης τοῦ δρόμου.

Ἐπεστήριξας [5] ἐπ' ἐμὲ τὴν χεῖρά σου. ἀπὸ μεταφορᾶς τῶν αἰκιζομένων ταῦτα λέγων. Ὁρῶν τὴν χεῖρά σου ἐπικειμένην, καὶ λίαν μαστιγοῦσαν.

Ἔπεστί μοι. βούλομαι. θέλω. δύναμαι. ἢ ἐπίκειταί μοι.

Ἐπεσφάλακεν. [6] οἱ μὲν, ἐσπάσθη· [7] οἱ δὲ, ἐσάπη, ἢ παρὰ καιρὸν ἀτροφῆσαν ἠμαράνθη.

Ἕπεται. οἱ θεράποντες. παρὰ τὸ ἕπεσθαι. Ἕπεται δὲ, ἀκολουθεῖ.

Ἐπέτειον. [8] ἀπὸ τοῦ νῦν ἔτους. ἐπέτος γὰρ δεῖ λέγειν τὸν ἐνεστῶτα καιρὸν, οὐχὶ διὰ τοῦ φ, ἀλλὰ τοῦ π, ὥς φησι Πίνδαρος. καὶ ἐπέτειος, ὁ κατ' ἔτος γινόμενος.

Ἐπετείους [9] ὑμᾶς ὄντας. ἀπὸ τῶν οἰωνῶν μετήνεγκε τῶν μὴ μονίμων ὄντων, ἀλλὰ φερομένων τῇ πτήσει. τουτέστιν, εὐμεταβλήτους, ὀλιγώρους, καὶ μὴ διαμένοντας ἐν τοῖς αὐτοῖς ἀεί. ἀψικόρους.

Ἐπέτηξεν. [10] Δελτίον δίπτυχον λαβὼν, τὸν κηρὸν

Ἐπεσημηνάμεθα. Obſtupuimus. Mirati ſumus. Polybius: *Quis non plauſu proſequatur & admiretur ducem ante dictum, qui iſta geſſit?*

Ἐπέσθων. Epulans. [In Epigrammate:] *Eudemus ſalinum, ex quo vilem ſalem comedens, ingentes [æris alieni] tempeſtates effugit, Diis Samothracibus dedicavit.*

Ἐπεσκήψατο. Falſi teſtimonii aliquem accuſavit. Raro vero etiam ponitur pro, cædis accuſavit: ut apud Antiphontem. Activum vero ἐπέσκηψεν ſignificat, præcepit, mandavit. Item ἐπισκήπτω Andocides & Lyſias acceperunt pro, cum quadam obteſtatione dico, & jurejurando adigo. Et ἐπεσκήψατο, læſit.

Ἐπέσκηψεν. Objurgavit.

Ἐπέσπερχε. Excitavit. Incitavit. *Qui tunc ipſum potiſſimum incitavit.*

Ἐπεστάτει. Præfectus erat. Præerat. Dux erat. Xenophon: *Ibi animadverti poterat, qualis dux eſſet Clearchus: in ſiniſtra haſtam, & in dextra baculum geſtans.*

Xenoph. Anab. B'.136. White[illegible] inter Not. Brev. Porsoni in Xenoph. xlvi. 132.

Ἐπέστησε. Genitivo jungitur. *Curſui repente eum præfecit.*

Ἐπεστήριξας ἐπ ἐμὲ τὴν χ. *Firmaſti ſupra me manum tuam.* Per metaphoram ductam ab illis, qui verberibus cæduntur. [Quaſi dixiſſet,] cernens manum tuam mihi incumbentem, meque vehementer flagellantem.

Ἔπεστί μοι. Volo. Poſſum. Vel, ineſt mihi.

Ἐπεσφάλακεν. Secundum quoſdam ſignificat, tractus, vel convulſus eſt. Secundum alios vero, computruit, vel ob intempeſtivam alimenti inopiam contabuit.

Ἕπεται. Famuli. Ab ἕπεσθαι, ſequi. Ἕπεται vero, ſequitur.

Ἐπέτειον. Quod eſt præſentis anni. Hornum. De anno enim præſenti dicendum eſt ἐπέτος, non per φ, ſed per π, ut apud Pindarum. Et ἐπέτειος, annuus, anniverſarius.

Ἐπετείους ὑμᾶς ὄντ. *Vos unius anni homines.* Tranſlatio ducta eſt ab avibus, quæ non in eodem loco diu permanent, ſed nunc huc nunc illuc volant. Id eſt, mutabiles, leves, paucarum horarum homines, nec in iiſdem ſententiis perſeverantes. Faſtidioſos.

Ἐπέτηξεν. Cera liquefacta induxit. *Dua-*

---

[1] Πολύβιος] Lib. IX. cap. IX. Confer Noſtrum infra v. Ἐπισημήνασθαι.

[2] Τὴν ἁλίην Εὔδημος, ἐφ' ἧς ἅλα λιτ.] Locus hic decerptus eſt ex Epigrammate Callimachi, quod in Anthologia inedita integrum exſtat, & ſic ſe habet:

Τὴν ἁλίην Εὔδημος, ἐφ' ἧς ἅλα λιτὸν ἐπελθὼν,
Χειμῶνας μεγάλους ἐξέφυγεν δανείων,
Θῆκε Θεοῖς Σαμόθραξι, λέγων, ὅτι τήνδε κατ' εὐχὴν,
Ὦ λαοί, σωθεὶς ἐξ ἁλὸς ὧδ' ἔθετο.
Salinum Eudemus, ex quo vilem ſalem comedens,
Procellas magnas effugit æris alieni,
Donavit Diis Samothracibus, dicens, ſe iſtud ex voto,
O populi, ex mari quaſi ſervatum hic poſuiſſe.

In Hexametro primo pro ἐπελθὼν ex hoc loco Suidæ reſcribendum eſſe ἐπέσθων, primus recte obſervavit vir ſummus Richardus Bentlejus in præfatione ad eruditiſſimam Diſſertationem de Phalaridis Epiſtolis. Senſus enim Epigrammatis hujus eſt, Eudemum tenuiter viventem, & vili tantum ſale veſcentem, moleſtias æris alieni effugiſſe, & velut a tempeſtate maris liberatum, Diis Samothracibus (quibus nautæ periculo maris defuncti donaria ſuſpendere ſolebant) ſalinum hoc dedicaſſe. Frigida hæc videntur, ſi Latino ſermone exprimantur, quoniam omne acumen latet in ambiguitate vocis ἅλς, tam *ſalem*, quam *mare* apud Græcos ſignificantis: quas duas res cum Latini duobus diverſis nominibus ſignent, non mirum eſt ſi leporem Epigrammatis hujus lingua iſta aſſequi nequeat.

[3] Ἐπεσκήψατο. ἀντὶ τοῦ ἐνεκ.] Ex Harpocratione.

[4] Ξενοφῶν] *De Expedit. Cyri* lib. II. pag. 279.

[5] Ἐπεστήριξας ἐπ' ἐμὲ τὴν χ.] David Pſalm. XXXVII. v. 3. Ὅτι τὰ βέλη σου ἐνεπάγησάν μοι, καὶ ἐπεστήριξας ἐπ' ἐμὲ τὴν χεῖρά σου. Theodoretus ad illum locum: Τοῦτο, φησὶν, οὐ μάτην ἀντιβολῶ, ἀλλ' ὁρῶν ἐπιφερομένας μοι νιφάδας βελῶν, καὶ τὴν χεῖρά σου λίαν ἐπικειμένην, καὶ σφόδρα με μαστιγοῦσαν. τὸ γὰρ, Ἐπεστήριξας ἐπ' ἐμὲ τὴν χεῖρά σου, ἐκ μεταφορᾶς τέθεικε τῶν αἰκιζομένων, καὶ πολλὰς ἐπιφερόντων πληγάς. Hinc Suidas ſua deprompſit.

[6] Ἐπεσφάλακεν] Imo potius ἐπεσφάδακεν, ab ἐπισφαδάζω. Vide Heſychium, & Suidam infra v. Σφαδάζειν.

[7] Οἱ δὲ, ἐσάπη] Hæc interpretatio potius pertinet ad vocem ἐπεσφακέλισεν. Vide Grammaticos v. Σφακελίζειν.

[8] Ἀπὸ τοῦ νῦν ἔτους] Scribe, ἐπὶ τοῦ νῦν ἔτους.

[9] Ἐπετείους ὑμᾶς ὄντας. ἀπὸ τῶν οἰωνῶν μετήνεγκε.] Ex Scholiaſta Ariſtophanis ad *Equit.* pag. 318.

[10] Δελτίον δίπτυχον λαβὼν, τὸν κηρὸν αὐτῷ ἐπ.] Herodotus lib. VII.

αὐτῷ ἐπέτηξεν. ἀντὶ τοῦ ἐλέανεν, λεῖον ἐποίησε.

Ἐπετίλησεν. ἐξεκένωσε τὴν κόπρον.[1] Ἀριστοφάνης· Ὁ δὲ τῆς μαρίλης μοι συχνὴν ἐπετίλησεν, ὥσπερ σηπία.[2] θηρώμεναι γὰρ αἱ σηπίαι, ἐναφιᾶσιν ἐκ τοῦ προσόντος αὐταῖς θολοῦ, ταράττειν βουλόμεναι τὸν παρ' αὐταῖς τόπον, ἵνα μὴ καταφανεῖς ὦσι τοῖς θηρῶσι.

Ἐπετίμα. ἐπηύξει τὴν τιμήν. Οἱ δὲ κερδαίνειν οἰόμενοι, ἐπετίμων ὡς λιμώττοντι τὸν σῖτον. ὁ δὲ οὐδὲν ἧττον ἠγόραζε. Μάλχος φησίν.

Ἐπετοξάζοντο. ἐτόξευον.

Ἐπευκτή. ἐπιθυμητή. εὐχῆς ἀξία.

Ἐπευωνίζων. κερδαίνων.

Ἐπευφήμησαν.[3] μετ' εὐφημίας συγκατέθεντο. ἐπῄνεσαν.

Ἐπεφάνη. Φησὶν[4] ὁ Ἀπόστολος· Ἐπεφάνη ἡ χάρις τοῦ Θεοῦ ἡ σωτήριος. διὰ τί οὐκ εἶπεν ἐφάνη, ἀλλ' ἐπεφάνη; ἐπειδὴ ὁ Ὢν ἐφάνη. εἰ γὰρ εἶπεν ἐφάνη, ἀρχὴν εἰσηγεῖτο τοῦ ἀεὶ ὄντος. καὶ διὰ τοῦτο εἶπεν, ἐπεφάνη, ἵνα τὴν ἄναρχον ὕπαρξιν μηνύσῃ. ἐξ ὧν δεῖ σαφῶς εἰδέναι, ὅτι ὁ αὐτὸς Κύριος ἐφάνη καὶ ἐπεφάνη. ἐφάνη τῇ οἰκονομίᾳ τῆς ἐνανθρωπήσεως. ἀρχὴν γὰρ ἐδέξατο. ἐπεφάνη δὲ τῇ ἐναργείᾳ τῆς θεότητος. ἄναρχος γὰρ ἡ ὕπαρξις. τὸ δὲ πᾶσιν εἶπεν, ὅτι οὐ μερικῶς, ἀλλὰ πᾶσιν ἀνθρώποις.

Ἐπεφόρησεν. ἐπεσώρευσεν.[5] Ἀριστοφάνης·

Ὅσους ἄνωθεν ἐπεφόρησε τῶν λίθων.

καὶ αὖθις· Βόθρον ὀρύξασα, καὶ ἐπιπολῆς στεγάσασα, γῆν ἐπεφόρησεν, ἐξαδηλοῦσα τὸ ποιηθέν.

Ἐπεφώρατο. ἐφανεροῦτο. εὑρίσκετο. ἠλέγχετο.

Ἐπέφραδεν. ἐδήλωσε. διεσάφησε. καὶ ἐπέφραδον, εἶπον.

Ἐπεφράσατο. ἐθεώρησεν.

Ἐπέφυ. ἀντὶ τοῦ ἐκράτησεν.[6] Ἀλλά, τὸ δὴ λεγόμενον, ἀμφοῖν ταῖν χεροῖν ἐπέφυ.

Ἐπεφύκει. προσεπλάκη.

Ἐπεφύοντο. ἐπήρχοντο. Καὶ ἐπίφυσάν οἱ συκοφάνται, καὶ τὸ ἔγκλημα ἦν, Δίωνι ἔφασκον εἶναι φίλον.

Ἔπεχε. ἐπίκεισο. ἐπίμενε. φύλαττε. Πλάτων περὶ μὲν ὧν κατείληφεν, ἀποφαίνεται· τὰ δὲ ψευδῆ

rum tabellarum pugillares accepit, eaſque cera induxit. Vel, complanavit.

Ἐπετίλησεν. Incacavit. Stercus in aliquem emiſit. Ariſtophanes: *Præ metu autem larcus multum cineris mihi incacavit, inſtar ſepiæ.* Sepiæ enim, piſcatoribus eas capere volentibus, atramentum, quod ipſis ineſt, emittunt, ut locum, in quo ſunt, turbidum reddant, ne a piſcatoribus videri poſſint.

Ἐπετίμα. Pretium augebat. *Illi vero lucrari volentes, ei frumentum ut fame laboranti majore pretio vendiderunt. At ille nihilominus id emit.* Sic Malchus inquit.

Ἐπετοξάζοντο. Sagittis petebant.

Ἐπευκτή. Expetenda. Optabilis.

Ἐπευωνίζων. Vili pretio emens. Lucrans.

Ἐπευφήμησαν. Cum fauſta acclamatione aſſenſi ſunt. Probarunt.

Ἐπεφάνη. Dicit Apoſtolus: *Gratia ſalutaris Dei* [*omnibus* ἐπεφάνη, i. e.] *apparuit.* Cur non dixit ἐφάνη, ſed ἐπεφάνη? Quia ὁ Ὢν apparuit. Si enim dixiſſet ἐφάνη, principium ſignificaſſet illius, qui ſemper eſt. Hinc igitur dixit ἐπεφάνη, ut ſubſtantiam principio carentem indicaret. Unde clare docemur, eundem Dominum & φανῆναι & ἐπιφανῆναι. Ἐφάνη enim, quatenus mirabili quodam modo humanam naturam induit. Eatenus enim principium habuit. Et ἐπεφάνη, quatenus ut Deus æternus & principii expers Orbi apparuit. Dixit vero *omnibus*, quia non quibuſdam tantum, ſed omnibus hominibus apparuit.

Ἐπεφόρησεν. Accumulavit. Coacervavit. Ariſtophanes: [*Videsne,*] *quot lapides ſupra accumulaverit?* Et iterum: *Cum foveam effodiſſet, & in ſuperficie ſtrato texiſſet, terram ei injecit, ut facinus occultaret.*

Ἐπεφώρατο. Deprehenſus eſt. Inventus eſt. Convictus eſt.

Ἐπέφραδεν. Declaravit. Perſpicue demonſtravit. Et ἐπέφραδον. Dixi.

Ἐπεφράσατο. Contemplatus eſt. Animadvertit.

Ἐπέφυ. Firmiter tenuit. Inhæſit. Amplexus eſt. *Sed ambabus, quod aiunt, ulnis, amplexus eſt.*

Ἐπεφύκει. Adhæſit. Inhæſit. Amplexus eſt.

Ἐπεφύοντο. [Adhærebant.] Aggreſſi ſunt. Adorti ſunt. *Calumniatores eum adorti ſunt, & crimen, quod ipſi objiciebatur, hoc erat, eum Dionis amicum eſſe.*

Ἔπεχε. Inſta. Urge. Cuſtodi. [Inhibe. Cohibe.] *Plato de rebus, quas comprehendit,*

---

in fine: Δελτίον δίπτυχον λαβών, τὸν κηρὸν αὐτοῦ ἐξέκνησε, καὶ ἔπειτα ἐν τῷ ξύλῳ τῆς δέλτου ἔγραψε τὴν βασιλέως γνώμην. ποιήσας δὲ ταῦτα, ὀπίσω ἐπέτηξε τὸν κηρὸν ἐπὶ τὰ γράμματα, &c. Hinc Suidas locum hunc conſarcinavit: quod & a Porto monitum fuit.

[1] Ἀριστοφάνης] *Acharnenſibus*, pag. 388. (277. Ed. Baſ. *P.*) ubi ſic legitur:

Ὑπὸ τοῦ δέους δὲ τῆς μαρίλης μοι συχνὴν
Ὁ λάρκος ἐνετίλησεν ὥσπερ σηπία.

Notet Lector pro ἐνετίλησε, ut hodie apud Ariſtophanem ſcriptum eſt, Suidam olim legiſſe ἐπετίλησε.

[2] Θηρώμεναι γὰρ αἱ σηπίαι, ἐναφ.] Hæc, & quæ ſequuntur, ſunt verba Scholiaſtæ ad modo indicatum locum Ariſtophanis: quæ repetuntur infra v. Λάρκος.

[3] Ἐπευφήμησαν] Homer. Il. A. v. 22. & 376.

[4] Ὁ Ἀπόστολος] Ad Tit. 2. v. 11. Quæ autem ſequuntur, nec ſunt verba Chryſoſtomi, nec Theophylacti ad locum illum Titi, ſed commentatoris cujuſdam incerti.

[5] Ἀριστοφάνης] *Pace* pag. 637. (441. Ed. Baſ. *P.*)

[6] Ἀλλά, τὸ δὴ λεγόμενον, ἀμφ.] Polybius in Excerptis a Valeſio editis, pag. 50. de Timæo inquit: Διότι γὰρ τῶν τοιούτων ἐπιλαβόμενος οὐδὲν ἂν παρέλειπε Τίμαιος, ἀλλὰ σπεῖν (Valeſius legit, ἀλλ' ἀστρίξ) τὸ δὴ λεγόμενον, ἀμφοῖν ταῖν χεροῖν ἐπίφυ, περιφανὴς ἐκ τούτων. Hinc Suidas ſua depromſit.

διελέγχει· περὶ δὲ τῶν ἀδήλων ἐπέχει. † [1] Ἀρκεσίλαος ὁ φιλόσοφος, διὰ τὸ περὶ πάντων ἐπέχειν, οὐδὲ βιβλίον τι συνέγραψε. καὶ ἐπέχω, αἰτιατικῇ. Ἐπέχομαι δὲ, γενικῇ. Καὶ ἡ χεὶρ ἐπέχεται τοῦ πονηροῦ γραφέως.

Ἐπεχώρησεν. ἀντὶ τοῦ συνεχώρησεν. οὕτως Ἀῤῥιανός. καὶ ἐπεχωρήθη, συνεχωρήθη. καὶ τὰ ὅμοια.

Ἐπέχθη. ἐκτενίσθη. ἐκάρη. [2] Ἀριστοφάνης Νεφέλαις·

——— Ἐκέλευσα
Ἆσαι Σιμωνίδου τι μέλος, τὸν κριὸν ὡς ἐπέχθη.

Ἐπεί. ἐπειδή.

Ἐπείγω. σπουδάζω.

Ἐπειγωλή. ἡ σπουδή.

Ἐπεῖδεν ὁ ὀφθαλμός μου.

Ἐπειδή. ἔστι μὲν σύνδεσμος παρασυναπτικὸς, λαμβάνεται δὲ καὶ ἀντὶ τοῦ ἀφ' οὗ· ὡς Θουκυδίδης πολλάκις ἐχρήσατο, καὶ Ὅμηρος πρότερον·

Ἐπειδὴ πρῶτα τομὴν ἐν ὄρεσσι λέλοιπε.

περὶ τοῦ σκήπτρου.

Ἐπειδὴ τὸν Ταντάλου λίθον τῆς κεφαλῆς ἀπεκιναξάμεθα. λέγεται δὲ ἐπὶ κινδύνου τινὸς ἐπηρμένου, καὶ παρελθόντος. ἢ ἐπὶ τοῦ ἀρξαμένου τινὸς πράγματος, εἶτα ὀλιγωρήσαντος.

Ἐπειδὴ [3] τὸν οἶνον ἠξίους πίνειν, συνεκποτέ' ἐστί σοι καὶ τὴν τρύγα.

Ἐπειή. ἐπειδή.

Ἐπεικάζω. στοχάζομαι. [4] Σοφοκλῆς·

Ἦ καὶ δάμαρτα τήνδ' ἐπεικάζων κυρῶ.

Ἐπείκτης. [5] ὁ κατεπείγων. Πισίδης·

Ὅπως ὑφέξῃ τοῖς ἐπείκταις ἀγγέλοις
Τοὺς συλλογισμοὺς τῶν χρεῶν καὶ τῶν τόκων.

Ἐπείκτης λέγεται, καὶ ὁ τὴν κογχύλην ἀπαιτῶν.

Ἐπεικτός.

Ἐπειλέγην, καὶ κατειλέγην, καὶ συνειλέγην.

Ἐπειλεγμένος. Ἐπιλελεγμένος δέ.

Ἐπειλημμένη. ἀντιλαμβανοῦσα.

Ἐπειός. ὄνομα ἐθνικόν. Ἐπηὸς δὲ, ὁ συγγενής.

Ἐπειοῦ [6] δειλότερος. οὕτως ἐλέγετο Κρατῖνος ὁ κωμικὸς, ἴσως διὰ τὸ ταξιαρχῆσαι τῆς Οἰνηΐδος φυλῆς, δειλότερός τε φανῆναι. καὶ γὰρ ὁ Ἐπειὸς δειλὸς ἦν.

Ἐπείρα. αἰσχρῶς προσέβαλλεν. [7] Ἀστυδάμεια ἠράσθη Πηλέως τοῦ Αἰακοῦ. ὁ δὲ ἀναίνεται. ἡ δὲ φοβηθεῖσα μὴ κατείπῃ αὐτῆς, σοφώτερα ἢ ἀληθέστερα λέγει, ὅτι αὐτὴν ἐπείρα ὁ Πηλεὺς, [8] εἰποῦσα· † [9] Ἐ-

ſententiam ſuam enantiat; falſa redarguit; & de incertis aſſenſum cohibet. † *Arceſilaus Philoſophus nullum librum ſcripſit, quod de omnibus aſſenſum inhiberet.* Et ἐπέχω, accuſativo jungitur. Ἐπέχομαι vero, genitivo. *Et manus mali ſcribæ inhibetur.*

Ἐπεχώρησεν. Idem quod συνεχώρησεν, conceſſit. Sic Arrianus. Et ἐπεχωρήθη, conceſſum eſt.

Ἐπέχθη. Pexus, vel tonſus eſt. Ariſtophanes *Nubibus: Juſſi eum canere Simonidis carmen de Crio, quomodo depexus fuerit.*

Ἐπεί. Quia. Quoniam.

Ἐπείγω. Urgeo. Propero. Contendo.

Ἐπειγωλή. Studium. Feſtinatio.

Ἐπεῖδεν ὁ ὀφθ. Vidit oculus meus.

Ἐπειδή. Eſt quidem conjunctio connexiva; ſed interdum etiam ſumitur pro ἀφ' οὗ, ex quo [tempore.] Hoc ſenſu Thucydides ſæpe voce illa uſus eſt: & ante eum Homerus, de ſceptro [Achillis ſic inquiens:] *Ex quo primum in montibus ab arbore reſecari cœpit.*

Ἐπειδὴ τὸν Ταντ. *Poſtquam Tantali ſaxum a capite excuſſimus.* Dicitur de iis, qui periculo, quod ante capitibus illorum imminebat, defuncti ſunt. Vel de eo, qui rem aliquam incipit quidem, ſed deinde negligit.

Ἐπειδὴ τὸν οἶνον ἠξ. *Quoniam vinum bibere voluiſti, ſimul etiam fæx tibi exhaurienda eſt.*

Ἐπειή. Quia. Quoniam.

Ἐπεικάζω. Conjicio. Conjecto. Sophocles: *An recte etiam conjicio, hanc uxorem ejus eſſe?*

Ἐπείκτης. Qui inſtigat. Qui urget. Piſides: *Ut urgentibus nunciis rationem reddas debitorum & uſurarum.* Ἐπείκτης etiam vocatur, qui purpuram repetit, vel exigit.

Ἐπεικτός. Qui urgetur.

Ἐπειλέγην, & κατειλέγην, & συνειλέγην, [per ει ſcribuntur in ſyllaba ſecunda.]

Ἐπειλεγμένος. Delectus. [Per ει in ſyllaba ſecunda.] At ἐπιλελεγμένος, [per ι.]

Ἐπειλημμένη. Manu prehendens. Corripiens.

Ἐπειός. Epeus. Nomen gentile. At ἐπηός, per η, cognatus, affinis.

Ἐπειοῦ δειλότερος. Epeo timidior. Sic Cratinus Comicus dicebatur, fortaſſe quod, cum Oeneidi Tribui præeſſet, timidior videretur, Epeus enim timidus erat.

Ἐπείρα. De ſtupro ſolicitabat, vel compellabat. *Aſtydamia Pelei Æaci filii amore capta, cum repulſam tuliſſet, metueretque ne ab ipſo apud maritum accuſaretur, callidius quam verius dixit, ſe a Peleo ad ſtuprum ſollicitatam fuiſſe.*

---

[1] Ἀρκεσίλαος ὁ φιλόσοφος, διὰ τὸ π.] Hæc verba leguntur apud Laertium in vita Arceſilai.

[2] Ἀριστοφάνης] *Nubibus* pag. 198. (123. Ed. Baſ. *P.*)

[3] Ἐπειδὴ τὸν οἶνον ἠξ.] Ariſtophanes *Pluto* pag. 124. (51. Ed. Baſ. P.)

Ὅμως δ' ἐπειδή γε τὸν οἶνον ἠξίους
Πίνειν, συνεκποτέ' ἐστί σοι καὶ τὴν τρύγα.

Hinc Suidæ verba deprompta ſunt.

[4] Σοφοκλῆς] *Electra* pag. 111. ut Portus monuit.

[5] Ἐπείκτης] Vide Dufrenium in Gloſſario Græco h. v.

[6] Ἐπειοῦ δειλότερος. οὕτως ἐλέγετο Κρ.] Ex Zenobio.

[7] Ἀστυδάμεια ἠράσθη Πηλέως τοῦ Αἰακ.] Confer Scholiaſtam Ariſtophanis ad *Nubes* pag. 183.

[8] Εἰποῦσα] Hæc vox ſupervacanea eſt, & ſalvo ſenſu deleri poteſt.

[9] Ἐπείρα, χρήματα πέμπ.] Sic locum hunc ex MSS. emendavi & diſtinxi, qui in prioribus Editt. male ſic legitur, ὅτι αὐτὴν ἐπείρα ὁ Πηλεὺς, εἰποῦσα. πείρα χρήματα, &c.

πεῖραν, χρήματα πέμπων τῆς διαφθορᾶς δέλεαρ.

Ἐπειράσατο. ἀπόπειραν ἐποιήσατο.

Ἔπειρεν. ἐσούβλιζεν.

Ἐπειρωνευόμενος. χλευάζων. ἐπεγγελῶν. Ὁ δὲ ἄντικρυς Ῥωμαίων παραχθεὶς, ἀναιρεῖται. τοῦτο δ' ἔπραττεν ὁ Σίμων ἐπειρωνευόμενος, εἴ τι βοηθήσουσιν αὐτῷ, πρὸς οὓς ἐξελθεῖν εἵλετο.

Ἐπεισάκτους. ἀλλοτρίους.

Ἐπεισέφρησεν. εἰσῆλθε.

Ἐπεισήρρησεν. εἰσεφθάρη.

Ἔπεισί μοι. ἐπέρχεταί μοι.

Ἐπεισκρινόμενον.

Ἐπεισκύκλησις. ἡ ἀνακύκλησις. καὶ ἐπεισκυκλείσθω, ἐπιφερέσθω, ἐπισυναπτέσθω.

Ἐπεισκυκλεῖ.[1] εἰσφέρει. ἐπισυνάπτει.

Ἐπεισόδιον. τὸ εἰς τὰ δράματα εἰσαγόμενον, κατὰ προσθήκην τινὰ καὶ αὔξησιν τοῦ δράματος. Εὐνάπιος· [2]Καὶ τούτῳ ὥσπερ δράματι μεγάλῳ καὶ τραχεῖ τὸ κατὰ Μουσώνιον ἐπεισόδιον οὐκ ἔλαττον ὁ δαίμων ἐπήνεγκε. καὶ ἐν Ἐπιγράμματι·

——— [3]Ἤρεσε γύψου
Χρίσματα, καὶ φύκους ἄνθος ἐπεισόδια.

καὶ αὖθις· [4]Γέλγιθες, καὶ ὄχναι, καὶ ῥοιαὶ, καὶ σταφυλαὶ, δαψιλὲς οἰνοπόταις γαστρὸς ἐπεισόδιον.

Ἐπεισόδιον. τὸ εἰσφερόμενον τῷ δράματι γέλωτος χάριν, ἔξω τῆς ὑποθέσεως ὄν. καταχρηστικῶς δὲ, τὸ ἐξαγώνιον ἅπαν πρᾶγμα.

Ἐπεισπέπαικεν. εἰσεπήδησεν. εἰσῆλθε. κυρίως δὲ ἐπὶ στρατιᾶς πολεμίων. [5]Ἀριστοφάνης Πλούτῳ·

Ἡμῖν γὰρ ἀγαθῶν σωρὸς εἰς τὴν οἰκίαν
Ἐπεισπέπαικεν οὐδὲν ἠδικηκόσι.

καὶ αὖθις· [6]Μυκονίων δίκην ἐπεισπέπαικεν εἰς τὰ συμπόσια.

Ἐπεισοίσας. ἐπεισβαλών.

Ἐπεισφοραῖς. καταδίκαις.

Ἐπεισφρήσας. ἐπεισελθών. καὶ ἐπεισφρήσω. ἐπεισενέγκω.

Ἐπεισχέω. ἐπεισβάλλω.

Ἔπειτα. μετὰ ταῦτα. ὁ δὲ Ὅμηρος ἀντὶ τοῦ δὴ κέχρηται τῷ ἔπειτα.

Αὐτὰρ ἔπειτ' Αἴας τε μέγας καὶ δῖος Ὀδυσσεύς.

οὐκ ἔστι μετὰ ταῦτα. ἅμα γὰρ ἀφῆκεν, ὁ μὲν τὸν οἰστὸν, ὁ δὲ τὸ δόρυ.

Ἐπεί οἱ. [7]Προκόπιος· Ἐπεί οἱ οὐκ ἦν βουλομένῳ ἐς χεῖρας ἰέναι τοῖς πολεμίοις.

Ἐπεῖχεν. ἐπήρειδεν. ἐπέκειτο.

† *Pudicitiam ejus ſolicitabat, mittens pecuniam, qua ad ſtuprum alliceretur.*

Ἐπειράσατο. Tentavit. Periculum fecit.

Ἔπειρεν. Transfigebat. Subula trajiciebat.

Ἐπειρωνευόμενος. Cavillans. Deridens. *Ille vero in conſpectum Romanorum adductus, interficitur. Hoc autem Simon ſimulate fecit,* [*ut cognoſceret,*] *an auxilium ſibi laturi eſſent, adverſus quos proficiſci decreverat.*

Ἐπεισάκτους. Alienos. Adſcititios.

Ἐπεισέφρησεν. Intravit. Ingreſſus eſt.

Ἐπεισήρρησεν. Cum ſua, vel aliorum pernicie in locum aliquem ingreſſus eſt.

Ἔπεισί μοι. In mentem mihi venit.

Ἐπεισκρινόμενον. Ingredientem. Intrantem.

Ἐπεισκύκλησις. Illatio. Et ἐπεισκυκλείσθω, inferatur, ſubjungatur.

Ἐπεισκυκλεῖ. Infert. Subjungit.

Ἐπεισόδιον. Epiſodium; ſive, quod obiter & præter argumentum propoſitum in fabulam inducitur. Eunapius: *Et tanquam fabulam aliquem ingentem & triſtem non minore hoc epiſodio Muſoniano fortuna interpolavit.* Et in Epigrammate: *Placuerunt mihi gypſi pigmenta, & flos fuci,* [*formæ muliebris*] *additamenta.* Et iterum: *Alliorum capita, & pyra ſylveſtria, & mala granata, & uvæ, quæ vini potoribus largum ſunt ventris epiſodium.* [Id eſt, quorum largiore eſu ebrioſi potum interpolant.]

Ἐπεισόδιον. Epiſodium. [Sic proprie appellatur,] quod riſus gratia præter argumentum propoſitum fabulæ inſeritur. Abuſive vero, quicquid ab argumento propoſito alienum eſt.

Ἐπεισπέπαικεν. Se in aliquem locum intruſit. Intravit. Acceſſit. Proprie dicitur de exercitu hoſtili. Ariſtophanes: *Cumulus enim bonorum domum noſtram intravit, nulla cujuſquam injuria.* Et proverbium: *Myconiorum more ad convivia acceſſit.*

Ἐπεισοίσας. Qui injecit. Qui ingeſſit.

Ἐπεισφοραῖς. Mulctis.

Ἐπεισφρήσας. Qui intravit. Et ἐπεισφρήσω, inferam, importabo.

Ἐπεισχέω. Infundo. Injicio. Ingero.

Ἔπειτα. Deinde. Poſtea. Sed Homerus voce illa uſus eſt pro δή; [in hoc loco:] *At tunc & Ajax magnus & divinus Ulyſſes.* Hic τὸ ἔπειτα non ſignificat poſtea. Simul enim alter ſagittam, alter vero haſtam emittebat.

Ἐπεί οἱ. [Pro, ἐπεὶ αὐτῷ.] Procopius: *Quia manus cum hoſtibus conſerere nolebat.*

Ἐπεῖχεν. Inſtabat. Urgebat. Incumbebat.

---

[1] Ἐπεισκυκλεῖ] Vide ſupra v. Ἐσκυκλήθητι.

[2] Καὶ τούτῳ ὥσπερ δράματι μεγ.] Fragmentum hoc legitur etiam ſupra v. Δρᾶμα.

[3] Ἤρεσε γύψου χρ.] Verba hæc decerpta ſunt ex Epigrammate, quod integrum legitur Anthol. lib. VII. pag. 618.

[4] Γέλγιθες, καὶ ὄχν.] In loco hoc excerpendo Suidas nec verborum, nec metri, ſed ſenſus tantum rationem habuit: ut Lector diſcere poterit ex iis, quæ notavimus ſupra ad v. Γέλγιθες, ubi Epigramma, cujus fragmentum hoc pars eſt, ex Anthologia inedita integrum exhibuimus.

[5] Ἀριστοφάνης Πλούτῳ] Pag. 82. (41. Ed. Baſ. P.)

[6] Μυκονίων δίκην ἐπεισπ.] Vide infra v. Μυκόνιος γείτων.

[7] Προκόπιος] *De Bello Perſ.* lib. I. cap. XVIII.

Ἐπειχθῶμεν. σπεύσωμεν.

Ἐπήβολος. ἐπιτευκτικός. ἐπιτυχής. Εἰ δὲ οἴει σαυτὸν εὐδαίμονα, ὡς ἐπήβολον καὶ πολύχρυσον, γνωστὸν ἤτω σοι, ὅτι γηρᾷ καὶ τύχη.

Ἐπηβολώτατος.

Ἐπηγάγετο. [1] προσῳκειώσατο. ἰδιοποιήσατο. Τοὺς δὲ οἰκήτορας τῆς πόλεως, μηδὲν βίαιον δράσας, ἐπηγάγετο.

Ἐπήγγελλεν. Ἐπήγγελλεν ἐπὶ τοσούτοις συσσίτια. καὶ αὖθις· Οἱ μὲν ταύτην τὴν γραφὴν ἐπήγγελλον, οἱ δὲ τὴν ἄλλην.

Ἐπήγγελλεν. ἀντὶ τοῦ προσέταττεν. Ὁ δὲ Μίνως πανταχόσε ἔπλει, καὶ πολλοῖς ξενίαν ἐπήγγελλεν. ἀντὶ τοῦ ἐνετέλλετο. † [2] Εἰθισμένον ὂν γράμματα οἰκεῖα τοῖς βιβλίοις ἐντιθέναι, ὅσα ἂν ἐπαγγέλλοντος αὐτοῦ γένοιτο. Καὶ αὖθις· Οὐκ ἔχειν ὀνομάσαι ὁπότε οἱ ἐπήγγειλαν στρατιὰν Ἀραβίοις ἐς τὸ παραχεῖν ἄκοντας. ἀντὶ τοῦ ὤρισαν.

Ἐπήγετο. ἐπεφέρετο.

Ἐπήγγειλα. Ἔλυσα τὴν ἐκκλησίαν, καὶ εἰς τετάρτην ἥκειν ἐπήγγειλα. ἀντὶ τοῦ παρήγγειλα.

Ἐπηγκενίς. [3] ἡ μακρὰ σανίς.

Ἐπηγκυλημένα [4] ξύλα. τὰ [5] κεκαμμένα εἰς θεοειδῆ σχήματα, εἰς χρῆσιν ὅπλων.

Ἐπῄεσαν. παρήρχοντο.

Ἐπηετανός. ὁ αὐτάρκης.

Ἐπῄει μοι. ἐπήρχετό μοι.

Ἐπηθρηκυῖα. ἰδοῦσα.

Ἐπήϊξας. ἐφώρμησας.

Ἐπηκόοις. Ἐλοιδοροῦντο τοῖς ἐπηκόοις, καὶ πολὺ πλέον ἐνθύμως ἐμάχοντο. ἀντὶ τοῦ, πάντων ἀκουόντων. Φανερῶς.

Ἐπηρεία. Ἀλλ' εἰ μέν τις ἐκ τούτων [6] κακόν τι ἐδεδράκει, ἢ ἐπεπόνθει, ἐπηρείαν εἶχε.

Ἐπῆκτο. ἐπηκολούθει.

Ἐπηλυγάζονται. ἐπισκιάζονται. ἐπικρύπτονται. καὶ ἐπηλυγάζοντες. καλύπτοντες. σκεπάζοντες. Οἱ δ' οὖν περὶ πλείστου τιθέμενοι τὰ τοῦ Φοίνικος, καλλύνοντες ἄρα τὸ κακὸν αὐτοῦ καὶ ἐπηλυγάζοντες, ἄλλως φασὶ τοῦτο γενέσθαι. Καὶ αὖθις· Ὁ [7] μὲν οὖν Φερεκύδης ἐπηλυγασάμενος θοἰμάτιον, χρὼς δῆλον, ἔφη, καὶ δακτύλῳ [8] τὴν νόσον ἐδείκνυε. παχητιῶν δὲ μειρά-

Ἐπειχθῶμεν. Properemus. Feſtinemus.

Ἐπήβολος. Qui conſequitur, quod cupit. Cui ex voto res ſuccedunt. *Si vero te beatum putas, quod ex voto res tibi ſuccedant, & auri copia abundes: ſcito & fortunam ſeneſcere.*

Ἐπηβολώτατος. In rebus, quas cupit, adipiſcendis feliciſſimus.

Ἐπηγάγετο. Sibi conciliavit. Sibi adjunxit. *Urbis vero incolas ſibi conciliavit, quod nullam eis vim intuliſſet.*

Ἐπήγγελλεν. Denunciabat. Indicebat. Præcipiebat. * * * * Et iterum: *Alii hanc, alii vero illam actionem denunciabant.*

Ἐπήγγελλεν. Præcipiebat. Mandabat. *Minos vero per omnia maria navigans, multis hoſpitium indicebat.* † *Cum moris eſſet, ut Imperator nomen ſuum inſcriberet libellis, qui mandata ejus continebant.*

Ἐπήγετο. Adducebatur. Inferebatur.

Ἐπήγγειλα. Denunciavi. Edixi. Præcepi. *Concionem dimiſi, & quarto die menſis eos adeſſe juſſi.*

Ἐπηγκενίς. Longa tabula. Longus aſſer.

Ἐπηγκυλημένα ξύλα. Ligna incurvata, & ad ancilium ſimilitudinem formata, quæ clypeorum uſum præſtant.

Ἐπῄεσαν. Accedebant. Invadebant.

Ἐπηετανός. Qui habet, quod ipſi ſufficiat.

Ἐπῄει μοι. In mentem mihi venit.

Ἐπηθρηκυῖα. Conſpicata. Quæ vidit.

Ἐπήϊξας. Irruiſti. Impetum in aliquem feciſti.

Ἐπηκόοις. Illis, qui vocem exaudiunt, aut exaudire poſſunt. *Conviciis eos inſectabantur, omnibus audientibus; & multo acrius pugnabant.* Vel, palam, manifeſte.

Ἐπηρεία. Incuſatio. Accuſatio. *Sed ſi quis inter eos malum aliquid feciſſet, aut paſſus fuiſſet, accuſabatur.*

Ἐπῆκτο. Subſequebatur.

Ἐπηλυγάζονται. Inumbrantur. Occultantur. Et ἐπηλυγάζω. Occulto. Leviter oſtendo. Obſcuro. Et ἐπηλυγάζοντες. Occultantes. Tegentes. Velantes. *Qui igitur Phœnicem plurimi faciunt, malum ejus honeſtis verbis ornantes & velantes, hoc aliter accidiſſe dicunt.* Et iterum: *Pherecydes igitur veſte faciem velans, ex cute* [*malum*] *manifeſtum eſſe ajebat, digi-*

---

[1] Προσῳκειώσατο] Sic recte MSS. Pariſ. & Edit. Mediolanenſis. At Editio Aldina corrupte προσοικειόστατος: quod Editores Baſileenſes in προσοικειότατος mutarunt, & ex ſede hac tranſlatum voci præcedenti ἐπηβολώτατος junxerunt: temere ſane & inconſiderate. Nemo enim non videt, τὸ προσοικειότατος non eſſe vocem Græcam, nec, ſi eſſet, interpretationis loco voci ἐπηβολώτατος jungi poſſe. Portus, uti & alibi ſemper, ita & hic, Editionem Baſil. ſecutus fuit.

[2] Εἰθισμένον ὂν γράμματα οἰκ.] Hæc ſunt verba Procopii *Hiſtor. Arc.* cap. VI. pag. 20. quod non obſervatum fuit a Claudio Maltreto, qui accurata cæteroqui diligentia fragmenta Procopii, quæ apud Suidam paſſim leguntur, collegit. Confer Noſtrum ſupra v. Ἐπαγγέλλει, ubi idem hoc fragmentum auctius legitur.

[3] Ἐπηγκενίς] Sic habent 2 MSS. Pariſ. At priores Editt. ἐπιγκενίς, per ι: cui lectioni literarum ſeries refragatur.

[4] Ἐπηγκυλημένα] Sic melius MSS. Pariſ. quam priores Editt, quæ habent ἐπιγκυλημένα, per ι.

[5] Κεκαμμένα] Sic recte 2 MSS. Pariſ. At priores Editt. male κεκραμένα.

[6] Κακόν τι] Sic recte 2 MSS. Pariſ. At priores Editt. male, αἰτιών τι.

[7] Ὁ μὲν οὖν Φερεκύδης ἐπηλυγασάμενος θοιμ.] Fragmentum hoc legitur apud Syneſium in *Encom. Calvit.* pag. 85. ut Pearſonius etiam obſervaverat. Confer Noſtrum infra v. Χροῒ δῆλα.

[8] Τὴν νόσον] Id eſt, phthiriaſin. Illo enim morbo Pherecydem laboraſſe tum alii auctores teſtantur, tum etiam Jamblichus in *Vita Pythag.* pag. 162. cujus verba, quia corrupta ſunt, adducam, ut ex MSS. emendem. Πρὸς Φερεκύδην τὸν Σύριον, διδάσκαλον αὐτοῦ γενόμενον, ἀπὸ τῆς Ἰταλίας εἰς Δῆλον ἐκομίσθη, νοσοκομήσων τι αὐτὸν περιπαθῆ γενόμενον τῷ ἱστορουμένῳ τῆς φθειρίσεως πάθει, &c. Pro περιπαθῆ reponendum eſt περιπετῆ; & pro φθειρίσεως, φθειριάσεως: ut recte habent MSS. Poſterius mendum notavit quoque Joannes Arcerius, qui opus illud Jamblichi primus in lucem edidit, & notis illuſtravit.

κιον ταῖς θριξὶ σημαινόμεθα.

Ἐπηλυγασάμενος. σκεπάσας. καλύψας. [1]ἠλύγη γὰρ, ἡ σκιά.

Ἔπηλυς. εὕρηται παρὰ Ποσειδίππῳ. καὶ ἀντήλιος, καὶ ἀπηλιώτης, ἐν τῷ η καὶ ψιλῶς.

Ἔπηλυν. ξένον. ἔποικον. Διακρίνων τὸν ἔπηλυν λαὸν ἀπὸ τῶν ἐγχωρίων.

Ἔπηλυς. ὁ ξένος.

Ἐπήλυσιν. [2]Μὴ πτερύγων τρομέοι τις [3]ἐπήλυσιν. ἐν Ἐπιγράμμασι. ἀντὶ τοῦ ἄφιξιν, ἐπέλευσιν, ἔκπεμψιν.

Ἐπήλυσις. ἐπιδρομή.

--- Ἐπήλυσιν ὄφρ' ἀλέοιτο
Φωρῶν.

τουτέστι, λῃστρικήν.

Ἐπήλυσις. ἐπέλευσις. Ἐν ἀπόπτῳ καραδοκοῦντές τε καὶ θεώμενοι, εἴ που ἐπήλυσις ἔσται βαρβαρική.

Ἐπήλυτος. πάροικος. ἔποικος.

Ἐπ' ἤματι. ἐν μιᾷ ἡμέρᾳ. Ὁ δὲ Θεοδόσιος τὴν βασίλισσαν θανοῦσαν ἐπ' ἤματι σχεδόν τι ἐδάκρυσεν. ἀνάγκη γὰρ, καὶ ὁ προκείμενος πόλεμος συνεσκίαζεν αὐτοῦ τὸ περὶ τὴν γυναῖκα πάθος.

Ἐπήμηναν. ἔβλαψαν. καὶ ἐπημήνατο, ἔβλαπτεν.

Ἐπημοιβοί. ἐπηλλαγμένοι, ὥστε τὸν μὲν ἔνθεν, τὸν δὲ ἔνθεν ἐφέλκεσθαι.

Ἐπήμυνον. ἐπεβοήθουν.

Ἐπημύω. τὸ καμμύω.

Ἐπηνέμιος πλοῦτος. ὁ ψευδόμενος.

Ἐπῄνεον. συγκατετίθεντο.

Ἐπῄνει. εὐμενῶς ἐδέχετο. συγκατετίθετο. Τὸ δὲ θεῖον οὐκ ἐπῄνει τὰ ὑπὸ τοῦ βασιλέως πραττόμενα.

Ἐπῃνηκέναι. ἐπαινέσαι. ἐκ τοῦ ἐπαινῶ.

Ἐπηνίκιζεν. ἐξηπάτα. οὕτω Κρατῖνος.

Ἐπῄνουν. συγκατετίθεντο.

Ἐπηνωρθωκέναι.

Ἐπῃωρεῖτο. ἐκρέματο.

Ἐπηπείλησα καὶ κατώμοσα. ἀντὶ τοῦ, ἐπαγγειλάμενος ὤμοσα.

Ἐπήπυον. ἐβόων.

Ἐπῇρας. ἀνέπεισας.

Ἐπηράσαντο. ἀντὶ τοῦ ἀρὰς ὑπέβαλον. Ἐπηράσαντο αὐτῷ Εὐμολπίδαι καὶ Κήρυκες.

Ἐπῄρατε. ἐπείσατε. ἠπατήσατε.

Ἐπηρᾶτο. ἐπηύχετο.

Ἐπήρατον. ἐπέρατον. ποθεινόν.

toque morbum indicabat. Nos vero adoleſcentem impudicum & muliebria patientem ex capillis demonſtramus.

Ἐπηλυγασάμενος. Qui texit. Qui velavit, & obſcuravit. Ἠλύγη enim eſt umbra.

Ἔπηλυς. Advena. Reperitur apud Poſidippum. Scribitur autem per η, & literam tenuem, æque ac ἀντήλιος, & ἀπηλιώτης.

Ἔπηλυν. Advenam. Peregrinum. *Populum peregrinum ab indigenis diſcernens.*

Ἔπηλυς. Advena. Peregrinus.

Ἐπήλυσιν. Superventum. Incurſionem. Emiſſionem. In Epigrammate: *Ne quis alati Cupidinis ſuperventum timeat.*

Ἐπήλυσις. Incurſio. [In Epigrammate:] *Ut vitaret incurſionem furum.* Vel, latronum.

Ἐπήλυσις. Adventus. Superventus. Incurſio. *Ex edito loco ſpeculantes & ſpectantes, ſi forte Barbari adventarent.*

Ἐπήλυτος. Advena. Peregrinus. Inquilinus.

Ἐπ' ἤματι. Unico die. Per unicum diem. *Theodoſius autem conjugem defunctam uno tantum die luxit. Neceſſitas enim & inſtans bellum, dolorem, quem morte ejus conceperat, obumbrabant.*

Ἐπήμηναν. Læſerunt. Et ἐπημήνατο. Lædebat.

Ἐπημοιβοί. Dicitur de illis, qui mutatis vicibus, alter hinc, alter vero illinc, attrahuntur.

Ἐπήμυνον. Auxiliabantur. Opem ferebant.

Ἐπημύω. Conniveo.

Ἐπηνέμιος πλοῦτος. Divitiæ falſæ & inanes.

Ἐπῄνεον. Approbabant. Aſſentiebantur.

Ἐπῄνει. Benevole accipiebat. Aſſentiebatur. Approbabat. *Divinum vero Numen non approbabat ea, quæ a Rege fiebant.*

Ἐπῃνηκέναι. Laudaſſe. Approbaſſe. Ab ἐπαινῶ.

Ἐπηνίκιζεν. Decipiebat. Fallebat. Ita Cratinus.

Ἐπῄνουν. Aſſentiebantur. Approbabant.

Ἐπηνωρθωκέναι. Emendaſſe. Correxiſſe.

Ἐπῃωρεῖτο. Suſpenſus erat. Pendebat.

Ἐπηπείλησα καὶ κατώμοσα. Minitabundus juravi.

Ἐπήπυον. Acclamabam. Vociferabar.

Ἐπῇρας. Impuliſti. Induxiſti.

Ἐπηράσαντο. Imprecati ſunt. Diris devoverunt. *Eumolpidæ & Ceryces eum diris devoverunt.*

Ἐπῄρατε. Impuliſtis. Induxiſtis. Decepiſtis.

Ἐπηρᾶτο. Imprecabatur.

Ἐπήρατον. Pro ἐπέρατον. Amabile. Optabile.

---

[1] Ἠλύγη] Sic recte MSS. Pariſ. At priores Editt. male, λύγη. Confer Heſychium v. Ἠλυγισμένος.

[2] Μὴ πτερύγων τρομέοι τις ἐπ.] Verba hæc decerpta ſunt ex Epigrammate, quod integrum legitur Anthol. lib. VII. pag. 594.

[3] Ἐπήλυσιν] Hæc vox in prioribus Editt. deſideratur, quam ex MSS. revocavi.

Ἐπηρεάσαι. βλάψαι.

Ἐπῆρεν.[1] ἀντὶ τοῦ ἀνέπεισεν. ἠρέθισεν. Ὁ τοίνυν ἔρως συμπνεύσας, καὶ κατὰ τοῦ τυράννου Φαλάριδος ἐπῆρεν αὐτούς. καὶ αὖθις·[2] Τοῦτον ἰάσατο, καὶ κωμῳδίαν διδάσκειν αὖθις ἐπῆρεν.

Ἐπῆρες. παρεσκευασμένον. ἕτοιμον. Τὸ δὲ πλοῖον ἐπῆρες ἦν, εἰς ὃ τὴν ἄνθρωπον ἐμβάλλουσι καὶ ἀποπλεῖ.

Ἐπηρεάζω. αἰτιατικῇ. δοτικῇ δέ· Οἱ τοῖς ἑαυτῶν κακοῖς βοηθοῦσιν, ἐξ ὧν ἄλλοις ἐπερεάζουσιν.

Ἐπήρετο. ἠρώτα.

Ἐπηρεφέες. ἐπηρεφεῖς. ἐπὶ τὰ κάτω ἐστραμμένοι. κατωφερεῖς.

Ἐπήρεια. βλάβη. [3]Θουκυδίδης· Τούς τε φεύγοντας ἐκέλευον κατ᾽ ἐπήρειαν δέχεσθαι αὐτούς. καὶ αὖθις· Καὶ παρήγγειλε παραφυλάσσειν, μὴ ἄρα πού τις ἀπὸ τῆς ἄλλης στρατείας ἐνών, ἐπηρεάζοι αὐτοῖς. ἀντὶ τοῦ βλάπτοι. καὶ αὖθις· Ὥστε ἡ ἐς ταῦτα ἐπήρεια εἰκότως ἂν ἀδίκημα μέγα εἰς τοὺς ἀνθρώπους τοῦ παντὸς αἰῶνος δόξειεν εἶναι. κυρίως δὲ ἐπήρεια, ἡ τοῦ πολέμου καταδρομή. ἐκ τοῦ Ἄρης, Ἄρεως.

Ἐπήρκεσεν. ἐβοήθησεν. Ταῦτα συνεχῶς ἀγγελλόμενα τῷ Ἀντωνίῳ, αὐτόν τε ἐπήρκει εἰς τὴν ἀποχώρησιν, καὶ τοὺς στρατιώτας μαλακωτέρους ἐποίει. καὶ αὖθις· Τὰ δὲ ἄλλα τοῖς φιλοσόφοις ἐπήρκουν.

Ἐπηρμένοι. πρόχειροι. εὐτρεπεῖς. [4]Θουκυδίδης· Οἱ οὖν Ἕλληνες ἐπηρμένοι ἦσαν διὰ τὴν τῶν Ἀθηναίων κακοπραγίαν, οὐκ ἀποστατέον τοῦ πολέμου εἴη.

Ἐπηρώθησαν. ἐσκοτίσθησαν. ἐτυφλώθησαν.

Ἐπηρτημένην. ἐπικειμένην.

Ἐπήρτησεν. ἐπέθηκεν. ἐπέφερεν. Ὁ δὲ τὰς ὁδοὺς διαλαβών, οὐ μικρὸν φόβον ἐπήρτησε τοῖς ἐν τῇ πόλει.

Ἐπησθέντες. ἐπιχαρέντες.

Ἐπῄσθετο. ἐπέγνω.

Ἐπήσθη. ἐλαλήθη.

Ἐπήσπαιρεν. ἐψυχορράγει.

Ἐπηλεία. ἡ ἐπέλευσις.

Ἐπήτης. ὁ λόγιος καὶ συνετός.

Ἐπήτριμος. πυκνός.

Ἐπητύϊ. τῇ συνέσει.

Ἐπιάλτην. Ὅμηρος καὶ Ἡσίοδος καὶ οἱ Ἀττικοί, τὸν δαίμονα. διὰ δὲ τοῦ φ, τὸν ἄνδρα Ἐφιάλτην. καὶ τὸν ῥιγοπύρετον λεγόμενον.

Ἐπίασιν. ἐπέρχονται.

Ἐπηρεάσαι. Insultasse. Læsisse.

Ἐπῆρεν. Impulit. Induxit. Irritavit. *Amor igitur mutuus eos in Tyrannum Phalaridem incitavit.* Et iterum: *Hunc sanavit, & ad comœdias agendas iterum impulit.*

Ἐπῆρες. Paratum. Instructum. *Navigium autem instructum erat, in quod cum mulierem conjecisset, abiit.*

Ἐπηρεάζω. Accusativo jungitur. Item dativo. Insulto. Noceo. *Qui sua mala adjuvant, dum aliis insultant.*

Ἐπήρετο. Quærebat. Interrogabat.

Ἐπηρεφέες. Deorsum versi. Proni. [Tecti. Opaci.]

Ἐπήρεια. Damnum. Injuria. Insultatio. Thucydides: *Et additis minis [Epidamniis] imperarunt, ut exules reciperent.* Et iterum: *Et cavere eos jussit, ne quis forte ex alio exercitu inter eos esset, qui damno eos afficeret.* Et iterum: *Quare insolentia, qua hisce insultatur, merito ingens in homines injuria esse perpetuo videbitur.* Proprie autem ἐπήρεια vocatur incursio hostilis. Ab Ἄρης, Mars.

Ἐπήρκεσεν. Opem tulit. Suffecit. Adjuvit. *Hæc cum Antonio crebro nunciarentur, & recessum ejus adjuverunt, & milites molliores reddiderunt.* Et iterum: *Cætera vero Philosophis suppeditarunt.*

Ἐπηρμένοι. Elati. Animis erecti. Prompti. Parati. Thucydides: *Græcorum igitur animi ob rem ab Atheniensibus in Sicilia male gestam, expectatione erecti erant: [& alii quidem censuerunt,] bellum non esse omittendum*, &c.

Ἐπηρώθησαν. Oculis privati, vel excæcati fuerunt.

Ἐπηρτημένην. Impendentem. Imminentem.

Ἐπήρτησεν. Imposuit. Intulit. *Ille vero viis interclusis non parvum terrorem urbanis intulit.*

Ἐπησθέντες. Aliqua re lætantes, vel gaudentes.

Ἐπῄσθετο. Sensit. Intellexit.

Ἐπήσθη. Dictus est.

Ἐπήσπαιρεν. Moribundus palpitabat. Animam agebat, vel efflabat.

Ἐπητεία. Adventus. Superventus.

Ἐπήτης. Eloquens. Facundus. Doctus.

Ἐπήτριμος. Densus.

Ἐπητύϊ. Prudentia, vel sapientia.

Ἐπιάλτην. Homerus, Hesiodus, & Attici sic vocant dæmonem, [qui a Latinis Incubus dicitur.] At Ἐφιάλτης, per φ, est nomen proprium viri. Item sic vocatur febris, quam & ῥιγοπύρετον Græci dicunt.

Ἐπίασιν. Invadunt.

---

[1] Ἐπῆρεν. ἀντὶ τοῦ ἀνέπεισεν] Aristophanes *Nubibus*, pag. 125.
Ἥτις με γῆμ᾽ ἐπῆρε τὴν σὴν μητέρα.
Scholiasta ad eum locum: Ἐπῆρε. κυρίως τὸ ἀνεχαύνωσεν, ἀνεκούφισεν. καταχρηστικῶς δὲ ἀνέπεισεν. Sophocles *Oedip. Tyran.* pag. 204.
——Τίς σ᾽ ἐπῆρε δαιμόνων;
Scholiasta: Ἐπῆρε, ἔπεισε. & Εὐριπίδης·
Ὅστις μ᾽ ἐπῆρας ἔργον ἀνοσιώτατον.
Confer etiam Nostrum supra v. Γῆμ᾽ ἐπῆρε, & v. Ἐπῆρας.

[2] Τοῦτον ἰάσατο, καὶ κωμῳδ.] Hæc sunt verba scriptoris cujusdam anonymi (Æliani, ut puto) de Theopompo Comico, ut patet ex ipso Suida infra v. Θεόπομπος, Θεόδ. ubi locum integrum vide.

[3] Θουκυδίδης] Lib. I. cap. XXVI.

[4] Θουκυδίδης] Lib. VIII. cap. 2. unde sensum hujus loci supplebis.

Ἐπὶ ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ. ἡ μὲν γὰρ ἐνίησι θανατηφόρον ἰόν· ὁ δὲ καὶ τῇ θέᾳ λώβην ἐργάζεται.

Ἐπιβάθρα. ἐπίβασις. Πρώτη δὲ ἤδη ἀπέβη, οἱονεὶ ἐπιβάθραν αὐτῷ κατασκευάζουσα καὶ κατακόλπισιν. Πολύβιος· Ὁ δὲ Φίλιππος ἠβούλετο προελέσθαι Ῥωμαίων τὰς ἐν τούτοις τοῖς τόποις ἀφορμὰς καὶ τὰς ἐπιβάθρας.

Polybius. XVI. 29. Vol. III. 625.

Ἐπιβάθρας.[1] ἐπιβάσεως. Ἡ δὲ ἐπὶ τὸ τέγος ἀναβᾶσα ταχέως, ἅτε τῆς ἐπιβάθρας ἐμπείρως ἔχουσα. Πολύβιος· Ἵνα ἐὰν [2] προθῆται διαβαίνειν αὖθις εἰς τὴν Ἀσίαν, ἐπιβάθραν ἔχοι τὴν Ἄβυδον.

Polybius. XVI. 29. Vol. III. 625.

Ἐπιβὰς τῆς Ἀσίας.

Ἐπιβατεῦσαι. γενικῇ. ἐπιβῆναι. κατασχεῖν. [3] Χωρίων ἐκστῆναι, ὧνπερ Θευδίβερτος οὐ δέον ἐπιβατεῦσαι διὰ σπουδῆς ἔχεν.

Ἐπιβατήρια. τὰ ἐπὶ τῶν τειχῶν μηχανήματα. Ὁ δὲ τὰς μηχανὰς ἐπῆγεν, πύργους ξυλίνους, καὶ χελώνας, καὶ ὅσα τειχῶν ἐπιβατήρια.

Ἐπιβάτης. ὁ ἐπὶ τῆς νηὸς ἄπεργος. ἐρέτης δὲ, ὁ κωπηλατῶν.

Ἐπιβάτης.[4] οὕτως ἐκάλουν τοὺς ἐν ταῖς τριήρεσι στρατευομένους, καὶ μὴ κωπηλατοῦντας μὲν, ἐπιτηδείους δὲ πρὸς τὸ μάχεσθαι.

Ἐπίβδαι.[5] αἱ μεθέορτοι ἡμέραι, διὰ τὸ πρὸς ἐπίδειξιν ταῖς προτέραις ἡμέραις γενέσθαι, ἄλλης ἐπιβαινούσης.

Ἐπιβεβήκασιν. ἐνέτυχον. σύγχρονοι ἐγένοντο. Οὗτοι μὲν οὐκ ἐγένοντο ἐπὶ τῆς ἀρχαιοπρεποῦς πολιτείας. τοῖς δὲ γινομένοις ἐπιβεβήκασι καὶ ἐνέτυχον, καὶ παρ᾽ ἐκείνων ὠφεληθέντες, ἔπειτα τοῖς καθ᾽ ἑαυτοὺς ἐγένοντο πολλῶν ἀγαθῶν ἡγημόνες, τῶν τε ἄλλων, καὶ παλαιῶν διηγημάτων πολύφωνοι κήρυκες.

Ἐπίβλημα. τὸ τῷ προτέρῳ ἐπιβαλλόμενον.

Ἐπιβλής.[6] ὁ μοχλός. ἡ σαῦρα. οἱ μὲν φασιν, ὅτι δοκός ἐστιν· [7] οἱ δὲ, ποιά τις δοκός.

Ἐπιβλήτης.[8] ὁ δόκιμος.

Ἐπιβόημα. Θουκυδίδης· Ὁ δὲ, εἴτε τὸ ἐπιβόημα, ἢ καὶ αὐτῷ ἄλλο τι, ἢ κατὰ τὸ αὐτὸ δόξαν, ἐξαίφνης τὸ στράτευμα ἀπῆγε. τουτέστιν, ἐπιφώνημα. καὶ ἐπιβοώμενος, ἀντὶ τοῦ ἐπικαλούμενος.

Ἐπιβολή. ἔννοια, καὶ ἐπιχείρησις. ἐπὶ θεωρημάτων γεωμετρικῶν. [9] Ἐπὶ δὲ Ἰουστινιανοῦ τὸ τῆς ἐπιβο-

Ἐπὶ ἀσπίδα καὶ βασιλ. *Aſpidem & baſiliſcum [impune] calcabis.* Illa enim venenum letale emittit: hæc autem vel ipſo aſpectu nocet.

Ἐπιβάθρα. Scala. Adſcenſus. Scanſio. Gradus, per quem ad aliquid pervenitur. **** Polybius: *Philippus vero Romanis præripere volebat loca munita, quo ſe tuto recipere, vel per quæ Macedoniam commode intrare poſſent.*

Ἐπιβάθρας. Scanſionis. Adſcenſus. Scalæ. *Illa vero in tectum celeriter adſcendens, ut quæ adſcenſus perita eſſet.* Polybius: *Ut, ſi in Aſiam trajicere iterum decreviſſet, Abydum haberet, quo tuto appellere poſſet.*

Ἐπιβὰς τῆς Ἀσίας. Aſiam ingreſſus.

Ἐπιβατεῦσαι. Genitivo jungitur. Intrare. Occupare. *Ut locis cederet, quæ Theudibertus injuſte occupaverat.*

Ἐπιβατήρια. Machinæ, quarum ope muri conſcenduntur. *Ille autem machinas admovit, turres ligneas, & teſtudines, & quæcunque ad muros ſcandendos adhiberi ſolent.*

Ἐπιβάτης. Vector, qui in navi otioſus eſt. Ἐρέτης vero, remex.

Ἐπιβάτης. Ἐπιβάτας vocabant milites claſſiarios, qui non quidem remigabant, ſed ad pugnandum idonei erant.

Ἐπίβδαι. Dies, qui feſtum ſequuntur, eorumque ſunt acceſſio quædam. Sic dicti ab ἐπιβαίνω.

Ἐπιβεβήκασιν. Succeſſerunt. Inciderunt. Eodem tempore vixerunt. *Iſti quidem non fuerunt in illa antiqua & decora diſciplina: ſed iis, qui in ea fuerant, ſucceſſerunt, & in eos inciderunt. Cum autem ex ipſorum colloquiis & conſuetudine magnum fructum cepiſſent, poſtea ſuæ ætatis hominibus multorum bonorum auctores fuerunt, cum aliorum, tum etiam antiquarum hiſtoriarum valde vocales præcones.* Port.

Ἐπίβλημα. Additamentum. Quod priori adjicitur.

Ἐπιβλής. Vectis. Repagulum. Sera. Quidam ajunt eſſe trabem: nonnulli vero, qualitatem quandam trabis.

Ἐπιβλήτης. Trabs.

Ἐπιβόημα. Acclamatio. Thucydides: *Ille vero, ſive propter militum acclamationem, ſive propter aliud aliquid, quod ipſi acciderat, ſive quod ipſi ſic placuiſſet, exercitum repente abduxit.* Et ἐπιβοώμενος, qui invocatur. *Port.*

Ἐπιβολή. Sententia. Conatus. Aggreſſio. Dicitur etiam de theorematibus Geometricis.

---

[1] Ἐπιβάθρας. ἐπιβάσεως. Ἡ δὲ ἐπὶ τ.] Locum hunc ex MSS. Pariſ. diſtinxi & ſupplevi. In prioribus enim Editt. deſunt iſta, Ἐπιβάθρας. ἐπιβάσεως. Ἡ δὲ ἐπὶ τὸ τέγος ἀναβᾶσα ταχέως, ἅτε τῆς ἐπιβάθρας. Quæ vero ſequuntur, cum verbis ultimis articuli præcedentis male cohærent.

[2] Προθῆται] Sic recte MSS. Pariſ. At priores Editt. male πορθῆται: quod mendum tamen & Wolfius ante obſervaverat.

[3] Χωρίων ἐκστῆναι, ὧνπερ Θευδ.] Fragmentum hoc legitur apud Procopium lib. IV. *de Bello Goth.* cap. XXIV.

[4] Ἐπιβάτης. οὕτως ἐκάλ.] Ex Harpocratione.

[5] Ἐπίβδαι. αἱ μεθ.] Hæc obſcura ſunt, nec ſuſpicione mendi apud me carent: quamvis ea totidem verbis etiam legantur apud Etymologum. In MSS. autem Pariſ. eadem deſunt.

[6] Ἐπιβλής. ὁ μοχλ.] Vide Harpocrationem v. Ἐπιβλῆτας, cujus veſtigia Noſter ſecutus eſt.

[7] Οἱ δὲ, ποιά τις δοκός] Sic etiam habet Harpocratio: at non ſine manifeſta ταυτολογίᾳ uterque. Quid enim differt hæc interpretatio ab ea, quæ præcedit? Quare magis placet, quod habet Etymologus, οἱ δὲ, ποιότης δοκοῦ.

[8] Ἐπιβλήτης. ὁ δόκιμος] Inepte. Scribe Ἐπιβλὴς, ἐπιβλῆτος. ἡ δοκός. Confer Heſychium h. v.

[9] Ἐπὶ δὲ Ἰουστινιανοῦ——τοῖς διεφθαρμένοις παντάπασι] Hæc ſunt verba Procopii *Hiſtor. Arc.* cap. XXIII.

λῆς ὄνομα ὄλεθρος ἦν ἀπρόοπτος, ἐξαπιναίως τοῖς τὰ χωρία κεκτημένοις ἐπιγινόμενος, πρόῤῥιζόν τε αὐτοῖς ἐκτρίβων τὴν τοῦ βίου ἐλπίδα. χωρίων τε γὰρ πέλος τῶν ἐρήμων τε καὶ ἀπόρων γεγενημένων, ὧν δὴ τοῖς τε κυρίοις καὶ τοῖς γεωργοῖς ἤδη τετύχηκεν ἀπολωλέναι τὴν γῆν πατρῴαν ἀπολιποῦσιν, ἢ τοὺς ἐγκειμένους σφίσι διὰ ταῦτα κακοὺς κρύπτεσθαι, οὐκ ἀπηξίου φέρειν τοῖς οὕτω διεφθαρμένοις παντάπασι. καὶ τοῦτο ἐκάλουν ἐπιβολὴν, καὶ ἐπιβάλλειν. † Ὡς [1] ὁριζομένη ζημία τοῖς ἁλοῦσιν ἐξημαρτηκέναι περὶ ὀρφανοὺς ἐπιτρόποις, ἢ καὶ ἄλλοις τισὶ τῶν τὰ δημόσια μὴ καλῶς διοικησάντων, ἢ τοῖς κατέχουσι τὰ ἀλλότρια, καὶ μὴ εἰς ἐμφανὲς καθιστᾶσιν. ἣν οἱ ἄρχοντες ζημίαν ὁρίζουσιν, ἐπιβολὴ καλεῖται. καὶ τὸ ῥῆμα, ἐπιβάλλειν.

Ἐπιβολή. καὶ ἡ ἐγχείρησις. ἡ προκάταρξις. [2] Πολύβιος· Ἔστι μὲν γὰρ ὅτε καὶ ταὐτόματον ἀντέπραξε ταῖς ἐπιβολαῖς τῶν ἀγαθῶν ἀνδρῶν. ἔστι δ' ὅτε πάλιν, κατὰ τὴν παροιμίαν,

Ἐσθλὸς ἐὼν ἄλλου κρείττονος ἀντέτυχε.

τοῦτο δέ φασι περὶ Ὕλλου τοῦ Ἡρακλείδου, καὶ Εὐχέμου τοῦ Αἰγεάτου.

Ἐπιβολή. παρὰ τοῖς ῥήτορσιν ἡ ζημία. καὶ [3] Ἀριστοφάνης·

Ταύτης ἐπιβολὴν ψηφιεῖ μίαν μόνην.

Ἐπιβολή. ἡ εἰσφορά. [4] Ὁ δὲ Σκιπίων ἀποκρίνεται μηδαμῶς εἶναι Ῥωμαίοις ἔννομον, ἐν ἐπαίνῳ ποιεῖσθαι τὰς κατὰ τῶν στρατηγῶν τοῖς ἀρχομένοις ἐπιχειρουμένας ἐπιβουλάς.

.Fr. Hist.
.p.74.

Ἐπίβοον. [5] ἡ ἐκ [6] βοὸς θυσία.

Ἐπιβώμιον. τὸ εἰς τὸν βωμόν.

Ἐπιβοῶμαι. αἰτιατικῇ. Τὴν πεῖραν μάρτυρα καὶ κανόνα τῶν ἐμῶν λόγων ἐπιβοῶμαι.

Ἐπιβοώμενοι. ἐπικαλούμενοι μάρτυρας. Τὰς ἑαυτῶν κεφαλὰς τύπτοντες, καὶ τὰς χεῖρας ἐπαναλείνοντες, καὶ τοὺς Θεοὺς ἐπιβοώμενοι.

Ἐπιβοῶμαί σε. Τὸν Χριστὸν ἐπεβοᾶτο.

Ἐπιβωσάμενος. ἐπιβοησάμενος. ἐπικαλεσάμενος.

Ἐπιβωσώμεθα.

Ἐπιβρίθων. ἐπιβαρῶν. καὶ [7] ἐπιβρίσει, ἐπιβαρήσει.

Ἐπιβρίσησιν [8] ὀδόντες. παρ' ὅσον οἱ θυμούμενοι τρίζουσι τοὺς ὀδόντας.

Ἐπιβρόντητος. ὁ ἐμβρόντητος. [9] Σοφοκλῆς·

Ὡς ὁ στρατηγὸς οὑ 'πιβρόντητος μολών.

Sub Justiniano nomen ἐπιβολῆς, (i. e. impositionis) *erat pestis improvisa, in possessores prædiorum repente ingruens, & omnem spem vitæ a stirpe præcidens. Nam vastis omnino sylvescentibusque prædiis, (quorum domini colonique sive periissent, sive post tot mala patriam fugientes, gravissimeque afflicti uspiam latitarent) vectigal imponere Justinianus non dubitabat. Et hoc vocabatur* ἐπιβολή. Item mulcta, quam Magistratus irrogabant tutoribus, qui pupillos defraudaverant; vel etiam iis, qui Rempubl. non recte administraverant; aut qui aliena retinebant, nec in publicum proferebant; ἐπιβολὴ dicebatur. Et ἐπιβάλλειν, mulctam irrogare.

Ἐπιβολή. Conatus, quo aliquid aggredimur. Inceptum. Polybius: *Nam interdum virorum fortium inceptis fortuna ipsa & casus resistunt. Interdum vero id evenit, quod proverbio dici solet, ut,*

Occurrat forti qui mage fortis erat.

Hoc autem de Hyllo Herculis filio, & Euchemo Ægeate dicunt.

Ἐπιβολή. Apud oratores sic dicitur mulcta. Aristophanes: *Mulctam ob hoc irrogabit drachmam unam.*

Ἐπιβολή. Tributum. Vectigal. [At ἐπιβουλὴ, insidiæ.] *At Scipio respondet, a moribus & institutis Romanorum alienum esse, laudare insidias, quas milites adversus duces suos moliti essent.*

Leg.
Ἐπιβολή. ἡ εἰσφορά.
Ἐπιβουλαι, vel -λή.
Vid. supr. V. Βορίανθος. et Conf.
Schweighaus. Fascicul. I. in
Suid. p. 22. — Conf. Edit. Mid

Ἐπίβοον. Sacrificium, quo bos immolatur.

Ἐπιβώμιον. Quod aræ imponitur.

Ἐπιβοῶμαι. Accusativo jungitur. Invoco. Imploro. *Experientiam meorum verborum testem & regulam invoco.*

Ἐπιβοώμενοι. Testes invocantes. *Capita sua verberantes, & manus attollentes, Deosque invocantes.*

Ἐπιβοῶμαί σε. Te invoco. Τὸν Χριστὸν ἐπεβ. Christum invocabat.

Ἐπιβωσάμενος. [Ionice] pro ἐπιβοησάμενος. Qui invocavit.

Ἐπιβωσώμεθα. Pro ἐπιβοησώμεθα. Invocemus.

Ἐπιβρίθων. Aggravans. Gravans. Premens. Et ἐπιβρίσει. Gravabit. Premet.

Ἐπιβρίσησιν ὀδόντες. Sridebunt dentibus. Qui enim irascuntur, dentibus stridere solent.

Ἐπιβρόντητος. Attonitus. Stupidus. Vesanus. Sophocles: *Quemadmodum dux ille vesanus veniens.*

---

[1] Ὡς ὁριζομένη ζημ.] Scribe, Καὶ ἐπιβολὴ, ἡ ὁριζομένη &c. Scholiasta Aristophanis ad *Vespas*, pag. 486. Ἐπιβολὴν, ἐπιτίμιον ζημίαν. παρὰ τὸ ἐπιβάλλειν. Ἄλλως. Ἣν οἱ ἄρχοντες ζημίαν ὁρίζουσι τοῖς ἁλοῦσιν ἐξημαρτηκέναι περὶ ὀρφανοὺς ἐπιτρόποις, ἢ καὶ ἄλλοις τισὶ τῶν τὰ δημόσια μὴ καλῶς διοικησάντων, ἢ τοῖς κατέχουσι τὰ ἀλλότρια, καὶ μὴ εἰς ἐμφανὲς καθιστᾶσιν, ἐπιβολὴ καλεῖται. καὶ τὸ ῥῆμα ἐπιβάλλειν. Hinc Suidas sua descripsit: quamvis ὕστερον πρότερον.

[2] Πολύβιος] Lib. xv. cap. xvi.

[3] Ἀριστοφάνης] *Vespis* pag. 486. (338. Ed. Bas. P.)

[4] Ὁ δὲ Σκιπίων ἀποκρ.] Locus hic ampliandus est ex ipso Suida supra v. Βορίανθος.

[5] Ἐπίβοον] Vide paulo inferius v. Ἐπίβοιον.

[6] Ἡ ἐκ τοῦ βοὸς θυσία] Meursius *Lect. Attic.* lib. iii. cap. xxii. legendum contendit, ἡ ἐπὶ τοῦ βοὸς θυσ. Sed malim, ἡ μετὰ βοὸς θυσία: ut legitur paulo inferius v. Ἐπίβοιον.

[7] Ἐπιβρίσει. ἐπιβαρήσει] Ex Scholiasta Homeri ad Il. E. v. 91.

[8] Ἐπιβρίσησιν] Vox est corrupta, cujus loco scribendum puto ἐπιβρύχουσιν. Vide supra v. Βρύχουσι.

[9] Σοφοκλῆς] *Ajace* pag. 75. ut Portus monuit.

Ἐπίβοιον. ὅταν τις τῇ Ἀθηνᾷ ἔθυε βοῦν, ἔθυε καὶ τῇ Πανδώρᾳ ὄϊν μετὰ βοός· καὶ ἐκαλεῖτο τὸ θῦμα ἐπίβοιον.

Ἐπὶ βύρσης ἐκαθέζετο. τοῦτο παρὰ Σκύθαις ἐτελεῖτο. ἐπειδάν τις ἠδικεῖτο πρὸς ἑτέρου, ἀμύνασθαι δὲ βουλόμενος ἑαυτὸν οὐκ ἀξιόμαχον μόνον ᾤετο, βοῦν ἱερεύσας, τὰ μὲν κρέα κατακόψας ἧψει, αὐτὸς δὲ ἐκπετάσας χαμαὶ τὴν βύρσαν, ἐκάθητο ἐπ' αὐτῆς, εἰς τοὐπίσω περιαγαγὼν τὼ χεῖρε. καὶ τοῦτό ἐστι Σκύθαις ἡ μεγίστη ἱκετηρία. τῶν δὲ κρεῶν τοῦ βοὸς ὁ βουλόμενος μοῖραν λαμβάνων, καὶ ἐπιβαίνων τῇ βύρσῃ τὸν δεξιὸν πόδα, ὑπισχνεῖται κατὰ δύναμιν ἕκαστος συμμαχήσειν. καὶ ἔστιν αὐτοῖς τοῦτο ὅρκων ὁ βεβαιότατος.

Ἐπιβύσαντες. ἐπικαλύψαντες. σκεπάσαντες. [1] Προκόπιος· Ἐπιβύσαντες τοὺς ῥωχμοὺς χώματι, τὸ ὕδωρ μεταχετεύουσι. καὶ ἀκρόβυστος, ὁ τὸ ἄκρον βεβυσμένον ἔχων.

Ἐπιβύσας. ἐμπλήσας. γεμίσας. ὡς [2] Ὅμηρος· Νήματος ἀσκητοῖο βεβυσμένον. [3] Ἀριστοφάνης Πλούτῳ·

Τὸ στόμ' ἐπιβύσας κέρμασιν τῶν ῥητόρων.

Ἐπιγαμβρεία.

Ἐπιγάννυται. δοτικῇ. ἐπιχαίρει.

Ἐπιγαυρωθείς. ἀνδρωθείς. θρασυνθείς. Ξενοφῶν· Ὁ μὲν δὴ ταῦτα ἀκούσας, καὶ ἐπιγαυρωθεὶς τῇ ἐντολῇ Κύρου, ἐπορεύετο.

Polybius. Fr. Gram. 1.V. Vol.V. p.86.

Ἐπιγεννήματα. τὰ ἐξ ὑστέρου τοῖς τραύμασιν ἀναφυόμενα. Πολύβιος· Δεῖ τοὺς ὀρθῶς βουλευομένους περὶ τοῦ πολέμου, καθάπερ καὶ τοὺς ἐν ταῖς ἀῤῥωστίαις, μηδὲν ἧττον τῶν ἐπιγεννημάτων ποιεῖσθαι λόγον, ἢ τῶν ἐξ ἀρχῆς ὑποκειμένων παθῶν.

Ἐπιγένης, κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστιν [4] Ἡρωΐνη, καὶ [5] Μνημάτιον, καὶ [6] Βακχεία· ὡς Ἀθήναιος λέγει ἐν τοῖς Δειπνοσοφισταῖς.

Ἐπιγένης. ὄνομα κύριον. [7] Ἐπειδὴ τοίνυν Ἐπιγένης ἀσθενὴς τριηραρχεῖν ἠναγκάζετο, ἀνάργυρος ὤν, καὶ τῆς γῆς τῶν πολεμίων κρατούντων.

Ἐπίγειος. ὁ γήϊνος.

Ἐπιγηθεῖ. χαίρει.

Ἐπιγλωττήσομαι. φλυαρήσω. βλασφημήσω. [8] Περὶ τῶν Ἀθηναίων γὰρ οὐκ ἐπιγλωττήσομαι.

Ἐπιγνώμονας. [9] ἀντὶ τοῦ ἐπισκόπους, καὶ ἐπιγραφέας, τοὺς καθεστηκότας ἐπὶ τοῦ γράφειν ἑκάστῳ, ὅσον εἰσφέρειν εἰς τὸ δημόσιον ὀφείλουσι.

Ἐπίβοιον. Quum quis Minervæ immolabat bovem; immolabat & Pandoræ ovem cum bove: quod ſacrificium ἐπίβοιον vocabatur.

Ἐπὶ βύρσης ἐκαθέζετο. In corio ſedebat. Moris erat apud Scythas, ut, ſi quis injuriam ab altero illatam ulciſci vellet, qui ſe ſolum adverſario imparem putaret; bovem immolaret, & carnes quidem conciſas elixaret, ipſe vero corio humi extenſo inſideret, manibus in tergum rejectis: qui eſt modus maxime ſolennis, quo ſupplices apud Scythas aliorum opem implorare ſolent. Quiſquis igitur volebat, accepta bubularum carnium parte, & dextrum pedem corio imponens, ſe pro viribus opem ei laturum eſſe pollicebatur. Eſtque id ſanctiſſimum apud eos jusjurandum.

Ἐπιβύσαντες. Qui texerunt. Qui obturarunt. Procopius: *Terræ fiſſuris humo ingeſta repletis, aquam per canales,* [*quo volunt,*] *derivant.* Et ἀκρόβυστος, qui præputium habet.

Ἐπιβύσας. Qui obturavit. Qui replevit. Homerus: [*Calathum*] *filo neto repletum.* Ariſtophanes *Pluto*: *Os oratorum nummis obturans.*

Ἐπιγαμβρεία. Jus affinitatis.

Ἐπιγάννυται. Dativo jungitur. Re aliqua lætatur.

Ἐπιγαυρωθείς. Qui ſpiritus ſumit. Qui ſuperbiam & ferociam animo concipit. Xenophon: *Ille igitur his auditis, & ob Cyri mandatum præſidentior factus, abiit.*

Ἐπιγεννήματα. Vitia quæ deinceps vulneribus accedunt. Acceſſiones. Polybius: *Oportet illos, qui bellum recte & prudenter gerere volunt, quemadmodum & in morbis medici faciunt, non minorem habere rationem eorum, quæ initiis accedunt, quam ipſorum initiorum, a quibus mala cœperunt.*

Ἐπιγένης. Epigenes, Comicus. Ex ejus fabulis ſunt, Heroina, Mnematium, & Bacchia: ut Athenæus in *Dipnoſophiſtis* ait.

Ἐπιγένης. Epigenes. Nomen proprium. *Quoniam igitur Epigenes, cui facultates & opes deerant, quod hoſtes agrum ejus tenerent, trierarchiæ munere fungi cogebatur.*

Ἐπίγειος. Terrenus. Terreſtris.

Ἐπιγηθεῖ. Gaudet. Lætatur.

Ἐπιγλωττήσομαι. Nugabor. Maledicam. Lingua proferam, aut effutiam. [Ariſtophanes:] *Adverſum Athenas vero nihil tale effutiam.*

Ἐπιγνώμονας. Inſpectores, & Æſtimatores, quorum officium erat, ſingulis modum tributi pendendi præſcribere.

---

[1] Προκόπιος] Lib. II. *de Bello Vand.* cap. XIX. Vide etiam infra v. Ῥωχμὸς, ubi locus hic auctior legitur.

[2] Ὅμηρος] Odyſſ. Δ. v. 134.

[3] Ἀριστοφάνης Πλούτῳ] Pag. 41. (21. Ed. Baſ. *P.*)

[4] Ἡρωΐνη] Hujus fabulæ Athenæus mentionem facit lib. XI. pag. 474. & 502.

[5] Μνημάτιον] Laudat itidem Athenæus lib. XI. pag. 472. & 480.

[6] Βακχεία] An potius Βάκχαι, ut apud Athenæum lib. IX. pag. 384. Cæterum, idem Athenæus lib. III. pag. 75. Epigenem hunc Comicum laudat etiam ἐν Βραγχίᾳ: & Pollux lib. VII. cap. X. ἐν Ποντικῷ: quæ duo fabularum nomina a Suida hic prætermiſſa ſunt.

[7] Ἐπειδὴ τοίνυν Ἐπιγ.] Vide ſupra v. Ἀνάργυρος, ubi hic ipſe locus legitur, addito nomine auctoris, unde eum Suidas deprompſit.

[8] Περὶ τῶν Ἀθηναίων γ.] Ariſtophanes *Lyſiſtrata* pag. 837. (542. Ed. Baſ. *P.*)

Περὶ τῶν Ἀθηνῶν δ' οὐκ ἐπιγλωττήσομαι
Τοιοῦτον οὐδέν.

Sic etiam apud Suidam ſcribendum eſt.

[9] Ἐπιγνώμονας. ἀντὶ τοῦ ἐπισκ.] Eadem habet Etymologus. Confer etiam ſupra v. Διαγνώμονας, & Harpocrationem v. Ἐπιγραφεῖς.

Ἐπι-

Ἐπίγονος. ὄνομα κύριον. [1] Ἀριστοφάνης· Ἐπιβλέψας ἐκεῖσε γυναῖκας σ' ᾤόμην λέγειν. οὗτος ἐκωμῳδεῖτο ὡς μαλακὸς, καὶ ὡς μετὰ γυναικῶν ἀεὶ εὑρισκόμενος.

Ἐπιγουνίδα. [2] τὸ περὶ τοῦ γόνατος ἄνω σαρκῶδες τοῦ μηροῦ. ἔνιοι δὲ, τὴν ἐπωμίδα.

Ἐπίγραμμα. πάντα τὰ ἐπιγραφόμενά τισι, κἂν μὴ ἐν μέτροις εἰρημένα, ἐπιγράμματα λέγεται.

Ἐπιγραφεῖς. ὁπότε δέησειεν ἀργύριον εἰσφέρειν εἰς τὸ δημόσιον τοὺς ἀστοὺς, ἢ τοὺς μετοίκους, οἱ ταῦτα διαγράφοντες, ἐπιγραφεῖς ἐκαλοῦντο.

Ἐπιγραφομένῳ. ἰδιοποιουμένῳ, οἰκειουμένῳ. Εἰ καὶ δόξαν ἔμελλε φέρειν τὰ ὑπ' ἄλλων εὑρημένα ἐπιγραφομένῳ.

Ἐπιγράφων. δοτικῇ. ἀντὶ [3] τοῦ βεβαιῶν. διϊσχυριζόμενος. Ὁ δὲ ψευδοφίλιππος ἐπέγραφεν ἑαυτῷ Φίλιππον τὸν Μακεδόνα.

Ἐπιγράψας. ἐπιξέσας.

Ἐπίγυα. [4] τὰ πρυμνήσια ἐπίγυα ἔλεγον.

Ἐπιγύοις. [5] τοῖς ἀπὸ γῆς. Τὰ δὲ πλεῖστα καὶ τοῖς ἐκ τῆς γῆς ἐπιγύοις προσέλαβον εἰς τὸ ζεῦγμα. καὶ αὖθις· Τὴν δ' ἀπὸ τοῦ ῥεύματος πλευρὰν ἠσφαλίζοντο τοῖς ἀπὸ γῆς ἐπιγύοις.

Ἐπίδαμνος. ἡ πόλις. τὸ [6] νῦν Δυῤῥάχιον τὸ πάλαι ἐλέγετο Ἐπίδαμνος.

Ἐπιδαύριος. ὄνομα τοπικόν.

Ἐπίδαυρος. ὄνομα τοπικὸν ἐν ᾧ ὁ Ἀσκληπιὸς ἐτιμᾶτο.

Ἐπιδαψιλευόμενος. πολυτελῶς διαπραττόμενος. καὶ [7] Ἡρόδοτος· Τάς τε μητέρας καὶ ἀδελφὰς ἐπιδαψιλευόμεθ' ὑμῖν, ὡς παντελῶς μάθητε τιμώμενοι πρὸς ἡμέων.

Ἐπιδαίσιος οἶκος. ὁ ἐπίκοινος, καὶ οὐ μεριστός. ὁ ἐξ ἴσου καταλειφθεὶς δυὸ τισίν.

Ἐπιδεᾶ. ἐνδεᾶ. ἐλλιπῆ.

Ἐπὶ δ' ἐγδούπησεν. ἐπεκτύπησε. πλὴν περισσὸν καὶ παρέλκον τὸ γ. καὶ ἐν τῷ ἐρίγδουπος ὁμοίως.

Ἐπίγονος. Epigonus. Nomen proprium. Ariſtophanes: *Oculos enim illuc conjiciens, cum mulieribus me loqui putabam.* Hic Epigonus a Comicis perſtringebatur, ut homo mollis & effœminatus, & qui cum mulieribus ſemper verſaretur.

Ἐπιγουνίδα. [Sic Græci dicunt] carnoſiorem femoris partem, quæ eſt ſupra genu. Quidam vero ſic vocant epomidem.

Ἐπίγραμμα. Epigramma. Inſcriptio. Omnes inſcriptiones, quamvis non conſtent verſibus, dicuntur epigrammata.

Ἐπιγραφεῖς. Cum a civibus aut inquilinis pecunia in ærarium conferenda erat, illi qui hæc deſcribebant, Ἐπιγραφεῖς vocabantur.

Ἐπιγραφομένῳ. Sibi vendicanti. Sibi tribuenti. *Quamvis, quæ ab alio fuerant inventa, gloriam eſſent allatura illi, qui ſibi ea vendicabat.*

Ἐπιγράφων. Dativo jungitur. Affirmans. Contendens. Aſſeverans. Sibi tribuens. *Pſeudophilippus vero nomen Philippi Macedonis falſo ſibi tribuebat.*

Ἐπιγράψας. Qui raſit. Qui perſtrinxit. Qui leviter vulneravit.

Ἐπίγυα. Sic vocabant rudentes, ſive funes nauticos, quibus naves a littore religantur.

Ἐπιγύοις. Funibus nauticis, quibus puppes a littore religantur. Retinaculis. *Pleraque vero ope retinaculorum ad pontem conficiendum aſſumebant.* Et iterum: *Latus vero navis, quod terræ obverſum erat, rudentibus a terra protenſis firmarunt.*

Ἐπίδαμνος. Epidamnus. Sic olim dicta fuit urbs, quæ nunc Dyrrachium vocatur.

Ἐπιδαύριος. Epidaurius. Nomen gentile.

Ἐπίδαυρος. Epidaurus. Nomen loci, in quo Æſculapius colebatur.

Ἐπιδαψιλευόμενος. Splendide tractans. Herodotus: *Et matres & ſorores veſtras in veſtram gratiam ſplendide tractamus, ut omnino ſciatis vos a nobis coli.*

Ἐπιδαίσιος οἶκος. Domus communis, nec diviſa. Vel, domus, quæ ex æquo duobus aliquibus eſt relicta.

Ἐπιδεᾶ. Indigentem. Inopem.

Ἐπὶ δ' ἐγδούπησεν. Strepitum ſupra aliquam rem edidit. Superfluum autem eſt τὸ γ in voce ἐγδούπησε: ut & in voce ἐρίγδουπος.

---

[1] Ἀριστοφάνης] *Eccleſiaz.* pag. 729. (489. Ed. Baſ. *P.*) ubi locus hic ita legitur:

Μὰ Δί' Ἐπίγονον ἐκεῖνον. ἐπιβλέψασα γὰρ
Ἐκεῖσε, πρὸς γυναῖκας ᾤόμην λέγειν.

Sic etiam apud Suidam ſcribendum eſt.

[2] Ἐπιγουνίδα] Homer. Od. Σ. v. 73. Confer Etymol. v. Ἐπιγουνατίς.

[3] Ἀντὶ τοῦ βεβαιῶν. διϊσχ.] Hæc interpretatio inepta eſt, quam & rejecimus ſupra v. Ἐπεγράψαντο.

[4] Ἐπίγυα] Confer Harpocrationem v. Ἐπίγυον.

Ἐπιχθονίων. Terreſtrium.

Ἐπιχωματισμός. Aggeſtio. Quære in voce Χῶμα.

Ἐπιχωρήσας. Commiſeratione motus. Cedens. Concedens. *Volo tibi concedens ea, quæ fieri poſſunt, auctor eſſe, ne de Romanorum rebus ulterius controverſiam moveas.*

Ἐπιχώρησις. Permiſſio. Conceſſio. Arrianus: *Præſentium vero malorum medicinam adhibebat ignorantiæ ſimulationem potius, quam eorum, quæ facta ſciret, veniam.*

---

[1] Ἐδίδαξε δὲ δράματα νβ΄] Fabulas Epicharmi, quarum auctores Græci & Latini hodie adhuc exſtantes mentionem faciunt, diligenter recenſet Meurſius in notis ad Helladium: quem vide.

[2] Ἐπιχαιρεκακία. ἡδονὴ ἐπ' ἀλλοτρίοις κακοῖς] Non dubito quin Suidas hæc hauſerit ex Laertio, apud quem lib. VII. ſegm. CXIV. eadem αὐτολεξεὶ leguntur.

[3] Ἀριστοφάνης] *Equitibus*, pag. 337. (235. Ed. Baſ. P.).

[4] Ἐπίχειρα. μισθούς. τὰ διὰ τῶν χειρῶν κέρδη] Ex Scholiaſta Ariſtophanis ad *Veſpas* pag. 470.

[5] Ἀπόστασις] Harpocratio (ex quo Suidas) habet κατάστασις: quod præferendum eſt.

[6] Ἐπὶ χειρῶν ἀροῦσί σε. ἀντὶ τοῦ, χειραγ.] Ex Theodoreto ad Pſalmum XC. pag. 767.

[7] Ἀῤῥιανός] *De Expedit. Alex.* lib. VI. pag. 426. ubi pro ἀνοίας rectius legitur ἀγνοίας.

Ἐπιχρῆσθαι. τὸ πολλάκις κεχρῆσθαι, παρὰ Θουκυδίδῃ.	Ἐπιχρῆσθαι. Apud Thucydidem ſignificat, ſæpe uti.
Ἐπιψαύειν. δοτικῇ. ἐπιθιγγάνειν.	Ἐπιψαύειν. Dativo jungitur. Attingere. Tangere.
Ἐπιψηφιζόμενος. ἐπικείνων. καὶ ἐπιψηφίζων. ἐπικυρῶν.	Ἐπιψηφιζόμενος. Suffragio ſuo comprobrans. Et ἐπιψηφίζων, ſuffragio ſuo ratum faciens.
Ἐπλαστολόγει. ἐψεύδετο.	Ἐπλαστολόγει. Fictos ſermones proferebat. Mentiebatur.
Ἐπιψαύδην. ἐπίῤῥημα. ὅσον ἐπιψαῦσαι μόνον· ὡς καὶ τὸ ἐπιλίγδην.	Ἐπιψαύδην. Adverbium. Strictim. Leviter. Significat idem quod ἐπιλίγδην.
Ἐπλάττετο. ὑπεκρίνετο.	Ἐπλάττετο. Fingebat. Simulabat.
Ἐπλημμέλησαν. ἠτάκτησαν. ἐῤῥαθύμησαν. πλημμελὲς, τὸ ῥᾴθυμον, καὶ ἀπαίδευτον. [1] Ἵνα ὑπὲρ ὧν ἐπλημμέλησαν κακῶν φθάνοντες, ἐν τῷ δευτέρῳ προφανεῖ κινδύνῳ ἰσωθῶσι κολασθέντες.	Ἐπλημμέλησαν. Peccarunt. Immodeſte ſe geſſerunt. Negligenter ſe geſſerunt. Et πλημμελὲς, peccatum, ignavia, imperitia. *Ut propter ea, quæ ab ipſis peccata fuerant, ſecundo, eique manifeſto periculo expoſiti, pœna reliquis exæquarentur.*
Ἔπλην. ἐπλησίαζον. ἔστι δὲ ῥῆμα πλῶ, τὸ πλησιάζω. παράγωγον, πλῆμι. ὁ δεύτερος ἀόριστος, ἔπλην.	Ἔπλην. Accedebam. Appropinquabam. Verbum eſt πλῶ, quod ſignificat, appropinquo. Hinc deductum eſt πλῆμι: cujus Aor. 2. eſt ἔπλην.
Ἐπλινθεύθησαν. τὸ κατακλεισθῆναι ἐντὸς οἰκοδομήματος μόνον, ὥστε ἔξοδον μὴ εἶναι, καὶ οὕτω παντελεῖ ἀπορίᾳ ποτοῦ καὶ τροφῆς τεθνάναι, [2] πλινθευθῆναι λέγεται.	Ἐπλινθεύθησαν. Parietibus ſtrui, ſive intra murum concludi, ita ut omni exitu præcluſo, ſiti & fame moriaris, id πλινθευθῆναι Græci vocant.
Ἐπλωΐσατο. ἔπλευσεν.	Ἐπλωΐσατο. Navigavit.
Ἔπνει δεινόν. ὠργίζετο.	Ἔπνει δεινόν. [Minas meras ſpirabat.]
Ἐπόγδοον.[3] τὸ δεδανεισμένον, ὥστε τοῦ κεφαλαίου τὸ ὄγδοον μέρος λαβεῖν τὸν δανειστήν· οἷον τριώβολον τοῦ τετραδράχμου.	Ἐπόγδοον. Dicitur de pecunia, quæ hac lege datur fœnori, ut fœnerator octavam partem ſortis accipiat: veluti tres obolos in tetradrachmum.
Ἐποδήγει. ὡδήγει.	Ἐποδήγει. Viæ dux erat. Viam oſtendebat.
Ἐπόθησεν. ἠβουλήθη. ἠθέλησεν. Ὁ δὲ Σκιπίων διὰ τῶν σὺν ἑαυτῷ πεζῶν ἐπόθησε τὴν ἱππείαν ἀποφῆναι.	Ἐπόθησεν. Optavit. Voluit. Concupivit. *Scipio autem per pedites, quos ſecum habebat, equitandi rationem oſtendere voluit.*
Ἐποκέλλουσι. ἐπικαθίζουσιν. ἐγγίζουσιν.	Ἐποκέλλουσιν. Impingunt. Appellunt. Appropinquant.
Ἐπολιάρχει. τῆς πόλεως ἦρχεν.	Ἐπολιάρχει. Urbis præfectus erat. Urbi præerat.
Ἐπολιός. εἶδος ὀρνέου νυκτερινοῦ.	Ἐπολιός. Epolius. Species noctuæ.
Ἐπόλισεν. ἔκτισεν.	Ἐπόλισεν. Urbem condidit.
Ἐπολυώρησας. ἐφύλαξας. ἐφρόντισας.	Ἐπολυώρησας. Magna cura cuſtodiviſti. Curaſti.
Ἐπομβεία, καὶ ἐπόμβρησις.	Ἐπομβεία, & ἐπόμβρησις. Imbrium copia
Ἐπομοσάμενος. εὐξάμενος.	Ἐπομοσάμενος. Qui juravit. Precatus.
Ἐπόνουν. ἐκακοπάθουν.	Ἐπόνουν. Laborabam. Cum moleſtiis conflictabar.
Ἔποπος. ἡ εὐθεῖα ὁ ἔποψ.	Ἔποπος. Epopis. Upupæ. Rectus caſus eſt ἔποψ.
Ἐποποῖ.[4] ἐπίῤῥημα. ἀντὶ τοῦ ἐποπιστί. ἐὰν δὲ προπαροξύνηται, δῆλον ὅτι ἐσχημάτισται ὡς ἀπὸ εὐθείας τῆς ἔποπος. Ἐποποί. ποί. ποποί ποποί. ποποί. ἰὼ, ἰώ. ἰτώ. ἰτώ. ἰτώ. ἰτώ. ταῦτα δεῖ ὀξυτόνως προφέρεσθαι τῇ φωνῇ, ὥστε ὀρνέου ἦχον προφέρεσθαι κατὰ μίμησιν. [5] Τίο. τίο. τίο. τίο. τίο. τίο. τίο. τίο. καὶ ταῦ-	Ἐποποῖ. Adverbium. Pro ἐποπιστί. Upupæ more. Si vero ſcribatur ἔποπι, cum acuto in antepenultima, formatur a recto ἔποψ, upupa.

---

[1] Ἵνα ὑπὲρ ὧν ἐπλημμέλησαν κακ.] Fragmentum hoc eſſe Æliani, diſcimus ex ipſo Suida ſupra v. Ἀνασώσων ubi hic ipſe locus auctior legitur.

[2] Πλινθευθῆναι] Latinis πλινθευθῆναι eſt parietibus ſtrui. Græci idem alias vocant ἐγκατοικοδομεῖσθαι. Vide ſupra v. Ἀναγυράσιος.

[3] Ἐπόγδοον. τὸ δεδαν.] Ex Harpocratione.

[4] Ἐποποῖ. ἐπίῤῥ.——ἀπὸ εὐθείας τῆς ἔποπος.] Ex Scholiaſta Ariſtophanis ad *Aves*, pag. 545.

[5] Τίο. τίο. τίο.] Hæc, & quæ ſequuntur uſque ad finem articuli, ab hoc loco aliena ſunt, nec ad vocem Ἐποποῖ quicquam faciunt: quæ ratio eſt, quare eorum verſionem hic prætermiſerim.

τα ὀξυτονητέον. Τελοτό. τελοτό. τολοβρίξ. Δεῦρο. δεῦρο. δεῦρο. δεῦρο. τορό. τορό. τορό. τοροτίξ. κικκαβαῦ. κικκαβαῦ. τοροτολιλίγξ. τοροτίγξ. τί. τί. τί. τί. τί. τί. πό. πό. ποτίγξ. πό. πό. πό. ποτίγξ. Ποῦ; ποῦ ᾽στι; ποῦ; ποῦ; ποῦ ᾽στι; ποῦ; ποῦ ᾽στι; ποῦ; ποῦ; διὰ τῆς ἐπαναλήψεως τὴν σπουδαίαν ζήτησιν ἐμφαίνει. [1] Αὔτη σὺ, ποῖ, ποῖ, ποῖ πέτῃ; μέν᾽ ἥσυχος, ἔχ᾽ ἀτρέμας, ἐπίσχες τοῦ δρόμου, τίς εἶ; ποδαπή; [2] Εὐρὰξ, πατάξ. ἐπιφθέγματα τάχους. παρὰ τὸ εὐρέως μιγήσομαι καὶ πατάξω. ὅθεν καὶ χαμαιτύπαι αἱ πόρναι: ταῦτα δὲ τὰ ἐπιῤῥήματα ἀνέλαβε διὰ τὸ κακέμφατον. [3] Ὠόπ. παρακελευστικόν. ἐπὶ τοῦ παύσασθαί τινος ὑποθέσεως· ὡς οἱ ἐρέσσοντες. κέλευσμα γάρ ἐστι τὸ ὠὸπ τῶν ἐρεσσόντων, καταπαῦον τὴν κωπηλασίαν. Βαβαιὰξ, ὢε, βατάνα τοῦ Φορήματος. [4] Στριβιλικίγξ. ἀντὶ τοῦ, οὐδεμίαν ῥανίδα. στρίβος καλεῖται ἡ ὀξεῖα βοή. λικίγξ δὲ, ἡ ἐλαχίστη βοὴ τοῦ ὀρνέου. ἡ μὲν λέξις ἐκ τούτων γεγένηται. λέγει δὲ, ὅτι οὐδὲ ἐλάχιστόν σοι μέρος μεταδίδωμι. Ἀτταταταί. θρηνῶν παρατραγῳδεῖ. Ἰατταταιὰξ τῶν κακῶν. ἰατταταὶ, σχετλιαστικὸν ἐπίῤῥημα. παρεπιγραφὴ δὲ λέγεται τὰ τοιαῦτα. Ῥυππαπαί. ἐπιφώνημα ναυτικόν. ἱππαπαὶ, ἐπὶ ἵππων. [5] Ἀριστοφάνης· Τίς ἐμβαλεῖ. Βαβαὶ, βαβαιάξ· σχετλιαστικὰ, ἀντὶ τοῦ φεῦ. Οἴμοι τάλας, οἴμοιγε. κατ᾽ οἴμοι μάλα. [6] Ὦ εἶα, ὦ εἶα. μίμημα βαρβάρων ἐξελκόντων τι. δεῖ οὖν νοεῖν, ὅτι ταῦτα ἀνὰ μέρος λέγεται, τὸ μὲν, τοῦ Ἑρμοῦ κελεύοντος καὶ ἕλκοντος· τὸ δὲ, τῶν ἑλκόντων ὑπακουόντων. ὦ εἶα· εἶα μάλα. ὦ εἶα, ἔτι εἶα μάλα. ὦ εἶα. ὦ εἶα. Φῦ, φῦ. ἐπὶ τοῦ φυσῶντος τὸ πῦρ. Σοῦ σοῦ. Ποῦ ποῦ ᾽στι μου τὸ δίκτυον; πάλιν σοῦ. Ἀπαπαὶ, παπαιάξ. γερόντων σχετλιασμός. Αὖν, αὖν. μίμημα ὑλακῆς κυνῶν. ῥυπαπαί. Βομβάξ. ἐπίῤῥημα ἐπὶ θαυμασμοῦ λαμβανόμενον. Βομβαλοβὰξ, ἀναδιπλασιάζει τὴν λέξιν. Ἀτταταταταί. ἐπὶ τῶν ἀλγούντων. Μῦ μῦ. ἐπὶ τῶν διὰ μυκτήρων ἠχούντων. Ἰαππαπαιὰξ, αἴρεσθ᾽ ἄνω. Ἰαὶ, εὐαὶ, δειπνήσομεν. Εὐοῖ, εὐαὶ, θυαί. ὡς ἐπὶ νίκῃ. Εὐαὶ, εὐαὶ, εὐά. τέλος τῆς Ἐκκλησιαζουσῶν Ἀριστοφάνους.

Ἐπόπται.[7] οἱ τὰ μυστήρια παραλαμβάνοντες, λέγονται ἐν ἀρχῇ μὲν μύσται, μετ᾽ ἐνιαυτὸν δὲ, ἐπόπται καὶ ἔφοροι.	Ἐπόπται. Epoptæ. Qui myſteriis initiabantur, initio quidem vocabantur Myſtæ: poſtea vero Epoptæ & Ephori.
Ἐποπτεύειν. διαφέρει μύστης καὶ ἐπόπτης.	Ἐποπτεύειν. Epoptam eſſe. Differt autem Myſta & Epopta.
Ἐποπτεία. ἡ ἐπίσκεψις.	Ἐποπτεία. Inſpectio [myſteriorum, ad quam Epoptæ admittebantur.]
Ἐποποιΐα. ἡ δι᾽ ἡρωϊκοῦ μέτρου ἱστορία. ἡ γὰρ στερομένη μύθου ποίησις, ἐποποιΐα ἐστίν.	Ἐποποιΐα. Epopœia. Sic vocatur hiſtoria heroico verſu ſcripta. Nam poeſis, quæ caret fabula, eſt epopœia.
Ἐποργῶσαι. μηνιῶσαι.	Ἐποργῶσαι. Irritare. Ad iram provocare.
Ἔπορεν. ἔδωκεν.	Ἔπορεν. Dedit. Præbuit.
Ἐπορθρεῦσαι. ἀγρυπνῆσαι. ἢ πρὸ ἡμέρας ἐπεγερθῆναι.	Ἐπορθρεῦσαι. Vigilare uſque ad diluculum. Vel, ante lucem expergiſci.
Ἐπ᾽ ὄρειον Θασίων. ἐπάνω τοῦ ὄρους τῶν Θασίων.	Ἐπ᾽ ὄρειον Θασίων. Supra montem Thaſiorũ.
Ἔπος. λόγος ἔμμετρος. στίχος.	Ἔπος. Oratio ligata. Verſus.
Ἔπος[8] πρὸς ἔπος ἠρειδόμεθα. τουτέστιν, ἀντεβαλλόμεθα. ἐφιλονεικοῦμεν.	Ἔπος πρὸς ἔπος ἠρειδ. *Verbis inter nos altercabamur*. Vel, verbis inter nos contendebamus.
Ἐποστρακίζειν.[9] παιδιά τις, ἣν παίζουσιν οἱ παῖδες, ὄστρακα ἀφιέντες εἰς θάλασσαν.	Ἐποστρακίζειν. Eſt luſus quidam, quem pueri ludunt, teſtulas in mare projicientes.
Ἐποτρύνει. παροξύνει. διεγείρει.	Ἐποτρύνει. Incitat. Excitat. Inſtigat.
Ἐπ᾽ οὐδόν. ἐπὶ πρόθυρον.	Ἐπ᾽ οὐδόν. In limine. Ad januam veſtibuli.
Ἕπου κατεπείγων. ἀντὶ τοῦ, σαυτὸν κατελαύνων.	Ἕπου κατ. Sequere feſtino gradu.
Ἐποφθαλμίσας.[10] φθονήσας. ἢ ἐπιθυμητικῶς[11] ἐπιβαλών. Ὁ δὲ ἰδὼν τὸ χρυσίον, ἐποφθαλμιᾷ τῷ	Ἐποφθαλμίσας. Invidens. Vel, oculos in aliquam rem conjiciens, eamque concupiſcens.

---

[1] Αὔτη σὺ, ποῖ π.] Ariſtophanes *Avibus* pag. 598. (414. Ed. Baſ. *P.*)

Αὔτη σὺ, ποῖ ποῖ ποῖ πέτει; μέν᾽ ἥσυχος,
Ἔχ᾽ ἀτρέμας. αὐτοῦ στῆθ᾽· ἐπίσχες τοῦ δρόμου.
Τίς εἶ; ποδαπή;

Sic etiam apud Suidam verſus hi ſcribendi & diſtinguendi ſunt.

[2] Εὐρὰξ, πατάξ.——διὰ τὸ κακέμφατον] Ex Scholiaſta Ariſtophanis ad *Aves* pag. 600. (415. Ed. Baſ. *P.*)

[3] Ὠόπ. παρακελευστικόν. —— καταπαῦον τὴν κωπηλασίαν.] Ex Scholiaſta Ariſtophanis ad *Aves* pag. 606.

[4] Στριβιλικίγξ. —— μέρος μεταδίδωμι] Ex Scholiaſta Ariſtophanis ad *Acharnenſ.* pag. 420. (301. Ed. Baſ. *P.*)

[5] Ἀριστοφάνης] *Equit.* pag. 324. (223. Ed. Baſ. *P.*)

[6] Ὦ εἶα, ὦ εἶα. μίμημα βαρβ.] Ex Scholiaſta Ariſtophanis ad *Pacem* pag. 655. (450. Ed. Baſ. *P.*)

[7] Ἐπόπται. οἱ τὰ μυστήρια παραλαμβ.] Ex Scholiaſta Ariſtophanis ad *Ranas* pag. 247. Confer etiam Noſtrum infra v. Ἐποπτεύειν: & Caſaubonum ad Athenæum lib. vi. cap. xv.

[8] Ἔπος πρὸς ἔπος ἠρειδ.] Hæc ſunt verba Ariſtophanis *Nubibus* pag. 199. (124. Ed. Baſ. *P.*) ſed ubi pro ἠρειδόμεθα hodie legitur ἠριζόμεθα.

[9] Παιδιά τις, ἣν π.] Hunc luſum eleganter deſcribit Minucius Felix in *Octavio:* ad quem vide Ouzelium pag. 20. Confer etiam Meurſium in libello *de Lud. Græc.*

[10] Ἐποφθαλμίσας] Potius ἐποφθαλμιάσας, ut ex exemplis ſequentibus patet. Confer etiam Noſtrum infra v. Ὀφθαλμιάσαι: Heſychium eâd. v. itemque v. Ὠφθαλμίασε; & Paul. Leop. *Emend.* lib. x. cap. xix.

[11] Ἐπιβαλών] Subintellige, ὀφθαλμόν. Heſychius: Ὠφθαλμίασε. τὸν ὀφθαλμὸν ἐπέβαλεν. Sic enim pro ἀπέβαλεν ibi legendum eſſe recte monuit Paulus Leopardus loco laudato.

ἀνθρώπῳ. καὶ αὖθις· Ὁ δὲ εἰς ὑπόνοιαν ἦλθεν, ὡς ἐποφθαλμιῶν βασιλείᾳ. τουτέστιν, ἐπιθυμητικῶς ἔχων. καὶ Ἰώσηπος· Διὰ τὸ ἐποφθαλμιᾷν τῷ πλήθει τῆς κτίσεως. καὶ αὖθις· [1] Ἀπέκτεινε δὲ αὐτὸν ὁ πανδοκεύς, [2] ἐποφθαλμίσας τῷ χρυσίῳ.

Ἐποχετεῦσαι. ἐπιῤῥεῦσαι, καὶ ποτίσαι.

Ἐποχεῖται. ἐπικάθηται.

Ἐποχή. [3] πρῶτος Πύῤῥων ἀκαταληψίας καὶ ἐποχῆς εἶδος εἰσήγαγεν. † Ἐποχή ἐστιν ἡ μοῖρα, ἐν ᾗ καταλαμβάνεται ὅ, τε ἥλιος, καὶ ἡ σελήνη, καὶ ἕκαστος τῶν πλανητῶν. εἰσὶ δὲ οὗτοι κατὰ τάξιν· [4] Φαίνων, Φαέθων, Πυρόεις, Ἥλιος, Φωσφόρος, [5] Στίλβων, Σελήνη. ἕκαστον δὲ τῶν ζωδίων διαιρεῖται εἰς λʹ μέρη, ἃ καλοῦνται μοῖραι. ἡ δὲ μοῖρα διαιρεῖται εἰς ξʹ μέρη, ἃ καλοῦνται ἑξηκοστὰ πρῶτα λεπτά. καὶ τὸ ἓν πρῶτον λεπτὸν διαιρεῖται εἰς ἑξήκοντα πάλιν, ἃ καλοῦνται δεύτερα λεπτά. πλέον δὲ τῶν δευτέρων λεπτῶν ἐν τῷ προχείρῳ κανόνι παραλαβεῖν οὐκ ἀναγκαῖον.

Ille vero aurum conſpicatus, id homini invidere cœpit. Et iterum: *Ille vero in ſuſpicionem venit, quaſi regni cupidus eſſet.* Et Joſephus: *Quod amplas illas opes appeteret.* Et iterum: *Caupo vero eum interfecit, utpote aurum ejus appetens.*

Ἐποχετεῦσαι. Aquam in aliquem locum derivare. Rigare.

Ἐποχεῖται. Curru, vel equo vehitur. Inſidet.

Ἐποχή. Aſſenſionis retentio. Primus Pyrrhon docuit, nihil compredendi poſſe, & proinde aſſenſionem retinendam eſſe. † Ἐποχή dicitur pars illa cœli, in qua comprehenditur Sol, & Luna, & unuſquiſque Planetarum. Horum autem hic eſt ordo: Phænon, Phaethon, Pyrois, Sol, Phoſphorus, Stilbon, Luna. Quodlibet autem circuli Zodiaci ſignum dividitur in XXX partes, quæ vocantur μοῖραι. Harum vero partium unaquæque rurſus in LX. alias partes dividitur, quæ vocantur ſexageſimæ, & minuta prima. Singula porro minuta prima dividuntur in LX alia minuta, quæ ſecunda vocantur. Ultra minuta vero ſecunda in Canone, qui πρόχειρος dicitur, procedere neceſſe non eſt.

Ἔποψ. [6] Ἀριστοφάνης·

Ἐγὼ γὰρ αὐτοὺς βαρβάρους ὄντας πρὸ τοῦ
Ἐδίδαξα τὴν φωνήν, συνὼν πολὺν χρόνον.

περὶ τῶν ὀρνέων λέγει Ἔποψ.

Ἐποψιασμός.

Ἐποψία.

Ἐπωάζειν. τὸ ἐπὶ τοῖς ᾠοῖς καθέζεσθαι τὰ ὄρνεα. [7] Ἀριστοφάνης Ὄρνισιν·

Ἄλλως ἄρ᾽ ὁὔποψ, ὡς ἔοικε, τὴν λόχμην
Ἐμβὰς [8] ἐπώαζε. ——————

τὰ ὄρνεα ἐν τῷ ἐπωάζειν λάλα εἰσίν.

Ἐπωάζουσιν. ἐπὶ τοῖς ᾠοῖς ᾄδουσι. βοῶσιν.

Ἐπωβελία. [9] πολλῶν εἰς χρήματα συκοφαντούντων τοὺς ἐπιεικεῖς καὶ ἀπράγμονας τῶν πολιτῶν, καὶ μάλιστα τοῦτο πράττειν διαβαλλομένων τῶν περὶ τὸ ἐμπόριον συμβαλλόντων ἐπὶ ναυτικοῖς τόκοις, Ἀθηναῖοι ζημίαν ἔταξαν κατὰ τῶν ἐγκαλούντων ὀβολὸν ἐκτίνειν, εἰ μὴ καθ᾽ ὧν ἐνεκάλουν, τούτους ἕλοιεν. ταύτην τὴν ζημίαν ἐπωβελίαν ὠνόμασαν.

Ἐπωβελία. τὸ ἕκτον μέρος τοῦ τιμήματος.

Ἔποψ. Upupa. Ariſtophanes: *Ego enim eos antea barbaros vocem docui, poſtquam longo tempore cum eis verſatus fui.* De avibus loquitur Epops.

Ἐποψιασμός. Inſpicendi, vel ſpectandi cupiditas,

Ἐποψία. Inſpectio.

Ἐπωάζειν. Dicitur de avibus, quæ ovis incubant. Ariſtophanes in *Avibus*: *Fruſtra igitur Epops, ut videtur, ſylvam ingreſſus, ovis incubans clamat.* Aves enim, cum ovis incubant, garrulæ ſunt.

Ἐπωάζουσιν. Ovis incubant. Ovis incubantes canunt. Clamant.

Ἐπωβελία. Cum multi viros bonos & quietos cives pecuniarum cauſa calumniarentur, & præcipue illi, qui in foro & mercatu verſabantur, & nautico fœnore pecuniam aliquibus credebant, accuſarentur & male audirent, quod hoc facerent; Athenienſes mulctã ſtatuerunt in illos, qui aliquos accuſaſſent, ut obolũ [in ſingulas drachmas] perſolverent, niſi reos peregiſſent illos, quos accuſarant. Hanc [igitur mulctã] vocarunt ἐπωβελίαν. *Port.*

Ἐπωβελία. Sexta pars ejus ſummæ, quanti lis æſtimata erat.

---

[1] Ἀπέκτεινε δὲ αὐτὸν ὁ πανδ.] Fragmentum hoc ex Æliano depromptum eſſe, diſcimus ex ipſo Suida infra v. Τιμωροῦντος, ubi locum integrum vide.

[2] Ἐποφθαλμίσας] Sic etiam legitur infra v. Τιμωροῦντος. At ſcribendum potius exiſtimem ἐποφθαλμιάσας: ut monuimus etiam paulo ante.

[3] Πρῶτος Πύῤῥων ἀκαταληψίας καὶ ἐποχῆς εἶδος εἰσήγ.] Hæc ſunt verba Laertii in Pyrrhone.

[4] Φαίνων, Φαέθων, Πυρ.] Locum hunc egregie illuſtrat auctor libelli *de Mundo*, (qui Ariſtoteli vulgo tribuitur) cap. 2. ubi ſic inquit: Συνεχὴς δὲ ἔχει ἀεὶ ταύτῃ τὴν θέσιν ὁ τοῦ Φαίνοντος ἅμα καὶ Κρόνου καλούμενος κύκλος. ἐφεξῆς δὲ ὁ τοῦ Φαέθοντος, Διὸς λεγόμενος. εἶθ᾽ ὁ Πυρόεις, ὁ Ἡρακλέους τε καὶ Ἄρεος προσαγορευόμενος. ἑξῆς δὲ ὁ Στίλβων, ὃν ἱερὸν Ἑρμοῦ καλοῦσιν ἔνιοι· τινὲς δὲ Ἀπόλλωνος. μεθ᾽ ὃν ὁ τοῦ Φωσφόρου, ὃν Ἀφροδίτης, οἱ δὲ Ἥρας προσαγορεύουσιν. εἶτα ὁ ἡλίου· καὶ τελευταῖος ὁ τῆς σελήνης μέχρι τῆς γῆς ὁρίζεται. Ad hunc locum Ariſtotelis (ſi modo is laudati libelli auctor eſt) ſcriptor Anonymus, ex quo Suidas hæc excerpſit, forte reſpexerit. Huc ſpectant verba illa Iſidori Peluſiotæ lib. IV. Epiſt. LVIII. Ἐπειδὴ τὸν ἥλιον, καὶ τὴν σελήνην, καὶ τοὺς ἄλλους πέντε ἀστέρας οὐ πολλοῖς γνωρίμους, Φαίνοντά τε καὶ Φαέθοντα, Στίλβοντά τε καὶ Πυῤῥόεντα, (lege Πυῤῥόεντα) καὶ μὴν καὶ Φωσφόρον εἰς τοὺς πλανήτας τελοῦσιν. Vide ad eum locum notas doctiſſimi Ritterſhuſii.

[5] Στίλβων] Heſychius: Στίλβων. ὁ τοῦ Ἑρμοῦ ἀστήρ. Recte: ut ex loco citato Ariſtotelis patet.

[6] Ἀριστοφάνης] *Avibus* pag. 550. (375. Ed. Baſ. *P.*)

[7] Ἀριστοφάνης Ὄρνισιν] Pag. 553. (378. Ed. Baſ *P.*)

[8] Ἐπώαζε] Hodie apud Ariſtophanem legitur ἐπῶζε: quod metro magis convenit: niſi forte quis dixerit, τὸ ω in voce ἐπώαζε propter ſequentem vocalem in medio corripi; quod tamen inſolens eſt. Cæterum utrumque dicitur, & ἐπώζειν, & ἐπωάζειν: ut vel ex Heſychio patet.

[9] Ἐπωβελία. πολλῶν εἰς χρήματα συκοφ.] Hæc, & quæ ſequuntur uſque ad finem articuli, αὐτολεξεὶ etiam leguntur apud Etymologum.

Ἐπωβελία.[1] τὸ ἕκτον τίμημα τῆς δίκης, ὃ ἐπράττοντο οἱ γραψάμενοί τινας, καὶ μὴ ἑλόντες αὐτοῖς τοῖς γραφεῖσιν. ἐκαλεῖτο δὲ οὕτως, ὅτι καθ' ἑκάστην δραχμὴν ὀβολὸς ἦν. Ἐπωβελία οὖν, ἡ ζημία. καὶ ἐπωβελία, ὁ τόκος, ὑπὸ[2] Πλάτωνος Νόμων ια.

Ἐπῳδός. ἡ ἐπᾴδουσα τοῖς νοσοῦσι παισί. καὶ ἐπῳδὴ, ἡ γοητεία. Πολύβιος· Πάσης ἐπῳδῆς καὶ γοητείας καὶ περιάμματος πεῖραν ἐλάμβανον.[3] Σοφοκλῆς·

Polybius. Fragm. Gr. 63. Vol. V. p. 88.

--- Οὐ πρὸς ἰατροῦ σοφοῦ,
[4] Θροεῖν ἐπῳδὰς πρὸς τομῶντι πήματι.

Ἐπ' ὠκεανοῖο ῥοάων.[5] Ὅμηρος. ἀντὶ τοῦ, ἐπ' Ὠκεανοῦ ῥοάς. καὶ ἀλλαχόθι·

Ἀλλ'[6] ἄγ' ὀΐστευσον Μενελάου.

ὡς ἐπὶ τὸν Μενέλαον.

Ἐπώκειλα. ἀπέκλινα.

Ἐπώλησε. διέπρασε.

Ἐπωμαδόν. τοῖς ὤμοις. Ὁ δὲ φέρων ἐπωμαδόν. λέγεται καὶ ἐπωμάδιος.

Ἐπωμίς. εἶδος περιβολαίου.[7] Ἐπωμίδες δὲ, καὶ ἀναξυρίδες, καὶ τῶν ὑποδημάτων τὰ πλεῖστα, ἐς τῶν Οὔννων τό, τε ὄνομα καὶ τὸν τρόπον ἀποκέκειται σφίσι. Προκόπιός φησιν.

Ἐπωπτεύειν.[8] οἱ μὲν γὰρ τὰ μυστήρια παραλαμβάνοντες, μύσται καλοῦνται· οἱ δὲ τῷ ἑξῆς ἐνιαυτῷ, ἔφοροι καὶ ἐπόπται. Ἐγὼ οὖν, φησὶν, ὅταν λάθρα καταράσωμαι τῷ δεσπότῃ, λίαν οὕτως ἥδομαι, ὡς δοκεῖν μυστήρια ἐποπτεύειν καὶ ἑορτάζειν.[9] τὸ δὲ, ἀλλ' ἐποπτεύω, ἀντὶ τοῦ οὐ. ἐν οἵῳ τρόπῳ λέγομεν, οὐχ οἷον ἥδομαι, ἀλλ' ὑπερήδομαι.

Ἐπώμοτον.[10] Σοφοκλῆς·

Ὄμνυμ' ἔγωγε, Ζῆν' ἔχων ἐπώμοτον.

τουτέστι, τοῦ ὅρκου ἐγγυητήν.

Ἐπώνια.[11] τέλος ἐστὶ τὸ ἐπὶ τῇ ὠνῇ διδόμενον. εἴη δ' ἂν ἴσως ἡ πέμπτη.

Ἐπώνυμον. τὸ μετ' ἑτέρου κυρίου καθ' ἑνὸς λεγόμενον.[12] Ἐπωνυμίαν θέμενοι Μαρκίῳ Κορβῖνος, ἀπὸ τοῦ συναγωνιζομένου κατὰ τὴν μονομαχίαν ζώου. Κόρβους γὰρ τοὺς κόρακας φασὶ Ῥωμαῖοι. Καὶ αὖθις[13] Ἀριστοφάνης·

Ἐπωβελία. Sexta pars litis æſtimatæ, quæ exigebatur ab illis, qui, quos accuſaverant, reos non peregerant. Sic autem [mulcta hæc] appellabatur, quod in ſingulas drachmas obolus perſolveretur. Ἐπωβελία igitur dicebatur mulcta quædam. Et ἐπωβελία, uſuræ nomen apud Platonem lib. XI. *Legum.*

Ἐπῳδός, Incantatrix. Quæ pueros ægrotantes carminibus curat. Et ἐπῳδή. Incantatio. Præſtigiæ. Polybius: *Et omnis incantationis, & præſtigiarum, & amuletorum periculum fecerunt.* Sophocles: *Non eſt periti medici, carmina & incantationes adhibere, cum malum ſectionem requirit.*

Ἐπ' ὠκεανοῖο ῥοάων. Homerus. Pro, Ἐπ' ὠκεανοῦ ῥοάς. In Oceani fluenta. Et alibi: Ἀλλ' ἄγ' ὀϊστ. *Sed age, ſagittam in Menelaum emitte.* [Idem enim eſt ac ſi dixiſſet Poeta,] ἐπὶ τὸν Μενέλαον.

Ἐπώκειλα. [Appuli.] Declinavi.

Ἐπώλησε. Divendidit. Vendidit.

Ἐπωμαδόν. In humeris. *Ille vero ferens humeris.* Dicitur, & ἐπωμάδιος. Humeris impoſitus.

Ἐπωμίς. Genus veſtis, quæ humeros tegit. Humerale. *Humeralia vero, & femoralia, & pleraque calceamentorū genera ad Hunnorum ritum & nomen peculiaria habent.* Procopius inquit.

Ἐπωπτεύειν. Epoptam eſſe. Qui myſteriis initiabantur, [primo] Myſtæ vocabantur: at anno ſequenti, Ephori & Epoptæ. Ego igitur, inquit, cum clam dominum meum diris devoveo, adeo lætor, ut mihi videar myſteria ſpectare, & feſtum celebrare. Μάλα vero dixit pro οὐκ ἀλλὰ, non ſolum: quemadmodum dicimus, οὐχ οἷον ἥδ. i. e. non ſolum lætor, ſed etiam ſupra modum lætor.

Ἐπώμοτον. [Jurejurando adſtrictum.] Jurisjurandi ſponſorem. Sophocles: *Juro, Jovem jurisjurandi mei ſponſorem habens.*

Ἐπώνια. Vectigal, quod pro re quapiam empta penditur. Fuerit autem fortaſſe quinta [pars pretii.]

Ἐπώνυμον. Cognomen. Sive, quod cum altero nomine proprio alicui tribuitur. *Cognomen Corvini Marco impoſuerunt, ab animali, quod eum in ſingulari prælio adjuverat. Quos enim Græci* κόρακας, *Romani corvos appellant.* Et Ariſtophanes: *Quam bonum eſt, multa*

---

[1] Ἐπωβελία. τὸ ἕκτον τίμημα τῆς δίκ.] Ex Harpocratione. Confer etiam Salmaſium *de Modo Uſur.* cap. I. pag. 12. 13. & Meurſium *Lect. Att.* lib. V. cap. XIII. Huc etiam ſpectant illa Pollucis lib. VIII. cap. VI. Ὅ[illegible]ς μὴ καταλαβὼν τὸ πέμπτον μέρος τῶν ψήφων, τὴν ἐπωβελίαν προσωφλίσκανε. ἦν δὲ τὸ ἕκτον τοῦ τιμήματος. Notet hic Lector, ἐπωβελίαν irrogatam fuiſſe actoribus illis, qui quintam ſuffragiorum partem conſecuti non fuiſſent.

[2] Ὑπὸ Πλάτωνος Νόμων ια] Locus Platonis, ad quem Suidas reſpexit, exſtat pag. 678. & ſic habet: Ὃς γὰρ ἂν προσαμειψάμενος ἔργον, μισθοὺς μὴ ἀποδιδῷ ἐν χρόνοις τοῖς ὁμολογηθεῖσι, διπλοῦν πραττέσθω, ἐὰν δὲ ἐνιαυτὸς ἐξέλθῃ, τῶν ἄλλων ἀτόκων ὄντων χρημάτων, ὁπόσα δανεισμῷ ξυμβάλλῃ τις, οὗτος τῇ δραχμῇ ἑκάστου μηνὸς ἐπωβελίαν κατατιθέτω. Sed ibi ἐπωβελία non tam accipitur pro uſura (nullam enim uſuram, proprie ita dictam, Plato in civitate ſua locum habere voluit) quam pro pœna vel mulcta, quæ conſtituta erat in eos, qui poſt annum elapſum pactam mercedem operariis non ſolviſſent. Hunc enim ſenſum verba citata Platonis clare præ ſe ferunt. Confer Salmaſium *de Modo Uſur.* pag. 12. ubi hunc ipſum locum Platonis ad examen revocat.

[3] Σοφοκλῆς] In *Ajace* pag. 35. ut Portus monuit.

[4] Θροεῖν] Sic etiam hodie apud Sophoclem legitur. Sed 2 MSS. Pariſ. habent θρηνεῖν: quam lectionem agnoſcit etiam ipſe Suidas infra v. Θρηνεῖν; ubi locus hic repetitur. Ibi nos vide.

[5] Ὅμηρος] Il. Γ. v. 5.

[6] Ἀλλ' ἄγ' ὀΐστευσον Μενελ.] Locus hic exſtat apud Homerum Il. Δ. v. 100.

[7] Ἐπωμίδες δὲ, καὶ ἀναξυρίδες, καὶ τῶν ὑποδ.] Fragmentum hoc legitur apud Procopium *Hiſtor. Arc.* cap. VII.

[8] Ἐπωπτεύειν. οἱ μὲν γὰρ τὰ μυσ.] Totum hunc locum deſcripſit Suidas ex Scholiaſta Ariſtophanis ad *Ranas* pag. 247. qui tamen plura habet. Pro ἐπωπτεύειν autem hic apud Suidam ſcribendum eſt ἐποπτεύειν per ο, ut recte habet Scholiaſta Comici loco laudato.

[9] Τὸ δὲ, ἀλλ' ἐποπτεύω, ἀντὶ τοῦ οὐ.] Scholiaſta Ariſtophanis loco citato rectius ſic habet: Τὸ δὲ μάλα εἶπεν ἀντὶ τοῦ οὐκ ἀλλά· οἵῳ τρόπῳ, &c.

[10] Σοφοκλῆς] *Trachin.* pag. 373.

[11] Ἐπώνια. τέλος ἐστὶ τὸ ἐπὶ τ.] Ex Harpocratione.

[12] Ἐπωνυμίαν θέμενοι Μαρκίῳ Κορβ.] Confer Noſtrum v. Ἀμύσσειν, & v. Κελτοί.

[13] Ἀριστοφάνης] *Pluto,* pag. 111. (54. Ed. Baſ. P.)

Ὡς ἀγαθὸν ἐστ' ἐπωνυμίας πολλὰς ἔχειν. ὡσανεὶ ἔλεγεν, οὐ ματαίως ἄρα σπεύδουσιν οἱ δικάζοντες πολλὰ ὀνόματα ἔχειν.

Ἐπώνυμοι.[1] διττοί εἰσιν οἱ Ἐπώνυμοι. οἱ μὲν ί ἀριθμὸν ἀφ' ὧν αἱ Φυλαί· [2]ἕτεροι δὲ δύο ἐπὶ τοῖς μ'· ἀφ' ὧν αἱ ἡλικίαι προσαγορεύονται τῶν πολιτῶν καθ' ἕκαστον ἔτος, ἀπὸ ιή ἔτους [3]ἄχρις ξ'.

Ἐπώνυμοι. [4]οἱ κατ' ἀρετὴν διαπρέποντες ἀστοὶ καὶ ξένοι χαλκαῖς εἰκόσιν ἐτιμῶντο· ὑφ' ὧν ἐνίων καὶ ταῖς Φυλαῖς ἐτίθη ὀνόματα. Φασὶ δ' ἐκεῖθεν πρῶτον δόξαι τὰς Φυλὰς ἐξηγήσασθαι. ἀπορούντων γὰρ αὐτῶν ὄνομα ταῖς Φυλαῖς θέσθαι, ἀπὸ τῶν ἐνδοξοτάτων τοῦτο ποιῆσαι, καὶ ἕκαστον ἑκατὸν ὀνόματα ἴδια γραψάμενον κληρῶσαι. [5]Παρὰ γοῦν τὰς εἰκόνας τῶν Ἐπωνύμων τούτων εἰσηγοῦντο τοὺς νόμους, πρὶν ἢ γενέσθαι κυρίους· ἵν' ἐντυγχάνοντες αὐτοῖς οἱ βουλόμενοι κατηγοροῖεν.

Ἐπωπεὺς,[6] Ἐπωπέως.

Ἐπωπτευκότων. οἱ μυηθέντες ἐν Ἐλευσῖνι, ἐν τῇ δευτέρᾳ μυήσει ἐποπτεύειν ἐλέγοντο.

Ἐπωρώθησαν. ἐσκληρύνθησαν.

Ἐπωρυόμενος. φωνῶν.

Ἐπωτίδες. [7]Θουκυδίδης· Καὶ τὰς ἐπωτίδας ἐπέθεσαν ταῖς πρώραις παχείας ὡς ἐπὶ ἓξ πήχεις, ἐντός τε καὶ ἔξωθεν.

Ἐπωτίδες.[8] εἰσὶ τὰ ἑκατέρωθεν τῆς πρώρας ἐξέχοντα ξύλα.

Ἐπωτίσιν. Ἐκ φορτίδων πολεμιστηρίας τὰς νέας κατεσκεύασε, ταῖς ἐπωτίσι καὶ ταῖς στερίφοις ἀποφήνας εὐρώστους.

Ἐπ' ὠὐτόν. ἐπ' αὐτόν.

Ἐπωφελέσι.

Ἐπῴχετο. ἐπεπορεύετο.

Ἐπράξατο. ἀπήτησεν. Τοὺς δὲ Βυζαντίους, καί τινας ἄλλους ἐπράξαντο. ἀντὶ τοῦ, χρήματα ἀπήτησαν. καὶ αὖθις· Ὡς δὲ δίκας αἰτῶν τοὺς Ἀθηναίους περὶ τοῦ παιδὸς, οὐκ ἔτυχεν, αὐτὸς ἑαυτὸν ἐπράξατο.

Ἐπράδει. ἀπέπαρδε. καὶ ἀποπαρδεῖν λέγεται. ἐπράδειν δὲ, προτεταγμένου τοῦ ρ'.

Ἐπραξικόπει. Ὁ δὲ [9]ἐπραξικόπει τὴν πόλιν, ἐκ πολλοῦ κατασκευαζόμενος ἐν αὐτῇ προδότας.

cognomina habere. Quaſi dixiſſet; haud fruſtra igitur Judices multa nomina habere cupiunt.

Ἐπώνυμοι. Duplices fuerunt Eponymi: alteri decem numero; a quibus Tribus nomen acceperunt: alteri vero XLII. a quibus civium ætates quotannis appellantur, ab anno decimo octavo uſque ad ſexageſimum.

Ἐπώνυμοι. Eponymi. Cives & peregrini, qui virtute cæteris præſtabant; æreis ſtatuis honorabantur: a quorum nonnullis & Tribubus nomina impoſita ſunt. Dicunt autem Tribus primum illinc diſtingui cæpiſſe. Cum enim Athenienſes dubitarent, unde Tribus appellandæ eſſent, a viris clariſſimis nomina eis impoſuiſſe feruntur: ſingulis centum nomina ſcripta ſorti committentibus. Juxta horum autem Eponymorum ſtatuas leges [populo] proponebantur, antequam ratæ fierent; ut omnibus eas legere & judicium ſuum de illis ferre liceret.

Ἐπωπεύς. Epopeus. [Nomen proprium.]

Ἐπωπτευκότων. Qui Eleuſine initiabantur, in ſecunda initiatione ad inſpectionem myſteriorum admittebantur, quod ἐποπτεύειν Græci vocabant.

Ἐπωρώθησαν. Indurati ſunt.

Ἐπωρυόμενος. Ululans. Rugiens. Latrans.

Ἐπωτίδες. [Ligna in navibus a prora utrinque prominentia.] Thucydides: *Et epotides proris impoſuerunt, craſſas fere ſex cubitos.*

Ἐπωτίδες. Epotides. Sic appellantur ligna illa, quæ utrinque a prora prominent.

Ἐπωτίσιν. Epotidibus. [Sive, navium auriculis.] *Ex onerariis navibus bellicas naves confecit, eaſque firmis epotidibus munivit.*

Ἐπ' ὠὐτόν. Idem quod ἐπ' αὐτόν. Ad ipſum.

Ἐπωφελέσι. Utilibus.

Ἐπῴχετο. Obibat. Circumibat.

Ἐπράξατο. Exegit. *A Byzantiis & quibuſdam aliis pecuniam exegerunt.* Et iterum: *Cum autem ab Athenienſibus petiiſſet, ut filii ſui necem ulciſcerentur, re non impetrata, ſe ipſe interfecit.*

Ἐπράδει. Pepedit. Ventris crepitum emiſit. [Communiter dicitur] ἀπέπαρδε & ἀποπαρδεῖν. At ἐπράδειν [dictum eſt pro ἐπάρδειν,] præpoſito ρ.

Ἐπραξικόπει. Molitione clandeſtina & proditorum opera aliquid in ſuam poteſtatem redigere ſtudebat. *Ille vero urbem fraude & dolo occupare ſtudebat, proditoribus a longo jam tempore in ea ſubornatis.*

9. Polybius Fr. Gram. 62. Vol. V. p. 88

---

[1] Ἐπώνυμοι. διττοί εἰσιν οἱ ἐπ.] Ex Harpocratione. Confer etiam Noſtrum infra v. Στρατεία ἐν τοῖς Ἐπωνύμοις: qui locus hunc egregie illuſtrat. Etymologus: Ἐπώνυμοι. διττοί εἰσιν οὗτοι· οἱ μὲν λεγόμενοι τῶν ἡλικιῶν· καί εἰσι δύο καὶ τεσσαράκοντα, οἱ καλοῦνται καὶ λήξεων Ἐπώνυμοι. οἱ δὲ δέκα, ἀφ' ὧν αἱ φυλαὶ προσηγορεύθησαν, οἷον Ἐρεχθεὺς, Αἰγεὺς, Πανδίων, Λεὼς, Ἀλμᾶς, (lege, Ἀκάμας: unde tribus Ἀκαμαντὶς dicta) Οἰνεὺς, Κέκροψ, Ἱπποθόων, Αἴας, Ἀντίοχος. His adde, quæ habet Pauſanias in *Atticis* p. 8. 9.

[2] Ἕτεροι δὲ δύο ἐπὶ τοῖς μ'] Antea peſſime legebatur, ἕτεροι δὲ δύο καὶ τοῖς μὲν: cujus loco veram lectionem nunc primum Suidæ reſtitui. Eponymi enim ætatum, de quibus hic agitur, numero erant XLII. ut non ſolum clare patet ex loco Etymologi in nota præcedente adducto: ſed etiam ex Harpocratione, & ipſo Suida infra v. Στρατεία ἐν τοῖς Ἐπων.

[3] Ἄχρις ξ'] Sic etiam habet Harpocratio. At Petitus *de Leg. Attic.* pag. 547. reponendum contendit ἄχρις μ': quem vide.

[4] Ἐπώνυμοι. οἱ κατ' ἀρ.] Hic in prioribus Editt. excidit caput articuli Ἐπώνυμοι; & cætera, quæ ſequuntur, cum præcedenti articulo male cohærent: quam confuſionem, ſecutus auctoritatem MStorum Pariſ. ex hoc loco ſuſtuli.

[5] Παρὰ γοῦν τὰς εἰκόνας τῶν Ἐπ.] Vide Petitum *de Leg. Att.* p. 100.

[6] Ἐπωπεύς] Erat Rex Sicyonis, cujus mentionem facit Diodorus in Excerptis a Valeſio editis pag. 221.

[7] Θουκυδίδης] Lib. VII. cap. XXXVI. unde locum hunc mutilum ſupplebis.

[8] Ἐπωτίδες] Ex Scholiaſta Thucydidis ad lib. VII. cap. XXXIV.

[9] Ὁ δὲ ἐπραξικόπει τὴν πόλιν, ἐκ πολλ.] Fragmentum hoc Fulv. Urſinus & Caſaubonus Polybio tribuunt.

Ἔπρασσον. ἀντὶ τοῦ ἐβουλεύοντο. [1] Ἀλλήλοις ξυγγινόμενοι ἔπρασσον, ὅπως τά τε διάφορα λύσουσι, καὶ τὰ ἀμφὶ τὴν εἰρήνην εὖ θήσονται.

Ἐπραττόμην. ἀπήτουν.

Ἔπραττον. ἐπεβούλευον. προεδίδοσαν. [2] Ἐπεσπῶντο τοὺς Αἰτωλοὺς, καὶ τούτοις ἔπραττον τὴν πόλιν. καὶ αὖθις· Ἀνήρ τις ἔπραττε κακῶς, καὶ πᾶσα ἡ οἰκία αὐτοῦ.

Ἐπρέσβευεν. ἐτίμα. Ὁ δὲ Σωκράτης ἠθικὴν φιλοσοφίαν ἐπρέσβευεν.

Ἐπρήσθη. ἐκαύθη πυρί. [3] Ἑάλω μέγα κακουργῶν, καὶ ζῶν ἐνεπρήσθη.

Ἔπρηξας. ἔπραξας. Ἔπρησας δὲ, ἔκαυσας.

Ἐπρίατο. γενικῇ. ἠγόραζεν.

Ἔπρωσεν. ἐμοίρασεν.

Ἐπρυτάνευσε. παρέσχε. διῳκήσατο. Δῶρά τε πέμπει ἐπὶ φιλίᾳ καὶ συμμαχίᾳ, ἣν Στρυγγαῖος ἐπρυτάνευσεν.

Ἑπτά. ὁ ἀριθμός.

Ἑπταβόειον.[4] ἑπτάβυρσον. ἑπτάπτυχον.

Ἑπτάπεκτος.[5] ἡ βαθεῖαν ἔχουσα κόμην. ἡ ἑπτάκις δυναμένη καρῆναι. πέξαι γὰρ τὸ κεῖραι, ἢ κτενίσαι.

Ἑπταπλάσιον. ἀντὶ τοῦ, πολυπλασίονα. ὁ γὰρ ἑπτὰ ἐπὶ πλήθους τάττεται.

Ἔπταρον. [6] ᾐσθόμην. πταρμὸς γὰρ κεφαλῆς αἴσθησις. ἐπεὶ οἱ θιγόντες τοῦ μυκτῆρος λεπτῷ κάρφει, πτάρνυνται.

Ἐπταικώς. σφαλείς. Ὁ δὲ ὑπερβαίνων τὸν οὐδὸν τῆς αὐλῆς, ἔπταισε βιαιότερον, καὶ πρὸς γῆν κατηνέχθη.

Ἐπτεροῦτο. ἐκουφίζετο.

Ἑπτέτης. ζʹ ἐτῶν. [7] Ἑπτέτης ὢν Ἀρχέδημος, οὐκ ἔφυσε φράτορας. τουτέστι, [8] φράστας ὀδόντας.

Ἔπτηξεν. ἐφοβήθη. συνεστάλη. ἐταπεινώθη.

Ἐπτηχότες. δειλιῶντες. φοβούμενοι.

Ἐπτοημένος. θαυμάζων.

Ἐποίκιον. Τινὲς δὲ ἔμενον ἐν τοῖς ἐποικίοις κατὰ τὴν χώραν ἐκ τῶν ποιμένων.

Ἔποικος. μέτοικος. [9] Ἔποικοι παρὰ Θουκυδίδῃ, οἱ ἐν πόλει· Ἄποικοι δὲ, οἱ ἐν ἐρήμῳ τόπῳ πεμπόμενοι οἰκῆσαι.

Ἔπρασσον. Agebant. Conſultabant. *Illi vero inter ſe congreſſi id agebant, ut & controverſias omnes componerent, & pacem ſtabilirent.*

Ἐπραττόμην. Exigebam. Repetebam.

Ἔπραττον. Inſidiabantur. Prodebant. *Ætolos acciverunt, iiſque urbem prodiderunt.* Et iterum: *Vir quidam haud ex animi ſententia rem gerebat, totaque ejus domus.*

Ἐπρέσβευεν. Honorabat. Magni faciebat. *Socrates autem moralem Philoſophiam in pretio habebat.*

Ἐπρήσθη. Crematus eſt. *In ingenti facinore deprehenſus, & vivus combuſtus eſt.*

Ἔπρηξας. Pro ἔπραξας. Feciſti. At ἔπρησας, combuſſiſti.

Ἐπρίατο. Genitivo jungitur. Emit.

Ἔπρωσεν. Fato deſtinavit. Deſtinavit.

Ἐπρυτάνευσε. Suppeditavit. Præbuit. Adminiſtravit. *Donaque miſit, amicitiæ & bellicæ ſocietatis cauſa, cujus ineundæ Stryngæus auctor fuit.*

Ἑπτά. Septem.

Ἑπταβόειον. Ex ſeptem pellibus bubulis confectum. Septemplex.

Ἑπτάπεκτος. Denſam & prolixam comam habens. Proprie, quæ ſepties tonderi poteſt. Πέξαι enim ſignificat tondere.

Ἑπταπλάσιον. [Proprie ſeptuplum. Interdum vero,] multiplicem. Numerus ſeptenarius enim pro multitudine ponitur.

Ἔπταρον. [Sternutavi.] Senſi. Sternutatio enim eſt ſenſus capitis. Nam qui nares tenui feſtuca tangunt, ſternutant.

Ἐπταικώς. Lapſus. *Ille vero limen aulæ tranſiens, violento caſu humi proſtratus eſt.*

Ἐπτεροῦτο. Alis ſe levabat. Efferebatur.

Ἑπτέτης. Septennis. *Archedemus ſeptennis nondum edidit tribules.* [Præter expectationem Comicus dixit φράτορας, pro] φραστῆρας ὀδόντας, i. e. dentes ætatis indices.

Ἔπτηξεν. Metuit. Præ metu animum contraxit. Humilem ſe præbuit.

Ἐπτηχότες. Metuentes. Formidantes.

Ἐπτοημένος. Admiratione perculſus.

Ἐποίκιον. Domicilium. Villa. *Quidam autem ex paſtoribus in villis in illa regione ſitis manſerunt.*

Ἔποικος. Inquilinus. Ἔποικοι apud Thucydidem vocantur coloni, qui in urbes; Ἄποικοι vero, qui in locum deſertum mittuntur, ut ibi habitent.

---

[1] Ἀλλήλοις ξυγγινόμενοι ἔπρ.] Hæc ſunt verba Procopii lib. 1. *de Bello Perſ.* cap. XI. pag. 32.

[2] Ἐπεσπῶντο τοὺς Αἰτ.] Fragmentum hoc legitur apud Polybium lib. IV. cap. XVII.

[3] Ἑάλω μέγα κακ.] Verba hæc eſſe Æliani diſcimus ex ipſo Suida infra v. Μέγα.

[4] Ἑπταβόειον. ἑπτάβυρσον. ἑπτ.] Ex Schol. Homeri ad Il. H. v. 220.

[5] Ἑπτάπεκτος.] Sic MS. Pariſ. A. At priores Editt. minus recte, ἑπτάπικτος.

[6] Ἔπταρον. ᾐσθόμην. πταρμὸς γὰρ κεφ.] Ex Scholiaſta Ariſtophanis ad *Ranas* pag. 242.

[7] Ἑπτέτης ὢν Ἀρχ.] Ariſtophanes *Ranis* pag. 231. (147. Ed. Baſ. *P.*)

Σκώψωμεν Ἀρχέδημον,
Ὃς ἑπτέτης ὢν οὐκ ἔφυσε φράτορας.

Vide ibi Scholiaſtam.

[8] Φράστας ὀδόντας] Imo potius Φραστῆρας ὀδόντας. Dentes enim ætatis indices a Græcis appellantur γνώμονες & φραστῆρες. Vide Noſtrum infra v. Φραστῆρες.

[9] Ἔποικοι παρὰ Θουκυδίδῃ, οἱ ἐν πο.] Ex Scholiaſta Thucydidis ad lib. II. cap. XXVII.

Ἕποιμ' ἄν. ἀκολουθοίην.

Ἐποίνιος. μέθυσος. ἐπιτράπεζος.

Ἐποῖσαι. ἐπενέγκαι.

Ἐποισθήσεται. ἐπενεχθήσεται.

Ἕποιτο. ἀκολουθοῖτο.

Ἐποιχόμεθα. ἐπερχόμεθα.

Ἐπύθοντο. ἤκουσαν. ἠρώτησαν.

Ἐπύλλια[1] ξυλλέγω. τὰ ἔπη, ὑποκοριστικῶς.

Ἐπύρσευσε. πυρκαϊὰν ἐποίησε.

Ἐρᾷ. ἐπιθυμεῖ. Ἔρα δὲ, ἡ γῆ. [2] παρὰ τὸ ἐρεῖσαι, ὅ ἐστι περὶ ἴσης γῆς φιλονεικῆσαι. καὶ ἔρρει. ἐφθείρετο.

Ἔρανα. δῶρα, τὰ ἐκ συλλογῆς.

Ἐρανεμπόλοις. τοῖς ἐκ τῶν ἐράνων ἐμπολῶσιν [3] ἀπὸ τῶν ἀρχῶν.

Ἐράνιον. ἐκ συνεισφορᾶς δῶρον.

Ἐρανικαί.[4] ὅτι ἔμμηνοι δίκαι, αἵτε ἐμπορικαί.

Ἐρανισάμενος.[5] ἐκ πολλῶν συναγαγών. καὶ ἐρανίσας, Δημοσθένης ἀντὶ τοῦ ἔρανον αἰτήσας. Ἐρανιστὴς μέν τοι κυρίως ἐστὶν, ὁ τοῦ ἐράνου μετέχων, καὶ τὴν φορὰν, ἣν ἑκάστου μηνὸς ἔδει καταβάλλειν, εἰσφέρων.

Ἔρανος. ἡ ἐκ κοινοῦ ἑστίασις. ἢ [6] ἐντολή. εἰσφορά. ἢ συλλογή. ἢ [7] σπουδαιότερον.

Ἐραπτίδαυλος. ἐν Ἐπιγράμμασι· [8] Βουχάνδης ὁ λέβης· ὁ δὲ θεὶς Ἐραπτίδαυλος Κεύβολος.

Ἐρασινάδης.[9] ὄνομα κύριον. στρατηγὸς δὲ ἦν.

Ἐρασίστρατος, [10] Ἰουλιήτης, ἀπὸ Ἰουλίδος πόλεως Κέω τῆς νήσου. χρηματίζει δὲ Κῖος, υἱὸς Κρητοξένης, τῆς Μηδίου τοῦ ἰατροῦ ἀδελφῆς, καὶ Κλεομβρότου. [11] Οὗτος Ἀντίοχον τὸν βασιλέα νοσοῦντα ὑπὸ τοῦ τῆς μητρυιᾶς Στρατονίκης πόθου ἰάσατο εὑρὼν τὸ πάθος ἐκ τοῦ σχεῖν τὴν χεῖρα ἐπὶ τὴν καρδίαν αὐτοῦ, καὶ τὸν παλμὸν συνεικάσαι. ὁσάκις γὰρ ἔβλεπεν ὁ Ἀντίοχος τὴν μητρυιὰν αὐτοῦ τυχὸν διερχομένην, ἐπάλλετο τὴν καρδίαν μάλιστα τῷ ταύτης ἔρωτι. τέθαπται δὲ πρὸς τῷ ὄρει τῇ Μυκάλῃ, κατάντικρυ Σάμου. ἔγραψεν ἰατρικὰ βιβλία θ'.

Ἕποιμ' ἄν. Sequar.

Ἐποίνιος. Vino deditus. Temulentus.

Ἐποῖσαι. Intuliſſe.

Ἐποισθήσεται. Inferetur. Importabitur.

Ἕποιτο. Sequatur.

Ἐποιχόμεθα. Obimus. Invadimus.

Ἐπύθοντο. Audiverunt. Interrogarunt.

Ἐπύλλια ξυλλέγω. Verſiculos colligo. Ἐπύλλια enim eſt diminutivum ab ἔπη.

Ἐπύρσευσε. Igne ſublato de ſpecula ſignum dedit. Faces accendit.

Ἐρᾷ. Cupit. Amat. Ἔρα vero, terra. Hinc etiam dictum eſt ἐρεῖσαι: quaſi dicas περὶ [ἔρας] ἴσης φιλονεικῆσαι, i. e. de pari terræ portione contendere. Et ἔρρει, peribat.

Ἔρανα. Dona collectitia.

Ἐρανεμπόλοις. Redemptoribus, ſive nundinatoribus erani.

Ἐρανεμπόλοις —— ἀρχῶν. Photius.

Ἐράνιον. Donum collatitium. Eranus.

Ἐρανικαί. Ad eranum pertinentes. Controverſiæ de erano & negotiis mercatorum ſingulis menſibus in Judicio diſceptari ſolebant.

Ἐρανισάμενος. Qui a multis eranum collegit. Et ἐρανίσας Demoſthenes dixit de eo, qui eranum corrogavit. Ἐρανιστὴς vero proprie dicitur, qui erani particeps eſt, & ſingulis menſibus debitam penſionem confert.

Ἐρανίσας. Δημοσθένης ἀντὶ τοῦ ἔρανον αἰτήσας. Ε. μὲν τοι κ. ε. ὁ τοῦ ε. μ. καὶ τὴν φ. ἣν ἑ. μ. ε. καταβάλλειν. εἰσφέρειν. Photius.

Ἔρανος. Cœna collatitia. Symbola. Pecunia collectitia.

Ἐραπτίδαυλος. In Epigrammate: *Capax admodum eſt hic lebes: quem dedicavit Cleobotus Eriaſpidæ filius.*

Ἐρασινάδης. Eraſinades. Nomen proprium. Erat autem belli dux.

Ἐρασίστρατος. Eraſiſtratus, Juliates, ex Juliade, Cei Inſulæ urbe. Appellatur autem Cejus, filius Cretoxenæ, Medii Medici ſororis, & Cleombroti. Hic Antiochum Regem, qui præ amore novercæ Stratonices in morbum inciderat, ſanavit: poſtquam manu cordi ejus admota ex palpitatione cauſam mali deprehendiſſet. Quotieſcunque enim Antiochus novercam ſuam forte tranſeuntem vidiſſet, toties cor ejus præ amore vehementius ſolito palpitabat. Sepultus eſt juxta montem Mycalen, e regione Sami. Scripſit de re medica libros IX.

---

[1] Ἐπύλλια ξυλλέγω] Ariſtophanes *Acharnenſibus* pag. 391.

Ὁ νοῦς μὲν ἔξω συλλέγων ἐπύλλια.

Huc Suidas reſpexit.

[2] Παρὰ τὸ ἐρεῖσαι] Scribe, παρ' ὃ καὶ τὸ ἐρεῖσαι. Confer Etymologum v. Ἔρα.

[3] Ἀπὸ τῶν ἀρχῶν] Hæ tres voces mihi ſuſpectæ ſunt, nec ad rem quicquam facere videntur.

[4] Ἐρανικαί. ὅτι ἔμμηνοι δ.] Scribe, Ἐρανικαί. ὅτι ἔμμηνοι αἱ ἐρανικαὶ, &c. Confer Noſtrum ſupra v. Ἔμμηνοι. De erano autem & eraniſtis videndus omnino eſt Salmaſius *de Uſuris* cap. III. qui ibi prolixe de hoc argumento agit.

[5] Ἐρανισάμενος. ἐκ πολλῶν συναγ.] Ex Harpocratione.

[6] Ἐντολή] Sic etiam habet Etymologus: ſed mendoſe omnino. Scribendū enim eſſe ἐμπολὴ, colligo ex voce præcedente ἐρανέμπολοι.

[7] Ἢ σπουδαιότερον] Locus hic mutilus eſt: quem ex Etymologo ſupplebis.

[8] Βουχάνδης ὁ λέβης· ὁ δὲ θεὶς Ἐραπτ.] Locus hic corruptus eſt, qui ſic ſcribendus & diſtinguendus eſt:

Βουχάνδης ὁ λέβης· ὁ δὲ θεὶς Ἐρασπίδου υἱὸς Κλεύβοτος.

Sic enim legitur in Anthologia Epigrammatum inedita, ex qua Epigramma integrum, cujus fragmentum hoc pars eſt, publici juris fecit Lucas Holſtenius ad Stephanum v. Τέγεα: ut monuimus etiam ſupra v. Βουχανδής.

[9] Ἐρασινάδης] Ariſtophanes *Ranis* pag. 268. (176. Ed. Baſ. P.)

Εἰ κἀστρατήγησέ γε μετ' Ἐρασινίδου.

Scholiaſta ad eum locum: Ἐρασινίδης, εἷς τῶν περὶ Ἀργινούσας στρατηγησάντων δυστυχῶς. Huc Suidas reſpexit. Vide etiam infra v. Ἐστρατήγησε μετ' Ἐρασινάδου.

[10] Ἰουλιήτης, ἀπὸ Ἰουλ.] Strabo lib. x. Ἐκ δὲ τῆς Ἰουλίδος ὅ, τε Σιμωνίδης ἦν ὁ μελοποιὸς, καὶ Βακχυλίδης, ἀδελφιδοῦς ἐκείνου· καὶ μετὰ ταῦτα Ἐρασίστρατος ὁ ἰατρὸς, &c. Errat ergo Stephanus Byzantius v. Κῶς, qui Eraſiſtratum hunc Coum facit. Julis enim, ſive Julias erat urbs inſulæ Cei, ut non ſolum teſtatur Suidas hoc loco, ſed etiam Strabo lib. x. pag. 486.

[11] Οὗτος Ἀντίοχον τὸν βασιλ.] Eandem hiſtoriam prolixius narrant Plutarchus in *Demetrio* pag. 907. Appianus *de Bellis Syr.* pag. 204. Valer. Max. lib. v. cap. VII. Julianus in *Miſopog.* pag. 72. & alii.

Ἐρατεινός. ὁ ἐπέραστος.

Ἐρατοσθένης,[1] Ἀγλαοῦ (οἱ δὲ, Ἀμβροσίου) Κυρηναῖος, μαθητὴς φιλοσόφου Ἀρίστωνος Χίου, γραμματικοῦ δὲ Λυσανίου τοῦ Κυρηναίου, καὶ Καλλιμάχου τοῦ ποιητοῦ. μετεπέμφθη δὲ ἐξ Ἀθηνῶν ὑπὸ τοῦ τρίτου Πτολεμαίου, καὶ διέτριψε μέχρι τοῦ πέμπτου. [2] Διὰ δὲ τὸ δευτερεύειν ἐν παντὶ εἴδει παιδείας τοῖς ἄκροις ἐγγίσασι τὰ βήματα ἐπεκλήθη. οἱ δὲ καὶ δεύτερον ἢ νέον Πλάτωνα· ἄλλοι, Πένταθλον ἐκάλεσαν. ἐτέχθη δὲ ρκϛʹ ὀλυμπιάδι, καὶ ἐτελεύτησεν πʹ ἐτῶν γεγονώς· ἀποσχόμενος τροφῆς διὰ τὸ ἀμβλυώττειν, μαθητὴν ἐπίσημον καταλιπὼν Ἀριστοφάνην τὸν Βυζάντιον· οὗ πάλιν Ἀρίσταρχος μαθητής. μαθηταὶ δὲ αὐτοῦ Μνασέας καὶ Μένανδρος καὶ Ἄριστις. [3] ἔγραψε δὲ φιλόσοφα, καὶ ποιήματα, καὶ ἱστορίας. Ἀστρονομίαν, ἢ [4] Καταστηρίγμους. Περὶ τῶν κατὰ φιλοσοφίαν αἱρέσεων. Περὶ ἀλυπίας. Διαλόγους πολλοὺς, καὶ Γραμματικὰ συχνά.

Ἐργαλεῖον. ἔργον τι.

Ἐργάνη. ἡ Ἀθηνᾶ, παρ' ὅσον ἔφορός ἐστι τῆς τῶν γυναικῶν ἐργασίας, ταύτῃ παρὰ Ἀθηναίοις καὶ Σαμίοις εἴρηται. σημαίνει δὲ καὶ τὴν ἐργασίαν.

Ἐργαστῆρας. ἐργάτας. Ὁ δ' ἐνελόχα τινὰς ἐργαστῆρας ἐκ τῶν ἀγρῶν ἐπανιόντας, καί πως λαθὼν εἰς αὐτὸν ἑρπύσας.

Ἐργαστήριον. ἐν ᾧ τινα ἐργάζονται. [5] Πολύβιος· Οὐκ ἔστι, κατὰ [6] τὸν Ξενοφῶντα, ὃς θεασάμενος τὴν πόλιν ἐκείνην, οὐκ ἂν εἶπε πολέμου ἐργαστήριον.

7. Polybius. X. 16.

Ἐργαστικός. [7] Πολύβιος· Ἰδίως δὲ τῶν πολιτικῶν καὶ τῆς τῶν ἐργαστικῶν κατασκευῆς.

Ἐργάτιδες. αἱ ἐργαζόμεναι γυναῖκες τὰ τῶν ἀνδρῶν ἔργα. ἡ εὐθεῖα, ἐργάτις.

Ἐργίσκη.[8] τῆς Θρᾴκης ἐστίν. ἀπὸ Ἐργίσκου τοῦ Ποσειδῶνος καὶ Ἄβας νύμφης.

Ἐργολάβος. οὐχ ὥσπερ ἐν τῇ συνηθείᾳ δοκοῦμεν ἐργολάβον καλεῖν τὸν ὑπέρ τινων ἔργων μισθὸν λαμβάνοντα, καὶ ἔχοντα τοὺς συνεργαζομένους, οὕτω καὶ οἱ ῥήτορες ἐξεδέξαντο τὸν ἐργολάβον· ἀλλ' ἐπὶ φλαύρων πραγμάτων χρῶνται τῷ ὀνόματι· ὡς [9] Δημοσθένης ἐν τῇ πρὸς τὴν Βουλὴν καὶ τὸν δῆμον Ἐπιστολῇ· Πολὺ γὰρ μᾶλλον εὐνοίας καὶ φιλανθρωπίας τὰ παρόν-

Ἐρατεινός. Amabilis. Optabilis.

Ἐρατοσθένης. Eratoſthenes, Aglai, vel, ut alii, tradunt, Ambroſii F. Cyrenæus, Ariſtonis Philoſophi Chii, & Lyſaniæ Cyrenæi Grammatici, & Callimachi Poetæ diſcipulus. Accerſitus Athenis a Ptolemæo tertio, ad quintum uſque vixit. Hic quod in omni doctrinæ genere ſecundum locum teneret, & viris ſummis proximus eſſet, *Beta* vocatus eſt. Alii vero eum Platonem ſecundum, vel juniorem: alii Quinquercionem appellarunt. Natus eſt CXXVI. Olympiade: obiitque anno ætatis LXXX, ex inedia, propter hebetatam oculorum aciem; relicto inſigni diſcipulo Ariſtophane Byzantio: cujus rurſus diſcipulus fuit Ariſtarchus. Ejus vero diſcipuli fuerunt Mnaſeas, & Menander, & Ariſtis. Scripſit Philoſophica: Poemata: Hiſtorias: Aſtronomiam, ſeu de iis, qui inter aſtra relati ſunt. Item de Philoſophorum ſectis: De vacuitate doloris: Dialogos multos; & multa Grammatica.

Ἐργαλεῖον. Inſtrumentum.

Ἐργάνη. Sic apud Athenienſes & Samios dicta eſt Minerva, [ab ἔργον, opus:] quod operum muliebrium eſſet inſpectrix. Significat etiam opus, vel operationem.

Ἐργαστῆρας. Operarios. Opifices. *Ille vero inſidias ſtruxit quibuſdam operariis ex agris domum redeuntibus, & clam ad ipſum prorepſit.*

Ἐργαστήριον. Officina. Polybius: *Nemo eſt quin illa cernens, urbem eam belli officinam, ut Xenophontis verbis utar, diceret.*

Ἐργαστικός. Opifex. Operarius. Polybius: [*Congeſta in forum*] *ſuppellectile & civium & opificum.*

Schweig
Faſcicul
P. 51. leg

Ἐργάτιδες. Operatrices. Operariæ. Sive, mulieres, quæ virorum opera faciunt. Caſus rectus eſt ἐργάτις.

Ἐργίσκη. Ergiſce, locus Thraciæ, ab Ergiſco Neptuni & Abæ Nymphæ filio ſic dictus.

Ἐργολάβος. Non quemadmodum ſecundum vulgarem loquendi conſuetudinem ἐργολάβον vocamus illum, qui mercede operam ſuam locat, & operis ſocios habet; ſic etiam Oratores facere conſueverunt: ſed illi vocem hanc malo ſenſu accipiunt; ut Demoſthenes in Epiſtola ad Senatum & populum: *Præſens rerum ſtatus multo magis benevolentiam & humanitatem*

---

[1] Ἐρατοσθένης] De hoc Eratoſthene vide Voſſium *de Hiſt. Gr.* lib. 1. cap. XVII.

[2] Διὰ δὲ τὸ δευτερεύειν ἐν παντὶ εἴδει παιδείας τοῖς ἄκροις ἐγγίσασι τὰ βήματα ἐπεκλ.] Meurſius ad Heſychium Mileſium pag. 147. recte monuit locum hunc mendoſum eſſe, eumque ſic ſcribi debere: Διὰ δὲ τὸ δευτερεύειν ἐν παντὶ εἴδει παιδείας, τοῖς ἄκροις ἐγγίσαντα, Βῆτα ἐπικληθῆ. Eratoſthenes enim non Βήματα, ſed Βῆτα cognominatus fuit, quod inter eruditos ſecundus ei locus aſſignaretur: ſicut βῆτα ſecunda eſt alphabeti litera. Heſychius Mileſius: Ἐρατοσθένης διὰ τὸ δευτερεύειν ἐν παντὶ εἴδει παιδείας, τοῖς ἄκροις ἐγγίζων, Βῆτα ἐκλήθη. Artemidorus Epheſius, vel, ſecundum alios, Marcianus Heracleota, in *Periplo*: Καὶ μετ' ἐκεῖνον Ἐρατοσθένης, ὃν Βῆτα ἐκάλεσαν οἱ τοῦ Μουσείου προστάντες. Locum hunc Artemidori obſervaverat etiam Pearſonius, & ante eum Voſſius.

[3] Ἔγραψε δὲ φιλόσοφα, καὶ τ.] De ſcriptis Eratoſthenis vide Voſſium loco ante laudato; & Meurſium, partim ad Nicomachi Geraſeni Enchiridion; partim ad Heſychium Mileſium.

[4] Καταστηρίγμους] Imo καταστερισμούς: quo nomine inſcribitur opus Eratoſthenis, hodie adhuc ſuperſtes, quo de aſtris, eorumque nominibus; ſive de iis, qui in aſtra relati ſunt, agitur. Vide etiam infra v. Ἵππαρχος: ubi itidem pro καταστηριγμοῦ legendum eſt καταστερισμοῦ; ut ibi Lectorem monemus.

[5] Πολύβιος] Lib. x. cap. xx. ubi tamen locus hic paulo aliter legitur.

[6] Κατὰ τὸν Ξενοφῶντα] Locus Xenophontis exſtat in *Ageſilao* p. 655. ubi de Epheſo ſic ſcribitur: Ὥστε τὴν πόλιν ὄντως ἡγήσω πολέμου ἐργαστήριον εἶναι. Ad eundem locum Xenophontis reſpexit Athenæus lib. x. pag. 421. ubi ſic ait: Καὶ Μνησίμαχος παράγει τὸ συμπόσιον πολέμου παρασκευὴν ἐπαγγελλόμενον, καὶ ὡς ἀληθῶς, κατὰ τὸν χαριέστατον Ξενοφῶντα, πολέμου ἐργαστήριον.

[7] Πολύβιος]. Lib. x. cap. XVI. unde ſenſus hujus loci ſupplendus eſt.

[8] Ἐργίσκη. τῆς Θρᾴκης ἐστίν. ἀπὸ Ἐργ.] Eadem leguntur apud Harpocrationem & Etymologum.

[9] Δημοσθένης ἐν τῇ πρὸς τὴν Βουλ.] Pag. 116. ubi locus hic rectius ſic legitur: Πολὺ γὰρ μᾶλλον εὐνοίας καὶ φιλανθρωπίας τὰ παρόντα πράγματα δεῖται, ἢ ταραχῆς καὶ δυσμενείας· ὧν ὑπερβολῇ χρώμενοί τινες, ἐργολαβοῦσι καθ' ὑμῶν εἰς ὑποδοχὴν πραγμάτων, ὧν διαψεύσειεν αὐτοὺς ὁ λογισμός. Hanc lectionem in verſione ſecutus ſum.

τὰ πράγματα δεῖται ἐκ ταραχῆς καὶ δυσμενείας, ὡς ὑπερβολῇ χρώμενοι τοῖς ἐργολαβοῦσι καθ' ὑμῶν, εἰς ὑποδοχὴν πραγμάτων, ὧν διαψευσθείεν. καὶ ἔργον, ἐπὶ τοῦ δυσχεροῦς. [1] Πολύβιος· Οἱ δὲ Ῥωμαῖοι πολιορκοῦντες τοὺς Συρακουσίους, ἔργου εἴχοντο, οὐ λογισάμενοι τὴν Ἀρχιμήδους δύναμιν.

Ἐργοκλῆς. στρατηγὸς Ἀθηναίων.

Ἔργον εἰπεῖν. χαλεπὸν εἰπεῖν. καὶ [2] Σοφοκλῆς·

Ἀλλ' οὐδὲν ἔργον ταῦτα θρηνεῖσθαι μάτην,
Ἀλλ' ἑρκτέον τὸ πρᾶγμα σὺν τάχει τινί.

ἀντὶ τοῦ ὄφελος.

Ἐργόφιλος. στρατηγὸς Ἀθηναίων.

Ἐργῶδες. μετὰ πόνου γινόμενον. δυσχερές.

Ἔρδειν. πράττειν.

Ἔρδοι. πράττοι. ἐργάζοιτο.

[3] Ἔρδοι τις ἣν ἕκαστος εἰδείη τέχνην.

Ἐραῖα. ὁ κλάδος. σημαίνει καὶ τῆς ἐλαίας τὸ σκυβαλῶδες.

Ἔῤῥε. φθείρου.

Ἔῤῥε [4], κακὸν σκυλάκευμα· κακὰ μερίς. ἔῤῥε ποθ' ᾅδαν·
Ἔῤῥε, τὸν οὐ Σπάρτας ἄξιον, ὃν ἔτεκον.

Ὦ [5] Ξενοφάνεις, καὶ Διαγόραι, καὶ Ἵππωνες, καὶ Ἐπίκουροι, καὶ πᾶς ὁ λοιπὸς ὄχλος τῶν κακοδαιμόνων τε καὶ θεοῖς ἐχθρῶν, ἔῤῥεσθε.

Ἐρεβεννός. ὁ σκοτεινός. καὶ ἔρεβος, τὸ σκότος.

Ἐρεβησαίων [6] πόλις.

Ἐρέβινθος. τὸ τοῦ ἀνδρὸς αἰδοῖον. [7] Ἀριστοφάνης Νεφέλαις·

Τὸ δέρμα τῶν γεραιτέρων λάβοιμεν ἄν.

ὁ δὲ πρεσβύτης· Ἀλλ' οὐδ' ἐρεβίνθου. τουτέστιν, αἰδοίου. σημαίνει δὲ καὶ τὸ ὄσπριον.

Ἐρεβίνθινος Διόνυσος. ἐπὶ τῶν μηδενὸς ἀξίων.

Ἐρεβοδιφῶντες. τὰ ὑπὸ σκότος ψηλαφῶντες. [8] Οἱ δὲ Ῥωμαῖοι ἀπεπόνουν ἐρεβοδιφῶντες τὰ ὑποχθόνια. Καὶ, ἐρεβοδιφῶσι. τουτέστι, τὰ ὑπὸ γῆν ζητοῦσι καὶ καταμανθάνουσι. [9] Ἀριστοφάνης Νεφέλαις· Ἐρεβοδιφῶσιν ὑπὸ τὸν Τάρταρον.

Ἔῤῥεε. ἔῤῥει. Ἔρεε δὲ, δι' ἑνὸς ρ, ἠρώτα.

Ἐῤῥέθη. ἀντὶ τοῦ ἐλέχθη. [10] Ἐρήθη, ἀντὶ τοῦ ἀνηγορεύθη.

Ἐρεείνω. ἐρωτῶ.

Ἐρεθίζειν. τὸ τῇ ῥιπίδι τὸ πῦρ ἀνάπτειν. καὶ τὸ παρορμᾶν ἐπί τι καὶ παραθήγειν.

requirit, quam turbas & inimicitias: quæ cum modum excedant, nonnulli occaſione illa utentes, ea contra vos moliuntur, quæ ne ad exitum perducant, precor. Et ἔργον dicitur de re difficili & ardua. Polybius: *Romani autem, cum obſiderent Syracuſas, operi inſtabant, non æſtimantes, quantum Archimedes arte ſua efficere valeret.*

Polybius. VIII. 5.1. Vol. III. p. 14. ex Herone de Obſidione toleranda.

Ἐργοκλῆς. Ergocles. Imperator Athenienſiũ.

Ἔργον εἰπεῖν. Moleſtum, vel difficile eſt dicere. Et Sophocles: *Sed nihil prodeſt fruſtra iſta lugere. Quin potius negotio ſtrenue manus admovenda eſt.* Ἔργον enim hic idem ſignificat quod ὄφελος.

Ἐργόφιλος. Ergophilus. Imperator Athenienſium.

Ἐργῶδες. Operoſum. Laborioſum. Difficile.

Ἔρδειν. Facere.

Ἔρδοι. Faciat. Operetur. Exerceat. *Exerceat quiſque quam novit artem.*

Ἐραῖα. Ramus [oleæ.] Significat etiam oleæ excrementa & ſordes.

Ἔῤῥε. Peri. In malam rem abi. [In Epigrammate:] *Pereas, mala ſoboles: ignavorum civium unus. Abi ad Orcum. Pereas. Haud enim te Sparta dignum peperi.* † *O Xenophanes, & Diagoræ, & Hippones, & Epicuri, & cætera turba infelicium & Diis inimicorum hominum! Perite.*

Ἐρεβεννός. Obſcurus. Et ἔρεβος. Obſcuritas.

Ἐρεβησαίων πόλις. Urbs Erebeſæorum.

Ἐρέβινθος. Pudendum virile. Ariſtophanes *Nubibus: Pellem ſenum capiamus.* Senex vero [ſubjicit:] *At non pudendi.* Ἐρεβίνθου enim hic poſitum eſt pro αἰδοίου. Significat etiam cicer, quod eſt genus leguminis.

Ἐρεβίνθινος Διόνυσος. Bacchus cicernus. Dicitur de rebus nullius pretii.

Ἐρεβοδιφῶντες. Scrutantes ea, quæ abſcondita ſunt, & tenebris tecta. *Romani vero ea, quæ tenebris ſubterraneis tecta erant, ſcrutari deſierunt.* Ariſtophanes *Nubibus: Scrutantur ea, quæ ſunt ſub Tartaro.*

Hac voce in Epiſt. XXIV. utitur etiam Theophylact. Simocatta. cujus verba hic citantur ex Lib. II. 7. p. 40.

Ar. Nub.

Ἔῤῥεε. Pro ἔῤῥει. Fluebat. Ἔρεε vero, per unum ρ, interrogabat.

Ἐῤῥέθη. Dictum eſt. Ἐρήθη vero, Renunciatum eſt. Edictum eſt.

Ἐρεείνω. Interrogo.

Ἐρεθίζειν. Flabello ignem accendere. Item, aliquem ad aliquid impellere & incitare.

---

[1] Πολύβιος] Lib. VIII. cap. v.

[2] Σοφοκλῆς] *Ajace*, pag. 51. ut Portus monuit.

[3] Ἔρδοι τις ἣν ἕκαστος εἰδείη τέχν.] Senarius hic legitur apud Ariſtophanem *Veſpis*, pag. 533.

[4] Ἔῤῥε, κακὸν σκυλ.] Diſtichum hoc exſtat Anthol. lib. III. cap. v. pag. 293. ubi integrum Epigramma vide. Ibi autem Pentameter ſic legitur:

Ἔῤῥε. τὸν οὐ Σπάρτας ἄξιον ἐτρέφομες.

Plutarchus vero in *Laconicis Inſtitutis* pag. 241. idem diſtichum ſic exhibet:

Ἀχρεῖον σκυλάκευμα, κακὰ μερίς, ἔῤῥε ποθ' ᾅδαν,
Ἔῤῥε. τὸ μὴ Σπάρτας ἄξιον οὐδ' ἔτεκον.

Confer etiam Anthol. lib. I. cap. v. ubi ſimilis argumenti Epigrammata leguntur.

[5] Ὦ Ξενοφάνεις, καὶ Διαγ.] Fragmentum hoc Kuhnius ad Ælianum refert.

[6] Ἐρεβησαίων π.] Vide an huc referri poſſint, quæ habet Stephanus Byzantius v. Ἔρβισσος.

[7] Ἀριστοφάνης] *Nubibus* pag. 200. (124. Ed. Baſ. *P.*)

[8] Οἱ δὲ Ῥωμαῖοι ἀπεπόνουν ἐρεβ.] Hæc ſunt verba Theophylacti Simocattæ lib. II. cap. VII. eademque leguntur ſupra v. Ἀπεπόνουν; ut Pearſonius etiam obſervaverat.

[9] Ἀριστοφάνης Νεφέλαις] Pag. 134. (70. Ed. Baſ. *P.*)

[10] Ἐρήθη] Scribendum eſt ἐῤῥήθη: ut Portus quoque monuit.

Appianus de Manlio, Conſulis filio — III. Fragm. III. Vol. I. p. 45. Schweigh.

Ἐρέθισμα. ἡ ὕβρις. Ἀππιανός· Ὁ δὲ αὐτὸν εἰς μονομαχίαν προὐκαλεῖτο, σκώπτων ἐς αὐτόν. ὁ δὲ τέως μὲν αὐτοῦ κατεῖχε. μετὰ δὲ, οὐ φέρων ἔτι τὸ ἐρέθισμα, ἀντήλασε τὸν ἵππον.

Ἐρέμβοντο.[1] ἀπεπλανῶντο. Οἱ δὲ ἐρέμβοντο κατὰ τὴν χώραν ἕνεκα τῆς ἰδίας ὠφελείας.

Ἐρεμνή. σκοτεινή. παρὰ τὸ ἔρεβος, ἐρεβεννή, καὶ ἐρεμνὴ, κατὰ συγκοπήν.

Ἐρέννιος.[2] Φίλων ὁ Βύβλιος, ὁ Ἐρέννιος χρηματίσας, ὡς αὐτός φησιν.

Ἐρεοῦν κλῶσμα. τὸ τοῦ μαλλίου.

Ἐρέσσειν. — ἐρεσσόντων. Ph.

Ἐρέσσειν.[3] συντόνως ἐσθίειν. ἀπὸ τῶν ἐρεσσόντων.

Ἐρέσιον. πόλις Βοιωτίας.

Ἐρέσσουσιν.[4] εὐτόνως κινοῦσιν. ἀπὸ τῶν ἐρεσσόντων. ἢ ἐλαύνουσι. κινοῦσι. [5] Τοίας ἐρέσσουσιν ἀπειλάς.

Ἐρέσσων. κωπηλατῶν.

[6] Οὐκέτι μ', ὡς τὸ πάρος πυκιναῖς πτερύγεσσιν ἐρέσσων,
Ὄρσεις ἐξ εὐνῆς ὄρθριος ἐγρόμενος.

Ἐρεσχελεῖται. φλυαρεῖται.

Ἐρεσχελία. ἡ φλυαρία.

Ἐρεσχηλοῦντα. — ἐρίζοντα. Ph.

Ἐρεσχελοῦντα, σκώπτοντα, καὶ χλευάζοντα, καὶ οἷον ἐρίζοντα.

Ἐρέτης. ὁ κωπηλάτης.

Ἐρετμῶσαι. κωπηλατῆσαι.

Ἐρρέτω. οἰμωζέτω. φευγέτω. Ὁ πόλεμος ἐρρέτω. τουτέστι, χαιρέτω. ὅ ἐστιν, οὐδεμίαν φροντίδα τοῦ πολέμου ποιούμεθα. Ἀριστοφάνης.

Ἐρετριεύς. ὄνομα κύριον, καὶ ἐθνικόν. καὶ Ἐρετρία, πόλις.

Ἐρεχθεΐδης. ὁ τοῦ Ἐρεχθέως παῖς.

Ἔρρεψεν. [7] Ἰώσηπος· Ἔρρεψε μέν τοι καὶ Ἡρώδῃ τὸ βούλευμα.

Ἐρέψεις. καλύψεις. Νεῶν τε ἐρέψεις προὔφερον.

Ἐρέψιμον. εἶδος πόας. σημαίνει δὲ καὶ τὸ ἄκαρπον φυτόν.

Ἔρρει. ἀφθόνως ἐχορηγεῖτο. Ἔρρει γὰρ οἱ κατὰ πρύμναν τὰ ἐκ τῆς τύχης, καὶ πᾶσιν, οἷς ἐπέθετο, τούτων ἡμάρτανεν οὐδενός.

Ἔρρει. κατέπιπτε. καὶ, [8] Ἔρρειν στελέχη φέροντας. ἀντὶ τοῦ, ἤκουσα ἐπέρχεσθαι ξύλα φέροντας.

Ἐρείδειν.[9] οὕτω φασὶν οἱ Ἀττικοὶ πᾶν ὁτιοῦν συν-

Ἐρέθισμα. Irritatio. Provocatio. Contumelia. Appianus: *Ille ad ſingulare certamen eum provocabat, cavillis ipſum inſectans. At ille aliquandiu quidem ſe continuit. Poſtea vero cum provocationem illam amplius ferre non poſſet, equum in eum concitavit.*

Ἐρέμβοντο. Vagabantur. *Illi vero per regionem utilitatis privatæ cauſa vagabantur.*

[3] Καλῶς κεκλασμ.] Imo potius ῥαδίως κεκλασμένον: quam lectionem in verſione expreſſi.

[4] Ἐν Ἐπιγράμματι] Anthol. lib. III. cap. XXV. Epigr. XXVI. ut Portus etiam monuit. Sed ibi pro βαρὺν ὕμνων rectius una voce legitur, βαρυύμνων.

[5] Ἀριστοφάνης Νεφέλαις] Pag. 140. (75. Ed. Baſ. P.)

πατέρα ἐπιθέμενος τοῖς ὤμοις, ἐξῆγε φόρτον, ὡς ᾔει φιλοπάτορι καὶ τοῦτον εὐάγκαλον. οὕτω φησὶν Αἰλιανός.

Εὐαγόρας, Λίνδιος, ἱστορικός. ἔγραψε βίον Τιμαγένους, καὶ ἑτέρων λογίων ζητήσεις, κατὰ στοιχεῖον. Θουκυδίδου τέχνην ῥητορικὴν, ἐν βιβλίοις ε΄. Τῶν παρὰ Θουκυδίδῃ ζητουμένων κατὰ λέξιν. Ἱστορίαν, περιέχουσαν τὰς Αἰγυπτίων βασιλείας.

Εὐάγωγον. εὐχερές. καλῶς ἀναγόμενον. ἢ εὐάγωγον. εὐθήρατον. εὔληπτον.

Εὐάγριος. οὗτος ἔγραψε διάφορα· καὶ ὑπόμνημα εἰς τὰς παροιμίας τοῦ Σολομῶντος.

Εὔαδεν. ἤρεσεν.

Εὐάθλους[1] δέκα. Εὔαθλος ῥήτωρ ἦν πονηρός. Ἀριστοφάνης Ὁλκάσιν·

Ἔστι τις πονηρὸς ἡμῖν τοξότης συνήγορος,
Ὥσπερ Εὔαθλος παρ' ἡμῖν τοῖς νέοις.

ἦν δὲ καὶ εὐρύπρωκτος, καὶ λάλος, καὶ ἀγεννής. διὸ καὶ τοξότην αὐτὸν καλεῖ, οἷον ὑπηρέτην.

Εὐάλωτον. εὐκόλως χειρούμενον.

Εὐανακλήτως. συμπαθῶς. [2]Καὶ πρὸς τοὺς χαλεπήναντας καὶ πλημμελήσαντας εὐανακλήτως ἔχειν, καὶ εὐαναδιδάκτως, ἐπειδὰν αὐτοὶ ἐπανελθεῖν θέλωσι.

Εὐανδρεία. Δείναρχος. Εὐανδρείας ἀγὼν ἤγετο.

Εὐανθὴς γλῶσσα. ἡ ἄκρως ἠττικισμένη ὁμιλία, καὶ πολλῶν γέμουσα χαρίτων, καὶ μουσικῶν ἀπηχημάτων ἀπόζουσα.

Εὐάντητος. εὐαπάντητος. ἔστι δὲ καὶ ὄνομα κύριον.

Εὐάντυγα. εὐάξονα.

Εὐάρεστος.

Εὐαρεστῶ. δοτικῇ.

Εὐαρίθμητοι. ὀλίγοι. Ἐν εὐαριθμήτοις ἡμέραις τῷ Καίσαρι συνόντες. ἀντὶ τοῦ, ὀλίγαις.

Εὐαρμοστότερος. τοῦ συμφέροντος στοχαζόμενος. [3]Ὁ δὲ ἐδόκει πρὸς πάντας τοὺς καιροὺς εὐαρμοστότερος εἶναι [4]Πεισιστράτου, διὰ τὸ βαθύτερος τῇ φύσει, καὶ στασιμώτερος μᾶλλον, ἢ τολμηρότερος ὑπάρχειν.

Εὐαστήρ. ἐπίθετον Διονύσου. παρὰ τὸ εὐοῖ ἐνθουσιαστικόν. ἐν [5]Ἐπιγράμματι·

Ἀγρονόμῳ τάδε Πανὶ, καὶ Εὐαστῆρι Λυαίῳ,
Πρέσβυς, καὶ Νύμφαις, Ἀρκὰς ἔθηκε Βίτων.

Εὐαφές. εὐμάλακτον. εὐψηλάφητον.

patrem humeris impoſitum [*Troja*] *extulit, onus filio pio portatu facile.* Sic Ælianus inquit.

Εὐαγόρας. Euagoras, Lindius, Hiſtoricus. Scripſit vitam Timagenis, & aliorum doctorum virorum quæſtiones, ordine alphabetico. Thucydidis artem Rhetoricam, libris quinque. De difficilioribus & obſcurioribus dictionibus apud Thucydidem. Hiſtoriam Regum Ægyptiorum.

Εὐάγωγον. Quod facile duci, vel tractari poteſt. Bene educatum. Vel, quod facile capi poteſt.

Εὐάγριος. Euagrius. Hic varia ſcripſit, & inter ea, commentarium in Proverbia Salomonis.

Εὔαδεν. Placuit.

Εὐάθλους δέκα. Euathlos decem. Euathlus erat orator improbus. Ariſtophanes *Holcadibus: Eſt nobis improbus ſagittarius patronus, ut Euathlus apud nos juniores.* Idem autem & latum culum habebat, eratque garrulus & ignobilis. Ideo & ſagittarium eum vocat: quod idem eſt, ac ſi diceret, miniſtrum.

Εὐάλωτον. Quod facile capi poteſt.

Εὐανακλήτως. More ejus, qui facile placari & ab ira revocari poteſt. *Placabilem & reconciliatu facilem eſſe adverſus eos, qui offenſionis cauſam dederunt, vel aliquid deliquerunt, ſimulac illi in gratiam redire voluerint.*

Εὐανδρία. Fortitudo. Dinarchus: *Certamen fortitudinis agebatur.*

Εὐανθὴς γλῶσσα. Sermo ſumme Atticus, multiſque leporibus plenus, & numeros muſicos redolens.

Εὐάντητος. Cui facile occurri poteſt. Cujus fauſtus eſt occurſus. Eſt etiam nomen proprium.

Εὐάντυγα. Pulchros axes habentem.

Εὐάρεστος. Valde gratus.

Εὐαρεστῶ. Dativo jungitur. Valde placeo.

Εὐαρίθμητοι. Pauci. *Per dies paucos cum Cæſare verſati.*

Voce utitur Eunapius in Legat. p. 21. A.

Εὐαρμοστότερος. Convenientior. Accommodatior. Qui conjicere novit, quid e re ſit. *Ille vero videbatur ad omnia tempora accommodatior eſſe, quam Piſiſtratus, quod ingenio ſagaciore, & majore conſtantia, quam audacia, præditus eſſet.*

Εὐαστήρ. Euaſter. Epithetum Bacchi. Ab εὐοῖ, quæ eſt vox bacchantium. In Epigrammate: *Pani rure degenti, & Euaſteri Baccho, & Nymphis, ſenex Arcas Biton hæc dedicavit.*

Εὐαφές. Molle. Tactu facile.

---

[1] Εὐάθλους δέκα] Ariſtophanes *Acharnenſ.* pag. 405. (290. Ed. Baſ. P.)

Ἀλλὰ κατεπάλαισε μ' ἂν πρῶτον Εὐάθλους δέκα.

Vide ibi Scholiaſtam, cujus verba Suidas hic deſcripſit. Idem Scholiaſta ad *Veſpas* pag. 472. Εὔαθλος, ῥήτωρ, συκοφάντης· οὗ μνημονεύει καὶ ἐν Ἀχαρνεῦσι καὶ ἐν Ὁλκάσιν.

[2] Καὶ πρὸς τοὺς χαλεπήναντας καὶ πλημμελήσαντας εὐανακλ.] Hæc ſunt verba Marci Antonini lib. 1. §. vii. ut Pearſonius etiam obſervaverat. Sed ibi pro εὐαναδιδάκτως hodie legitur εὐδιαλέκτως: pro quo Xylander, probante etiam Gatakero, reponit, εὐδιαλλάκτως; quam lectionem, utpote meliorem, & nos hic in verſione ſecuti ſumus.

[3] Ὁ δὲ ἐδόκει πρὸς πάντας τοὺς κ.] Hæc ſunt verba Polybii de Pamphilida Rhodiorum Nauarcho, ut diſcimus ex Collectaneis Conſtantini a Valeſio editis, p. 110. ubi locus hic auctior legitur.

[4] Πεισιστράτου] Scribe Πασιστράτου: ut habet Polybius loco laudato.

[5] Ἐν Ἐπιγράμματι] Anthol. lib. vi. cap. vii. Epigr. x. ut Portus etiam monuit.

Εὐάφορα. εὔσκοπα. εὐθεώρητα. Κολωνὸν ἐπιλεξάμενος, ἀφ' οὗ τά τε ἔμπροσθεν καὶ τὰ κατόπιν εὐάφορα ἦν, λόχον ἐπ' αὐτοῦ ἐπέστησεν.

Εὖ βεβηκότα. εὐσταθῆ.

Εὐβοεῖς. ἐθνικόν.

Εὔβολον. καλὰ βοσκήματα ἔχουσαν.

Εὐβουλία. ἐπιστήμη τοῦ σκοπεῖσθαι, ποῖα καὶ πῶς πράττοντες πράξομεν συμφερόντως.

Εὔβουλος. δημαγωγὸς ἦν ἐπιφανέστατος.

Εὔβουλος, [1] Κήττιος, Ἀθηναῖος, υἱὸς Εὐφράνορος, κωμικός. ἐδίδαξε [2] δράματα ρδʹ. ἦν δὲ κατὰ ρά Ὀλυμπιάδα, μεθόριος τῆς μέσης κωμῳδίας, καὶ τῆς παλαιᾶς.

Εὔβοια. ἡ νῆσος.

Εὐγαίων. ὄνομα κύριον.

Εὖγε. καλῶς. ὁσίως. λέγεται κατ' εἰρωνείαν πολλάκις.

Εὐγενάτορος. σοφιστοῦ τινος.

Εὐγενέστερος Κ. τοῦ υἱοῦ Μ. τοῦ Μ. π. δὲ Μ. καὶ Νείλεω. οὗτος ὁ Κ. Δ. ε. Α. ε. τοὺς ἐκ Π. φ. ἐδέξατο ἐν οἷς καὶ Μ. χ. δὲ α. δ. α. τὴν πόλιν, ἐὰν α. τοῦ τῶν π. β. νοήσας τὸν χ. α. υ. ε. καὶ ε. τοῖς φ. τῶν Δ. ἕνα ἐξ α. α. Δ. δὲ οἱ λ. σ. α. ἀνεῖλον· ὡς δήμ. [sic]
Photius.

Εὐγενέστερος Κόδρου. τοῦ υἱοῦ Μελάνθου τοῦ Μεσσηνίου, πατρὸς δὲ Μέδοντος, καὶ Νηλέως. οὗτος ὁ Κόδρος Δωριέων ἐπιστρατευσάντων Ἀθηναίοις, ἐπεὶ τοὺς ἐκ Πελοποννήσου φυγάδας προσεδέξαντο, ἐν οἷς καὶ Μέλανθον, χρησμοῦ δὲ αὐτοῖς δοθέντος, αἱρήσειν τὴν πόλιν, ἐὰν ἀπόσχωνται τοῦ τῶν πολεμίων βασιλέως, νοήσας τὸν χρησμὸν, ἀναλαβὼν ὑλοτόμου ἐσθῆτα, καὶ ἐντυχὼν τοῖς φύλαξι τῶν Δωριέων, ἕνα ἐξ αὐτῶν ἀνεῖλε. διοργισθέντες δὲ οἱ λοιποὶ, συλλαβόντες αὐτὸν ἀνεῖλον, ὡς Εὔδημος. οἱ δὲ περὶ Κόδρου φασὶν, ὅτι βασιλεύσαντος αὐτοῦ Ἀθηναίων, τοῖς Λακεδαιμονίοις γενομένης ἀφορίας κατὰ τὴν χώραν πᾶσαν, ἔδοξε στρατεύειν ἐπὶ τὰς Ἀθήνας, ὅπως ἐξαναστήσαντες τῆς Ἀττικῆς τοὺς ἐνοικοῦντας, αὐτοὶ κατανείμωνται τὴν χώραν. καὶ πυνθάνονται τῆς Πυθίας, εἰ λήψονται τὰς Ἀθήνας. ἀνελόντος δὲ αὐτοῖς τοῦ Θεοῦ, ὅτι τὴν πόλιν οὐχ αἱρήσουσιν, ἐὰν τὸν βασιλέα τῶν Ἀθηναίων Κόδρον ἀποκτείνωσι· καὶ ἐστράτευσαν ἐπὶ τὰς Ἀθήνας. Κλεομένην δὲ τὸν Δελφὸν πυθέσθαι τὸν χρησμὸν, καὶ ἀποστεῖλαι Ἀθηναίοις. τοῦτο μαθὼν ὁ Κόδρος, πρὸ τῆς πόλεως ἐξελθὼν, φρύγανα συνέλεγε. δύο δέ τινων ἐλθόντων πρὸς αὐτὸν, πυνθάνεσθαι τίς εἴη. ὁ δὲ Κόδρος τῷ δρεπάνῳ πλήξας, ἀπέκτεινε τὸν ἕτερον αὐτῶν. ὁ δὲ ἕτερος ἀνεῖλε τὸν Κόδρον. οἱ δὲ ῥήτορες τῷ Κόδρου ἐπὶ τοῦ ἐντίμου ἐχρήσαντο, ὥς φησιν Εὔδημος ἐν τῷ περὶ λέξεων ῥητορικῶν.

Εὐάφορα. Loca edita, unde longe proſpici poteſt. *Cum collem elegiſſet, unde & anteriora & poſteriora facile proſpici poterant, inſidias in eo collocavit.*

Εὖ βεβηκότα. Stabilem, Firmum.

Εὐβοεῖς. Euboœnſes. Nomen gentile.

Εὔβοτον. Bonas pecudes habentem. Paſcuis abundantem.

Εὐβουλία. Prudentia. Sive, ſcientia diſpiciendi, quid & quomodo aliquid faciendum ſit, ut commodis noſtris conſulatur.

Εὔβουλος. Eubulus. Fuit demagogus clariſſimus.

Εὔβουλος. Eubulus, Cettius, Athenienſis, Euphranoris filius, Comicus. Docuit fabulas CIV. vixitque Olympiade CI. medio inter mediam & veterem comœdiam tempore.

Εὔβοια. Eubœa, inſula.

Εὐγαίων. Eugæon. Nomen proprium.

Εὖγε. Euge. Id eſt, bene, præclare. Sæpe etiam per ironiam dicitur.

Εὐγενάτορος. Eugenatoris. Sophiſtæ cujuſdã.

Εὐγενέστερος Κόδρου. Generoſior Codro. Hic erat filius Melanthi Meſſenii; pater vero Medontis & Nelei: qui, cum Dorienſes bellum Athenienſibus intuliſſent, quod ex Peloponneſo profugos recepiſſent, (inter quos & Melanthũ) cumque oraculum ipſis redditum fuiſſet, ipſos urbem capturos eſſe, ſi ab hoſtium Rege manus abſtinerent; ille cognito hoc oraculo, ſumpta lignatoris veſte, cum incidiſſet in Dorienſium cuſtodes, unum ex ipſis interfecit. Reliqui igitur, ut ait Eudemus, ira accenſi eum comprehenſum viciſſim occiderunt. Alii vero de Codro rem ita narrant. Codro Athenis regnante, cum tota Laconia ſterilitate laboraret, Lacedæmoniis viſum eſt bellum Athenis inferre, ut expulſis Atticæ incolis, ipſi regionem illam inhabitarent. Quare Pythiam conſuluerunt, an Athenas eſſent capturi. Cum autem Deus ipſis reſpondiſſet, ipſos urbem non capturos, ſi Codrum Athenienſium Regem interfeciſſent, ita demum Athenis bellum intulerunt. Sed Cleomenem Delphum hoc oraculum audiviſſe, & Athenienſibus miſiſſe [dicunt.] Quo Codrus cognito, progreſſus ex urbe, ſarmenta collegit. Duobus autem eum adeuntibus, ut ex eo quærerent, quiſnam eſſet; Codrus alterum ipſorum falce percuſſum occidit. Quo facto, alter Codrum viciſſim interfecit. Oratores vero Codri nomine utuntur pro honorato [& nobili:] ut ait Eudemus in Lexico Rhetorico.

---

[1] Κήττιος] Menagius ad Laert. lib. II. ſegm. LX. recte monuit, legendum eſſe Σφήττιος; a Σφηττὸς, quod erat nomen populi Attici, tribus Acamantidis, ut ex Grammaticis conſtat. Hinc etiam Æſchines Socraticus dictus fuit Σφήττιος, teſte Suida ſupra v. Αἰσχίνης.

[2] Δράματα ρδʹ] Sic habent MSS. Pariſ. At priores Editt. κδʹ: i. e. XXIV. quæ immanis eſt differentia. Scripſiſſe autem Eubulum plures fabulas, quam XXIV. ſatis patet ex eo, quod tituli fabularum, ab auctoribus hodie adhuc exſtantibus laudatarum, numerum illum excedant; quorum ecce catalogum: Ἀγκύλων. Ἀγχίσης. Ἀμαλθεία. Ἀμφίβολος. Ἀνασωζόμενοι. Ἀντιόπη. Ἄστυτοι. Αὔγη. Βελλεροφόντης. Γανυμήδης. Γλαῦκος. Δαίδαλος. Δαμαλία. Δευκαλίων. Διογένους πρᾶσις. Διόνυσος. Εὐρώπη. Ἠχώ. Ἰάλεμος. Ἰξίων. Ἴων. Καλαθηφόροι. Κάλλαισχρος. Καμπυλίων. Κατακολλώμενος. Κέρκωπες. Κλεψύδρα. Κυβευταί. Λάκωνες. Λάκωνες, ἢ Λήδα. Λυδία. Μήδεια. Μυλωθρίς. Μυσοί. Ναννίον. Ναυσικάα. Νεοττίς. Ξοῦθος. Ὀδυσσεὺς, ἢ Πανόπται. Οἰδίπους. Ὀλβία. Ὀρθάνης. Πάμφιλος. Παννυχίς. Παρμενίσκος. Πέλοψ. Πορνοβοσκός. Προκρίς. Προσουσία, ἢ Κύκνος. Σεμέλη, ἢ Διόνυσος. Στεφανοπώλιδες. Σφιγγοκαρίων. Τιτθαί. Τιτᾶνες. Τύραννος. Φοῖνιξ. Χάριτες. Χρυσίλλα. Ψάλτρια. Vide Meurſium in *Bibliotheca Attica*.

Εὐγένεια. ἡ καλὴ γενεά. Εὐγενία δὲ, ὄνομα κύριον, διὰ τοῦ ι.

Εὐγενής. ἐπὶ γένους. ἢ ἐπὶ πατρίδος. Ἐπὶ δὲ τῆς τελευτῆς, ἐπεὶ ἔδει τῶν ὅπλων παράδοσιν ποιήσασθαι, ὀδυρμός τις εὐγενὴς ἦν, καὶ παράστασις ψυχῆς πρὸς ἐλευθερίαν ἐνέπεσε τοῖς πλήθεσι. [1] Σοφοκλῆς·

Ἀλλ' ἢ καλῶς ζῆν, ἢ καλῶς τεθνηκέναι
Τὸν εὐγενῆ χρή. πάντ' ἀκήκοας λόγον.

Εὐγένιος,[2] Τροφίμου, Αὐγουστοπόλεως, τῆς ἐν Φρυγίᾳ, γραμματικός. οὗτος ἐδίδαξεν ἐν Κωνσταντίνου πόλει, καὶ τὰ μάλιστα διαφανὴς ἦν, πρεσβύτης ἤδη ὢν, ἐπ' Ἀναστασίου βασιλέως. ἔγραψε κωλομετρίαν τῶν μελικῶν Αἰσχύλου, Σοφοκλέους, καὶ Εὐριπίδου, ἀπὸ δραμάτων ιέ. περὶ τοῦ, Τί τὸ παιωνικὸν, παλιμβάκχιον. περὶ τῶν τεμενικῶν, ὅπως προφέρεται· οἷον Διονύσειον, Ἀσκληπίειον. Παμμιγῆ λέξιν, κατὰ στοιχεῖον. ἔχει δὲ καὶ τὰ παράδοξα περὶ τόνον, ἢ πνεῦμα, ἢ γραφὴν, ἢ μῦθον, ἢ παροιμίαν, ἑπόμενα αὐτῇ. περὶ τῶν εἰς α ληγόντων ὀνομάτων, οἷον ἔνδεια, ἢ ἐνδία· καὶ πότε διφορεῖται· καὶ ἄλλα τινὰ τρίμετρα ἰαμβικά.

Εὔγειος. τόπος καλὴν ἔχων γῆν. καὶ οὐδετέρως τὸ εὔγειον. τὸ [3] πρὸς τὴν δύσιν κείμενον.

Εὐγηρότατος. καλὸς γέρων. ἀξιότιμος.

Εὐγνωμοσύνη. εὔνοια. γνησιότης.

Εὔγνωτος. Φανερός.

Εὐγράμματον ὄνομα. τὸ εὔφημον. οὐκ εὐγράμματον δὲ, τὸ δύσφημον· ὡς τὸ, Νεφέρσωφρις Αἰγύπτου βασιλέως.

Εὐδαμίδας. ὄνομα κύριον.

Εὐδαῖμον. Καὶ γηρῶντι γῆρας εὐδαῖμόν τε καὶ μακαριστόν. καὶ εὐδαιμονέστατος. εὐτυχής. πλουσιώτατος. μακαριστότατος. Εὐδαιμονία δέ ἐστιν, [4] εὔροια βίου. καὶ εὐδαίμων, ὁ κατ' ἀρετὴν ἐνεργῶν.

Εὐδαιμονέστερος [5] τῶν Καρκίνου στροβίλων. ἀντὶ τοῦ, κακοδαιμονέστατος. ἐν εἰρωνείᾳ. Στροβίλους φησὶν Ἀριστοφάνης τοὺς υἱοὺς Καρκίνου τοῦ ποιητοῦ, οὓς ἀνωτέρω ὄρτυγας καὶ γυλιοτραχήλους εἴρηκε, διὰ τὸ [6] τραχὺ τοῦ σώματος. ἢ πρὸς τὸ τοῦ καρκίνου ὄνομα παίζων. ὀστρακόδερμοι γὰρ οἱ καρκίνοι· καθάπερ καὶ οἱ στρόβιλοι. ἢ διὰ τὸ ἐν τῇ ὀρχήσει στροβεῖσθαι. ἐπεὶ καὶ οἱ στρόβιλοι κώνων ἔχουσι δίκην. ἢ ὅτι στρόβιλός ἐστιν ἡ συστροφή. στροβίλους οὖν εἶπε, καθὰ καὶ ἀλλαχοῦ, γυλιαύχενας. καὶ [7] Σοφοκλῆς·

Εὐγένεια. Nobilitas generis. Εὐγενία vero, per ι, nomen proprium. Eugenia.

Εὐγενής. Nobili genere natus. Vel, claram patriam habens. Generoſus. *Poſtremo vero, cum arma tradenda eſſent, generoſa quædam lamentatio exorta eſt, & animi multitudinis ad libertatem tuendam incitati ſunt.* Sophocles: *Sed aut honeſte vivere, aut honeſte mori virum generoſum oportet. Rem totam audiviſti.*

Εὐγένιος. Eugenius, Trophimi filius, Auguſtopolitanus, Phryx, Grammaticus: docuit Conſtantinopoli, ubi valde clarus fuit, cum jam eſſet ſenex, ſub Anaſtaſio Imperatore. Scripſit de dimenſione verſuum melicorum Æſchyli, Sophoclis, & Euripidis, in fabulis xv. De Pæonio & Palimbacchio. De nominibus templorum, & quomodo ea proferri debeant: ut Διονύσειον, Ἀσκληπίειον. Vocabula miſcellanea ordine alphabetico: in quo opere etiam nova quædam & ſingularia habet ad accentum, ſpiritum, ſcripturam, fabulam, aut proverbium pertinentia. De nominibus in α deſinentibus, ut ἔνδεια, vel ἐνδία: & quando ea bifariam efferantur. Item, alia quædam Jambica trimetra.

Εὔγειος. Fertile & bonum ſolum habens. Et in neutro genere εὔγειον. Quod ad occaſum ſitum eſt.

Εὐγηρότατος. Cui fortunata eſt ſenectus. Senex honore dignus.

Εὐγνωμοσύνη. Benevolentia. Animus ingenuus.

Εὔγνωτος. Notus. Facilis cognitu.

Εὐγράμματον ὄνομα. Nomen boni ominis. At οὐκ εὐγράμματον, nomen mali ominis: ut illud Regis Ægypti nomen, Nepherſophris.

Εὐδαμίδας. Eudamidas. Nomen proprium.

Εὐδαῖμον. Beatum. *Et ſeneſcenti ſenectus [contigit] fortunata, & digna quam omnes beatam prædicarent.* Et εὐδαιμονέστατος, beatiſſimus, feliciſſimus. Εὐδαιμονία vero, eſt vitæ proſperitas. Et εὐδαίμων i. e. felix, eſt ille, qui ſecundum virtutem agit.

Εὐδαιμονέστερος τῶν Καρκ. Felicior Carcini ſtrobilis. Id eſt, Infeliciſſimus. Per ironiam enim hoc a poeta dictum eſt. Nuces pineas autem Ariſtophanes appellat Carcini poetæ filios, quos ſupra coturnices vocaverat, & collum gylio ſimile habere dixerat, propter corporis aſperitatem. Vel alludit ad nomen cancri. Cancri enim teſtis tecti ſunt: ut & conchæ illæ, quæ ſtrobili, vel turbines vocantur. Vel, propter orbiculatas illorum ſaltationes. Nam & ſtrobili coni figuram habent, & in acutum deſinunt. Vel quia στρόβιλος eſt tur-

---

[1] Σοφοκλῆς] *Ajace*, pag. 29. ut Portus monuit.

[2] Εὐγένιος] Hujus Eugenii meminit Stephanus Byzantius v. Ἀνακτόριον.

[3] Τὸ πρὸς τὴν δύσιν κείμενον] Hæc interpretatio non pertinet ad vocem εὔγειον, ſed εὐδείελον; quæ duo vocabula neſcio quomodo Suidas hic confuderit. Scholiaſta Homeri ad Odyſſ. Β. v. 167. Εὐδείελον. εὖ πρὸς δείλην κειμένην. Et ad Odyſſ. Ι. v. 21. Εὐδείελον. πρὸς δύσιν τῶν ἄλλων κειμένην.

[4] Εὔροια] Hæc vox Stoicis propria erat, qua illi felicitatem & proſperitatem ſignificabant. Sextus Empiricus lib. x. contra Mathematicos: Εὐδαιμονία ἐστὶν, ὥς οἵ τε περὶ τὸν Ζήνωνα καὶ Κλεάνθην καὶ Χρύσιππον ἀπέδοσαν, εὔροια βίου. Laert. in *Zenone Citt.* ſegm. LXXXVIII. Εἶναι δ' αὐτὸ τοῦτο τὴν τοῦ εὐδαίμονος ἀρετήν, καὶ εὔροιαν βίου, &c. Vide ibi Menagium.

[5] Εὐδαιμονέστερος τῶν Καρκίνου στροβίλων. ἀντὶ τοῦ κακοδ.] Ex Scholiaſta Ariſtophanis ad *Pacem*, pag. 688. (467. Ed. Baſ. *P.*)

[6] Τραχὺ τοῦ σώματος] Sic etiam habet Scholiaſta Ariſtophanis. Sed cum Porto legere malim, βραχὺ τοῦ σώματος. Filii enim Carcini ob brevitatem corporis & exiguam ſtaturam a Comicis perſtringebantur: unde Ariſtophanes in eadem fabula, pag. 682. eos νανοφυεῖς, i. e. nanorum ſtaturam habentes, appellat.

[7] Σοφοκλῆς] *Oedip. Colon.* pag. 276. ut Portus monuit. Ibi autem pro εὐδαιμονῆσαι rectius legitur εὐδαιμονίσαι, per ι.

Οὐ πάνυ μοίρας εὐδαιμονήσαι
Πρώτης. ———

ἀντὶ τοῦ, οὐκ ἀγαθῆς, ἀλλὰ κακῆς. οὐ πάνυ τῆς πρώτης κατ᾽ εὐδαιμονίαν μοίρας· τοὐναντίον δὲ, κατὰ δυσδαιμονίαν ἐσχάτης.

Εὐδαιμονία. εὐτυχία. εὐπραγία.

Εὐδαιμονία,[1] καὶ εὐδαίμων. Εἰσί τινα τῶν ἐναντίων ἄμεσα· οἷον τῷ ἀνθρώπῳ, [2]νόσον, καὶ ὑγίειαν· καὶ λευκὸν, καὶ μέλαν. εὐδαίμων δὲ, καὶ κακοδαίμων, τῶν ἐμμέσων. εἰ γάρ τις εὐδαίμων, οὗτος οὐ κακοδαίμων. οὐ μὴν εἰ οὐκ εὐδαίμων, κακοδαίμων ἐξ ἀνάγκης. οὐ γὰρ ἀμέσως ἀντίκειται εὐδαιμονία τε καὶ κακοδαιμονία· ἐπεὶ ἐνδέχεταί τινα σπουδαῖον ὄντα, μὴ εἶναι εὐδαίμονα. καὶ εἰ μὲν οὐ σπουδαῖος, οὐκ ἐξ ἀνάγκης κακός. οὐ γὰρ ἄμεσα ἀρετὴ καὶ κακία. καὶ ὁ μὲν σώφρων οὐ μαίνεται· οὐ μὴν ὁ μὴ σώφρων, μαίνεται. ὥστε οὐκέτι πρὸς κατασκευὴν καὶ ἀνασκευὴν τὰ οὕτως ἐναντία χρήσιμα. μεταφέροντες δὲ τὸν λόγον κατὰ τὴν ἐτυμολογίαν, λέγομεν, ὅτι ὁ σπουδαῖος εὐδαίμων ἐστί· τὸν εὐδαίμονα μεταλαμβάνομεν εἰς τὸν κατὰ τὴν ἐτυμολογίαν λόγον. ὁ γὰρ εὖ τὸν δαίμονα ἔχων, σημαίνεσθαι δοκεῖ τῷ τοῦ εὐδαίμονος ὀνόματι. εἰ δὴ δαίμων ἑκάστου ἡ ψυχὴ, καθὰ Ξενοκράτει δοκεῖ· εἴη ἂν εὐδαίμων, ὁ εὖ τὴν ψυχὴν ἔχων. εὖ δὲ τὴν ψυχὴν ἔχει ὁ σπουδαῖος. σπουδαῖος δὲ ἄρα ὁ εὐδαίμων.

Εὐδαίμων. Πολλὰ μὲν οὖν χρήματα εὑρίσκεται, καὶ ἄλλα, ὅσα ἐπὶ προσλήψει τοῦ εὐδαίμονος ὠφελεῖ τοὺς ἔχοντας.

Εὐδαίμων. ὁ πλούσιος. ὁ ἐνάρετος. Πᾶσα ἀνάγκη τοῖς μὲν ἀγαθοῖς ἐν ᾅδου ἔσεσθαι ἄμεινον· τοῖς δὲ κακοῖς κάκιον. οἶμαι δὲ καὶ ἐνθάδε ἔτι διατρίβουσι, τοῖς μὲν δικαίοις, ἀκολουθήσειν εὐδαίμονα χάριν· τοῖς δὲ ἀδίκοις, κακοδαίμονα τίσιν.

Εὐδαίμων, Πηλουσιώτης, γραμματικὸς, σύγχρονος Λιβανίου τοῦ σοφιστοῦ· πρὸς ὃν καὶ [3]διαφόρως φαίνεται γράφων. οὗτος ἔγραψε ποιήματα διάφορα· Τέχνην γραμματικήν· Ὀνοματικὴν ὀρθογραφίαν.

Εὐδαίμων[4] ὁ Κορίνθιος, ἐγὼ [5]δ᾽ εἴην Τενεάτης. [6]Τεναια δὲ κώμη πλησίον Κορινθίων κατάφυλος. ὡς

bo venti. Στροβίλους igitur eos appellavit; quemadmodum & alibi γυλιαύχενας, i. e. collum gylii inſtar oblongum habentes. Et Sophocles: *Sors mea non eſt talis, ob quam felix cenſendus ſim.* Vel, ſors mihi obtigit, non bona, ſed mala. Vel, ſors mea non eſt felicitatis primæ, ſed potius infelicitatis extremæ.

Εὐδαιμονία. Beatitudo. Felicitas.

Εὐδαιμονία. Beatitudo. Et εὐδαίμων, beatus. Quædam contrariorum medio carent: ut in homine, morbus, ſanitas. Item album, & nigrum. At felix & infelix habent medium. Si quis enim eſt felix, is non eſt infelix. Non tamen, ſi non eſt felix, infelix eſt neceſſario. Neque enim ſine medio felicitas & infelicitas opponuntur. Nam fieri poteſt, ut aliquis, qui vir bonus eſt, non ſit felix. Et ſi quidem aliquis non eſt bonus, non ideo eſt neceſſario malus. Non enim medio carent virtus & vitium. Et temperans quidem non inſanit. Non tamen ille, qui non eſt temperans, neceſſario inſanit. Quamobrem hujuſmodi contraria non valent ad aliquid confirmandum, vel refutandum. Si vero rem ad etymologiam revocemus, dicentes, virum bonum eſſe εὐδαίμονα, i.e. beatum: ex etymologia vocis εὐδαίμων argumentum petimus. Εὐδαίμων enim, ſi etymologiam ſpectes, apud Græcos videtur appellari ille, qui bonum habet dæmonem. Si igitur cujuſque dæmon eſt animus, ut Xenocrati placet; beatus erit ille, qui animo bene ſe habet. Bonus autem vir animo bene ſe habet. Vir igitur bonus eſt beatus.

Εὐδαίμων. Felix. Beatus. *Multæ igitur aliæ res inveniuntur, quæ habentibus proſunt, ut quis beatus dicatur.*

Εὐδαίμων. Dives. Vel, virtute præditus. *Omnino neceſſe eſt, bonis quidem apud Inferos melius eſſe; malis vero, pejus. Quinetiam exiſtimo illos in hac vita adhuc viventes, juſtos quidem felicitatem, ut præmium; injuſtos vero infelicitatem, ut pœnam, comitaturam eſſe.*

Εὐδαίμων. Eudæmon, Peluſiota, Grammaticus, æqualis Libanii Sophiſtæ: ad quem etiam diverſa ſcripſit. Hic varia poemata conſcripſit. Item, Artem Rhetoricam, & Orthographiam nominum.

Εὐδαίμων ὁ Κορ. *Fortunatus eſt Corinthius: ego vero ſim Teneates.* Tenea autem eſt opτῶν Κορινθίων, ἅτε ἐν μεγάλῃ πόλει, φθονουμένων καὶ πράγματα ἐχόντων· τῶν δὲ Τενεατῶν ἀπραγμονέστερον διὰ τὸ εὐτελὲς ζώντων, ἐλέχθη ἡ παροιμία.

---

[1] Εὐδαιμονία] Totum hunc articulum conſarcinavit Suidas ex Alexandro Aphrodiſ. in *Topic.* lib. i. pag. 94.

[2] Νόσον, καὶ ὑγίειαν] Scribe, νόσος, καὶ ὑγίεια, in caſu primo.

[3] Διαφόρως] Lego, διάφορα.

[4] Ὁ Κορίνθιος] Sic etiam habent Stephanus Byzantius v. Γενεά; & Euſtathius ad Il. Β. qui idem proverbium referunt. Sed cum lectioni illi metrum verſus repugnet; vel ſecundum Eraſmum ſcribendum putem, Εὐδαίμων γε Κόρινθος &c. vel, Εὐδαίμων ὁ Κόρινθος: ut habent Strabo lib. viii. pag. 380. & Zenobius Centur. iii. Adag. xcvi. quos ſequitur Scaliger in *Stromateo Proverbiorum metricorum.* Quamvis enim Κόρινθος, more aliarum urbium, plerumque cum genere fœminino conſtruatur; dicebatur tamen etiam ὁ Κόρινθος genere maſculino: ut vel ex proverbio illo patet, Ὁ Διὸς Κόρινθος; de quo vide Suidam ſupra v. Διὸς Κόρινθος Salmaſius tamen, Lucas Holſtenius, & Berkelius, alteram lectionem, ὁ Κορίνθιος, probant: ſed quorum ſententiæ metri ratio, ut diximus, aperte adverſatur. Vidit id Holſtenius; qui proinde, ut objectionem illam eluderet, negabat proverbium hoc eſſe verſum: cujus opinioni tamen non cenſeo ſubſcribendum eſſe. Nam quod addit, ſyllabam penultimam in Τενεάτης brevem eſſe, & vel propter hoc verſum ſtare non poſſe: id quidem viro illi doctiſſimo excidiſſe miror. Contra enim gentilia in άτης apud Græcos penultimam longam habent, ut vel ex verſu illo Lycophronis in *Caſſandra* patet,

Ῥεθυμνιάτης κέπφος ὡς ἐνήξατο.

Quare, cum modo laudatus vir eruditiſſimus nullum locum auctoris adducat, in quo τὸ Τενεάτης, vel quodvis aliud gentile in άτης breve ſit; non dubitavi ab eo hic diſſentire: quamvis cæteroqui exquiſitam ejus doctrinam magni faciam.

[5] Ἐγὼ δ᾽ εἴην Τενεάτης] Sic etiam habent Zenobius & Strabo, locis laudatis. At apud Stephanum Byzantium v. Γενεὰ, ubi idem proverbium refertur, pro Τενεάτης ſcriptum eſt Γενεάτης: quam lectionem tamen mendoſam eſſe non dubito, utpote ortam ex confuſione τοῦ Τ & Γ; quæ literæ ſibi invicem valde ſimiles ſunt, & facile proinde inter ſe permutantur. Sic apud eundem Stephanum pro Γάβιοι vitioſe legitur Τάβιοι in litera Τ. quem errorem, ex earundem literarum ſimilitudine ortum, recte notarunt Holſtenius & Berkelius. Præter has lectiones autem recepta erat & tertia, Τεγεάτης; quam agnoſcit Euſtathius ad Il. Β. pag. 301. Sed eandem damnat Strabo, loco ante laudato: quem vide.

[6] Τέναια] Rectius Τενέα: & paulo poſt, Τενεατῶν, per ε.

pidulum nemoroſum prope Corinthum. Proverbium igitur hoc inde dictum eſt, quod Corinthii, utpote in magna urbe viventes, invidiæ & multis moleſtiis obnoxii eſſent: Teneatæ vero propter humilem conditionem tranquille & quiete viverent.

Εὔδαιος. ὄνομα κύριον.	Εὔδαιος. Eudæus. Nomen proprium.
Εὐδείελον. [1] εὐπεριόριστον.	Εὐδείελον. Ad occidentem ſitum. Temperatum.
Εὔδημος, ῥήτωρ. ἔγραψε διάφορα, καὶ [2] κατὰ στοιχεῖον περὶ λέξεων, αἷς κέχρηνται ῥήτορές τε, καὶ τῶν συγγραφέων οἱ λογιώτατοι· πάνυ ὠφέλιμον.	Εὔδημος. Eudemus, Orator. Varia ſcripſit, & præcipue Lexicum utiliſſimum verborum, quibus oratores & optimi quique ſcriptores utuntur, ordine alphabetico.
Εὐδία. ἡ ἄνευ ἀνέμων ἡμέρα.	Εὐδία. Dies tranquillus, & ventis carens.
Εὖ διάγειν.[3] οὕτως ἐπέγραφεν Ἐπίκουρος, εὖ διάγειν· χαίρειν δὲ, ὁ Κλέων· καὶ εὖ πράττειν, ὁ Πλάτων.	Εὖ διάγειν. Feliciter vivere. Hanc formulam ſalutandi epiſtolis ſuis præſcribebat Epicurus: Cleon vero, χαίρειν; & Plato, εὖ πράττειν.
Εὐδιάλογος. εὐόμιλος.	Εὐδιάλογος. Affabilis.
Εὐδιαῖος.[4] χειμάῤῥους. καὶ τρῆμα τῆς νεὼς, δι' οὗ ἡ ἀντλία ἐκρεῖ.	Εὐδιαῖος. Torrens. Item, foramen navis, per quod effluit ſentina.
Εὐδιεινός. ὁ καιρὸς, καὶ ὁ ἄνεμος. καὶ εὐδινὸς, ὁμοίως.	Εὐδιεινός. Serenus. Dicitur & de tempore, & de vento. Et εὐδινός, pariter.
Εὐδικία. δικαιοσύνη. Τὸ δὲ κλέος, ὅπερ ἐπὶ ταῖς νίκαις τῶν πολεμίων καὶ ἐπὶ τῇ κατ' εἰρήνην εὐδικίᾳ ἦν πεπορισμένος, ἔτι ἀξιοθεατώτερον αὐτὸν πᾶσιν ἐποίει.	Εὐδικία. Juſtitia. *Gloria autem, quam ob victorias ab hoſtibus reportatas, & juſtitiam, quam pacis tempore adminiſtrabat, ſibi comparaverat, ipſum magis conſpicuum omnibus reddebat.*
Εὔδικος.[5] εἷς ἐστιν οὗτος τῶν καταστάντων ὑπὸ Φιλίππου κυρίων Θετταλίας ἁπάσης.	Εὔδικος. Eudicus. Hic unus eſt ex iis, qui a Philippo toti Theſſaliæ præfecti fuerunt.
Εὐδίνητα. εὔστροφα. εὐκίνητα. Τρύπανα[6] τ' εὐδίνητα, καὶ ὠκήεντα τέρετρα. ἐν Ἐπιγράμματι.	Εὐδίνητα. Verſatilia. Mobilia. Quæ facile circumaguntur. *Terebræque mobiles, & velocia terebella.* In Epigrammate.
Εὐδίοδον. εὐπόρευτον. βάσιμον. Ἐσώρευον δὲ τὰ τεμνόμενα ξύλα ἐπὶ τῆς μεταξὺ χώρας, ὡς εὐδίοδα εἴη.	Εὐδίοδον. Facile tranſitu. Pervium. *Ligna autem ſecta in medium locum congerebant, ut facilis eſſet tranſitus.*
Εὔδμητον. καλῶς ᾠκοδομημένον.	Εὔδμητον. Bene ædificatum.
Εὐδοκεῖν. συγκατατίθεσθαι. ‡Ὁ δὲ ἔφη εὐδοκεῖν τοῖς λεγομένοις, εἰ λάβῃ πίστιν. ἀντὶ τοῦ, ἀρέσκεσθαι.	Εὐδοκεῖν. Aſſentiri. Comprobare. In re aliqua acquieſcere. *Ille vero dixit, ſe ea, quæ dicta eſſent, probare, ſi modo fides ſibi daretur.*

‡ Forsan Polybii. Schweighaeuser. Vol. V. p. 88. N.A. 65. qui "legit λάβοι vel ἐὰν λάβῃ."

Εὐδόκησας. Τῆς σῆς ἠξίωσας οἰκειότητος, ὅτι εὐδόκησας ἐν αὐτοῖς.	Εὐδόκησας. Aliquid tibi placuit. *Eos familiaritate tua dignos judicaſti, quod tibi complacerent.*
Εὐδοκία. τὸ ἀγαθὸν θέλημα τοῦ Θεοῦ. Ὡς ὅπλῳ εὐδοκίας ἐστεφάνωσας ἡμᾶς. καὶ ὁ Ἀπόστολος· Κατὰ τὴν εὐδοκίαν τοῦ θελήματος αὐτοῦ.	Εὐδοκία. Bona Dei voluntas. Placitum voluntatis. Benevolentia. *Nos tanquam ſcuto benevolentiæ tuæ coronaſti.* Et Apoſtolus [inquit:] *Secundum placitum voluntatis ejus.*
Εὐδοκιμώτερος. ὁ γενναῖος.	Εὐδοκιμώτερος. [Probatior. Clarior.] Generoſus.
Εὐδοκουμένην. καλῶς προσδοκωμένην. ἀρέσκουσαν. Πολύβιος· Τοῦ δὲ λέγειν ἀληθινῶς ταῦτα, πίστιν ἔφη ποιήσειν εὐδοκουμένην. καὶ, γυναῖκες εὐδοκιμώταται.	Εὐδοκουμένην. Valde placentem. Gratam. Probatam. Polybius: *Se autem vere iſta dicere, fidem ſe clare facturum eſſe affirmavit.* Et γυναῖκες εὐδοκ. Mulieres clariſſimæ.

Polybius. Fr. Gram. 65. Vol. V. p. 88.

Εὗδον. ἐκάθευδον.	Εὗδον. Dormiebam.

---

[1] Εὐπεριόριστον] Heſychius habet, εὐπόριστον. Sed utraque interpretatio obſcura eſt: cujus loco proinde alteram, eamque certiorem, in verſione ſubſtituimus. Confer Heſychium & Etymologum h. v. & notas noſtras ad v. Εὔγειον.

[2] Καὶ κατὰ στοιχεῖον περὶ λέξεων] Exſtant hodie adhuc in diverſis Bibliothecis (veluti in Florentina, & Regia Pariſienſi) Lexica MSS. quæ nomen Eudemi Rhetoris præferunt: ſed quæ ψευδεπίγραφα eſſe exiſtimo. Illud ſane, quod Pariſiis in Bibliotheca Regis Chriſtianiſſimi ſervatur, inſpexi & evolvi: ſed quod illico a Græculo aliquo recentiore ex aliis Lexicis exiguo cum judicio compilatum & conſarcinatum fuiſſe animadverti.

[3] Εὖ διάγειν. οὕτως ἐπέγραφεν Ἐπ.] Hæc ſunt verba Laertii in *Platone*, ſegm. LXI. ut Pearſonius etiam obſervaverat.

[4] Εὐδιαῖος] Confer Heſychium v. Εὐδίαιον.

[5] Εὔδικος. εἷς ἐστιν οὗτος τῶν καταστ.] Ex Harpocratione.

[6] Τρύπανά τ' εὐδίνητα, καὶ ὠκ.] Verba hæc decerpta ſunt ex Epigrammate Leonidæ, quod ex codice MS. Anthologiæ ineditæ integrum exhibuimus ſupra v. Ἀμφίξουν.

Εὐδόξιος,[1] Ἐπίσκοπος Ἀντιοχείας, ἐξ Ἀραβισσοῦ τῆς μικρᾶς Ἀρμενίας. ὁ δὲ πατὴρ αὐτοῦ Καισάριος ἐπὶ Μαξιμιανοῦ τὸν τοῦ μαρτυρίου στέφανον ἀνεδήσατο, καί τοι πρότερον ἡδονῶν ἥττων φανείς. ἀλλ' ἐβουλήθη τὰς πρώτας κηλῖδας[2] διὰ τοῦ μαρτυρικοῦ αἵματος ἀπορρύψασθαι. ἥλους γὰρ μεγάλους ἑκατέρου τῶν ποδῶν ἓξ τὸν ἀριθμὸν αὐτοῦ διαπερονήσαντες, πυρὶ παρέδοσαν. καὶ ἐπειδὴ αὐτίκα πρὸς τὴν φλόγα[3] χανὼν ἀπέθανεν, ἡμίφλεκτον ἔτι καὶ σῶον οἱ προσήκοντες τὸν νεκρὸν ἀνελόμενοι, ἔν τινι ἀγρῷ Σουβὲλ λεγομένῳ κατέθεσαν.

Εὔδοξος,[4] Αἰσχίνου, Κνίδιος, Φιλόσοφος, Πλάτωνος ἡλικιώτης· ᾧ τρεῖς ἐγένοντο θυγατέρες, Ἀκτὶς, Δελφὶς, Φιλτίς. καὶ ἔσχε πρὸς ἀστρολογίαν ὑπερφυῶς, ἔγραψέ τε πλεῖστα τοῦ εἴδους τούτου· καὶ ὀκταετηρίδα. ἔτι δὲ δι' ἐπῶν ἀστρονομίαν.

Εὖ δρῶσιν. καλῶς ποιοῦσι.

Εὐαίων.[5] ὄνομα κύριον.

Εὐαίτητος.

Εὔεδρον. ἀσφαλῆ. βεβαίαν. Ὁ δὲ ἐπὶ τῶν νώτων ἐκάθισε καθέδραν εὔεδρον καὶ ἰσχυράν.

Εὐέκτης. ὁ ἐν ὑγείᾳ διάζων. Ἀπεμελεῖτο καὶ σωμασκίας, καὶ ἦν εὐέκτης.

Εὐεκτικῶς. σχετικῶς.

Εὐεξία. εὐρωστία σώματος. Εὐεξία δέ ἐστιν ἐπιτεταμένη ὑγεία. ἀκρότης ὑγείας εὐεξία.[6] ὅτι τὸ τῷ μείζονι ἀγαθῷ ἐναντίον, μεῖζόν ἐστι κακὸν, ἐπ' ὀλίγων ἄν τις εὕροι τοῦτο μὴ ἔχον οὕτως· ὡς δοκεῖ ἐπὶ τῆς εὐεξίας ἔχειν, καὶ τῆς ὑγείας. τὸ γὰρ τῷ μείζονι ἀγαθῷ ἐναντίον (τοῦτο δέ ἐστιν ἡ καχεξία) ἔλαττον εἶναι δοκεῖ κακὸν τῆς νόσου, ἥτις ἐναντία ἐστὶ τῇ ὑγείᾳ, τῷ ἐλάττονι ἀγαθῷ· τῷ τοὺς μὲν νοσοῦντας πάντας καχεκτεῖν· οὐ πάντας δὲ τοὺς καχεκτοῦντας καὶ νοσεῖν ἤδη. τὸ δὲ αἴτιον τούτου ἐστὶν, ὅτι ἡ μὲν εὐεξία περιείληφεν ἐν αὐτῇ καὶ τὴν ὑγείαν.[7] ἔστι γὰρ ἡ ὑγεία, εὐεξία. διὸ περιέχουσα ἐν αὐτῇ καὶ τὴν ὑγείαν,[8] ἡ μεῖζον αὐτῆς ἀγαθόν. πρόσεστι γὰρ αὐτῇ τὸ εἶναι αὐτὴν τῶν δι' αὐτὴν αἱρετῶν. ἡ δὲ καχεξία οὐκέτι ἐν αὐτῇ περιέχει τὴν νόσον, ἀλλ' ἔστι μόνῳ ἐκείνῳ, ἐν ᾧ[9] ὑπῆρχεν ἡ εὐεξία τῆς ὑγείας. ἡ δὲ νόσος ἐν αὐτῇ περιέχει τὴν καχεξίαν. ἐπὶ γὰρ καχεξίᾳ γίνεται νόσος· ὡς καὶ ἡ εὐεξία ἐπὶ τῇ ὑγείᾳ.

Εὐδόξιος. Eudoxius, Epiſcopus Antiochiæ, ex Arabiſſo minoris Armeniæ oppido oriundus: cujus pater Cæſarius ſub Maximiano martyrii corona redimitus eſt; quamvis prius voluptatibus addictior videretur. Sed priores vitæ maculas martyrii ſanguine eluere voluit. Cum enim carnifices utrumque ipſius pedem ſex clavis transfixiſſent, eum in ignem conjecerunt. Cumque ad flammam hians confeſtim animam efflaſſet, cognati ſemiuſtum adhuc & integrum cadaver ejus, cum e rogo ſuſtuliſſent, in quodam agro, qui Subel vocabatur, ſepulturæ mandarunt.

Εὔδοξος. Eudoxus, Æſchinis filius, Cnidius, Philoſophus, Platonis æqualis: cui fuerunt tres filiæ, Actis, Delphis, Philtis. Aſtrologiæ ſupra modum deditus fuit, ſcripſitque plurima hujus generis. Item, Octaeteridem & Aſtronomiam carmine.

Εὖ δρῶσιν. Bene faciunt.

Εὐαίων. Euæon. Nomen proprium.

Εὐαίτητος. Euætetus. [Nomen proprium.]

Εὔεδρον. Firmam. Stabilem. *Ille vero in tergo ejus, tanquam in ſede ſtabili & firma, ſedit.*

Εὐέκτης. Qui corpore eſt valenti & ſano. *Ille vero & corpus ſubinde exercebat, & ideo valens erat & robuſtus.*

Εὐεκτικῶς. Firmo corporis habitu. Robuſte.

Εὐεξία. Bona habitudo. Firmum robur corporis. Eſt autem εὐεξία ſanitas intenſa, vel ſummus ſanitatis vigor. † Id quod majori bono contrarium eſt, majus eſt malum: quod quidem in paucis tantum rebus ſecus ſe habere deprehendas: veluti in bona habitudine, & ſanitate. Ibi enim, quod majori bono contrarium eſt (id autem eſt mala habitudo, quam καχεξίαν Græci dicunt) videtur eſſe malum minus morbo, qui eſt contrarius ſanitati, minori bono. Nam omnes quidem, qui ægrotant, male habent: non tamen etiam omnes, qui male habent, ſtatim ægrotant. Hujus autem rei cauſa eſt, quod bona habitudo ſanitatem etiam in ſe complectatur. Eſt enim bona habitudo ſanitas. Cum igitur ea ſanitatem in ſe comprehendat, majus ea bonum eſt. Eadem etiam ex illarum rerum numero eſt, quæ per ſe ſunt expetendæ. At mala habitudo, ſive cachexia, non etiam morbum in ſe complectitur, ſed eſt id ſolum, quod eſt. At morbus in ſe comprehendit cachexiam. Ut enim morbus malam habitudinem, ſic etiam bona habitudo ſanitatem ſequitur.

Εὐέπεια. ἡ καλὴ φράσις.

Εὐεπήβολος. ὁ καλῶς ἐπιβάλλων. καὶ εὐεπηβό-

Εὐέπεια. Facundia. Elegans oratio.

Εὐεπήβολος. Qui recte rem aggreditur. Qui

---

[1] Εὐδόξιος, Ἐπίσκοπος Ἀντ.] Locum hunc e Philoſtorgio depromptum eſſe Valeſius ſuſpicatur. Certe in Excerptis, quæ ex illo ſcriptore hodie adhuc ſuperſunt, Eudoxii hujus mentio fit lib. IV. cap. IV. qui locus cum Suida conferendus eſt.

[2] Διὰ τοῦ μαρτυρικοῦ αἵματος ἀπορρύψασθαι] Sic rectius duo MSS. Pariſ. quam priores Editt. quæ habent, διὰ τοῦ μαρτυρίου αἵματος ἀπορρίψασθαι.

[3] Χανὼν] Sic habet antiquiſſimus codex MS. A. At priores Editt. χαρῶν: quæ lectio minus placet.

[4] Εὔδοξος, Αἰσχ.] Plura de hoc vide apud Laertium.

[5] Εὐαίων] Hujus meminit Demoſthenes in oratione contra Midiam, ut docet Harpocratio.

[6] Ὅτι τὸ τῷ μείζονι ἀγαθῷ ἐναντ.] Hæc, & quæ ſequuntur uſque ad finem articuli, ſunt verba Alexandri Aphrod. in *Topic.* lib. I. pag. 13. ut Pearſonius obſervaverat.

[7] Ἔστι γὰρ ἡ ὑγεία, εὐεξία] Scribe, ut habet Alexander Aphrodiſienſis, ἔστι γὰρ ὑγεία ἡ εὐεξία.

[8] Ἢ] Hanc voculam non agnoſcit Alexander Aphrodiſienſis, eandemque ut ſupervacaneam ſenſus reſpuit.

[9] Ὑπῆρχεν] Ὑπερεῖχεν habet Alexander Aphrodiſienſis.

λος.

λως. [1] σαφῶς, καὶ ὀρθῶς.

Εὐεργετῶ. αἰτιατικῇ. καί, εὐηργέτησέ σε.

Εὐερκεῖ. καλῶς ἠσφαλισμένῳ.
Ὄφρα μοι εὐερκεῖ καναχὰν δόμῳ ἔνδοθι θείη.

Εὐερμία. εὐτυχία. ὡς δυσερμία, ἡ ἀτυχία. ἐντεῦθεν καὶ τὰ ἀπὸ τῆς τύχης εὑρήματα κοινὸν Ἑρμῆν ἔλεγον. Αἰλιανός· Μιθριδάτης δὲ τὴν ἀποδημίαν Λουκούλλου ἑαυτοῦ κατέγραφεν εὐερμίαν εἶναι. καὶ αὖθις· Ἀσπαζόμενος εὐερμίαν καιροῦ, καὶ ἀνάγκης καλούσης, μὴ εἴκων κάκῃ.

Εὐερνής. [2] εὐθαλὴς βλαστός. ἔρνος γὰρ ὁ κλάδος.

Εὔερον. [3] εὐάερον πόλιν. ἢ μαλακήν, ὥσπερ σισύραν εὐέριον. Πλάτων Ὑπερβόλῳ· Καὶ [4] τοσοῦτον τῆς εὐερίας ἀπολέλαυκεν, ὥστε ἀθλιωτάτη ἐστί. [5] Κρατῖνος Πυλαίᾳ· [6] Γλῶσσαν εὔεραν βροτῶν. λέγει δὲ περὶ τῶν προβάτων.

Εὐεστοῖ. εὐθηνίᾳ. καταστάσει.

Εὐεστώ. ὅτι [7] Δημόκριτος ὁ Ἀβδηρίτης τέλος τὴν εὐθυμίαν εἶναι λέγει, οὐ τὴν αὐτὴν οὖσαν τῇ ἡδονῇ, ὡς ἔνιοι παρακούσαντες ἐξεδέξαντο· ἀλλὰ καθ' ἣν γαληνῶς καὶ εὐσταθῶς ἡ ψυχὴ διάγει, ὑπὸ μηδενὸς [8] τυραννουμένη φόβου, ἢ δεισιδαιμονίας, ἢ ἄλλου τινὸς πάθους. καλεῖ δὲ αὐτὴν καὶ εὐεστώ, καὶ πολλοῖς ἄλλοις ὀνόμασιν. † Ὅτι τὸ εὐεστώ, εὐδαιμονία καλεῖται· ὥσπερ τὸ ἀειεστὼ ἐπὶ τῆς ἀϊδιότητος.

Εὐετηρία. εὐθηνία. εὐνομία. εἰρήνη. τὸ καλῶς διακεῖσθαι.

Εὐετήριος. οὗτος ἦν ἐπὶ Ἰοβιανοῦ βασιλέως· ὃς διὰ μὲν παιδείαν καὶ φύσεως ὑπερβολὴν οὐδέν τι τῶν ἀρχαίων ἀποδέων, διὰ δὲ μαλακίαν ψυχῆς καὶ ἁπλότητα πολλοὺς τῶν οὐκ αἰτίων ἐς κρίσιν κατέδησεν.

Εὖ ἔχειν στόμα. τὸ εὐφημεῖν. οὕτως Εὔπολις.

Εὐζώϊος. [9] ὄνομα κύριον.

Εὐζωΐτου. καλῆς ζωῆς.

Εὔζωνος. ἡ εὔτοκος [10] κάλλει. ἡ καλή.

Εὔζωνοι. ἔνοπλοι. ἢ οἱ μὴ ἔχοντες φορτία. Ἀππιανός· Ποιμὴν ὑπέσχετο στρατὸν εὔζωνον ἄξειν ὁδὸν ἀτριβῆ τρισὶν ἡμέραις.

Εὔζωρον. εὔκρατον. Ζωρόν. ἄκρατον. καὶ εὔζωρον.

feliciter aliquid aſſequitur. Et εὐεπηβόλως. Sapienter. Recte. Feliciter.

Εὐεργετῶ. Accuſativo jungitur. Beneficio te afficio. Et εὐηργέτησέ σε. Beneficio te affecit.

Εὐερκεῖ. Bene ſepta. Bene munita. Tuta. *Ut mihi bene ſepta ſtrepitum in domo faciat.*

Εὐερμία. Felix rerum ſucceſſus. Felicitas. Ut δυσερμία, infelix rerum ſucceſſus, infelicitas. Hinc etiam ea, quæ caſu vel fortuito aliquis nactus erat, communem Mercurium vocabant. Ælianus: *Mithridates autem Luculli diſceſſum in parte felicitatis ſuæ deputabat.* Et iterum: *Amplectens commodiſſimam occaſionem, &, re ita exigente, ignaviæ non cedens.*

Εὐερνής. Bene florens. Bene germinans. Ἔρνος enim eſt ramus, vel germen.

Εὔερον [πόλιν.] Urbem bono & miti aere gaudentem. Pro εὐάερον. Vel, mollem, inſtar penulæ, ex lanis mollioribus confectæ. Pro εὐέριον. Plato *Hyperbolo: Eum autem ex bonitate lanæ ſuæ fructum percepit, ut ſit miſerrima.* Cratinus *Pylæa: Linguam pecorum mollem lanam habentium.* Loquitur de ovibus.

Εὐεστοῖ. Felicitate. Rerum copia & affluentia. Tranquillo ſtatu.

Εὐεστώ. Tranquillitas. Felicitas. Democritus Abderita finem felicitatis eſſe dixit animi tranquillitatem, non quæ idem ſit, quod voluptas, ut quidam perperam interpretati ſunt; ſed ſecundum quam animus tranquillo & quieto ſtatu gaudeat, nullo metu, nulla ſuperſtitione, nec quovis alio affectu perturbatus. Hunc ſtatum & εὐεστὼ appellat, & multis aliis nominibus. † Εὐεστὼ vocatur felicitas: ut ἀειεστὼ pro æternitate ponitur.

Εὐετηρία. Rerum abundantia & copia. Status civitatis legibus bene fundatæ. Pax. Felix rerum ſtatus.

Εὐετήριος. Eueterius. Hic ſub Joviano Imperatore vixit: qui doctrina quidem & ingenii præſtantia antiquis inferior non fuit, ſed propter animi molliciem & morum ſimplicitatem multos inſontes judicii laqueis irretiri paſſus eſt.

Εὖ ἔχειν στόμα. Linguis favere. Sic Eupolis.

Εὐζώϊος. Euzoius. Nomen proprium.

Εὐζωΐτου. Præclaræ vitæ. Honeſtæ vitæ.

Εὔζωνος. [Succincta. Expedita.] Quæ pulchram prolem parit. Formoſa.

Εὔζωνοι. Armati. Vel, nullis oneribus aut ſarcinis gravati. Expediti. Appianus: *Paſtor promiſit, ſe exercitum expeditum per viam non tritam intra tres dies ducturum eſſe.*

Appian. IX. Fragm. IV. Vol. I. p. 509. Schweigh.

Εὔζωρον. Bene temperatum. Ζωρὸν enim ſig-

---

[1] Σαφῶς] Scribe, σοφῶς.

[2] Εὐθαλὴς βλαστός.] Lege & diſtingue, εὐθαλής. εὔβλαστος.

[3] Εὔερον. εὐάερον πόλιν. ἢ μαλ.] Ex Scholiaſta Ariſtophanis ad *Aves* pag. 547. (372. Ed. Baſ. *P.*)

[4] Καὶ τοσοῦτον τῆς εὐερ.] Metrum fragmenti hujus prorſus turbatum eſt, in quo tamen veſtigia verſus Anapæſtici adhuc apparent.

[5] Κρατῖνος Πυλαίᾳ· Γλῶσσαν.] Sic locum hunc ſcribendum & diſtinguendum eſſe recte etiam monuit Pearſonius. In prioribus enim Editt. male ſic legitur: Κρατῖνος· Πυλαίαν γλῶσσαν, &c. Ignorabant nimirum librarii, τὰ Πυλαία eſſe nomen fabulæ, quam Cratinus ſcripſerat: cujus Heſychius, Scholiaſta Ariſtophanis, & ipſe Suidas infra v. Τὸ πυρρὸν, mentionem faciunt.

[6] Γλῶσσαν εὔεραν βροτῶν] Enarrator Comici loco laudato rectius habet: Γλῶσσαν εὔεραν βοτῶν. Hanc lectionem in verſione ſecutus ſum.

[7] Ὅτι Δημόκριτος ὁ Ἀβδηρίτης τέλος τὴν εὐθ.———καὶ πολλοῖς ἄλλοις ὀνόμασιν] Hæc ſunt verba Laertii in *Democrito*, ſegm. XLV. ut Portus etiam monuit.

[8] Τυραννουμένη] Laertius habet, ταραττομένη.

[9] Εὐζώϊος] De eo vide Hieronymum in opere *de Scriptor. Ecclеſ.*

[10] Κάλλει] Hanc vocem ut ſupervacaneam dele. Vide Heſychium.

καλὸν, [1] ἄκρατον.

Εὐειδής. ὁ κατὰ θεωρίαν καλός.

Εὖ εἰδότες. καλῶς γινώσκοντες.

Εὔεικτον. εὐπειθῆ. καλῶς εἴκοντα.

Εὔειλος [2] τόπος. ὁ θερμός.

Εὐηγορία. ἡ καλλιέπεια.

Εὔηθες. [3] ἐπὶ τοῦ βελτίονος καὶ Θουκυδίδης ἐν γ', καὶ ὁ Φιλόσοφος.

Εὐηθείας. μωρίας. ἀνοίας. Ἔπι τε ἀπολαύων τοῦ καιροῦ, καὶ τῆς εὐηθείας τῶν ἐπιχωρίων. οὐ γὰρ ἦν πρᾶγμα φενακίζειν τοὺς ἐπιχωρίους.

Εὐήθειαν αὐτῶν κατεγνωκὼς, [4] καὶ, Εὐηθείας αὐτῶν κατεγνωκώς. τὸ αὐτό.

Εὐήθης. βλάξ. ἀνόητος. ἢ ἄχρηστος τὸ ἦθος. Πολύβιος· Εὐήθως ἐκλογιζόμενοι τὰ παρόντα καὶ παιδικῶς.

Polybius. Fr. Gram. 66. Vol. V. p. 88.

Εὐηθίζω. τὸ μωραίνω.

Εὐηκής. ὁ καλῶς ἠκονημένος. καὶ εὐηκέος.

Εὐήλατον. τὸ καλῶς ἐληλασμένον. Τὸ δὲ πεδίον ἦν ὕπτιον, καὶ εὐήλατον, καὶ ἐπιτήδειον ἵππῳ ἐμμάχεσθαι. ἀντὶ τοῦ, εὐχερῶς ἐλαυνόμενον.

Εὔηλιος. ὁ καθαρός.

Εὐημερήσαντος. Ὑπερίδης· Τῷ σφῶν αὐτῶν βασιλεῖ ἐγκαλεῖν, οἷς εὐημέρησεν ἐν ταῖς ἡλίου δυσμαῖς, καὶ τὰ ἐγκλήματα ἐπιφέρειν.

Εὐημερία. ὡς ἐν τῇ συνηθείᾳ. Ἄλεξις Ὀλυνθίᾳ·

Εὐημερία δέσποινα, καὶ μοῦσαι φίλαι.

Εὐημεροῦσαν. ἑκάστῃ ἡμέρᾳ εὖ διάγουσαν.

Φίλοισί [5] τε ξυνοῦσαν, οἷς ξύνειμι νῦν,
Εὐημεροῦσαν. ————
Δὸς πᾶσιν ἡμῖν, ὥσπερ ἐξαιτούμεθα.

Εὐηνέμους. εὐδιεινούς. καλούς. [6] ἀχειμάστους.

Εὐήνιον. εὐπειθές. καλῶς ἡνιοχούμενον. ἡνία γὰρ τὰ λῶρα.

Εὐήνιος. [7] ὁ πρᾶος, καὶ μέτριος, καὶ μὴ ταραχώδης. ἡ μεταφορὰ ἀπὸ τῶν ἵππων.

Εὐηνίνη. ἡ τοῦ Εὐήνου θυγάτηρ.

Εὐήνορα. [8] τὸν ἀνδρείαν ποιοῦντα. ἐπὶ τοῦ οἴνου. [9] ἐπὶ

nificat, merum. Unde εὔζωρον, bene mixtum, vel temperatum.

Εὐειδής. Egregia forma præditus. Viſu pulcher.

Εὖ εἰδότες. Bene ſcientes.

Εὔεικτον. Obedientem. Facile cedentem.

Εὔειλος. Apricus. Calidus.

Εὐηγορία. Facultas bene & ornate dicendi.

Εὔηθες. Morum ſimplicitas. In bonam partem accipitur a Thucydide libro III. & a Philoſopho.

Εὐηθείας. Fatuitatis. Stultitiæ. Amentiæ. *Præterea vero opportunitatem temporis & ſimplicitatem indigenarum in commodum ſuum vertens. Haud enim difficile erat indigenas fallere.*

Εὐήθειαν αὐτῶν κατεγνωκὼς, &, Εὐηθείας αὐτῶν κατεγν. Idem. Cum ſtultitiæ eos inſimulaſſet.

Εὐήθης. Fatuus. Stultus. Qui ob morum ſimplicitatem nulli rei gerendæ aptus eſt. [Et εὐήθως. Stulte.] Polybius: *Stulte & pueriliter de præſentibus judicantes.*

Εὐηθίζω. Deſipio. Fatuus ſum.

Εὐηκής. Bene acutus. Et εὐηκέος, [in genitivo.]

Εὐήλατον. Quod bene ductum eſt. [Equitabile.] *Campus vero erat planus, & equitabilis, & equeſtri pugnæ opportunus.*

Εὔηλιος. [Soli expoſitus. Apricus] Purus.

Εὐημερήσαντος. Illius, qui rem feliciter geſſit. Hyperides: *Regem ſuum accuſare, & crimina ei objicere quod ad occidentem rem feliciter geſſiſſet.*

Εὐημερία. Sic proſperitas vulgo dicitur. Alexis *Olynthia*: *Proſperitas domina & charæ Muſæ.*

Εὐημεροῦσαν. [Proprie,] ſingulis diebus feliciter viventem. Felicem. [Sophocles:] *Et cum amicis viventem, cum quibus nunc vivo, & proſperitate fruentem. Da nobis omnibus, ut petimus.*

Εὐηνέμους. Bonis ac proſperis ventis gaudentes. Serenos. Commodos. Tempeſtatis expertes.

Εὐήνιον. Morigerum. Obſequentem. Qui facile habena regitur. [Proprie de equo dicitur.] Ἡνία enim ſunt lora.

Εὐήνιος. Mitis. Lenis. Modeſtus. Non turbulentus. Metaphora ducta eſt ab equis.

Εὐηνίνη. Euanine. Eueni filia.

Εὐήνορα. Viris fortitudinem & animum ad-

---

[1] Ἄκρατον] Imo, εὔκρατον. Eam enim lectionem ſenſus flagitat.

[2] Εὔειλος] Confer Etymologum h. v.

[3] Εὔηθες. ἐπὶ τοῦ βελτ.] Confer Noſtrum infra v. Ἡδύς.

[4] Καὶ, Εὐηθείας αὐτῶν κατεγνωκώς] Hæc verba deſunt in prioribus Editt. quæ ex MSS. Pariſ. revocavi.

[5] Φίλοισί τε ξυνοῦσαν, οἷς ξ.] Sophocles *Electra*, pag. 111.

Φίλοισί τε ξυνοῦσαν, οἷς ξύνειμι νῦν,
Εὐημεροῦσαν, καὶ τέκνων ὅσων ἐμοὶ
Δύσνοια μὴ πρόσεστιν, ἢ λύπη πικρά.
Ταῦτ', ὦ Λύκει' Ἄπολλον, ἵλεως κλύων,
Δὸς πᾶσιν ἡμῖν, ὥσπερ ἐξαιτούμεθα.

Hinc Suidas ſupplendus eſt.

[6] Ἀχειμάστους] Sic MSS. Pariſ. At priores Editt. minus recte εὐχειμάστους.

[7] Εὐήνιος. ὁ πρ.] Ex Harpocratione.

[8] Εὐήνορα. τὸν ἀνδρείαν ποιοῦντα. ἐπὶ τοῦ οἴνου] Homerus Odyſſ. Δ. v. 622.

Οἱ δ' ἦγον μὲν μῆλα, φέρον δ' εὐήνορα οἶνον.

Vetus Enarrator ad illum locum: Εὐήνορα οἶνον. τὸν ἀνδρείαν παρέχοντα, ἐν καιρῷ πινόμενον. Huc Suidas reſpexit. Confer etiam Etymologum h. v.

[9] Ἐπὶ δὲ τοῦ χαλκοῦ, τοῦ εὖ τὸν ἄνδρα πο.] Hæc referenda ſunt ad locum illum ejuſdem Poetæ Odyſſ. N. v. 19.

Νῆ' ἄρ' ἐπισσεύοντο, φέρον δ' εὐήνορα χαλκόν.

δὲ τοῦ χαλκοῦ, τὸν εὖ τὸν ἄνδρα τιθέντα.

Εὔηνος.[1] δύο ἀναγράφουσι [2] γεγράφθαι ἐλεγείων ποιητὰς, καὶ ἀμφοτέρους Παρίους.

Εὐήρες. εὐάγωγον. ἀπὸ τῆς εἰρεσίας.

Εὐηρέστησα. ἤρεσα.

Εὐηρότατον. τὸ καλὴν ἔχον γῆν. τὸ κάλλιστον τῆς γῆς.

Εὐήροτον. καλῶς ἠροτριωμένον.

Εὐήτριον. ἱμάτιον εὐυφές.

Εὐϊέ. [3] Διονύσῳ. ὕμνος ἐνθουσιαστικός.

Εὐιλατεύειν. εὐμενῆ εἶναι. καὶ εὐίλατος, ὁ εὐμενής.

Εὖ ἴσθι. καλῶς γίνωσκε.

Εὐθαρσῶς ἔπνει. Δέξιππος· Ὁ δὲ πάντα τὸν ἀνθιστάμενον τιθεὶς ἐν δευτέρῳ ἐκ τῆς πείρας, εὐθαρσῶς ἔπνει.

Εὐθένεια.[4] ἡ εὐθηνία.

Εὐθέος. Φανεροῦ. ὀρθοῦ. καὶ ὁ [5] Δαβίδ· Τοῖς εὐθέσι πρέπει αἴνεσις. τουτέστι, [6] τοῖς τὸν Θεὸν ἐπεγνωκόσι, καὶ πλάνης ἀπηλλαγμένοις. Εὐθέως δὲ, τὸ ἐπιῤῥηματικόν.

Εὖ θέσθαι. καλῶς διοικῆσαι.

Εὐθετῆσαι. κοσμῆσαι. συνθεῖναι. οὕτως Ἀριστοφάνης.

Εὐθεῖαν. ἀτρέπτως. Εὐθεῖαν ἐδόκει ἐλαύνειν ὡς ἐπὶ Σελεύκειαν. καὶ αὖθις· Ὁ δὲ κτεῖναι μὲν αὐτὸν ἐκ τῆς εὐθείας ἔδεισεν.

Εὐθεῖαν. Τῆς δὲ τριβῆς τὰ αἴτια οὐ δυνατὸς γενέσθαι, εὐθεῖαν παρὰ βασιλέα ἐλάσαι, τῷ δεῖσαι τὰς φυλακὰς τὰς Ἀξιδάρου, καὶ περιελθεῖν ἐν κύκλῳ, καὶ οὕτω διὰ μακροῦ ἀφικέσθαι.

(d) Εὐθηλήμονα μόσχον.
Ἄρτι καταβρύκοντα τὸν εὐθηλήμονα μόσχον.

Εὐθημοσύνη. τάξις. Ἱερὸν καὶ πολιτικὸν διήγημα τῆς τῶν Ἀλεξανδρέων εὐθημοσύνης ἐλέγετο. [7] Ξενοφῶν· Καλὸν μὲν οὖν ἡγεῖτο ὁ Κῦρος καὶ ἐν οἰκίᾳ εἶναι ἐπιτήδευμα τὴν εὐθημοσύνην. ὅταν γάρ τις του δέηται, δῆλόν ἐστιν, ὅπου δεῖ ἐλθόντα λαβεῖν.

Εὐθηνία. εὐθηλία τις οὖσα.

Εὐθηνούμενοι. ἐπὶ τὸ βέλτιον προκόπτοντες. Καὶ κατ' ὀλίγον εὐθηνούμενοι, δυνατώτεροι γίνονται τῶν δεξαμένων αὐτούς.

dentem. Vino tribuitur. Cum vero de ferro dicitur, ſignificat, viros ornantem & tuentē.

Εὔηνος. Euenus. Duos fuiſſe tradunt Elegiacos Poetas, Euenos appellatos, & ambos Parios.

Εὐήρες. Quod facile agi vel duci poteſt. Tranſlatio ducta eſt a remigatione.

Εὐηρέστησα. Placui.

Εὐηρόστατον. Quod bonam habet terram. Optima pars agri.

Εὐήροτον. Bene aratum.

Εὐήτριον. Veſtimentum bene textum.

Εὐϊέ. Euie. Id eſt, Bacche. Eſt autem hymnus, quem Bacchæ furore correptæ cantare ſolebant.

Εὐιλατεύειν. Placidum & propitium eſſe. Et εὐίλατος. Placidus. Propitius.

Εὖ ἴσθι. Bene ſcias.

Εὐθαρσῶς ἔπνει. Ferociam ſpirabat. Dexippus: *Ille vero, cum prælia ſæpe expertus fuiſſet, omnes adverſarios impares ſibi judicans, ferociam ſpirabat.*

Εὐθένεια. Idem quod εὐθηνία. Rerum copia. Proſperitas.

Εὐθέος. Manifeſti. Recti. Et David: *Rectos laudatio decet.* Id eſt, eos, qui Deum agnoſcunt, & ab errore liberati ſunt. Εὐθέως vero, eſt adverbium. Confeſtim. Statim.

Εὖ θέσθαι. Recte adminiſtrare.

Εὐθετῆσαι. Bene ordinare, & diſponere. Sic Ariſtophanes.

Εὐθεῖαν. Recta. *Recta Seleuciam contendere videbatur.* Et iterum: *Ille vero eum aperte interficere metuit.*

Εὐθεῖαν. *Cum autem hujus moræ cauſas cognoſcere non poſſet, recta ad Regem contendere* [*nolebat,*] *quod Axidaris ſatellites formidaret, ſed per circuitum & longas ambages eo pervenire* [*ſtatuerat.*]

Εὐθηλήμονα μόσχον. Vitulum lacte bene nutritum. Pinguem. [In Epigrammate:] *Modo devorantem pinguem vitulum.*

Εὐθημοσύνη. Ordo. Diſpoſitio. *Civitas Alexandrinorum & in ſacris & in civilibus bene conſtituta eſſe dicebatur.* Et Xenophon: *Cyrus igitur & in familia pulchrum eſſe ducebat, ſi opera daretur, ut res apte diſponerentur. Hoc modo enim, ſi quis aliqua re indigeat, planum eſſe, quo ire debeat, ut eam ſumat.*

Εὐθηνία. Abundantia & copia rerum. Proſperitas. Dicta eſt quaſi εὐθηλία.

Εὐθηνούμενοι. Incrementum capientes. *Et rebus ipſorum paulatim incrementum capientibus, potentiores evadunt illis ipſis, qui eos receperunt.*

(d) Leonid. Tarentin.
Brunck. Anal. I. 233. LI.
Suid. V. Ἀττέλλος. V. Ἀχθεινή. V. Βρύοντα. V. Ξύλοχος.
Toup. in Suid. III. 33.

---

[1] Εὔηνος. δύο ἀναγράφουσι γεγρ.] Plenius Harpocratio: Εὔηνος. Ὑπερείδης ἐν τῷ κατ' Αὐτοκλέους. δύο ἀναγράφουσιν Εὐήνους ἐλεγείων ποιητὰς, ὁμωνύμους ἀλλήλοις· καθάπερ Ἐρατοσθένης ἐν τῷ περὶ Χρονογραφιῶν, ἀμφοτέρους λέγων Παρίους εἶναι· γνωρίζεσθαι δέ φησι τὸν νεώτερον μόνον. μέμνηται δὲ θατέρου Πλάτων. De Euenis autem plura vide apud Joſeph. Scalig. in Chron. Euſeb. & Rigaltium ad Artemidorum, p. 6.

[2] Γεγράφθαι] Vox hæc, ut ſupervacanea, inducenda eſt. nec agnoſcit eam Harpocratio.

[3] Διονύσῳ] Scribe, Διόνυσε.

[4] Εὐθένεια] Vocem hanc ſuſpectam habeo, eamque natam eſſe exiſtimo ex corruptione vocis εὐθηνία.

[5] Ὁ Δαβίδ] Pſalm. XXII. 1.

[6] Τοῖς τὸν Θεὸν ἐπεγνωκόσι, καὶ πλάνης ἀπηλλαγμένοις] Hæc ſunt verba Theodoreti ad modo indicatum Pſalmum.

[7] Ξενοφῶν] *De Inſtit. Cyri* lib. VIII. pag. 226. ut Portus monuit.

Εὐθηνῶ. πλουτῶ.

Εὐθίας.[1] ὄνομα κύριον. τῶν ἐπὶ συκοφαντίᾳ διαβεβλημένων ἦν.

Εὔθικτον. εὐαφές. εὐψηλάφητον. καὶ εὐθίκτως, τὸ ἐπιῤῥηματικόν.

Εὐθιξία·[2] ἔχων τὸν νοῦν. εὐθιξία πρὸς τὴν θεραπείαν εὐθυβολοῦντα. τουτέστιν, ἀκρίβεια. εὐφυΐα.

Εὐθύ. κατευθὺ, καὶ κατ᾽ ἐναντίον. ἐπ᾽ εὐθείας.

Εὐθυβόλῳ. ἐξ εὐθείας βάλλοντι.

Εὐθυγενής. ἴσα καὶ πρὸς τὸ εὐθὲς τεταγμένος.

Εὐθύγλωττος. [3] Ἦν δὲ καὶ εὐθύγλωττος πέρα τοῦ δέοντος. ἀντὶ τοῦ, ἀληθής.

4 Philostrat. I. 7. p. 8.

+ Suidas. supr. V. ἀπήχθη.

Εὐθύδημος, [4] διδάσκαλος Ἀπολλωνίου τοῦ Τυανέως, ἐκ Ταρσῶν τῆς Κιλικίας. ὁ γὰρ Ἀπολλώνιος προϊὼν εἰς ἡλικίαν, ἐν λόγοις πολλὴν ἰσχὺν εἶχε, καὶ μελέτης κράτος, + καὶ γλώττης Ἀττικῆς. ὀφθαλμοὶ δὲ πάντων ἐς αὐτὸν ἐφέροντο. καὶ γὰρ περίβλεπτος ἦν τὴν ὥραν. γεγονότα δὲ αὐτὸν ἐτῶν ιδ΄ παρ᾽ Εὐθύδημον ἄγει ἐς Ταρσοὺς τῆς Κιλικίας· ὃς τοῦτον ἐπαίδευεν· ὁ δὲ τοῦ μὲν διδασκάλου εἴχετο· τὸ δὲ τῆς πόλεως ἦθος ἄτοπόν τε ἡγεῖτο, καὶ οὐ χρηστὸν ἐμφιλοσοφῆσαι. τρυφῆς τε γὰρ οὐδαμοῦ μᾶλλον ἅπτονται· [5] σκωπτῶλαί τε καὶ ὑβρισταὶ πάντες, καὶ δεδώκασι τῇ ὀθόνῃ μᾶλλον, ἢ τῇ σοφίᾳ Ἀθηναῖοι. [6] ποταμός τε αὐτοὺς διαῤῥεῖ Κύδνος, ᾧ παρακάθηνται, καθάπερ τῶν ὀρνίθων οἱ ὑγρότατοι. μεθίστησιν οὖν τὸν διδάσκαλον δεηθεὶς τοῦ πατρὸς εἰς Αἰγὰς τὰς πλησίον, ἐν αἷς ἡσυχία τε πρόσφορος τῷ φιλοσοφήσοντι, καὶ ἱερὸν Ἀσκληπιοῦ ἐπίδηλον τοῖς ἀνθρώποις. ἐνταῦθα ξυνεφιλοσόφουν μὲν αὐτῷ Πλατώνειοί τε, καὶ Χρυσίππειοι, καὶ οἱ ἀπὸ τοῦ Περιπάτου. [7] οὐδὲ τῶν Ἐπικούρου λόγων ἀπεσπούδαζε. διδάσκαλος δὲ ἦν αὐτῷ τῶν Πυθαγόρου λόγων Εὔξενος.

Εὐθηνῶ. Sum dives. Omnibus rebus abundo.

Εὐθίας. Euthias. Nomen proprium. Erat autem unus ex illis, qui propter calumniæ crimen male audiebant.

Εὔθικτον. Quod facile tangi & contrectari poteſt. Et adverbium, εὐθίκτως: quod dicitur de rebus, quæ facile tangi & contrectari poſſunt.

Εὐθιξία. Dexteritas in feriendo ſcopo. Sagacitas in re aliqua conjicienda & aſſequenda. *Summa in morbis curandis dexteritate utentem.*

Εὐθύ. Recta. Secundum lineam rectam.

Εὐθυβόλῳ. Recta jaculanti.

Εὐθυγενής. Ordine recto collocatus.

Εὐθύγλωττος. Qui aperte ea, quæ ſentit, loquitur. Verax. Qui nihil in loquendo diſſimulat. *In loquendo autem nimia ſimplicitate proferebat ea, quæ ſentiebat.*

Εὐθύδημος. Euthydemus, magiſter Apollonii Tyanei, Tarſenſis, Cilix. Apollonius enim, cum ad ætatem adultam perveniſſet, in dicendi facultate magnam vim habuit, & exercitationis robur, & Atticæ linguæ magnam peritiam. Quamobrem omnium oculi in ipſum conjiciebantur. Nam & forma valde conſpicuus erat. Ipſum autem natum XIV. annos pater ad Euthydemum Tarſos Ciliciæ ducit, qui ipſum docuit. Hic autem præceptori quidem adhærebat: illius vero civitatis mores abſurdos [ac ineptos eſſe] judicabat, & minime commodos ad operam philoſophiæ ibi dandam. Nuſquam enim deliciis magis ſunt addicti, & deriſores, & dicaces, ac inſolentes ſunt omnes, & ſe dederunt velis, [i. e. rebus nauticis] magis, quam Athenienſes ſapientiæ. Per ipſorum autem urbem fluit Cydnus fluvius, cui aſſident, ut aves locis humidis aſſuetæ. Quamobrem exorato patre magiſtrum in vicinum oppidum Ægas tranſtulit, ubi & tranquillitas erat apta philoſophaturo, & Æſculapii templum valde conſpicuum hominibus. Ibi cum eo philoſophati ſunt & Platonici, & Chryſippei, & Peripatetici. Sed ne Epicuri quidem doctrinam contempſit. Euxenus vero fuit ipſi Pythagoricæ diſciplinæ magiſter. *Port.*

Εὐθυδικία. ὅτ᾽ ἂν εἰσάγηταί τις κ. π. ὧν μ. γ. ε. δ. τ. ε. κ. Π. ὧν γὰρ κ. τις φ. π. τ. π. ἐφεῖται.
Photius.

Εὐθυδικία. ὅταν εἰσάγηταί τις κριθησόμενος, περὶ ὧν μηδέπω γνῶσις ἐγένετο δικαστηρίου, τοῦτο εὐθυδικία καλεῖται. περὶ ὧν γὰρ κεκρίσθαι τις φησι, περὶ τούτων παραγράφεσθαι ἐφεῖται. Οὐκ ἀκούσαντες τῆς εὐθυδικίας, καὶ εἰκότως. οὐ γὰρ ἐπὶ τῷ δικάζειν ἐκάθηντο, ἀλλ᾽ ἐπὶ σχήματι καὶ προσώπῳ δικαστῶν.

Εὐθυεπείαις. ὀρθολογίαις.

Εὐθυκλῆς. τῶν δραμάτων αὐτοῦ ἐστιν Ἄσωτοι, ἢ

Εὐθυδικία. Quum quis in jus vocatur, cauſam dicturus de re, in judicio nondum diſceptata; id εὐθυδικία vocatur. Cum enim reus ſe accuſari dicit ob rem jam ante judicatam, exceptione ei uti licet. *Cum cauſæ in judicium introductæ negligerentur: & merito. Non enim judicandi cauſa ſedebant, ſed tantum, ut judicum ſpeciem & perſonam repræſentarent.*

Εὐθυεπείαις. Sermonibus rectis & ab omni ſimulatione remotis.

Εὐθυκλῆς. Euthycles. Ex ipſius comœdiis

---

[1] Εὐθίας. ὄνομα κύριον. τῶν ἐπὶ συκοφ.] Ex Harpocratione.

[2] Εὐθιξία ἔχων τὸν νοῦν. εὐθ.] Locus hic & corruptus & mutilus eſſe videtur: ex quo, prout potui, me expedivi.

[3] Ἦν δὲ καὶ εὐθύγλωττος πέρα τοῦ δ.] Hæc ſunt verba Damaſcii de Iſidoro philoſopho, ut patet ex Photio, apud quem in Excerptis ex Damaſcio, pag. 1032. hic ipſe locus auctior legitur. Confer etiam Noſtrum ſupra v. Ἀφέλεια.

[4] Εὐθύδημος, διδάσκαλος Ἀπολλ.] Totum hunc articulum excerpſit Suidas ex Philoſtrato *de Vit. Apoll.* lib. 1. cap. IV. & V. ut Pearſonius etiam monuit.

[5] Σκωπτῶλαι] Apud Philoſtratum rectius legitur σκωπτόλαι, per o in ſyllaba penultima; & ſic apud ipſum Suidam infra v. Σκωπτίλαι, ubi hic ipſe locus repetitur. Photius quoque in *Bibliotheca*, pag. 1017. fragmentum hoc inter Collectanea ſua retulit, ubi itidem legitur σκωπτόλαι.

[6] Ποταμός τε αὐτοὺς διαῤῥ.——οἱ ὑγρόβατοι] Fragmentum hoc repetitur infra v. Κύδνιον ῥεῦμα.

[7] Οὐδὲ τῶν Ἐπικούρου λόγων ἀπεσπ] Locus hic legitur etiam ſupra v. Ἀπεσπούδαζε.

Ἐπιστολή· ὥς φησιν Ἀθήναιος ἐν τοῖς Δειπνοσοφισταῖς.

Εὐθυλήπτων. εὐχερῶς κρατουμένων. εὐκόλων. Τοῦτο γὰρ δρᾷν εἰώθασιν αἱ σφοδραὶ ἐπιθυμίαι, οὐκ εὐθυλήπτων ὄντων τῶν ἐπιθυμουμένων.

Εὐθυμένης.[1] ὄνομα κύριον. Ἄρχων Ἀθηναῖος· ἐφ' οὗ κατελύθη τὸ ψήφισμα τοῦ μὴ κωμῳδεῖν, γραφὲν ἐπὶ Μορυχίδου.

Εὔθυμος,[2] Λοκρὸς, τῶν Ἐπιζεφυρίων· ὃς ἠγωνίσατο πὺξ πρὸς Θεαγένην τὸν Θάσιον· καὶ ὑπερεβάλλετο μὲν ὁ Θεαγένης, ἐπηρεάσας τὸν Εὔθυμον. οὐ μέντοι ἐν παγκρατίῳ λαβεῖν ἠδυνήθη τὸν κότινον, προκατειργασμένος ὑπὸ Εὐθύμου. ἐνίκησε δὲ Εὔθυμος τὰς ἐφεξῆς Ὀλυμπιάδας τρεῖς, καὶ ἐστεφανώθη, τοῦ Θασίου μὴ καταστάντος οἱ ἐς πυγμὴν, ἀλλ' ἑτέρων. οὗτος ὁ Εὔθυμος ἠγωνίσατο καὶ πρὸς τὸν ἐν Τεμέσῃ ἥρωα Ἀλύβαντα. ἡ δὲ Τέμεσα τῆς Ἰταλίας ἐστὶν, εἰς ἣν Ὀδυσσεὺς πλανώμενος περὶ Σικελίαν ἦλθεν. ἔνθα εἷς τῶν ναυτῶν μεθύσας, καὶ παρθένον βιασάμενος, κατελεύσθη ὑπὸ τῶν ἐγχωρίων. καὶ Ὀδυσσεὺς μὲν ἐν οὐδενὶ θέμενος τὴν ἀπώλειαν, ἔπλει. τούτου δὲ τελευτήσαντος ὁ δαίμων οὐκ ἀνίει τοὺς ἐν Τεμέσῃ ἀνθρώπους ἐπεξερχόμενος καὶ φονεύων· ὥστε καὶ ὥρμησαν φυγεῖν καταλιπόντες τὴν πόλιν, εἰ μὴ ἡ Πυθία σφᾶς ἐπέσχε, τὸν ἥρωα ἱλάσκεσθαι [κελεύουσα,] τέμενος ἐργασαμένους, καὶ κατ' ἐνιαυτὸν τὴν καλλίστην οὖσαν παρθένον ἐς γυναῖκα ἐπιδιδόντας. ταῦτα πολλοῖς ἔτεσι τελούμενα πυθόμενος ὁ Εὔθυμος, εἰσῆλθεν εἰς τὸ τέμενος, καὶ τὴν παρθένον ἰδὼν, καὶ οἰκτείρας, πρὸς δὲ καὶ ἐς ἔρωτα ἐλθὼν, ἐνεσκευάσατο ὡς πολεμήσων τῷ δαίμονι, καὶ αὐτὸν μὲν νύκτωρ φανέντα ἐνίκησε, καὶ ἐξήλασεν, ὡς μηκέτι αὐτόθι φανῆναι· τὴν δὲ παρθένον γαμετὴν ἠγάγετο.

Εὐθύνη.[3] κυρίως ἣν εἰσάγουσιν οἱ Λογισταὶ πρὸς τοὺς δόξαντας μὴ ὀρθῶς ἄρξαι τῆς πόλεως, ἢ πρεσβεῦσαι κακῶς. καὶ τὰ δικαστήρια μὲν οἱ Λογισταὶ κληροῦσι· κατηγορεῖ δὲ ὁ βουλόμενος· καὶ τοῖς δικασταῖς ἐφεῖται τιμᾶσθαι τοῖς ἁλοῦσιν. † Ὅτι τῆς ἐλεφαντίνης Ἀθηνᾶς, ἣν Φειδίας ἐποίησεν, ἐπὶ τοῖς ἀναλώμασι ταχθεὶς ὁ Περικλῆς, καὶ νοσφισάμενος ν' τάλαντα, ἵνα μὴ δῷ τὰς εὐθύνας, τὸν πόλεμον ἐκίνησε.

Εὐθύνας. δίκας. τιμωρίας.

Εὐθῦναι. ἐξετάσαι. ὀρθῶσαι.

Εὐθῦναι.[4] ὄνομα ἀρχῆς παρὰ Ἀθηναίοις. δέκα δὲ τὸν ἀριθμὸν ἄνδρες ἦσαν, παρ' οἷς ἐδίδοσαν οἱ πρεσβεύσαντες, ἢ ἄρξαντες, ἢ διοικήσαντές τι τῶν δημοσίων, τὰς εὐθύνας.

eſt & ea, quæ *Aſoti*, vel *Epiſtola* inſcribitur, ut ait Athenæus in *Dipnoſophiſtis*.

Εὐθυλήπτων. Rerum, quæ facile capi poſſunt. Facilium. *Hoc enim facere ſolent vehementes cupiditates, cum iis, quæ concupiſcimus, haud facile potiri poſſumus.*

Εὐθυμένης. Euthymenes. Nomen proprium Archontis Athenienſis, ſub quo abrogatum eſt decretum, Archonte Morychide ſcriptū, quo Comicis adimebatur libertas aliquem in Scena perſtringendi.

Εὔθυμος. Euthymus, Locrenſis, Epizephyrius, qui pugilatu certavit cum Theagene Thaſio. Et Theagenes quidem Euthymum ſuperavit, contumelioſe ei inſultans. Non tamen in pancratio coronam oleaginam accipere potuit, ab Euthymo ante ſuperatus. Euthymus vero tres ſequentes Olympiadas vicit, & coronatus eſt, in pugilatu non cum illo Thaſio, ſed cum aliis congreſſus. Idem Euthymus etiam cum Alybante Temeſæo Heroe pugnavit. Temeſa autem eſt Italiæ urbs, in quam Ulyſſes, circa Siciliam errans, venit. Ibi unus de nautis ebrius, cum virginem violaſſet, lapidibus obrutus fuit ab indigenis. Ulyſſes vero nulla necis ejus habita ratione, diſceſſit. Mortui autem Genius Temeſæos perſequi & occidere non deſinebat. Quare urbe relicta fugere ſtatuerant, niſi Pythia ipſos retinuiſſet, monens, ut Heroem placarent, fano extructo, & formoſiſſima virgine quotannis tradita, quæ eſſet ipſius uxor. Quæ cum per multos annos fieri comperiſſet Euthymus, in illud fanum ingreſſus, & virginem conſpicatus, & miſeratus, præterea vero ejus amore captus, ſe armavit, ut qui cum illo dæmone pugnaturus eſſet; ipſumque, cum nocte apparuiſſet, ſuperavit, & illinc expulit; ita ut nunquam poſtea illic apparuerit: virginem vero poſtea uxorem duxit. *Port.*

Εὐθύνη. Sic vocatur actio, quam Logiſtæ inſtituunt contra eos, quos ſuſpicio eſt Rempubl. non recte adminiſtraſſe, vel legationem perperam obiiſſe; ut muneris a ſe geſti rationem reddant. Et judicia quidem Logiſtæ ſortiuntur: accuſat vero, quiſquis vult. Judicibus autem licet mulctam irrogare reis convictis. † Pericles, curator conſtitutus pecuniæ, in Minervam eburneam, quam Phidias fecit, impendendæ, cum L. Talenta intervertiſſet, ne rationes reddere teneretur, bellum excitavit.

Εὔθυνα. κυρίως —— τοῖς
ἁλοῦσιν. Photius.

Εὐθύνας. Judicia. Pœnas. Examina.

Εὐθῦναι. Examinare. Corrigere. Dirigere.

Εὐθῦναι. Nomen magiſtratus apud Athenienſes. Erant autem viri numero decem, apud quos rationes reddere tenebantur illi, qui legationem obierant, aut magiſtratum geſſerant, aut pecuniam aliquam publicam adminiſtraverant.

Εὐθύναι. ο. α. π. Α —— τὰς
εὐθύνας. Photius.

---

[1] Εὐθυμένης. ὄνομα κύριον. Ἄρχων Ἀθηναῖος.] Ex Scholiaſta Ariſtophanis ad *Acharnenſ.* pag. 373. 374. (264. Ed. Baſ. *Port.*)

[2] Εὔθυμος, Λοκρὸς, τῶν Ἐπιζεφ.] Totum hunc locum conſarcinavit Suidas ex Pauſania, qui eadem refert lib. VI. pag. 355. Nonnulla autem, quæ apud Pauſaniam leguntur, Suidas brevitatis gratia præteriit; nonnulla item paulo aliter habet, ut ex collatione locorum cuilibet patebit.

[3] Εὐθύνη. κυρίως ἣν εἰσάγ.] Confer Noſtrum ſupra v. Ἀλογίου, & infra v. Λογισταί.

[4] Εὐθῦναι. ὄνομα ἀρχῆς παρὰ Ἀθην.] Ex Harpocratione. Confer etiam Petitum *de Leg. Att.* pag. 224.

Εὐθύνοντας. ὁρμῶντας.

Εὔθυνος. εὐθυντής.

Εὐθύνουσιν. ἐρωτῶσι. δίκας εἰσπράττουσι.

Εὐθυωρία. τὸ κατ' εὐθεῖαν.

Εὐθυωρόν.[1] ἀντὶ τοῦ, κατ' εὐθεῖαν. οὕτως Ἀντιφῶν καὶ Ξενοφῶν.

Εὐθυωρόν. αὐτῇ τῇ ὥρᾳ. [2] Τὸ δὲ βέλος ἀνεῳγμένον προφθάσαν τὸ στόμα, ἐκεῖσε ἐμπεσὸν, κατέπαυσε τὴν πνῆσιν. καὶ δὴ ὁ Κὼχ εὐθυωρὸν ἀπεβίω.

Εὐθυῤῥήμων. εὐθυλόγος. ἐτυμολόγος. καὶ ῥῆμα, εὐθυῤῥημονῶ. ὅτε λέγει Ἀριστοφάνης τὸ δεῖνα, τὸ ῥηθησόμενον ἀηδὲς [3] ἐκφεύγειν εὐθέως λέγει, ἵνα μὴ εὐθυῤῥημονήσῃ.

Εὐθύς. ἀντὶ τοῦ, ἐν ἀρχῇ. παραυτίκα. [4] Ἀριστοφάνης·

Ἐπίσχες. εὐθὺς γάρ σ' ἔχω μέσον λαβὼν ἄφυκτον.

τὸ ἑξῆς, λαβών σε ἄφυκτον ἔχω, εὐθὺς μέσον λαβών. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν παλαιστῶν, τῶν λαμβανομένων εἰς τὸ μέσον, καὶ ἡττωμένων. καὶ αὖθις [5] Ἀριστοφάνης Νεφέλαις·

Σὺ δὲ τοὺς νῦν εὐθὺς ἐν ἱματίοισι διδάσκεις ἐντετυλίχθαι.

Εὐθὺς καὶ ε. α. Ε. τὸ δε ε. δ.τ. ὁ γὰρ τὸ παραχ. σ. α. τὸ ἕως καὶ εἰς οἷον. Photius.

Εὐθὺς, καὶ εὐθέως. ἀμφότερα Ἑλληνικά. τὸ δ' εὐθὺ διαφέρει τούτων. οὐ γὰρ τὸ παραχρῆμα σημαίνει, ἀλλὰ τὸ ἕως, καὶ εἰς οἷον. [6] παρὰ Θουκυδίδῃ, τὸ παραχρῆμα, καὶ τὸ ἐξ εὐθείας, καὶ τὸ ἀσκόπως.

Εὐθὺ σκοποῦ. ἀκριβές. κατ' εὐθεῖαν. Καὶ οἱ μὲν ἐκ τοῦ λιμένος ἀπῆραν, εὐθὺ δὲ Παχύνου ἐφέροντο.

Εὐθὺ τοῦ Διός. ἀντὶ τοῦ, πρὸς τὸν Δία.

Εὐκαρδίως. προαιρετικῶς. Ἡ δὲ κόρη ὑπακούει προθύμως τε καὶ εὐκαρδίως.

Εὐκατάπρηστος. εὐκατάκαυστος.

Εὐκατεργάστου. εὐχειρώτου. εὐδιαλύτου. Τῆς οἰκονομίας οὔσης εὐκατεργάστου.

7. Polybius. XVIII. 32. Vol. IV. p. 108.

Εὐκαιρία. [7] Ἀντίοχος ὁ βασιλεὺς πάνυ ὠρέγετο τῆς Ἐφέσου, διὰ τὴν εὐκαιρίαν, τῷ δοκεῖν μὲν κατὰ τῆς Ἰωνίας καὶ τῶν ἐφ' Ἑλλησπόντου πόλεων καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν ἀκροπόλεως ἔχειν θέσιν· κατὰ δὲ τῆς Εὐρώπης ἀμυντήριον ὑπάρχειν ἀεὶ τοῖς Ἀσίας βασιλεῦσιν εὐκαιρότατον.

Εὐκέαστον. τὸ εὔσχιστον.

Εὔκερος βοῦς. ὁ καλὰ κέρατα ἔχων. Εὔκαιρος δὲ, ὁ καλὸς καιρός. καὶ εὐκαίρως, ἐπιῤῥηματικῶς. ἀντὶ τοῦ ἁρμοζόντως. εἰς καιρὸν δέοντα. Εὐκαίρως δὲ παριόντος Κράτητος, ὁ βιβλιοπώλης δείξας αὐτὸν, φησὶ, τούτῳ παρακολούθησον.

Εὐθύνοντας. [Dirigentes.] Cum impetu ruentes.

Εὔθυνος. Qui rationes geſti muneris ab aliquo exigit.

Εὐθύνουσιν. Interrogant. Examinant. Pœnas exigunt.

Εὐθυωρία. Extenſio rei ſecundum lineam rectam.

Εὐθυωρόν. Secundum lineam rectam. Recta via. Sic Antiphon & Xenophon.

Εὐθυωρόν. Eadem hora. Statim. *Telum autem, cum per os apertum intraſſet, in gutture hæſit. Cochus vero ſtatim ex vita exceſſit.*

Εὐθυῤῥήμων. Qui aperte & abſque ulla circuitione rem ipſam loquitur. Et verbum, εὐθυῤῥημονῶ, ſimpliciter & aperte verum dico. Ariſtophanes aliquando voce δεῖνα utitur, cum rem ipſam aperte dicere non vult, ne ſcilicet id, quod auribus ingratum eſt, proferat.

Εὐθύς. Statim. Confeſtim. Ariſtophanes: *Siſte gradum. Nam ſtatim nunc medium te tenebo prehenſum, ut elabi non poſſis.* Ordo conſtructionis talis eſt, λαβών σε ἄφυκτον ἔχω, εὐθὺς μέσον λαβών. Metaphora ſumpta eſt a luctatoribus, qui medii prehenſi ab adverſariis vincuntur. Et iterum Ariſtophanes *Nubibus: Tu vero noſtri temporis homines illico veſtimentis involvi doces.*

Εὐθὺς, & εὐθέως. Utrumque Græcum eſt. At εὐθὺ ab his differt. Non enim ſignificat ſtatim, ſed, recta ad aliquem locum. Apud Thucydidem vero [τὸ εὐθὺς] non ſignificat, ſtatim, ſed aperte, vel non diſſimulanter, & inconſulto.

Εὐθὺ σκοποῦ. Recta ad ſcopum. Recta. *Illi vero portu ſolverunt, & Pachynum recta petierunt.*

Εὐθὺ τοῦ Διός. Recta ad Jovem.

Εὐκαρδίως. Prompte. Cupide. *Puella vero alacriter & prompte obtemperavit.*

Εὐκατάπρηστος. Facilis combuſtu.

Εὐκατεργάστου. Illius, qui facile confici, vel ſubigi, & diſſolvi poteſt. *Cum œconomia illa facile diſſolvi poſſet.*

Εὐκαιρία. Temporis commoditas. Opportunitas. *Antiochus Rex Epheſum vehementer appetebat, propter illius urbis oportunitatem, quod adverſus Ioniam quidem & Helleſponti urbes terra marique arcis ſitum obtinere videretur; contra Europam vero propugnaculum Aſiæ Regibus commodiſſimum ſemper eſſet.*

Εὐκέαστον. Quod facile ſcindi vel findi poteſt.

Εὔκερος βοῦς. Bos pulchra cornua habens. Εὔκαιρος vero, opportunus. Et εὐκαίρως, adverbialiter. Opportune. Convenienter. Opportuno tempore. *Cratete autem opportune prætereunte, bibliopola eum demonſtrans, dixit: Hunc ſequere.*

---

[1] Εὐθυωρόν. ἀντὶ τοῦ, κατ' εὐθ.] Ex Harpocratione.

[2] Τὸ δὲ βέλος ἀνεῳγμ.] Fragmentum hoc legitur etiam infra v. Ὁ Κώχ.

[3] Ἐκφεύγειν εὐθέως λ.] Locus hic corruptus mihi videtur, in quo pro εὐθέως rectius forſan legas εἰωθώς.

[4] Ἀριστοφάνης] *Nubibus*, pag. 182. (111. Ed. Baſ. *P.*)

[5] Ἀριστοφάνης Νεφέλαις] Pag. 179. (109. Ed. Baſ. *P.*)

[6] Παρὰ Θουκυδίδῃ, τὸ παραχρῆμα, καὶ τὸ ἐξ εὐθ.] Aliter prorſus Scholiaſta Thucydidis ad lib. II. cap. V. unde hæc ſumpta ſunt. Sic enim ille: Εὐθὺς [illegible]. τὸ εὐθὺς οὐκ ἔστι παραχρῆμα, ἀλλ' ἐξ εὐθείας, καὶ ἀσκόπως. Hanc lectionem, quæ etiam Suidæ reſtituenda eſt, in verſione ſecutus ſum.

[7] Ἀντίοχος ὁ βασιλεὺς π.] Fragmentum hoc Caſaubonus ad Polybium refert.

Εὐκαιρεῖν. πλουτεῖν. [1]Ὁ δὲ ἐκάλει τὴν πολιτῶν τοὺς δοκοῦντας εὐκαιρεῖν τοῖς βίοις.

Εὐκαιρίαν. [2]Ὁ δὲ θαυμάσας τὴν τῆς πόλεως θέσιν, καὶ τὴν τῆς ἀκροπόλεως εὐκαιρίαν, πρός τε τοὺς ἐντὸς Ἰσθμοῦ, καὶ πρὸς τοὺς ἐκτὸς ἀπολαμβανομένους τόπους. καὶ αὖθις· [3]Οἱ δὲ ἐθαύμαζον τὴν ἀρετὴν τῆς χώρας, καὶ τὰς κατὰ τὸν Νεῖλον εὐκαιρίας.

Εὐκηλήτειρα. κατευνάστρια. ἡ ἡσυχάστρια.

Εὔκηλος. ὁ ἥσυχος.

Εὐκλεές. ἔνδοξον.

Εὔκλεια. ἡ δόξα. Ἡγεῖσθαι μὲν ἀγαθὸν οὐδὲν εἶναι τὴν εὔκλειαν, ἀντιποιεῖσθαι δὲ αὐτῆς ἱκανῶς, ὠφελείας ἕνεκα τῶν ἄλλων ἀνθρώπων, ὡς τῶνγε Φιλοσόφων δοξάντων ἀσχημονεῖν, οἴχεσθαι ἐκ τοῦ βίου πᾶσαν αἰδῶ, καὶ ζήλωσιν τοῦ ἀμείνονος ἤθους. καὶ αὖθις, [4]Ἰώσηπος· Θέμενος εὐκλείας ἐν δευτέρῳ τὸ ζῆν.

Εὐκλείδης[5], Μεγαρεύς, (Μεγάρων δὲ τῶν ἐν τῷ Ἰσθμῷ) Φιλόσοφος, ὃς τὴν ἐξ αὐτοῦ κληθεῖσαν Μεγαρικὴν αἵρεσιν εἰσήγαγεν· ἣν δὴ καὶ Διαλεκτικὴν καὶ Ἐριστικὴν προσηγόρευσαν. γέγονε δὲ μαθητὴς Σωκράτους· μεθ' ὃν Ἰχθύας, εἶτα Στίλπων ἔσχον τὴν σχολήν. συνέγραψε διαλόγους, Ἀλκιβιάδην, Αἰσχίνην, Κρίτωνα, [6]Φοίνικας, Λαμπρίαν, Ἐρωτικόν· καὶ ἄλλα τινά.

Εὐκλέϊσον. ἀντὶ τοῦ, δόξης καὶ εὐκλείας ἀξίωσον.

Πρόφρων ἁμετέραν εὐκλέϊσον γενεάν.

Εὐκληρία. εὐτυχία.

Εὐκολίνη. ἡ εὔκολος πόλις.

Εὔκολος.[7] ἁπλοϊκὸς τὸν τρόπον, καὶ ἐλευθέριος. ἢ ὁ ἐναντιούμενος τῷ δυσκόλῳ. Ὁ δὲ ἁπλοῦς ἦν, καὶ μάλα εὔκολος, [8]συμπειθόμενος καὶ παρελκόμενος ἀγωνιᾷν τὸ ἀνδράποδον, καθάπερ Ὀδύσσειόν τινα καὶ Θεμιστόκλειον παρεληλυθότα δεινότητα καὶ πανουργίαν.

Εὐκραής. ἀντὶ τοῦ, εὔκρατος.

Εὐκράς. εὐκρασία.

Εὐκρινές. εὐχερές.

Εὐκρίνεια. ἡ καθαρότης.

Εὐκρινής. συνήθως μὲν ὁ ἐξ ἀρρωστίας ὑγιάνας λέγεται. διὰ τὸ εὖ κεκρίσθαι. οὗτοι δὲ καὶ ἐπὶ τοῦ νεκροῦ τιθέασι κατὰ ἀντίφρασιν.

Εὔκριτος. ὄνομα κύριον.

Εὐκταῖον. εὐχῆς ἄξιον. πολύτιμον. ὑγιές. Παρ' ἐμοὶ δειπνήσατε πρότερον ἀμφότεροι. θύων γὰρ τυγχάνω ἱερὰ εὐκταῖα, καὶ τοὺς παῖδας ἄγων ἴθι, καὶ τῶν

Εὐκαιρεῖν. Opulentum eſſe. *Ille vero vocavit cives, qui opulenti eſſe videbantur.*

¹Polybius. Fragm. Gr. 67. Vol. V. p. 88.

Εὐκαιρίαν. Opportunitatem. *Ille vero admiratus illius urbis ſitum, & arcis opportunitatem, tam ad loca, quæ erant intra Iſthmum, quam ad ea, quæ extra eum ſita erant.* Et iterum: *Illi vero mirabantur illius regionis bonitatem, & Nili commoditates.*

Polybius. XXX. 15. Vol. V. p. 44.

Εὐκηλήτειρα. Demulcens. Leniens. Sopiens.

Εὔκηλος. Quietus. Placidus. Tacitus.

Εὐκλεές. Glorioſum. Illuſtre.

Εὔκλεια. Gloria. [*Dicebat vero,*] *gloriam quidem in bonorum numero non eſſe ponendam; attamen operam dandam, ut eam conſequaris, propter utilitatem aliorum hominum. Nam ſi Philoſophi turpiter ſe gerere viderentur, omnem verecundiam, & meliorum morum ſtudium ex vita ſublatum iri.* Et iterum Joſephus: *Vitam gloriæ poſtponens.*

Εὐκλείδης. Euclides, Megarenſis, (ex Megaris nimirum in Iſthmo ſitis oriundus) Philoſophus: auctor ſectæ, ab ipſo *Megaricæ* appellatæ; quam alii etiam Dialecticam & Eriſticam vocarunt. Idem fuit Socratis diſcipulus: cui Ichthyas, & poſtea Stilpon in Schola ſucceſſerunt. Conſcripſit Dialogos, *Alcibiadem*, *Æſchinem*, *Critonem*, *Phœnices*, *Lampriam*, *Amatorium*, & alia quædam.

Εὐκλέϊσον. Gloria & honore illuſtra. *Propitius noſtrum gloria illuſtra genus.*

Εὐκληρία. Felicitas.

Εὐκολίνη. Eucoline. Urbs.

Εὔκολος. Simplex. Apertus. Ingenuus. Vel, facilis, & qui contrarius eſt moroſo. *Ille vero, cum eſſet ſimplex & facilis, ab aliis perſuaſus in certamen deſcendebat cum mancipio, quod vel Ulyſſis & Themiſtoclis aſtutiam & calliditatem ſuperabat.*

Εὐκραής. Bene temperatus.

Εὐκράς. Idem. Et εὐκρασία. Bona temperies.

Εὐκρινές. Diſtinctum. Clarum. Purum.

Εὐκρίνεια. Diluciditas. Puritas.

Εὐκρινής. Communiter quidem ſic vocatur ille, qui ex morbo convaluit: ab εὖ bene, & κεκρίσθαι, diſtinctum vel ſecretum eſſe. Per antiphraſin vero etiam mortuus ſic dicitur.

Ευκρινης. σ. μὲν ὁ ἐξ ἀ. ὑ. λ. διὰ τὸ ευ κεκρίσθαι. οὗ. δὲ καὶ ε. τοῦ ν. τ. κατὰ ἀντίφρασιν.
Photi

Εὔκριτος. Eucritus. Nomen proprium.

Εὐκταῖον. Optandum. Voto dignum. Pretioſum. Sanum. *Apud me cœnate prius ambo. Sacra enim facio præclara: & filios huc* φίλων, οὓς ζητεῖς. καὶ εὐκταῖος.

---

[1] Ὁ δὲ ἐκάλει τῶν πολιτῶν τοὺς δοκ.] Fragmentum hoc Valeſius Polybio tribuit. Certe, τὸ εὐκαιρεῖν τοῖς βίοις, pro, opulentum & divitem eſſe, eſt phraſis Polybiana, ut patet ex Collectaneis Conſtantini Imperat. pag. 165. ubi in fragmento Polybii inter alia & hæc leguntur: Προέγραφε γὰρ τοὺς εὐκαιροῦντας τοῖς βίοις φυγάδας, οὐ μόνον ἄνδρας, ἀλλὰ καὶ γυναῖκας. Id eſt: *Locupletes enim quoſque, non viros ſolum, ſed etiam fœminas, exules proſcripſit.*

[2] Ὁ δὲ θαυμάσας τὴν τῆς π.] Fragmentum hoc Fulvius Urſinus ad Polybium refert.

[3] Οἱ δὲ ἐθαύμαζον τὴν ἀρετὴν τῆς χ.] Hæc ſunt verba Diodori in *Excerpt. Legat.* ab Urſino editis, cap. XXXII. ut Pearſonius etiam obſervaverat.

[4] Ἰώσηπος] *De Bello Jud.* lib. 1. pag. 709. ubi de Eleazaro filio Mattathiæ verba fiunt.

[5] Εὐκλείδης Μεγ.] De eo vide plura apud Laertium.

[6] Φοίνικας] Laertius, Φοίνικα: numero ſingulari.

[7] Εὔκολος. ἁπλοϊκὸς τὸν τρόπον. ἐλευθ.] Scholiaſta Ariſtophanis ad *Ranas* pag. 214. Εὔκολος. ἁπλοϊκὸς, καὶ ἐλευθέριος. τοιοῦτος δὲ ὁ Σοφοκλῆς.

[8] Συμπειθόμενος καὶ παρελκόμενος ἀγωνιᾷν ἀνδρ.] Totus hic locus & ἀνακόλουθος eſt & obſcurus, quem fruſtra quis emendare & illuſtrare conetur, niſi prius integrum locum auctoris, unde hæc deprompta ſunt, invenerit.

Εὐκτήμονος. πλουσίου.

Εὐκτόν. ἐπιθυμητικόν. [1] Ἀγαθίας· Οἱ δὲ Φράγγοι ἀφειδῶς ἐνέκειντο, ὡς τὸν Ναρσῆν ζωγρήσοντες, καὶ πόνῳ ξὺν βραχεῖ πέρας εὐκτὸν ἐπιθήσοντες ἅπαντι τῷ πολέμῳ.

Εὐλάβεια. παρὰ Σοφοκλεῖ, [2] ἔννοια, καὶ σκέψις.

--- Ἐν γὰρ τῷ μαθεῖν
Ἔνεστιν εὐλάβεια τῶν ποιουμένων.

οὐ γὰρ τὸν φόβον φησὶ νῦν.

Εὐλάβεια. ἡ καθαρότης, καὶ ὁ φόβος. Εὐλαβία δὲ, ὄνομα κύριον.

Εὐλαβηθείς. Τῶν Ῥωμαίων τὸ πρόθυμον εὐλαβηθεὶς ὁ Γεζέριχος, τοῖς ἑαυτῷ ἑπομένοις ἐσήμαινε διὰ τάχους ἐπικουρεῖν. καὶ Πισίδης·

Οὐκ ηὐλαβήθης τὰς ἐνοχλούσας νόσους.

Εὐλαβής. ὁ εὖ τῶν πραγμάτων ἐπιλαμβανόμενος. ὁ μὴ προχείρως τι ποιῶν. ἢ καὶ ὁ εἰς λαβὴν ἐπιτήδειος· οἷον, εὐλαβὴς μάχαιρα. ἢ ὁ εὖ προλαμβάνων τὸ μέλλον. δύσληπτος δὲ, ὁ δυσχερής. ἀπὸ τῶν χειρῶν.

Εὐλαβοῦ. φυλάσσου.

Εὐλαβοῦ[3] δὲ, μὴ 'κφύγῃ σε. καὶ γὰρ οἶδε τὰς ὁδοὺς,
Ἅσπερ Εὐκράτης ἔφυγεν εὐθὺ τῶν κυρηβίων.

ἐπὶ τῶν φευγόντων. Ἀριστοφάνης. καὶ εὐλαβοῦμαι, αἰτιατικῇ. γενικῇ δὲ· Ἀψύχων εὐλαβοῦμαι. εἰ γὰρ βαπτίσω σε.

4. Polybius. XVI. 38. Vol. III. 642.

Εὐλαβῶς. Ὁ δὲ [4] Φίλιππος, ὁρῶν τοὺς Ἀχαιοὺς εὐλαβῶς διακειμένους πρὸς τὸν κατὰ Ῥωμαίων πόλεμον, ἐσπούδαζε κατὰ πάντα τρόπον ἐμβιβάσαι αὐτοὺς εἰς ἀπέχθειαν.

Εὔλαχα. τὸ ἄροτρον, [5] παρὰ Θουκυδίδῃ ἐν χρησμῷ τινι. Δώριος δὲ ἡ λέξις.

Εὐλαί. σκώληκες. καὶ [6] εὐλέων, τῶν σκωλήκων. [7] Ἡ δὲ Φερετίμα, ἡ Κυρήνης βασίλισσα, ἀνθ' ὧν ἔδρασε δίκας ἔτισε. ζῶσα γὰρ ἐξέζεσεν εὐλέων. ὅ ἐστι, σκωλήκων. [8] ὥς φησι Βάβριος ἐν μυθικοῖς. καὶ αὖθις· Ἐξέζεσε[9] ζῶν κακοῖς θηρίοις· οἱ μὲν, εὐλαῖς· οἱ δὲ, ὅτι οὐ ταύταις, φθειρσὶ δὲ μᾶλλον. ἢ [10] οὕτω, φθειρσί γε μήν.

Εὔληπτος. ὁ ταχέως καταλαμβανόμενος.

Εὐλόγησα. καὶ οὐκ ηὐλόγησα. ὡς Ἀττικώτερον γὰρ τὸ εὐλόγησα. Εὐλογημένος γὰρ λέγεις, καὶ οὐκ ηὐλογημένος.

tecum adduc, & ex amicis illos, quos cupis. Et εὐκταῖος. Optandus.

Εὐκτήμονος. Opulenti. Divitis.

Εὐκτόν. Optandum. Expetendum. Agathias: *Franci vero acriter & ſtrenue hoſtibus inſtabant, tanquam Narſetem vivum capturi, & ſic finem optatum toti bello impoſituri.*

Εὐλάβεια. Apud Sophoclem [ſic dicitur] conſideratio, & deliberatio. *Nam qui rem ante cognoſcit, prudenter de eo, quod facturus eſt, deliberare poteſt.* Εὐλάβεια enim hic non ſignificat metum.

Εὐλάβεια. Puritas, & metus. Εὐλαβία vero, nomen proprium. Eulabia.

Εὐλαβηθείς. Timens. Formidans. *Genſericus Romanorum promptitudinem formidans, illis, qui ipſum ſequebantur, ſignificavit, ut ſibi celeriter opem ferrent.* Et Piſides: *Non reformidaſti moleſtos morbos.*

Εὐλαβής. Qui recte res aggreditur. Qui nihil temere facit. Vel etiam, qui commode prehendi poteſt: ut εὐλαβὴς μάχαιρα, gladius, qui commode capi vel prehendi poteſt. Vel, qui recte futurum præcipit. Δύσληπτος vero eſt, qui difficulter capi poteſt.

Εὐλαβοῦ. Cave. [Ariſtophanes:] *Cave, ne te effugiat. Novit enim vias, per quas Eucrates recta effugit ad paleas.* Dicitur de fugientibus apud Ariſtophanem. Et εὐλαβοῦμαι, accuſativo jungitur. Item, genitivo. *Inanimata caveo. Si enim te baptizavero.*

Εὐλαβῶς. Caute. Timide. *Philippus autem animadvertens, Achæos a bello contra Romanos ſuſcipiendo metu deterreri, ipſos quavis ratione iis infenſos reddere ſtudebat.*

Εὔλαχα. Sic apud Thucydidem in oraculo quodam dicitur aratrum. Eſt autem vocabulum Doricum.

Εὐλαί. Vermes. Et εὐλέων. Vermium. *Pheretima vero, Cyrenes Regina, pro facinoribus a ſe perpetratis pœnas dedit. Vivens enim vermibus ſcatuit.* Et ut ait Babrius in *Fabulis.* * * * * Et iterum: *Vivus malis animalculis ſcatuit; ut alii quidem tradunt, vermibus; vel, ut alii, pediculis potius.*

Εὔληπτος. Qui facile & cito capi poteſt.

Εὐλόγησα. [Sic dicendum eſt.] Non autem ηὐλόγησα. Laudavi. Celebravi. Magis enim Atticum eſt εὐλόγησα. Pariter, εὐλογημένος dices, non autem ηὐλογημένος.

---

[1] Ἀγαθίας] Lib. 1. pag. 34.

[2] Ἔννοια] Sic recte Scholiaſta Sophoclis ad *Oedip. Colon.* pag. 275. unde hæc Suidas deſcripſit. At in prioribus Editt. male legitur, εὔνοια.

[3] Εὐλαβοῦ δὲ, μὴ 'κφύγῃ σ.] Duo hi verſus Trochaici leguntur apud Ariſtophanem *Equit.* pag. 301. (202. Ed. Baſ. *P.*)

[4] Ὁ δὲ Φίλιππος, ὁρῶν τοὺς Ἀχ.] Fragmentum hoc Valeſius Polybio tribuit.

[5] Παρὰ Θουκυδίδῃ] Lib. v. cap. xvi. ſed ubi legitur, εὐλάκα, per κ. Scholiaſta ibi ſequentia notat: Εὐλάκαν δὲ τὴν ὕνιν Λακεδαιμόνιοι λέγουσι. ἔνιοι δὲ, τὴν δίκελλαν. ἀπὸ τοῦ λακαίνειν, ἤτοι σκάπτειν. εὐλάξειν δὲ, ἀρόσσειν.

[6] Εὐλέων] Ionice dictum eſt, pro εὐλῶν, ut ex exemplo ſequenti patet. In prioribus autem Editt. male legitur, εὐλαιῶν.

[7] Ἡ δὲ Φερετίμα, ἡ Κυρήνης βασίλισσα, ἀνθ' ὧν ἔδρ.] Herodotus lib. iv. in fine: Οὐ μὴν οὐδὲ ἡ Φερετίμη εὖ τὴν ζόην κατέπλεξε. ὡς γὰρ δὴ τάχιστα ἐκ τῆς Λιβύης τισαμένη τοὺς Βαρκαίους ἀπενόστησε ἐς τὴν Αἴγυπτον, ἀπέθανε κακῶς. ζῶσα γὰρ εὐλέων ἐξέζεσε. Hinc Suidas fragmentum hoc conſarcinavit, ut Portus etiam obſervavit.

[8] Ὡς φησι Βάβριος ἐν μυθικοῖς] Cum nihil præcedat, vel ſequatur, ad quod verba hæc referri poſſint, vel dicendum eſt, ea ut ſupervacanea delenda eſſe, vel, ῥῆσιν Babrii hic excidiſſe.

[9] Ἐξέζεσε ζῶν κακοῖς θηρίοις· οἱ μὲν, εὐλ.] Fragmentum hoc legitur etiam ſupra v. Ἀπώνατο.

[10] Ἢ οὕτω, φθειρσί γε μήν] Hæc nihil aliud ſunt quam varia lectio verborum proxime præcedentium.

Εὐλογείτω. καὶ εὐλογείτωσαν. ἐπαινείτωσαν.

Εὐλόγηκεν. ἐβλασφήμησεν. ἐπὶ τοῦ Ἰώβ· Εὐλογῶν εὐλογήσει.

Εὐλογῆσαι. ἐπαινέσαι, ὑμνῆσαι, ἐγκωμιάσαι. Ἡ ψυχὴ αὐτοῦ ἐν τῇ ζωῇ αὐτοῦ εὐλογηθήσεται.

Εὐλογήσαι ἡμᾶς ὁ Θεός. αἰτιατικῇ. [1] Εἰδέναι προσήκει, ὡς εὐλογοῦντες μὲν οἱ ἄνθρωποι τὸν Θεόν, λόγους αὐτῷ προσφέρουσι μόνους· ἔργῳ δὲ αὐτὸν εὐεργετῆσαι οὐ δύνανται. ὁ δὲ Θεὸς εὐλογῶν βεβαιοῖ τοὺς λόγους τῷ ἔργῳ, καὶ παντοδαπὴν παρέχει φορὰν ἀγαθῶν τοῖς εὐλογουμένοις.

Εὐλογιστίας. εὐλογίας. εὐβουλίας.

Εὔλογον[2] ἀξίωμα. τὸ πλείονας ἀφορμὰς ἔχον εἰς τὸ ἀληθὲς εἶναι· οἷον, Βιώσομαι αὔριον. † Λόγου [3] ποτὲ γενομένου πρὸς [4] Κλεάνθην τὸν φιλόσοφον, καὶ Πτολεμαῖον τὸν βασιλέα, περὶ τοῦ δοξάζειν τὸν σοφὸν, καί τινος εἰπόντος, ὡς οὐ δοξάζει· βουλόμενος ὁ βασιλεὺς ἐλέγξαι αὐτὸν, κηρίνας ῥοὰς ἐκέλευσε παρατεθῆναι. τοῦ [5] δὲ σοφοῦ ἀπατηθέντος, ἀνεβόησεν ὁ βασιλεὺς, ψευδεῖ συγκατατεθεῖσθαι αὐτὸν φαντασίᾳ. πρὸς ὃν ὁ σοφὸς εὐστόχως ἀπεκρίνατο, εἰπὼν, οὕτω συγκατατεθεῖσθαι, οὐχ ὅτι ῥοαί εἰσιν, ἀλλ᾽ ὅτι εὔλογόν ἐστιν, ῥοὰς αὐτὰς εἶναι. διαφέρειν δὲ τὴν καταληπτικὴν φαντασίαν τοῦ εὐλόγου.

Εὐλόφως. γενναίως. [6] Ὁ δὲ πρὸς τοὺς ἐπαναστάντας εὐλόφως ἀγωνισάμενος, ἐπέδειξεν ἀληθῆ ὄντα τὸν λόγον, ὃν ἔφη Σωκράτην εἰπεῖν ὁ Ξενοφῶν πρὸς Ἰσχόμαχον, [7] ὡς ἔστιν ἄρα τὸν ἀγαθὸν ὠφελεῖσθαι καὶ ὑπὸ τοῦ βλάπτειν αὐτὸν πειρωμένων. καὶ αὖθις· [8] Εὐλόφῳ αὐχένι τὴν ἄσκησιν ὑπομένων ἐφαίνετο, οὔτε τὸ σῶμα κεκακωμένος, οὔτε τὴν ψυχὴν τεταλαιπωρημένος.

Εὔλυτος. [9] Μάρκος Ἀντωνῖνός φησιν· Ἔσο ἀναμένων τὸ ἀνακλητικὸν ἐκ τοῦ βίου εὔλυτος, μήτε ὅρκου δεόμενος, μήτε ἀνθρώπου τινὸς μάρτυρος.

Εὐμάθεια. τὸ καλῶς μανθάνειν.

Εὐμαρέη. ἀπόπατος [10] παρὰ Ἡροδότῳ.

Εὐμάρεια. ἡ εὐκολία. [11] λέγεται δὲ καὶ ἡ εὐκοσμία

Εὐλογείτω. Laudet. Celebret. Et εὐλογείτωσαν. Laudent. Celebrent.

Εὐλόγηκεν. [Per antiphraſin, pro] Maledixit. De Jobo dicitur: *Laudibus celebrabit.*

Εὐλογῆσαι. Laudaſſe. Celebraſſe. *Ipſius anima in vita ejus celebrabitur.*

Εὐλογήσαι ἡμᾶς ὁ Θεός. *Benedicat nobis Deus.* Accuſativo jungitur. *Scire oportet, homines, cum Deo benedicunt, ſola verba ipſi offerre; re ipſa vero ipſi benefacere non poſſe. Deus vero, cum benedicit, verba factis confirmat, & iis, quibus benedicit, omnigenam bonorum copiam largitur.*

Εὐλογιστίας. Rationes bene ſubductas. Prudentiam in capiendis conſiliis.

Εὔλογον ἀξίωμα. Axioma probabile: ſive illud, quod plures habet rationes, cur verum credatur; ut, *Cras vivam.* † Cum aliquando inter Cleanthem philoſophum & Ptolemæum Regem ortus eſſet ſermo, de eo, an ſapiens opinetur; & quidam negaret, eum opinari; Rex eum convincere volens, mala Punica cerea apponi juſſit. Cum igitur externa ſpecies Sapientem decepiſſet, Rex exclamavit, eum falſo viſo aſſenſum eſſe. Cui Sapiens argute reſpondit, dicens, ſe ita aſſenſum eſſe, non quod exiſtimaret, ea eſſe mala Punica ſed quod probabile putaret, ea eſſe mala Punica. Differre autē viſionē, quæ cōprehendendi facultatem habeat, ab eo quod ſit probabile.

Εὐλόφως. Generoſe. Fortiter. *Ille vero cum fortiter cum adverſariis certaſſet, oſtendit, verum eſſe dictum illud, quod Socrates, ut ait Xenophon, ad Iſchomachum dixit, Virum bonum etiam utilitatem capere poſſe ex iis, qui ipſi nocere conentur.* Et iterum: *Erecta cervice labores & moleſtias ita perferebat, ut nec corpus ejus debilitaretur, nec animi robur & vires frangerentur.*

Εὔλυτος. Paratus diſcedere. Expeditus. Marcus Antoninus ait: *Expeditus claſſicum expecta, quo e vita avoceris, nec jurejurando proprio, nec alius cujuſquam teſtimonio indigens.*

Εὐμάθεια. Docilitas. Diſcendi facilitas.

Εὐμαρέη. Apud Herodotum locus, ubi venter exoneratur. Vel, ipſa ventris exoneratio.

Εὐμάρεια. Facilitas. Item tranquillitas, ſive,

---

[1] Εἰδέναι προσήκει, ὡς εὐλογοῦντες μὲν οἱ ἄνθρ.] Hæc ſunt verba Theodoreti ad Pſalmum LXVI. v. 6.

[2] Εὔλογον ἀξίωμα——Βιώσομαι αὔριον] Hæc leguntur apud Laertium in *Zenone Cittieo*, pag. 483. Edit. Henr. Steph. ut Pearſonius recte obſervaverat.

[3] Λόγου ποτὲ γενομένου πρὸς Κλεάνθην τὸν φιλόσοφον, καὶ Πτολεμαῖον τὸν βασ.] Hæc, & quæ ſequuntur uſque ad finem articuli, ſunt verba ejuſdem Laertii in *Sphæro*, ut itidem Pearſonius monuit.

[4] Κλεάνθην] Imo, Σφαῖρον, ut patet ex Laertio, qui hæc de Sphæro Philoſopho refert.

[5] Τοῦ δὲ σοφοῦ] Laertius, τοῦ δὲ Σφαίρου. Et ſic paulo poſt, Σφαῖρος, pro σοφός.

[6] Ὁ δὲ πρὸς τοὺς ἐπαναστάντας εὐλ.] Fragmentum hoc ex Damaſcio depromptum eſſe ſuſpicor.

[7] Ὡς ἔστιν ἄρα τὸν ἀγαθὸν ὠφελεῖσθαι καὶ ὑπὸ τ.] Neſcio an auctor anonymus, ex quo Suidas iſta depromſit, reſpexerit ad locum illum Xenophontis in *Oeconom.* pag. 820. Οἰκονόμου ἄρα ἐστὶν ἀγαθοῦ καὶ τοῖς ἐχθροῖς ἐπίστασθαι χρῆσθαι, ὥστε ὠφελεῖσθαι ἀπὸ τῶν ἐχθρῶν. Sed hæc Socrates ad Critobulum, non vero ad Iſchomachum dicit.

[8] Εὐλόφῳ αὐχένι τὴν ἄσκησιν ὑπομένων ἐφ.] Hæc ſunt verba Damaſcii de Saluſtio philoſopho, ut patet ex Photio, apud quem in Excerptis ex Damaſcio, pag. 1048. hic ipſe locus ſic legitur: Ἐφαίνετο δὲ οὐδέποτε ἐπὶ πλεῖστον χρόνον οὔτε ἀῤῥωστῶν τὸ σῶμα, οὔτε ταλαιπωρούμενος τὴν ψυχήν, ἀλλὰ, τὸ λεγόμενον, εὐλόφῳ αὐχένι τὴν ἄσκησιν ὑπέμενε. De Saluſtio philoſopho, ut diximus, hæc intelligi debere, liquet ex iis, quæ apud Photium loco laudato præcedunt.

[9] Μάρκος Ἀντωνῖνός φ.] Lib. III. cap. V. ut Pearſonius quoque obſervaverat. Vide etiam Noſtrum ſupra v. Ἀνακλητικὸν, ubi idem fragmentum legitur.

[10] Παρὰ Ἡροδότῳ] Lib. II. pag. 64. ubi ſcriptor ille de Ægyptiis inquit: Εὐμαρείῃ χρέωνται ἐν τοῖσι οἴκοισι, ἐσθίουσι δὲ ἔξω ἐν τῇσι ὁδοῖσι. Locum hunc Herodoti obſervavit Portus in Lexico Ionico: uti & alterum, qui occurrit lib. IV. pag. 163. ubi eadem voce Herodotus utitur.

[11] Λέγεται δὲ καὶ ἡ εὐκοσμία παρὰ Μάρκῳ Ἀντ.] Reſpexit Suidas ad locum illum, qui exſtat lib IV. cap. III. ubi Marcus ait: Τὴν δὲ εὐμάρειαν λέγω οὐδὲν ἄλλο, ἢ εὐκοσμίαν.

τὸ δὲ

παρὰ Μάρκῳ Ἀντωνίνῳ. καὶ [1] ἐν Ἐπιγράμματι· Οὐ βαθύπεπλος εὔμαρις.

Εὐμάρεια. ἡσυχία παρὰ Ἡροδότῳ. Τοῦτο φυγῆς τῷ Ἀννίβᾳ πλείονα εὐμάρειαν παρέσχε. διώκειν γὰρ οἱ τετρωμένοι [οἷοί τ'] ἦσαν ἥκιστα.

Εὐμάρειαι. εὐχέρειαι. τὸν πλοῦτον κτήσασθαι μὲν εὐμαρές· φυλάξασθαι δὲ, οὐ ῥᾴδιον.

Εὐμαρής. εὔκολος. εὐχερής. Εὔμαρις δὲ, θηλυκόν.

Εὔμαιος. ὄνομα κύριον.

Εὐμένης, [2] βασιλεὺς Μακεδόνων· ὃς τῇ μὲν σωματικῇ δυνάμει παραλελυμένος ἦν, τῇ δὲ τῆς ψυχῆς λαμπρότητι προσανεῖχεν· ἀνὴρ ἐν μὲν τοῖς πλείστοις οὐδενὸς δεύτερος τῶν καθ' αὑτὸν βασιλέων γενόμενος, περὶ δὲ τὰ σπουδαιότατα καὶ κάλλιστα μείζων καὶ λαμπρότατος. ὅς γε πρῶτον μὲν λαβὼν παρὰ τοῦ πατρὸς τὴν βασιλείαν συνεσταλμένην τελέως εἰς ὀλίγα καὶ λιτὰ πολισμάτια, ταῖς μεγίσταις τῶν καθ' αὑτὸν δυναστειῶν ἐφάμιλλον ἐποίησε τὴν ἰδίαν ἀρχήν· οὐ τύχῃ τὸ πλεῖον συνεργῷ χρώμενος, οὐδ' ἐκ περιπετείας, ἀλλὰ διὰ τῆς ἀγχινοίας καὶ φιλοπονίας, ἔτι δὲ πράξεως τῆς αὑτοῦ. δεύτερον, τῶν καθ' αὑτὸν βασιλέων φιλοδοξότατος ἐγενήθη, καὶ πλείστας μὲν πόλεις Ἑλληνίδας εὐηργέτησε, πλείστους δὲ κατ' ἰδίαν ἀνθρώπους ἐσωματοποίησεν. τρίτον δὲ, ἀδελφοὺς ἔχων τρεῖς, καὶ κατὰ τὴν ἡλικίαν καὶ πρᾶξιν [ἀκμάζοντας,] πάντας τούτους συνέσχε πειθαρχοῦντας αὐτῷ, καὶ δορυφοροῦντας, καὶ σώζοντας τὸ τῆς βασιλείας ἀξίωμα. τοῦτο δὲ σπανίως εὕροι τις ἂν γεγονός. ὁ [3] δὲ Εὐμένης οὗτος ὑπὸ Ἀντιγόνου ἀναιρεῖται, ἀνὴρ σοφώτατος, ἢ κατὰ τοὺς λοιποὺς τῶν Μακεδόνων, δόξας εἶναι, καὶ ἀνεπίληπτος ἐν στρατηγίαις, ὡς καὶ τῷ ἔπειτα γένει παρασχεῖν ὄνομα.

Markland Epist. Crit. 107.

Εὐμενίδες. αἱ Ἐριννύες, αἵ εἰσι καταχθόνιοι δαίμονες. [4] μεταβαλεῖν δέ φασιν αὐταῖς τὸ ὄνομα ἐπὶ Ὀρέστῃ. τότε γὰρ πρῶτον Εὐμενίδας κληθῆναι, εὐμενεῖς αὐτῷ γενομένας, κριθέντι νικᾶν παρ' Ἀθηναίοις, καὶ ὁλοκαυτώσαντι αὐταῖς ὄϊν μέλαιναν. Φιλήμων δὲ ὁ κωμικὸς ἑτέρας φησὶ τὰς Σεμνὰς θεὰς τῶν Εὐμενίδων. [5] Σοφοκλῆς·

—— Αἱ γὰρ ἔμφοβοι
Θεαί σφ' ἔχουσι, γῆς τε καὶ σκότους κόραι.

καὶ παροιμία· [6] Ἄλλα δ' ἀλλαχοῦ καλά. παρ' ὅσον τὰς Εὐμενίδας ἄλλοι ἄλλως καλοῦσιν. ἄλλα οὖν ὀνόματα παρ' ἄλλοις καλὰ νομίζονται, παρ' ἡμῖν δὲ ταῦτα, τὸ ὀνομάζειν αὐτὰς Εὐμενίδας κατ' εὐφημισμὸν τὰς Ἐριννύας.

animi probe compoſiti ſtatus, apud Marcum Antoninum. Et in Epigrammate: *Non laxa & ſinuoſa eumaris.*

Εὐμάρεια. Tranquillitas apud Herodotum. [Item, facilitas, facultas.] *Hæc res majorem fugæ facultatem Annibali præbuit. Vulnerati enim hoſtem perſequi minime poterant.*

Εὐμάρειαι. Facilitas. [Et εὐμαρές, facile.] *Opes parare facile eſt: at eaſdem conſervare, difficile.*

Εὐμαρής. Facilis. Εὔμαρις vero, [genus veſtis, vel calcei:] eſt fœmininum.

Εὔμαιος. Eumæus. Nomen proprium.

Εὐμένης. Eumenes, Macedonum Rex, corpore quidem erat infirmo atque imbecilli, ſed animi vigore infirmitatem corporis compenſabat: vir in pleriſque rebus nulli ætatis ſuæ Regum ſecundus; in rebus autem graviſſimis ac pulcherrimis omnium maximus ac ſplendidiſſimus. Qui primum quidem, cum regnum paucis ac tenuibus oppidulis coarctatum a patre accepiſſet, ampliſſimis temporis ſui imperiis parem dominationem ſuam præſtitit, non tam fortunæ auxilio & caſu quodam, quam ſolertia & induſtria ſua. Deinde præ cæteris ætatis ſuæ Regibus gloriæ cupidiſſimus fuit, atque unus plurimas Græciæ civitates ac plurimos ſingillatim homines beneficiis ſuis locupletavit. Denique fratres cum haberet tres, & ætate & induſtria pollentes, eos in officio omnes continuit, & morigeros cuſtodeſque regni, ac dignitatis ſuæ habuit ſatellites: quod raro admodum contigiſſe reperias. Hic Eumenes ab Antigono occiſus eſt, vir reliquorum Macedonum longe ſapientiſſimus, & Imperator omnibus numeris abſolutus, adeo ut & poſteris nominis ſui memoriam reliquerit.

Εὐμενίδες. Eumenides, ſive Furiæ, Deæ infernæ: quas ob id, quod Oreſti accidit, nomine mutato *Eumenides* primum appellatas eſſe ajunt; quod ſcilicet εὐμενεῖς, i. e. propitiæ ei fuiſſent, cum Athenis abſolutus, ovem nigram eis immolaſſet. Philemon vero Comicus ait, Deas illas, quas Græci Σεμνὰς vocant, diverſas eſſe ab Eumenidibus. Sophocles: *Terribiles enim Deæ ipſum tenent, Telluris & Caliginis filiæ.* Et proverbium: *Alia alibi cenſentur pulchra.* Eumenides enim alii aliter appellant: quod alia nomina apud alios pulchra cenſeantur. Apud nos vero uſu receptum eſt, ut Furias per euphemiſmum *Eumenides* appellemus.

---

[1] Ἐν Ἐπιγράμματι] Anthol. lib. III. cap. XII. pag. 339. ubi legitur εὐμαρίς, cum acuto in ultima. Fuiſſe autem *eumarin* genus veſtis vel ornamenti muliebris, ex dicto loco Anthologiæ apparet. Erat etiam genus quoddam calceamenti, quod apud veteres εὔμαρις vocabatur: de quo vide Pollucem.

[2] Εὐμένης. βασιλεὺς Μακεδόνων· ὃς τῇ μὲν σωματικῇ —— σπανίως εὕροι τις ἂν γεγονός] Hæc omnia ſunt verba Polybii apud Conſtantinum in Collectaneis a Valeſio editis, pag. 166. unde ea Suidas deſcripſit. Vocem autem Μακεδόνων Suidas de ſuo addidit: & quidem male. Eumenes enim non fuit Rex Macedonum, ſed Pergami, ut ex hiſtoria ſatis conſtat.

[3] Ὁ δὲ Εὐμένης οὗτος ὑπὸ Ἀντιγ.] Hæc pertinent ad Eumenem Cardianum, Cappadociæ ſatrapam, a priori Eumene omnino diverſum, ut recte monuit Reineſ. *Var. Lect.* lib. III. pag. 368. quem confer.

[4] Μεταβαλεῖν δέ φασιν αὐταῖς τὸ ὄνομα ἐπὶ Ὀρ.] Hæc, & quæ ſequuntur; ſunt verba Scholiaſtæ Sophocl. ad *Oedip. Colon.* pag. 272. ut Portus etiam monuit.

[5] Σοφοκλῆς] *Oedip. Colon.* pag. 272.

[6] Ἄλλα δ' ἀλλαχοῦ καλά] Hæc apud Sophoclem loco laudato ſequuntur: quæ non neceſſe eſt proverbiis cum Suida accenſere.

Εὐμενίδες.[1] Αἰσχύλος Εὐμενίσιν, εἰπὼν τὰ περὶ τὴν κρίσιν τὴν Ὀρέστου, φησὶν, ὡς [2] ἡ Ἀθηνᾶ ἐπραΰνε τὰς Ἐριννύας, ὥστε μὴ χαλεπῶς ἔχειν πρὸς τὸν Ὀρέστην, καὶ Εὐμενίδας αὐτὰς ὠνόμασεν. εἰσὶ δὲ τρεῖς, Ἀληκτὼ, Μέγαιρα, Τισιφόνη.

Εὐμεταβολώτερος κοθόρνου. κόθορνος εἶδος ὑποδήματος, ἑκατέροις ποσὶν ἁρμόζον. [3] ὅθεν καὶ Θηραμένην, τὸν ἐπὶ τῶν Τριάκοντα, Κόθορνον ἐκάλουν οἱ Ἀθηναῖοι. ἐπὶ τῶν οὖν συνεχῶς μεταβαλλομένων ἡ παροιμία.

Εὐμολπία. ἡ εὐφωνία, ἡ [4] εὐημερεία.

Εὐμολπίδαι. γένος ἀπὸ τοῦ Θρᾳκός· ὃς καὶ τὴν μύησιν εὗρεν. ἢ ἀπὸ τοῦ Μουσαίου υἱοῦ, ὃς ἦν [5] ἀπὸ τοῦ δευτέρου πέμπτος. † [6] Ἐπηράσαντο δὲ αὐτῷ Εὐμολπίδαι καὶ Κήρυκες. καὶ αὖθις· Εἶτα μέντοι παρ' οὐδὲν θέμενος τὰ σεμνὰ Εὐμολπιδῶν, καὶ Κηρύκων, καὶ τῶν ἄλλων γενῶν ἱερῶν τε ὄντων καὶ θεοφιλῶν, ἐπίρρητον δὲ καὶ θήλειαν σοφίαν προελόμενος.

Εὔμολπος, Ἐλευσίνιος, ἤτοι Ἀθηναῖος, υἱὸς Μουσαίου τοῦ ποιητοῦ· ὡς δέ τινες, μαθητὴς Ὀρφέως, ἐποποιὸς τῶν πρὸ Ὁμήρου. γέγονε δὲ καὶ Πυθιονίκης. πρὸς λύραν γὰρ ἐπεδείκνυντο οἱ ποιηταί. οὗτος ἔγραψε τελετὰς Δήμητρος, καὶ [7] τὴν εἰς Κελεὸν ἄφιξιν, καὶ τὴν τῶν μυστηρίων παράδοσιν, τὴν ταῖς θυγατράσιν αὐτοῦ γενομένην, ἔπη τὰ πάντα τρισχίλια. [8] Χειροσκοπικὰ πεζῶς, βιβλίον ἕν.

Εὐμοιρία. εὐκληρία. καὶ εὐμοιρότερον, εὐτυχέστερον. Οἱ δὲ τοὺς ἀχρείους σφῶν ὑπὸ τοῦ λιμοῦ πιεζόμενοι ἐξέβαλον εἰς τὸ μεσοτείχιον, καὶ ἐκτείνοντο εὐμοιρότερον ὑπὸ τῶν πολεμίων. † [9] Εἰς θέαν καὶ νόησιν τοῦ ἀληθοῦς καὶ ψευδοῦς, εὐμοιρίαν. Δαμάσκιος.

Εὐνάς. κοίτας. ἢ ἀγκύρας. καὶ εὐνίων, τῶν στρωμάτων. Οἱ μὲν ἐκ τῶν εὐνίων ἀνεπήδων· οἱ δὲ ὡπλίζοντο ἀμελῶς.

Εὐνείκα, Σαλαμινία.

Εὐνηθέντας. κατακοιμηθέντας.

Εὔνηος.[10] ὄνομα κύριον.

Εὐνίδαι.[11] γένος ἐστὶ παρ' Ἀθηναίοις οὕτως ὀνομαζόμενον. ἦσαν δὲ κιθαρῳδοὶ, πρὸς τὰς ἱερουργίας παρέχοντες τὴν χρείαν.

Εὖνις. ἡ γαμετή.

Εὐμενίδες. Eumenides. Æſchylus *Eumenidibus*, poſtquam expoſuit ea, quæ in Oreſtis judicio contigerunt, dicit, Erinnyas a Minerva mitigatas fuiſſe, ne Oreſti infenſæ eſſent; & ideo Eumenidas ab ipſa appellatas fuiſſe. Sunt autem tres: Alecto, Megæra, Tiſiphone. *Port.*

Εὐμεταβολώτερος κοθόρνου. Cothurno verſatilior. Cothurnus erat calcei genus, utrique pedi aptum. Unde etiam Theramenem illum, qui xxx. Tyrannorum tempore vixit, Athenienſes *Cothurnum* appellarunt. Proverbium igitur hoc dicitur in eos, qui crebro mutantur.

Ευμεταβολωτερος

Εὐμολπία. Suavitas vocis. Suavis cantus. Vel, felix rerum ſucceſſus.

Εὐμολπίδαι. Eumolpidæ. Genus, [quod originem ducit] ab [Eumolpo] Thrace: qui etiam rationem initiandi invenit. Vel a Muſæi filio, qui fuit a ſecundo quintus. † *Devoverunt autem eum Eumolpidæ & Ceryces.* Et iterum: *Deinde vero ſpretis Eumolpidarum, & Cerycum, aliarumque familiarum ſacrarum myſteriis, infamem & effœminatam ſapientiam illis antepoſuit.*

Εὔμολπος. Eumolpus, Eleuſinius, vel Athenienſis, filius Muſæi Poetæ, &, ut quidam tradunt, diſcipulus Orphei, poeta Epicus ante Homerum. Vicit etiam Pythia. Ad lyram enim Poetæ de palma inter ſe certabant. Scripſit Initia Cereris, ejuſque ad Celeum adventum, & myſteria filiabus ejus tradita: eaque omnia tribus verſuum millibus. Chiroſcopicorum librum unum, oratione proſa.

Εὐμοιρία. Felicitas. Et εὐμοιρότερον. Felicius. *Illi vero, cum a fame premerentur, eos ex ſuis, qui ad res gerendas inepti erant, in pomœrium ejecerunt; qui ab hoſtibus melius interficiebantur.* Et, *Felicitatem, per quam verum & falſum contemplamur & intelligimus.* Damaſcius.

Εὐνάς. Cubilia. Vel, ancoras. Et εὐνίων. Stragulorum. Stratorum. *Alii quidem ex ſtratis exſiliebant; alii vero negligenter ſe armabant.*

Εὐνείκα. Eunica, Salaminia.

Εὐνηθέντας. Dormientes. Sopitos. Cubantes.

Εὔνηος. Euneus. Nomen proprium.

Εὐνίδαι. Eunidæ. Erat familia quædam apud Athenienſes, ſic appellata: qui erant citharœdi, ſacrorum uſui inſervientes.

Εὖνις. Lecti conſors. Uxor.

---

[1] Εὐμενίδες. Αἰσχύλος Εὐμ.] Ex Harpocratione.

[2] Ὡς ἡ Ἀθηνᾶ ἐπραΰνε τὰς Ἐριν.] Alii ab ipſo Oreſte Furias placatas eſſe referunt. Vide Anonymi argumentum in Æſchyli *Eumenides.*

[3] Ὅθεν καὶ Θηραμένην, τὸν ἐπὶ τῶν λ', Κόθορνον ἐκάλ.] Vide, quæ notamus infra ad v. Θηραμένης.

[4] Εὐημερεία] Malim εὐυμνία: ut habet Heſychius.

[5] Ἀπὸ τοῦ δευτέρου πέμπτος] Imo, ἀπὸ τοῦ πρώτου πέμπτος. i. e. a primo Eumolpo quintus: ut ex Scholiaſta Sophoclis ad *Oedip. Colon.* reſcribendum hic eſſe recte monuit Meurſius *Eleuſin.* cap. 11. quem conſule.

[6] Ἐπηράσαντο δὲ αὐτῷ Εὐμολπ.] Fragmentum hoc Kuhnius ad Ælianum refert.

[7] Καὶ τὴν εἰς Κελεὸν ἄφιξιν] Hæc verba deſiderantur in prioribus Editt. quæ ex MSS. Pariſ. revocavi. Erat autem Celeus pater Triptolemi, ut docet Suidas infra v. Ῥαριάς: quem locum confer.

[8] Χειροσκοπικὰ πεζῶς, βιβλ.] Locum hunc ex MS. Pariſ. A. emendavi, qui in prioribus Editt. male ſic legitur: Χειροσκοπικά. πεζὰ δὲ βιβλίον ἕν.

[9] Εἰς θέαν καὶ νόησιν τοῦ ἀληθ.] Loci hujus ſenſus eſt omnino mutilus & imperfectus, quem ex Photio ſuppleri poſſe recte obſervavit Pearſonius. Apud eum enim in Excerptis ex Damaſcio, pag. 1033. ſic legitur: Ὅτι ἀγχίνοιαν καὶ ὀξύτητα ὁ Ἰσίδωρος ἔλεγεν —— εἶναι θείαν κατοχὴν, ἠρέμα διανοίγουσαν καὶ ὑποκαθαίρουσαν τὰ τῆς ψυχῆς ὄμματα, καὶ τῷ νοερῷ φωτὶ καταλάμπουσαν, εἰς θέαν καὶ γνῶσιν τοῦ ἀληθοῦς καὶ τοῦ ψεύδους. εὐμοιρίαν ταύτην ἐκεῖνος ὠνόμαζε. Clare hinc patet, Suidam ex eodem auctore, ex quo & Photius, (i. e. ex Damaſcio) locum hunc deprompſiſſe.

[10] Εὔνηος] Poetice, pro Εὔνεος. Sic autem appellabatur filius Jaſonis, cujus meminit Homerus Il. Η. v. 468. & Il. Ψ. v. 747.

[11] Εὐνίδαι] Potius Εὐνείδαι, per diphthongum ει; ut habent Heſychius & Etymologus. Vide etiam Valeſium ad Excerpta Peireſc. pag. 66.

Εὖνις. ἐστερημένη τῶν ἐπιτηδείων.

Εὐνοϊκῶς. Φιλικῶς. πιστῶς.

Εὐνομία. εἰρήνη.

Εὐνομιανός. ὄνομα κύριον. [1] Τὸν δὲ Εὐνομιανὸν ἔλουσε Βελισάριος τὸ θεῖον λουτρὸν, (ἀντὶ τοῦ ἐβάπτισε) χερσὶ δὲ οἰκείαις ἀνελόμενος, εἰσποιητὸν ἐποιήσατο παῖδα, ᾗπερ εἰσποιεῖσθαι Χριστιανοῖς νόμος.

Εὐνομουμένη. εἰρηνεύουσα. [2] εὐθηνουμένη. [3] καλῶς διοικουμένη.

Εὐνόμιος. [4] οὗτος εἰς Κύζικον προβάλλεται Ἐπίσκοπος ἐπὶ Οὐάλεντος βασιλέως. ὑπογραφεὺς δὲ οὗτος γέγονεν Ἀετίου, τοῦ ἐπικληθέντος Ἀθέου. συνὼν δὲ αὐτῷ, τὸν ἐκείνου σοφιστικὸν τρόπον ἐζήλωσε, λεξειδίοις τε σχολάζων καὶ ποιῶν ἑαυτῷ σοφίσματα οὐκ ᾐσθάνετο. ἐκ τούτων δὲ τυφωθεὶς εἰς βλασφημίαν ἐξέπεσε, τὸ Ἀρείου δόγμα ζηλῶν, κατὰ πολλὰ δὲ τοῖς τῆς ἀληθείας δόγμασι πολεμῶν, ὀλιγομαθῶς μὲν ἔχων πρὸς τὰ ἱερὰ γράμματα, καὶ μηδὲ συνιέναι αὐτὰ δυνάμενος· [5] πολύχους δὲ τὴν λέξιν, καὶ τὰ αὐτὰ περιστρέφων ἀεὶ, καὶ μὴ δυνάμενος περιγενέσθαι τοῦ προτεθέντος σκοποῦ· ὡς δεικνύουσιν οἱ ζ τόμοι, οὓς ἐματαιοπόνησεν εἰς [6] τὰς πρὸς Ῥωμαίους ἐπιστολάς. πολλοὺς γὰρ λόγους ἐς αὐτὰς ἀναλώσας, τῆς ἐπιστολῆς τὸν σκοπὸν ἑλεῖν οὐ δεδύνηται. ἐφάμιλλοι δὲ αὐτοῦ καὶ οἱ ἄλλοι λόγοι τυγχάνουσιν, ἐν πολυλεξίᾳ ἔχοντες νοημάτων εὐτέλειαν.

Εὐνοίας. Φιλίας. [7] Τὸν γὰρ στρατὸν, ᾧ καταρασόμενον ἐλθεῖν αὐτὸν παρακαλοῦσι, δι' εὐνοίας εἶναι τῷ Θεῷ.

Εὐνοῶ σοι.

Εὔνους. [8] Ἀριστοτέλης λέγει ἐν τοῖς Τόποις· Δεῖξαι θέλοντες, τὸν φίλον μὴ εἶναι εὔνουν ἀεὶ, εἰ εὔνους μὲν ὁ ὀρθῶς νοῶν, καὶ τὰ ἀληθῆ, καὶ τὰ ἀγαθὰ νοῶν· οὐ πάντα δὲ ὀρθῶς ὁ φίλος νοεῖ. ὁ δὲ τόπος οὗτος τὸ μὲν πιθανὸν καὶ ἔνδοξον καὶ διαλεκτικὸν ἔχει, οὐ μὴν ὑγιὲς τὸ λεγόμενον ἐπὶ πάντων. οὔτε γὰρ εὐθάλασσος λέγεται, ὁ ἔχων ἀγαθὴν θάλασσαν· οὔτε εὔχειρ, ὁ καλὰς ἔχων χεῖρας, ἀλλ' ὁ πυκτικός· οὔτε μεγαλόψυχος, ὁ ἔχων ψυχὴν μεγάλην. διὸ οὐδὲ

Εὖνις. Neceſſariis & propinquis orbata. Vidua.

Εὐνοϊκῶς. Benevole. Amice. Fideliter.

Εὐνομία. Bona legum conſtitutio. Pax.

Εὐνομιανός. Eunomianus. Nomen proprium. *Hunc autem Eunomianum Beliſarius divino lavacro lavit, propriiſque manibus ſuſceptum in filii locum adſcivit, eo nimirum ritu, quo Chriſtianis adoptare mos eſt.*

Εὐνομουμένη. Pacata. Tranquilla. Felicitate florens. Recte gubernata.

Εὐνόμιος. Eunomius, ſub Valente Imperatore Epiſcopus urbis Cyzicenæ conſtitutus, notarius fuit Aetii, cognomento Athei: cum quo diu verſatus, ſophiſticum ejus diſſerendi modum imitatus eſt: & inanibus quibuſdam voculis nimis deditus, fallaces argumentationes in ſuum ipſius damnum imprudens contexuit. Ob hæc arrogantia elatus, in blaſphemiam prolapſus eſt, dum Arii quidem dogma ſectatur, veritatis autem doctrinam variis modis impugnat. Et ſacrarum quidem ſcripturarum parum omnino peritus fuit, nec earum intelligentiam aſſequi potuit. Verborum vero copia abundans, & eadem aſſidue repetens, nunquam propoſitum ſibi ſcopum potuit contingere; ſicut manifeſte declarant ſeptem libri, quos in Epiſtolam [Pauli] ad Romanos incaſſum elaboravit. Quamvis enim in ejus interpretatione multa conſumpſerit verba, inſtitutum tamen Apoſtoli nullatenus eſt aſſecutus. Hujuſmodi ſunt etiam cæteri, qui circumferuntur, ejus libri, verborum quidem copia abundantes, at ſententiarum inopes.

Εὐνοίας. Amicitiæ. Benevolentiæ. [*Dicebat enim,*] *exercitum, ad quem diris devovendum ab ipſis accerſatur, Deo charum eſſe.*

Εὐνοῶ σοι. Benevolo animo ſum erga te.

Εὔνους. Benevolus. Ariſtoteles in *Topicis* dicit: Demonſtrare licet amicum non ſemper eſſe εὔνουν, (i. e. benevolum) ſi εὔνους ſumatur pro eo, qui recte ſentit, veraque & bona intelligit. Atqui amicus non ſemper recte ſentit. Hic autem locus habet quidem aliquid probabile & Dialecticum; non tamen in omnibus ſanum [ac verum eſt id,] quod dicitur. Neque enim εὐθάλασσος dicitur ille, qui bonum mare habet; neque εὔχειρ, ille, qui pulchras manus habet; ſed qui ad pugilatum eſt εὐδαίμων ὁ σπουδαῖος, ὡς ἤδη καὶ τὸν δαίμονα [1]εὖ ἔχων τὸν ἐν αὑτῷ. καὶ τὸ τοῦ φίλου ἔργον αἱρετώτερον, ἢ τὸ τοῦ εὔνου· καὶ φιλία, εὐνοίας. ἔστι δὲ τοῦ μὲν φίλου ἔργον, ἡ μετὰ βουλήσεως πρᾶξις τῶν ἀγαθῶν εἰς τὸν φίλον· τοῦ δὲ εὔνου, ἡ βούλησις μόνον. καὶ ἐπεὶ φιλία εὐνοίας αἱρετωτέρα, καὶ τὸ τῆς φιλίας ἔργον τοῦ τῆς εὐνοίας αἱρετώτερον· καὶ τὸ εὖ ποιεῖν τοὺς φίλους τοῦ κακῶς ποιεῖν τοὺς πολεμίους. καὶ ἔστι τὸ μὲν εὖ ποιεῖν τοὺς φίλους, ἔργον τοῦ ἐλευθερίου· τὸ δὲ κακῶς τοὺς ἐχθροὺς, τοῦ ἀνδρείου.

---

[1] Τὸν δὲ Εὐνομιανὸν ἔλουσε Βελισάριος τὸ θ.] Male hic Suidas Eunomianum vocat adoleſcentem illum, qui apud Procopium *Hiſtor. Hiſt.* cap. 1. (unde locus hic excerptus eſt) Eunomianis parentibus natus fuiſſe dicitur; ſed cui Theodoſio nomen erat. En verba Procopii: Ἦν δέ τις νεανίας ἐκ Θρᾴκης ἐν τῇ Βελισαρίου οἰκίᾳ, Θεοδόσιος τοὔνομα, δόξης γεγονὼς ἐκ πατέρων Εὐνομιανῶν καλουμένων. τοῦτον ἡνίκα ἐς Λιβύην ἀποπλεῖν ἔμελλεν, ἔλουσε μὲν ὁ Βελισάριος τὸ θεῖον λουτρὸν, καὶ χερσὶν ἀνελόμενος &c. Hinc Suidæ ἀκρισία pateſcit. Cæterum, Pearſonius recte monuit, Gothofredum in *Prolegom.* ad Philoſtorg. pag. 2. ex loco hoc Suidæ Eunomianum aliquem ſibi confinxiſſe, qui nullus exſtitit. Verba enim ejus hæc ſunt: *In his* (nimirum, qui Philoſtorgii meminerunt) *Eunomianus quidam occurrit, cujus in Philoſtorgii hiſtoriam Epigramma ad me ultro tranſmiſſum ab Ampliſſimo V. P. Puteano, veteri amico meo, e codice Epigrammatum, olim Palatino, nunc Vaticano. Vetus is procul dubio ſcriptor; incertum tamen, quo tempore vixerit: quando & hoc nomine plures alii occurrunt. Inter alios Eunomianus quidam apud Suidam duobus locis, in v.* Εὐνομιανὸς, *& in v.* Ἔλουσε: *quem ſub Juſtiniano Imperatore Belliſarius e baptiſmo ſuſcepit.* Sed falli virum doctiſſimum, ex iis, quæ diximus, liquere poteſt.

[2] Εὐθηνουμένη] Hanc lectionem ex MS. Pariſ. A. revocavi: cujus loco priores Editt. minus recte habent εὐθυνουμένη. Verbum enim εὐθυνοῦμαι Græca lingua non agnoſcit.

[3] Καλῶς διοικουμένη] MS. A. habet, καλῶς διακειμένη. Sed lectio vulgata recte ſe habet: quamvis nec altera penitus ſpernenda ſit.

[4] Εὐνόμιος. οὗτος εἰς Κύζικον προβάλλεται Ἐπίσκ.] Hæc, & quæ ſequuntur uſque finem articuli, ſunt verba Socratis *Hiſtor. Eccleſ.* lib. IV. cap. VII. ut Pearſonius etiam obſervavit.

[5] Πολύχους δὲ τὴν λέξιν, καὶ τὰ αὐτὰ περιστρ.] Locus hic repetitur infra v. Πολύχους.

[6] Εἰς τὰς πρὸς Ῥωμαίους ἐπισ.] Scribe, εἰς τὴν πρὸς Ῥωμαίους ἐπιστολήν: ut habet Socrates.

[7] Τὸν γὰρ στρατὸν, ᾧ καταρασόμενον ἐλθεῖν αὐτὸν παρακ.] Fragmentum hoc legitur apud Joſephum *Antiq. Jud.* lib. IV. cap. IV. pag. 112. ubi de Balaamo vate verba fiunt.

[8] Ἀριστοτέλης λέγει ἐν τοῖς Τόποις] Imo, Ἀλέξανδρος ὁ Ἀφροδισιεὺς εἰς τὰ Τοπικά. Quæ enim ſequuntur, non ſunt verba Ariſtotelis, ſed Alexandri Aphrodiſienſis in *Topica* Philoſophi illius, ut Pearſonius etiam monuit. Et prior quidem Eclogæ hujus pars uſque ad verba illa, καὶ τὸν δαίμονα εὖ ἔχων τὸν ἐν αὐτῷ, legitur apud modo dictum Aphrodiſienſem in *Topic.* lib. II. pag. 94. Reliqua vero

aptus: neque μεγαλόψυχος, ille, qui magnam animam habet. Quamobrem ne εὐδαίμων quidem dicetur vir bonus, quaſi jam & bonum dæmonem intra ſe habeat. Et amici officium præſtantius eſt, quam hominis benevoli; & amicitia præſtantior eſt benevolentia. Nam amici opus eſt, beneficia ſcientem & volentem in amicum conferre. At benevoli, ſola tantum voluntas. Et quia amicitia præſtantior eſt benevolentia; officium etiam amicitiæ præſtantius eſt officio benevolentiæ. Sic etiam amicis benefacere præſtat, quam hoſtibus malefacere. Et amicis quidem benefacere, eſt hominis liberalis; inimicis vero malefacere, viri fortis.

Εὔνους[2] ὁ σφάκτης. τοῦτο κυρίως δύναται λέγεσθαι ἐπὶ τοῦ Ὀρέστου.

Εὔνους ὁ σφάκτης. Benevolus jugulator. Hoc proprie de Oreſte dici poteſt.

Εὐνούστατα. Φιλίως.

Εὐνούστατα. Benevole. Amice.

Εὐνοῦχος. [3]Ἀνήρ τις ἦν (εἰ δοίημεν αὐτὸν ἄνδρα εἶναι) διὰ τῶν Ἐπικούρου λόγων τὴν ψυχὴν ἐκνευρισθεὶς, καὶ θῆλυς γενόμενος, ὁ χλούνης τε, καὶ γύννις, ὥσπερ ἐπιλαθόμενος, ὤθησεν ἑαυτὸν εἰς τὸ μέγαρον φέρων· ἔνθα δή που τῷ ἱεροφάντῃ μόνῳ παρελθεῖν θεμιτὸν ἦν. † Ὅτι Ἀριστόνικος Πτολεμαίου τοῦ βασιλέως εὐνοῦχος ἦν, ἀλλ' ἀνδρώδης τὴν προαίρεσιν. ζήτει καὶ ἄλλα φερώνυμα ἐν τῷ Ἄῤῥεν. † [4]Ὅτι ὁ βασιλεὺς Θεοδόσιος ὁ μικρὸς ὀργῇ τῇ πρὸς τὸν Ἀντίοχον τὸν Πραιπόσιτον, ἐξεφώνησε διάταξιν, εὐνοῦχον ἐν τοῖς πατρικίοις μὴ τελεῖν. καθῃρέθη δὲ εὐθὺς καὶ ὁ Πραιπόσιτος Ἀντίοχος τῆς τιμῆς, καὶ ἐδημοσιεύθη, καὶ τοῖς ἱερεῦσι κατετάγη, [5]διαβληθεὶς εἰς καθοσίωσιν.

Εὐνοῦχος. Eunuchus. *Vir quidam erat, (ſi demus eum eſſe virum) Epicuri philoſophia enervatus, & effœminatus, idemque eunuchus & ſemivir, qui ſui oblitus, in adytum irrumpit, quo videlicet ſolum Hierophantam ſecundum leges myſteriorum intrare fas erat.* † Ariſtonicus Regis Ptolemæi eunuchus erat, ſed animo virili præditus. Quære reliqua nomina, quibus eunuchus ſignificatur, in v. Ἄῤῥεν. † Imperator Theodoſius minor, Antiocho Præpoſito iratus, edictum promulgavit, ne eunuchus inter Patricios cenſeretur. Quare Antiochus Præpoſitus illico dignitate priſtina exutus, boniſque ejus publicatis, in ſacerdotum ordinem relatus eſt, criminis læſæ Majeſtatis accuſatus.

Εὔξενος,[6] οὐ πάνυ σπουδαῖος, οὐδὲ ἐνεργῷ τῇ φιλοσοφίᾳ χρώμενος. γαστρός τε γὰρ ἥττων ἦν, καὶ ἀφροδισίων, καὶ κατὰ τὸν Ἐπίκουρον ἐσχημάτιστο· τὰς δὲ Πυθαγόρου δόξας ἐγίνωσκεν, ὥσπερ οἱ ὄρνιθες, ἃ μανθάνουσι παρὰ τῶν ἀνθρώπων. τὸ γὰρ Χαῖρε, καὶ τὸ, Εὖ πράττε, καὶ τὸ Ζεὺς ἵλεως, καὶ τὰ τοιαῦτα οἱ ὄρνιθες εὔχονται, οὔτε εἰδότες ὅ, τι λέγουσιν, οὔτε διακείμενοι πρὸς τοὺς ἀνθρώπους, ἀλλὰ ἐῤῥυθμισμένοι τὴν γλῶτταν. ὁ δὲ, ὥσπερ οἱ νέοι τῶν ἀετῶν ἐν ἁπαλῷ μὲν τῷ πτερῷ παραπέτονται τοῖς γειναμένοις, μελετώμενοι ὑπ' αὐτῶν τὴν πτῆσιν· ἐπειδὰν δὲ αἴρεσθαι δύνωνται, ὑπερπέτονται τοὺς γονέας, ἄλλως τε κἂν λίχνους αἴσθωνται, καὶ κνίσσης ἕνεκα πρὸς τῇ γῇ πετομένους· οὕτω καὶ ὁ Ἀπολλώνιος προσεῖχε τῷ Εὐξένῳ παῖς ἔτι, καὶ ἤγετο ὑπ' αὐτοῦ· προελθὼν δὲ ἐς ἔτος ιϛʹ, ὥρμησεν ἐπὶ τὸν Πυθαγόρου βίον, πτερωθεὶς ἐπ' αὐτὸν ὑπό τινος κρείττονος. οὐ μὴν δὲ τὸν Εὔξενον ἐπαύσατο ἀγαπῶν, ἀλλ' εἰς προάστειον, ἐν ᾧ κῆποί τε ἁπαλοὶ ἦσαν, καὶ πηγαὶ, τοῦτον ἀγαγὼν, ἔφη, Σὺ

Εὔξενος. Euxenus, vir non admodum probus, nec actuoſæ philoſophiæ deditus. Nam & ventri & rebus venereis nimium addictus erat, & Epicuri moribus imbutus. Pythagoræ vero opiniones ita cognoſcebat, ut aves ea, quæ diſcunt ab hominibus. Nam & *Salve*, &, *Bene rem gere*, &, *Jupiter tibi ſit propitius*, & alia hujuſmodi, aves optant [hominibus;] quamvis neque ſciant quid garriant, neque ſint bene affectæ erga homines: ſed linguam tantum informatam habeant. Ille vero, quemadmodum aquilarum pulli infirmis adhuc alis juxta parentes volant, ab ipſis volatum diſcentes; quum vero ſe poſſunt efferre, parentes volatu ſuperant; præcipue vero quum eos prædæ cupidos eſſe, & ob nidorem juxta terram volare ſentiunt: ſic etiam Apollonius, dum adhuc eſſet puer, Euxenum audiebat, & ab ipſo regebatur: ſed ad decimum ſextum ætatis annum progreſſus, ad Pythagoricam vitam ſe contulit, a meliore quadam [naturæ vi] ad eam impulſus. Euxenum tamen amare non deſiit: ſed

---

uſque ad finem articuli, exſtant apud eundem in *Topic.* lib. III. pag. 137. qui poſterior locus a Pearſonio obſervatus non fuerat.

[1] Εὖ ἔχων] Sic recte habet Aphrodiſienſis loco laudato. At in prioribus Editt. legitur tantum ἔχων, vocula εὖ male omiſſa.

[2] Εὔνους ὁ σφάκτης] De hoc proverbio plura vide apud Zenobium.

[3] Ἀνήρ τις ἦν (εἰ δοίημεν αὐτὸν ἄνδρα εἶναι) διὰ τῶν Ἐπ.] Fragmentum hoc Kuhnius ad Ælianum refert: cujus particulæ etiam leguntur apud Noſtrum, v. Ἐκνευρίσας, v. Ἱεροφάντης, v. Μέγαρον, & v. Χλοῦναι.

[4] Ὅτι ὁ Βασιλεὺς Θεοδόσιος ὁ μικρ.] Eadem refert Suidas infra v. Θεοδόσιος, ὁ μικρ. & v. Ὕπατοι.

[5] Διαβληθεὶς εἰς καθοσίωσιν] Portus ridicule & nullo ſenſu: *Ad expiationem a quibuſdam accuſatus.* Nos veram ſententiam in verſione expreſſimus.

[6] Εὔξενος, οὐ πάνυ σπουδ.] Totum hunc locum deprompſit Suidas ex Philoſtrati *de Vit. Apollon.* libro I. cap. V. ut Pearſonius etiam obſervaverat.

μὲν ζῆθι τὸν σαυτοῦ τρόπον· ἐγὼ δὲ τὸν Πυθαγόρου ζήσομαι.	cum eum in ſuburbium deduxiſſet, in quo & horti erant amœniſſimi, & fontes [limpidiſſimi,] ei dixit: *Tu quidem tuo more vive; vero meo more Pythagorico vivam.* Port.
Εὔξεινος. ὄνομα πελάγους. ὁ Πόντος. λέγει Ἡρόδοτος· Πελαγέων γὰρ ἁπάντων ἐστὶ θαυμασιώτατος.	Εὔξεινος. [Pontus] Euxinus. Nomen maris. *Pontus*, ut ait Herodotus, *eſt omnium marium maxime admirabilis*,
Εὐξίθεος.[1] προδότης Ἠλείων.	Εὐξίθεος. Euxitheus, Eleorum proditor.
Εὔξοον. καλῶς ἐξεσμένον.	Εὔξοον. Bene politum.
Εὐοδία. ἡ καλὴ ὁδός. ἔστι δὲ καὶ κύριον ὄνομα. Εὐωδία δὲ, ἡ εὐοσμία, διὰ τοῦ ω μεγάλου.	Εὐοδία. Bona via. Eſt & proprium nomen. Εὐωδία, vero, per ω, odor ſuavis.
Εὐοδιανός. ὄνομα κύριον.	Εὐοδιανός, Euodianus. Nomen proprium.
Εὐοδίας. ὄνομα κύριον.	Εὐοδίας. Euodias. Nomen proprium.
Εὔοδος, Ῥόδιος, ἐποποιὸς, γεγονὼς ἐπὶ Νέρωνος, ὁ θαυμαζόμενος εἰς Ῥωμαϊκὴν ποίησιν. τούτου τὰ βιβλία οὐ φαίνεται.	Εὔοδος. Euodus, Rhodius, poeta Epicus, ſub Nerone vixit, poeta Latinus admirabilis. Hujus libri nulli exſtant.
Εὐομιλότατος. εὐόργητος. πρᾶος.	Εὐομιλότατος. Valde affabilis. Suavibus moribus præditus. Mitis.
Εὐοργήτως. ἀντὶ τοῦ, εὐτρόπως. ὀργὴ γὰρ, ὁ τρόπος, παρὰ Θουκυδίδῃ.	Εὐοργήτως. More ejus, qui miti & ſuavi ingenio præditus eſt. Ὀργὴ enim apud Thucydidem idem ſignificat quod τρόπος, i. e. mores, vel ingenium.
Εὐορκία. τὸ καλῶς ὀμνύειν.	Εὐορκία. Religio & ſinceritas, qua quis jusjurandum præſtitum ſervat.
Εὐόρκου. ἀληθοῦς. εὐσεβοῦς. [2]Ἡσίοδος· Ἀνδρὸς δ' εὐόρκου γενεὴ μετόπισθεν ἀμείνων. καὶ [3]Ἀριστοφάνης· Ἀλλ' εἴ τι χαίρεις ἀνδρὸς εὐόρκου τρόποις.	Εὐόρκου. Illius, qui ſincere & ex animi ſententia jurat: vel, qui jusjurandum religioſe ſervat. Veracis. Pii. Heſiodus: *Viri, cui jusjurandum ſanctum eſt, progenies longo poſt tempore floret.* Et Ariſtophanes: *Sed ſi ullo modo delectaris viri religioſi & pii moribus.*
Εὔοπτος ἀνήρ. καὶ εὐόφθαλμος.	Εὔοπτος ἀνήρ. Vir pulchros habens oculos. Idem quod εὐόφθαλμος.
Εὐόφθαλμον. τὸ εὔοπτον. καὶ [4]εὐοφθάλμως, Ἀντιφῶν, ἀντὶ τοῦ εὐπρεπῶς.	Εὐόφθαλμον. Pulchris oculis præditum. Et εὐοφθάλμως Antipho dixit pro, decenter & decore.
Εὐοχεῖται. ἐπὶ τοῦ ἐλέφαντος. ἀντὶ τοῦ, καλῶς ἡνιοχεῖται. Εὐωχεῖται δὲ, ἀντὶ τοῦ εὐφραίνεται ἐν τραπέζῃ.	Εὐοχεῖται. De elephante dictum, ſignificat, habenis facile regitur. At εὐωχεῖται, per ω, epulatur.
Εὐοψίαν. ἀντὶ τοῦ, εὐπροσωπίαν.	Εὐοψίαν. Formæ elegantiam. Faciem formoſam.
Εὐωδία. ἡ εὐοσμία.	Εὐωδία. Suavis odor. Suavitas odoris.
Εὐωδοῦτο. καλευωδοῦτο. καὶ εὐωδώθη, καλευωδώθη.	Εὐωδοῦντο. Rectam viam ingrediebatur. Et εὐωδώθη, rectam viam ingreſſus eſt.
Εὐωείκη. ὄνομα κύριον.	Εὐωείκη. Euoece. Nomen proprium.
Εὔωνον. εὐτελές. καὶ Εὔωνος. ὄνομα κύριον.	Εὔωνον. Res vilis pretii. Et Εὔωνος, nomen proprium.
Εὐώνυμον. τὸ ἀριστερόν.	Εὐώνυμον. Siniſtrum.
Εὐωρία. ψιλῶς, τὸ μὴ πάνυ φροντίζειν, ἀλλὰ ῥᾳθυμότερόν πως ἔχειν.	Εὐωρία. [Cum componitur ex ὤρα, quod] tenui ſpiritu notatur, ſignificat negligentiam, & animum cura vacuum.
Εὔωπος. ἡ εὐόφθαλμος.	Εὔωπος. Pulchro vultu prædita. Pulchris oculis decora.
Εὔωροι. ἀπαραφύλακτοι. Εὐφορίων· Οὐδέ τοι εὔωροι θυέων. παρὰ τὸ εὖ ὠρεῖν, καὶ φυλάσσειν, κατ' ἀντίφρασιν.	Εὔωροι. Qui negligenter cuſtodiuntur. [Vel potius active, qui negligenter aliquid curant & cuſtodiunt.] Euphorion: *Neque enim ſacrificiorum negligentes ſunt cuſtodes.* Ab εὖ, bene, & ὠρεῖν, curare, vel cuſtodire: per antiphraſin.
Εὐωρῶ. τὸ παίζω.	Εὐωρῶ. Ludo. [Negligo.]

---

[1] Εὐξίθεος. προδότης Ἠλ] Hujus inter reliquos proditores Græciæ meminit Demoſthenes in orat. pro Cteſiphonte, pag. 354. Vide Harpocrationem.

[2] Ἡσίοδος] Ἐν Ἔργ. καὶ Ἡμ. v. 285.

[3] Ἀριστοφάνης] *Pluto*, pag. 8. (5. Ed. Baſ. *P.*)

[4] Εὐοφθάλμως, Ἀντιφ] Ex Harpocratione.

Εὐωχία. ἡ τράπεζα.

Εὐωχοῦμαι. γενικῇ.

Εὐπάθεια. διάχυσις καὶ ἄνεσις τῆς ψυχῆς, καὶ τρυφή. ἡ [1] εὐπάθεια διαιρεῖται εἰς χαρὰν, εὐλάβειαν, βούλησιν. καὶ τὴν μὲν χαρὰν ἐναντίαν εἶναι [2] τῇ λύπῃ φασὶν, οὖσαν εὔλογον ἔπαρσιν. τὴν δὲ εὐλάβειαν τῷ φόβῳ, οὖσαν εὔλογον ἔκκλισιν. φοβηθήσεσθαι μὲν γὰρ τὸν σοφὸν οὐδαμῶς, εὐλαβηθήσεσθαι δέ. τῇ δὲ ἐπιθυμίᾳ ἐναντίαν εἶναι τὴν βούλησιν, οὖσαν εὔλογον ὄρεξιν. καθάπερ οὖν ὑπὸ τὰ πρῶτα πάθη πίπτει τινά· τὸν αὐτὸν τρόπον ὑπὸ τὰς πρώτας εὐπαθείας. καὶ ὑπὸ μὲν τὴν βούλησιν, εὔνοιαν, εὐμένειαν, ἀσπασμὸν, ἀγάπησιν. ὑπὸ δὲ τὴν εὐλάβειαν, αἰδῶ, ἁγνείαν. ὑπὸ δὲ τὴν χαρὰν, τέρψιν, εὐφροσύνην, εὐθυμίαν.

Εὐπαθεῖσθαι. ἀντὶ τοῦ τρυφᾷν, καὶ διαχεῖσθαι. Τοῖς δὲ λοιποῖς ἐν τοῖς καπηλείοις διεκελεύετο εὐπαθεῖσθαι. καὶ εὐπαθοῦντες, ὑγιαίνοντες, τρυφῶντες.

Εὐπαλάμων[3] ὕμνων. ἀντὶ τοῦ, εὖ διακεχειρισμένων, ἢ συντεταγμένων. Τέκτονες εὐπαλάμων ὕμνων. ἀντὶ τοῦ, εὖ διακεχειρισμένων, ἢ συντεταγμένων.

Εὐπαράγωγος. εὐπειθής. [4] Ἀριστοφάνης·

Ἀλλ' εὐπαράγωγος εἶ,
Θωπευόμενός τε χαί-
Ρεις, κἀξαπατώμενος,
Πρός τε τὸν λέγοντ' ἀεὶ
Κέχηνας. ὁ νοῦς δέ σου
Παρὼν ἀποδημεῖ.

καὶ αὖθις· Ὁ δὲ εὐκολώτερος ἦν, καὶ διὰ μελέτην μέθης εὐπαράγωγος.

Εὖ παρασχόν. ἀντὶ τοῦ, παρασχόντος. δῆλον, ὅτι τοῦ δαίμονος. ὅ ἐστι, δωρησαμένου τὴν νίκην.

Εὐπάρεδρον. καλῶς παραμένον, καὶ διηνεκῶς.

Εὖ παρῆστο.

Εὐπάροιστον. εὐπαράγωγον.

Εὐπάρυφα. εὐκατέργαστα, ἢ πλούσια. Ἰδὼν Διογένης ὁ Κύων εὐπάρυφόν τινα ἐν Κορίνθῳ, ἔφη· Τούτῳ με πώλει. † [5] Ἔπειτα ἐς τὰ ἱμάτια ἠξίουν ἅπαντες εὐπάρυφοι εἶναι, κομπωδεστέραν, ἢ κατὰ τὴν ἑκάστου ἀξίαν, ἐνδιδυσκόμενοι τὴν ἐσθῆτα. κτᾶσθαι γὰρ αὐτοῖς τὰ τοιαῦτα ἐξ οὐ προσηκόντων παρῆν. τοῦ δὲ χιτῶνος τοῦ ἀμφὶ τὼ χεῖρε μέρος αὐτοῖς τὰ μὲν εἰς τὸν καρπὸν ξυνῄει σφίσιν ἐν στενῷ μάλιστα· τὰ δὲ ἐνθένδε ἄχρις ἐς ὦμον ἑκάτερον ἐς ἄφατόν τι εὖρος διεκέχυτο. ὁσάκις δὲ αὐτοῖς ἡ χεὶρ σείοιτο, ἀναβοῶσιν ἐν τοῖς θεάτροις τε καὶ ἱπποδρομίαις, ἢ ἐγκελευομένοις, ᾗπερ εἰώθει, ἐς ὕψος αὐτοῖς τοῦτο τὸ μέρος ἀτεχνῶς ᾔρετο, αἴσθησιν παρεχόμενον τοῖς ἀνοήτοις, ὅτι δὴ

Εὐωχία. Menſa. [Convivium.]

Εὐωχοῦμαι. Genitivo jungitur. Paſcor. Satior.

Εὐπάθεια. Animi diffuſio & remiſſio, & voluptas. Hæc autem εὐπάθεια dividitur in gaudium, cautionem, & voluntatem. Ac gaudium quidem triſtitiæ contrarium eſſe dicunt, quod eſt animi cum ratione elatio. Cautionem vero timori, quæ eſt declinatio mali cum ratione. Sapientem enim nunquam timere, ſed cavere ajunt. Cupiditati vero contrariam eſſe voluntatem, quæ eſt appetitio cum ratione. Quemadmodum igitur primis perturbationibus quædam ſubjiciuntur; ita etiam primis illis commotionibus animi, quæ εὐπάθειαι vocantur. Et voluntati quidem ſubjici ajunt, benevolentiam, lenitatem, comitatem, & dilectionem. Cautioni, verecundiam, & caſtitatem. Gaudio, jucunditatē, hilaritatē, & animi tranquillitatē.

Εὐπαθεῖσθαι. Deliciis indulgere. Voluptate affici. Exhilarari. *Reliquos vero in cauponis genio indulgere juſſit*. Et εὐπαθοῦντες. Bene valentes. Genio & deliciis indulgentes.

Εὐπαλάμων ὕμνων. Hymnorum eleganter elaboratorum, & bene compoſitorum. *Hymnorum bene elaboratorum auctores.*

Εὐπαράγωγος. Cui facile aliquid perſuadetur. Deceptu facilis. Ariſtophanes: *At tu deceptu facilis es, & palpum tibi obtrudi, fucumque fieri gaudes, & loquentem ore hianti intueris. Mens vero tua præſens peregrinatur.* Et iterum: *Ille vero ſimplicior erat, & ob ſtudium ebrietatis deceptu facilis.*

Εὖ παρασχόν. [Attice dictum,] pro εὖ παρασχόντος. Id eſt, cum felicem ſucceſſum & victoriam [nobis] largitus ſit. Deus ſcilicet.

Εὐπάρεδρον. Quod conſtanter & perpetuo alicui aſſidet, vel, in aliqua re perſeverat.

Εὖ παρῆστο. Recte, vel decenter aſſidebat.

Εὐπάροιστον. Quod facile ex aliquo loco tranſferri, vel traduci poteſt.

Εὐπάρυφα. [Pulchro limbo prætexta.] Eleganter confecta. Vel, ſplendida. *Diogenes Cynicus, quendam Corinthi conſpicatus ſplendide veſtitum, Huic, inquit, me vende.* † [Procopius:] *Deinde omnes veſtibus pulchre prætextis ſe ornabant, iiſque ſplendidioribus, quam pro cujuſque dignitate, induti ſuperbiebant. Talia enim iniquis prædis ſibi comparare poterant. Manicæ autem veſtis ad volam ſtrictiſſime coibant: inde vero ad humeros in miram amplitudinem diffundebantur. Cum autem in Theatris vel Circis manum agitantes vociferarentur, vel alios incitarent, ut fieri ſolebat; ea potiſſimum veſtimenti pars exerebatur, ſtultos in eam opinionem inducens, ip-*

---

[1] Ἡ εὐπάθεια διαιρεῖται εἰς χαρὰν, εὐλάβ.] Hæc, & quæ ſequuntur, ſunt verba Laertii lib. VII. ſegm. CXVI. ut Pearſonius etiam obſervaverat.

[2] Τῇ λύπῃ] Imo, τῇ ἡδονῇ, ut recte habet Laertius: quem vide.

[3] Εὐπαλάμων ὕμνων. ἀντὶ τοῦ, εὖ διακεχειρ.] Ex Scholiaſta Ariſtophanis ad *Equit*. pag. 319.

[4] Ἀριστοφάνης] *Equit*. pag. 352. (248. Ed. Baſ. *P.*)

[5] Ἔπειτα ἐς τὰ ἱμάτια ἠξίουν ἅπαντ.] Hæc, & quæ ſequuntur uſque ad finem articuli, ſunt verba Procopii *Hiſt. Arc.* cap. VII. p. 22.

αὐτοῖς οὔπω καλόν τε τὸ σῶμα καὶ [1] ἁδρὸν ἂν εἴη, ὥστε δεῖν γε αὐτοὺς πρὸς τῶν τοιούτων ἱματίων καλύπτεσθαι, καὶ οὐκ ἐνενόουν, ὅτι δὴ αὐτοῖς τῷ τῆς ἐσθῆτος ἠραιωμένῳ τε καὶ κενῷ, πολλῷ ἔτι μᾶλλον τὸ τοῦ σώματος ἐξίτηλον διελεγχθείη.

Εὐπατέρεια.[2] ἡ καλὸν πατέρα ἔχουσα. καὶ Εὐπάτορος. ὄνομα κύριον.

Εὐπατρίδαι.[3] εὐγενεῖς.

Εὐπερίκοπτος. Ὁ δὲ [4] πρὸς τὰς ἐντεύξεις εὐπερίκοπτος ἦν, καὶ ἀνεπίφθονος.

Εὐπερίοπτον. εὐκαταφρόνητον. Ἠσθάνετο γὰρ τὴν τῶν Μακεδόνων ἀρχὴν εὐπερίοπτον ἐσομένην, εἰ δὴ τῆς πρώτης πείρας οἱ ἐπαναστάντες κρατήσειαν.

Εὐπερίστατον.[5] μωρόν. ταχέως περιτρεπόμενον. καὶ ὁ Ἀπόστολος· Καὶ τὴν εὐπερίστατον ἁμαρτίαν.

Εὐπέτεια. Οἱ δὲ Ῥωμαῖοι διὰ πολλὴν εὐπέτειαν τῆς ὑπαίθρου ἐκράτησαν. † Εἴτε κατ' εὐπέτειαν ἀπανιστάμενοι μετὰ τέκνων καὶ γυναικῶν· εἴτε ἄλλο τι γινώσκοντες. † Ὁ οὖν Γανυμήδης κατ' εὐπέτειαν ἑαυτὸν ξίφει διειργάσατο. τουτέστιν, εὐχερῶς. † Φύσει γὰρ πάντες ἐς τὸ εὐπετὲς τρέπονται.

Εὐπετής. εὐχερής. καὶ εὐπετῶς. ῥᾳδίως. εὐχερῶς. εὐκόλως. καὶ εὐσταλῶς.

Εὖ πεφυκώς. [6] ἁρμόδιος. [7] Παρεκελεύσατο ἐμβαίνειν τοὺς στρατιώτας. καὶ γὰρ ἦν εὖ πεφυκὼς, εἰ καὶ πρὸς ἄλλο τι, πρὸς τὸ θάρσος ἐμβαλεῖν καὶ συμπαθεῖς ποιῆσαι τοὺς παρακελευομένους.

Εὐπείθεια.

Εὐπείθιος,[8] καὶ Ἀρχιάδας, δύο υἱοὶ Ἡγίου. [9] καὶ ὁ μὲν Εὐπείθιος εὐφυέστερος ἐγένετο· τὰ δὲ ἤθη ἐπισεσυρμένος ἐς ἰδιωτισμόν. ἤδη δέ τι καὶ ἀτοπώτερον ἢ κατὰ ἰδιώτην ἔχων. ὡς δὲ συλλήβδην εἰπεῖν, πολλῷ τοῦ πατρὸς ἀπολειπόμενος. ὁ δὲ Ἀρχιάδας, τὸ μὲν ὅλον, τοῦ πατρὸς οὐκ ὀλίγῳ διαφέρων εἰς ἀρετὴν, καὶ τῶν πολλῶν· τὰ δὲ ἐς Φιλοσοφίαν ἄγοντα παρειμένος, ἅτε πρὸς ταῦτα ἀνάγωγος ὢν, διὰ τὴν

ſis corpus eſſe adeo pulchrum & delicatum, ut illo veſtium amictu indigerent. Non cogitabant autem, tenuem illam & inanem veſtem potius oſtendere inutilem & mollem corporis ipſorum habitum.

Εὐπατέρεια. Nobili patre procreata. Nobilis fœmina. Et Εὐπάτορος. Nomen proprium. [A recto Εὐπάτωρ.]

Εὐπατρίδαι. Patricii. Nobiles.

Εὐπερίκοπτος. [Polybius:] *Ille vero in congreſſibus iis erat moribus, ut importunitatem aliorũ facile pateretur, ipſe nemini eſſet odioſus.*

Εὐπερίοπτον. Quod contemnitur. Quod ſpernitur. *Sentiebat enim, imperium Macedonum omnibus contemptui fore, ſi ſeditioſis primus conatus ex ſententia ſucceſſiſſet.*

Polybius. Histor. XXX
V p 63

Εὐπερίστατον. Stultum. Quod facile everti poteſt. Et Apoſtolus: *Peccatum, quod nos facile circumvenit.*

Εὐπέτεια. Facilitas. *Romani autem regione campeſtri facili admodum negotio potiti ſunt. † Sive caſu quodam cum liberis & uxoribus inde migrantes; ſive aliud quoddam conſilium animo agitantes. † Ganymedes igitur gladio facile ſe transfixit.* Κατ' εὐπέτειαν enim hic ſignificat, εὐχερῶς. *† Omnes enim natura ſe convertunt ad id, quod eſt facile.*

Εὐπετής. Facilis. Et εὐπετῶς. Facile. Sine moleſtia. Expedite.

Εὖ πεφυκώς. A natura egregie ad aliquid comparatus, vel factus. Aptus. *Milites [ſtagnum] ingredi juſſit. Si enim ad quicquam aliud, ad id certe egregie a natura fuit comparatus, ut fiduciam animis hominum adderet, ac ſuos affectus iis ingeneraret, quos adhortabatur.*

Εὐπείθεια. Obedientia.

Εὐπείθιος καὶ Ἀρχιάδας. Eupithius, & Archiadas, duo Hegiæ filii. Et Eupithius quidem ingenii dexteritate præſtabat: moribus vero ad ſimplicitatem vulgi propenſus. Quinetiam aliquid habebat, quod erat abſurdius, quam idiotam deceret. Ut autem rem totam paucis complectar, patre longe inferior erat. Archiadas vero, in ſumma quidem, patre & vulgo non parum virtute præſtanοὐκ ἀκολάκευτον παροῦσαν οὐσίαν· ἱερὰν δὲ ζωὴν προβεβλημένος, εἴπερ τις ἕτερος, καὶ πολυτέλειαν ἀσκήσας ἱερῶν ἔργων τε καὶ λόγων οὐδέν τι μεῖον τοῦ πατρός. ἔχω γὰρ τοῦτο καὶ τῷ Ἡγίᾳ μαρτυρεῖν. ὁ δὲ Ἀρχιάδας καὶ τοῦ καθαροῦ συνειδότος ἐπεμελεῖτο διαφερόντως οὐδὲν ἧττον τῶν φιλοσοφούντων; [1] ἦν οὖν αἰσθάνεσθαι πάντων. ᾐσθανόμην δὲ καὶ αὐτὸς ἑκάστοτε τῶν ἀμφ' αὐτῷ κενοῦ φυσήματος ἀντὶ νοῦ ἐμπιπλαμένων. παθῶν δὲ παντοίων κατάμεστοι ὄντες, οὐδὲ ἐν μέσοις αὐτοῖς τοῖς δρωμένοις οἷοί τε ἦσαν ἤθεσι μετρίοις ἐγκαρτερεῖν. ἐπεὶ τά γε ἔξω μισγάγκεια κακῶν ἐφαίνετο μηδὲν διαφέρουσα τῆς τῶν ἀγελαίων ἀνθρώπων. ὁ δ' οὖν Διομήδης διέφθαρτο καὶ αὐτὸς ὑπὸ τῆς συνουσίας, καὶ οὐδὲν ἔχων ἔξαρμα φύσεως, ἔτι ταπεινότερος ἐγεγόνει πρὸς τὰ ἐπιταττόμενα, καίτοι ὑπὸ κολάκων διεφθάρη τὴν διάνοιαν· εὐφυὴς τε γεγονὼς ὁ ἀνὴρ πρὸς φιλοσοφίαν, ἣ οὐδενὶ ἀλλοτρίῳ κακῷ βλάπτεται, οὐδὲ φθείρεται, οἰκείῳ δὲ μόνῳ, ὡς ἔφη Σωκράτης. διὸ καὶ φιλοσοφίαν ἐλυμήνατο τοῦτο αὐτὸ οἴκοθεν ὄνειδος. ὃν γὰρ ἔδει μάλιστα διασώζειν καὶ θεραπεύειν πρὸς τὸ βέλτιστον, τοῦτον πρὸς ἡδονὰς ἀνατρέφοντες, καὶ μετεωρίζοντες ἐς αὔχημα μεῖζον ἢ καθ' ἑαυτὸν, ἔλαθον ἑαυτοὺς ἐς πᾶσαν ἀτιμίαν καταβάλλοντες.

---

[1] Ἁδρόν] Sic etiam habet Procopius. Sed ſenſus potius requirit, ut ſcribatur ἁβρόν: quam lectionem in verſione expreſſi.

[2] Εὐπατέρεια] Hac voce uſus eſt Homerus Il. Z. v. 292. & alibi.

[3] Εὐπατρίδαι] De ſignificatione hujus vocis notanda ſunt ea, quæ habet Scholiaſta Sophoclis ad *Electram*, pag. 81. Εὐπατρίδαι παρὰ Ἀττικοῖς οἱ αὐτόχθονες, καὶ κατὰ τοῦτο περιφανεῖς· οἷον οἱ εὖ ἔχοντες ἕνεκα τῆς πατρίδος. ὥστε εἴ τις εὐπατρίδης, καὶ εὐγενής. οὐ μὴν, εἴ τις εὐγενής, καὶ εὐπατρίδης. Hinc lucem capit Heſychius, in cujus Collectaneis & hæc leguntur: Εὐπατρίδαι, αὐτόχθονες, οὐχὶ ἐπήλυδες.

[4] Ὁ δὲ πρὸς τὰς ἐντεύξεις εὐπ.] Fragmentum hoc legitur apud Polybium lib. XI. cap. VIII.

[5] Εὐπερίστατον] Voce hac uſus eſt auctor Epiſtolæ ad Hebræos, cap. XII. v. 1. de cujus ſignificatione fuſe & docte diſputat Gatakerus *Adverſar. Poſthum.* cap. III. pag. 426. 427. 428. quem Lector conſulat. Nos tantum breviter hic proponemus interpretationem aliquam vocis hujus, reliquis viris doctis & S. Scripturæ interpretibus, ni fallimur, indictam, quæ nobis quidem minime contemnenda videtur. Ea autem ſic ſe habet. Περίστατον apud Græcos dicitur id, quod ab hominibus circumſiſtitur: velut ſi circulatores περιστάτους dicas, quod homines eos circumſtare & corona quadam cingere ſoleant, præſtigias illorum & impoſturas cum admiratione ſpectantes. Harpocratio: Περίστατοι. Ἰσοκράτης περὶ τῆς ἀντιδόσεως· Θαυματοποιΐαις ταῖς οὐδὲν ὠφελούσαις, ὑπὸ δὲ τῶν ἀνοήτων περιστάτοις γενομέναις. ἀντὶ τοῦ, περὶ ἃς κύκλῳ ἵστανται οἱ θεώμενοι. Id eſt, Περίστατοι. *Iſocrates in oratione de Permutatione: Præſtigiis prorſus inutilibus, ſed quas ſtulti circumſiſtunt.* [Περιστάτοις *enim hic ſignificat,*] περὶ ἃς κύκλ. *Quas ſpectatores circumſtant.* Hinc igitur ducta translatione Apoſtolus peccatum videtur appellare εὐπερίστατον; quaſi dicat, tale, quod homines libenter circumſtant, vel ſectantur, fraudibus & lenociniis ejus ineſcati: velut hominum vulgus circulatorem circumſiſtere ſolet, inanes ejus præſtigias cupide & cum admiratione ſpectans. Hæc interpretatio ſi forte cuipiam durior & longius petita videbitur; comparet eam, quæſo, cum reliquis virorum doctorum interpretationibus, & videbit forſan, eam minus difficultatis habere, quam cæteras.

[6] Ἁρμόδιος] Ridicule Portus vocem hanc pro nomine proprio viri accipiebat, eamque cum ſequenti fragmento conjungendam eſſe cenſebat, cum ſit interpretatio τοῦ εὖ πεφυκώς: ut nemini non facile patet.

[7] Παρεκελεύσατο ἐμβαίνειν τοὺς στρατ.] Hæc ſunt verba Polybii lib. X. cap. XIV.

[8] Εὐπίθιος, καὶ Ἀρχιάδας, δύο υἱοὶ Ἡγ.] Totam hanc Eclogam Suidas ex Damaſcio excerpſit, ut vel ex Photio patet, apud quem in Excerptis ex illo ſcriptore pag. 1065. nonnulla eorum, quæ Suidas hic habet, αὐτολεξεὶ quoque leguntur.

[9] Καὶ ὁ μὲν Εὐπίθιος εὐφυέστερος ——— ἀνεγκλάκευτον πατρῴαν οὐσίαν] Hæc ad verbum etiam leguntur apud Photium loco laudato, ut Pearſonius recte obſervaverat.

tior erat: ſed in iis, quæ ad Philoſophiam ducunt, negligens; quippe quod ad hæc non eſſet educatus, propter paternas opes, aſſentationis non expertes. Sanctam autem vitam, ſi quis alius, ſibi colendam propoſuerat, & in ſanctorum factorum & dictorum notitia ſe exercuerat non minus, quam ipſe pater. Nam & hoc teſtimonium Hegiæ dicere poſſum. Archiadas vero etiam puræ conſcientiæ vehementer erat ſtudioſus, non minus quam Philoſophi. Licebat igitur omnia ſentire. Sentiebam & ipſe, ipſius familiares inani ſpiritu repletos eſſe. Variis autem affectibus referti, ne in rebus quidem gerendis morum moderationem ſervare poterant. Nam quod ad externa attinet, malorum colluvies a gregariorum & vulgarium hominum vita moribuſque nullo modo differens videbatur. Diomedes igitur & ipſe a conſuetudine, [quam cum mulieribus habebat,] corruptus eſt, quamvis nullam naturæ excellentiam haberet. Longe autem abjectior & humilior factus eſt ad imperata facienda, quanquam ab aſſentatoribus mente corruptus eſſet. Cum autem vir iſte naturæ dotibus aptus eſſet ad Philoſophiam, quæ alieno malo nec læditur, nec corrumpitur, ſed ſuo tantum, ut ajebat Socrates; ideo etiam domeſticum hoc probrum Philoſophiam labefactavit. Quem enim maxime conſervari & ad optima quæque inſtitui decebat, hunc in voluptatibus educantes, & animum ipſius majore faſtu efferentes, quam eum deceret, imprudentes ſemet ipſi in omnem infamiam conjecerunt. *Port.*

Εὐπήδαξ χῶρος. ὁ καλὴν πηγὴν ἔχων.

Εὐπήδαξ. Locus pulchrum fontem habens.

Εὐπήληκος. καλὴν περικεφαλαίαν ἐχούσης.

Ἀλλὰ [2] καὶ εὐπήληκος Ἀθηναίης ἐπὶ δουρὶ
Τὸν τέττιγ' ὄψει μ', ὦ 'νερ, ἐφεζόμενον.

Εὐπήληκος. Pulchram galeam habentis. [In Epigrammate:] *Sed & in haſta Minervæ pulchra galea ornatæ me cicadam, o vir, inſidentem videbis.*

Εὐπλοῆσαι. τὸ καλῶς πλεῦσαι.

Εὐπλοῆσαι. Secunda, vel proſpera navigatione uti.

Εὐπλοΐαν. εὔπλοιαν.

Εὐπλοΐαν. Secundam navigationem. Pro εὔπλοιαν.

Εὐπλοκαμίδες. καλλιπλόκαμοι.

Εὐπλοκαμίδες. Quæ pulchros crines habent.

Εὐποιΐα. ἐλεημοσύνη. [3] Ἀποστέρησις δέ ἐστι τὸ τὰ ἀλλότρια λαβόντας κατέχειν, καὶ ὅταν ἐλεημοσύνην μὴ παράσχωμεν, ἐν ἴσῳ τοῖς ἀποστεροῦσι κολαζόμεθα.

Εὐποιΐα. Beneficentia. Eleemoſyna. *Eſt autem fraudatio, aliena, quæ acceperis, retinere: &, cum eleemoſynam [pauperibus] non damus, æque punimur ac illi, qui alios rebus ſuis fraudant.*

Εὐπολείδης. ὄνομα κύριον.

Εὐπολείδης. Eupolides. Nomen proprium.

Εὔπολις, [4] Σωσίπολις, Ἀθηναῖος, κωμικὸς, καὶ οὗτος ιζ' ἐτῶν γεγονὼς, ἤρξατο ἐπιδείκνυσθαι, καὶ ἐδίδαξε [5] δράματα ιζ'. ἐνίκησε δὲ ζ'. καὶ ἀπέθανε ναυαγήσας κατὰ τὸν Ἑλλήσποντον ἐν τῷ πρὸς Λακεδαιμονίους πολέμῳ. καὶ ἐκ τούτου ἐκωλύθη στρατεύεσθαι ποιητήν. τὰ δὲ δράματα αὐτοῦ, Αἶγες, Ἀστράτευτος, ἢ Ἀνδρόγυνοι, καὶ ἄλλα.

Εὔπολις. Eupolis, Athenienſis, Comicus: qui annos natus XVII. in Scena certare cœpit; ediditque fabulas XVII. vicit autem ſepties. Idem in bello contra Lacedæmonios naufragio in Helleſponto periit. Unde lex lata eſt, quæ poetas militare vetuit. Fabulæ ejus ſunt, *Capræ*, *Aſtrateutus*, vel *Androgyni*, & aliæ.

---

[1] Ἦν οὖν αἰσθάνεσθαι πάντων. ᾐσθανόμην δὲ κ.] Hæc, & quæ ſequuntur, cum præcedentibus minime cohærent, eorumque ſenſus paulo obſcurior eſt. Nos verſionem Porti hic retinuimus, non, quod eam probaremus (eſt enim prorſus frigida, & nonnullis in locis falſa) ſed quia per temporis anguſtiam nobis hæc aliter vertere non licuit. Quare Lector nobis ignoſcet.

[2] Ἀλλὰ καὶ εὐπήληκος Ἀθην.] Diſtichum hoc eſt pars Epigrammatis in cicadam, quod integrum legitur Anthol. lib. VI. cap. XVI. ut Portus etiam monuit.

[3] Ἀποστέρησις δέ ἐστι τὸ τὰ ἀλλ.] Hæc nihil faciunt ad v. Εὐποιΐα: quæ rectius leguntur ſupra ſub v. Ἀποστέρησις, & v. Ἐλεημοσύνη.

[4] Σωσίπολις] Vel ſcribendum eſt, ὡς Σωσίπολις; ut ſit ſenſus, τὸ Εὔπολις eodem modo dictum eſſe, quo Σωσίπολις; vel, Σωσιπόλεως, ut Eupolis Soſipolis filius fuiſſe intelligatur; vel, vox illa penitus delenda eſt.

[5] Δράματα ιζ'] Vel erravit Suidas, vel numeri hic corrupti ſunt. Plures enim fabulæ Eupolidis, quam XVII. apud veteres laudantur; quarum ecce nomina. Αἶγες. Ἀλιεῖς. Ἀστράτευτοι. Αὐτόλυκος α'. Αὐτόλυκος β'. Βάπται. Δῆμοι. Δραπέται. Δυάς. Εἵλωτες. Κλοπαί. Κόλακες. Λάκωνες. Μαρικᾶς. Νουμηνίαι. Πόλεις. Προσπάλτιοι. Πύλαι. Στεφανοπώλιδες. Σφίγγες. Ταξίαρχοι. Ὑβριστοδίκαι. Φίλοι. Χρυσογένης. Confer Meurſium in *Bibliotheca Attica.*

Εὐπόριστον. εὐχερῶς ποριζόμενον. Λέγεται γὰρ, ὡς παρὰ Τούρκοις οὐκ εὐπόριστον χρῆμα ὁ σίδηρος.

Εὐποτμία. εὐτυχία. Ζηλῶ τοῦτον τῆς εὐποτμίας. καὶ αὖθις· Εὐποτμίας δὲ ἀπολαύουσι πάσης, ἐξ οὐρίων φερόμενοι. καὶ πάλιν· Ἐν εὐποτμίᾳ τε καὶ εὐδαιμονίᾳ διῆγον πολλῇ.

Εὐπότμως. εὐτυχῶς. Ἡ τοῦ στρατηγοῦ φρόνησις ἔχουσά τι καὶ τύχης εὐπότμου δι' αὐτήν.

Εὐπραγότερος. εὐτυχέστερος.

Εὐπραξία. εὐημερία. εὐτυχία. [1]Ὁ δὲ Ὀζίας ὤλισθεν ὑπ' εὐπραγίας καὶ κατηνέχθη πρὸς τὰ τοῦ πατρὸς ἁμαρτήματα, πρὸς ἃ κἀκεῖνον τῶν ἀγαθῶν ἡ λαμπρότης καὶ τὸ μέγεθος τῶν πραγμάτων, οὐ δυνηθέντα περιστῆναι καλῶς αὐτῶν, ἤγαγεν.

Εὖ [2]πράττειν. οὕτως ἡ ἐπιγραφὴ τῶν ἐπιστολῶν Πλάτωνος. ἔγραψε δὲ ἐπιστολὰς ιγ'. εἰσὶ δὲ τοῦ ἠθικοῦ εἴδους. Εὖ διάγειν. οὕτως Ἐπίκουρος ἐπέγραφε. Χαίρειν δὲ ἐπέγραφε Κλέων.

Εὐπρεπῶς. κοσμίως. ὡραίως.

Εὔπρηστον.[3] εὐφύσητον.

Εὐπροσοδώτατον. τόπος εὔδρομος.

Εὐπροσιτώτατος. ὁ πάνυ ἥμερος.

Εὐπρόσωπος. εὐπροσήγορος. [4]Σοφοκλῆς·

Ἦπου Τελαμὼν, σὸς πατὴρ, ἐμός τ' ἴσως,
Δέξαιτ' ἂν εὐπρόσωπος.

Εὐπρόσωπος. εὔμορφος. Ὁ δὲ ἐπισυράμενος, εὐπρόσωπον λίθον στήλην ἔστησεν.

Εὐπτέρων. [5]Ἀριστοφάνης·

Κἀστ' ἐκ γυναικῶν εὐπτέρων, τῆς Κοισύρας.

ἀντὶ τοῦ εὐγενῶν. ἢ κούφων. ἢ ὧν ὁ λογισμὸς ἵπταται. ἡ μεταφορὰ ἀπὸ τῶν ὀρνέων τῶν μετεώρων καὶ ὑπερηφάνων. ἢ τιμίων, καὶ εὐγενῶν.

Εὔπτορθον. εὔκλαδον.

Εὐποιῶ. αἰτιατικῇ.

Εὐρὰξ. ἐκ πλαγίου.

Εὗρες. [6]Ἀριστοφάνης·

Εἴθε φαύλως, ὥσπερ εὗρες, ἐκβάλοις τὴν ἔνθεσιν.

ἐπὶ τῶν παρὰ προσδοκίαν εὐδοκιμησάντων. τὸ δὲ εὗρες δηλοῖ τὸ καμάτῳ καὶ πόνῳ περιγενέσθαι τινός· καὶ ἔστι τῆς τοῦ κάμνοντος γνώμης καὶ προαιρέσεως ἔλεγχος. τὸ δὲ εὑρεῖν, ἁπλῶς τῆς παρατυχούσης τύχης, καὶ οὐ τῆς τοῦ εὑρόντος γνώμης καὶ προαιρέσεως.

Εὑρεσιέπεια. εὑρεσιλογία.

Εὑρεσιλόγος. φλύαρος. [7]ἑτοιμολόγος. Πολύ-

Εὐπόριστον. Facile paratu. Parabile. *Ajunt enim, ferrum apud Turcos rem non eſſe parabilem.*

Εὐποτμία. Felicitas. *Hunc beatum prædico felicitatis cauſa.* Et rurſus: *Omni vero felicitate fruuntur, & cuncta ipſis ex ſententia ſuccedunt.* Et iterum: *Felicem admodum & beatam vitam agebant.*

Εὐπότμως. Feliciter. [Et εὔποτμος. Felix.] *Imperatoris prudentia propter ipſam & fortunæ felicitate adjuta.*

Εὐπραγότερος. Felicior.

Εὐπραξία. Felicitas. Proſperitas. *Ozias vero felici rerum ſucceſſu elatus, ad paterna peccata prolapſus eſt, ad quæ & eum bonorum ſplendor & magnitudo felicitatis, quam moderate ferre neſciebat, impellebat.*

Εὖ πράττειν. Hanc formulam ſalutandi Plato epiſtolis ſuis præſcribere ſolebat. Scripſit autem epiſtolas XIII. eaſque morales. Epicurus vero iiſdem inſcribebat εὖ διάγειν; & Cleon, χαίρειν.

Εὐπρεπῶς. Decenter. Modeſte. Venuſte.

Εὔπρηστον. Quod facile inflatur.

Εὐπροσοδώτατον. Acceſſu valde facile.

Εὐπροσιτώτατος. Acceſſu facillimus. Valde affabilis & comis.

Εὐπρόσωπος. Qui eſt læto & hilari vultu. Comis. Sophocles: *Scilicet Telamon, tuus pater æque ac meus, læto ac hilari vultu [me redeuntem] excipiet.*

Εὐπρόσωπος. Formoſus. Pulcher. *Ille vero pulchrum lapidem columnæ loco erexit.*

Εὐπτέρων. Bonas alas habentium. Vel, nobilium. Vel, levium, & quorum mens volat. Tranſlatio ducta eſt ab avibus, quæ in ſublimi volant. Vel ſuperbarum, & honoratarum. Ariſtophanes: *Et ex mulieribus nobilibus, Cæſyræque ſimilibus, natus eſt.*

Εὔπτορθον. Bonis & pulchris ramis præditum.

Εὐποιῶ Bene facio. Accuſativo jungitur.

Εὐρὰξ. Ex obliquo. Oblique.

Εὗρες. Inveniſti. Ariſtophanes: *Utinam bucceam æque facile, ac inveniſti, rurſus ejicias.* Dicitur de iis, qui præter ſpem, ob rem præclare geſtam, gloriam conſequuntur. Τὸ εὗρες autem hic ſingularem quandam emphaſin habet. Labore enim & induſtria rem aliquam conſequi, laborantis mentem & conſilium arguit. At ſimpliciter rem aliquam invenire, totum eſt fortunæ, non vero rationis & conſilii.

Εὑρεσιέπεια. Loquacitas. Copia verborum.

Εὑρεσιλόγος. Garrulus. Cui verba ad loquenβιος. Ἔχων δὲ καὶ πλείω λέγειν, ἀγωνιῶ, μὴ δόξω τισὶν ὑμῶν [1] οὐκ ἀναγκαίων εὑρεσιλογεῖν.

---

[1] Ὁ δὲ Ὀζίας ὤλισθεν ὑπ' εὐπραγίας καὶ κατην.] Hæc ſunt verba Joſephi *Antiq. Jud.* lib. IX. cap. XI. pag. 319. ut Pearſonius etiam obſervaverat.

[2] Εὖ πράττειν. οὕτως ἡ ἐπιγρ.] Vide Laertium in *Platone*, ſegm. LXI. & Noſtrum ſupra v. Εὖ διάγειν; ubi eadem leguntur.

[3] Εὔπρηστον. εὐφύσητον] Ex Scholiaſta Homeri ad Il. Σ. v. 471.

[4] Σοφοκλῆς] In *Ajace*, pag. 58. ut Portus monuit.

[5] Ἀριστοφάνης] *Nubibus*, pag. 171. (102. Ed. Baſ. *P.*) Vide ibi Scholiaſtam, cujus ſcrinia Suidas hic compilavit.

[6] Ἀριστοφάνης] *Equit.* pag. 311. (211. Ed. Baſ. *P.*) Scholiaſta ad eum locum: Ὥσπερ εὗρες. ὥσπερ ἐπέτυχες. ἐναργεῖ δὲ τῇ λέξει τῷ εὗρες κέχρηται. τὸ μὲν γὰρ καμάτῳ καὶ πόνῳ περιγενέσθαι τινὸς, τῆς τοῦ κάμνοντος γνώμης καὶ προαιρέσεως ἔλεγχον ἔχει. τὸ δὲ εὑρεῖν, ἁπλῶς τῆς παρατυχούσης τύχης, οὐ τῆς αὐτοῦ τοῦ εὑρόντος γνώμης τὸ ἔργον. ὡς οὐκ ἐκ προνοίας τοῦ Κλέωνος κατορθώσαντος, ἃ διεπράξατο, ἀλλ' ἁπλῶς εὑρόντος εὕρημα. Hinc Suidas partim ſupplendus, partim emendandus eſt.

[7] Ἑτοιμολόγος] Sic recte MS. Pariſ. A. At priores Editt. male, ἐτυμολόγος. Idem mendum eſt apud Heſychium v. Εὑρεσιεπίαις, apud quem pro ἐτυμολογίαις pariter ſcribendum eſt, ἑτοιμολογίαις.

Εὑρεσιεπής. καινολόγος.

Εὑρετής. [2] Ἦν δὲ καὶ εὑρετὴς ἑτοιμότατος ὧν τε αὐτὸς ἠπόρει πρὸς ἑτέρους, καὶ ὧν ἕτεροι πρὸς αὐτὸν, οὐ πολυμαθείᾳ καὶ ἀλλοτρίων δραμάτων ἱστορίᾳ καταχωννὺς μὲν τὴν ἀλήθειαν καὶ ἀποκρύπτων, ἐπιστομίζων δὲ τοὺς ἀποροῦντας. Εὑρέτις δὲ, θηλυκὸν, διὰ τοῦ ι. ἡ ἐφευρετική.

Εὐρεῖα. [3] Ὅμηρος· Τότε μοι χάνοι εὐρεῖα χθών. οὐ καθολικὸν δὲ ἐπίθετον ἡ εὐρεῖα, ἀλλ' ἐν ἴσῳ τῷ εὐρεῖα γενομένη. οἷον, Εὐρύ μοι χάσμα γένοιτο.

Εὐρείτης. ἐπίθετον. ὁ καλῶς ῥέων ποταμός.

Εὕρημα. ἐπίτευγμα. βούλευμα. Δῆλον δὲ, ὡς τὰ πολλὰ πεπαιδευμένῳ, καὶ πολλὰ εἰδέναι γλιχομένῳ, καὶ ταῦτα εὕρημά ἐστι. τουτέστι, βούλευμα. ἐπιτήδευμα. καὶ εὑρήματα, ὁμοίως. ἐπιτηδεύματα, βουλεύματα. Ξενοφῶν· Ἐπεὶ εἶδον ὑμᾶς εἰς πολλὰ κἀμήχανα ἐμπεπτωκότας, εὕρημα ἐποιησάμην, εἴ πως δυναίμην παρὰ βασιλέως αἰτήσασθαι, δοῦναί μοι ἀποσῶσαι ὑμᾶς εἰς τὴν Ἑλλάδα. † Εὕρημα δὲ τοὺς Μάγους ἐποιεῖτο, οἳ Βαβυλῶνα καὶ Σοῦσα οἰκοῦσιν.

Εὔρηνος. ὁ καλλιπρόβατος. [4] Πάμπαν εὔρηνός τε καὶ εὔβοτος.

Εὑρήσεται. [5] ἀντὶ τοῦ, εὑρεθήσεται.

Εὑρεσιλογίας.

Εὐρίζῳ. [6] Δαβίδ· Εὐρίζῳ ἀγαλλιάματι πάσης τῆς γῆς. ἀντὶ τοῦ, ἐπιμόνῳ. καλῶς ἐρριζωμένῳ.

Εὐριζῶν. πλατύνων. ἢ καλὰς ῥίζας χαροποιοὺς ἔχων. [7] καλῶς θεμελιῶν καὶ παγίως, ὥστε ἀσάλευτον αὐτὴν καὶ ἀτρεμῆ διαμένειν.

Εὔρινος. εὐόσφρητος. [8] Σοφοκλῆς· Κυνὸς εὔρινος βάσις. τουτέστιν, ἡ βάδισις.

Εὐρινότατος. καλόρρινος. ἢ καλῶς ὀσφραινόμενος.

Εὐριπίδειον ἔπος. τοῦ Εὐριπίδου. καὶ Εὐριπίδειος λόγος, ὁμοίως. ἔφη Εὐριπίδης·

Ἄλλων ἰατρὸς αὐτὸς ἕλκεσιν βρύων.

καὶ αὖθις·

Στῦλοι[9] γὰρ οἴκων εἰσὶ παῖδες ἄρρενες.

Εὐριπίδιον. Ἀριστοφάνης. [10] ἐρωτικὴν μιμεῖται φωνήν. οἱ γὰρ ἐρῶντες εἰώθασι τοὺς ἐρωμένους ἐρωτικῶς δι' ὑποκορισμῶν καλεῖν.

dū ſemper ſuppetunt. Polybius: *Quamvis autem plura habeam dicenda, vereor tamen, ne cui veſtrum verboſior eſſe videam, quam neceſſe eſt.*

Polybius. Fragm. Gr. 68. Vol. V. p. 88 - ubi ἀναγκαίως ex Edit. Suid. Mediol. Schweighaus.

Εὑρεσιεπής. Novorum verborum inventor.

Εὑρετής. Inventor. *Promptiſſime autem invenire norat ſolutionem dubiorum, quæ vel ipſe aliis, vel alii ipſi proponerent, non varia doctrina, nec rerum alienarum cognitione veritatem obruens & abſcondens, dubitantibus autem os obturans.* Εὑρέτις vero, per ι, eſt fœmininum. Inventrix.

Εὐρεῖα. Lata. Spatioſa. Homerus: *Tunc mihi lata tellus dehiſcat.* Τὸ εὐρεῖα autem hic non eſt epithetum univerſale terræ, ſed ita accipiendum eſt, ac ſi Poeta dixiſſet, εὐρεῖα γενομένη, i. e. lato hiatu diſcedens.

Εὐρείτης. Epithetum fluvii. Pulchre fluens.

Εὕρημα. Inventum. Lucrum, quod alicui caſu obtigit. Commentum. Conſilium. *Manifeſtum autem eſt, virum eruditum, & multa ſcire cupientem, & iſta meditando invenire.* Et εὑρήματα, ſimiliter, ſtudia, conſilia, commenta. Xenophon: *Poſtquam vos in multas & magnas difficultates incidiſſe video, rationem excogitare cœpi, qua a Rege impetrarem, ut mihi permitteret vos ſalvos in Græciam reducere.* † *Magos inveſtigavit, qui Babylonem & Suſa incolunt.*

Xenophon. K. A. B'. 140.

Εὔρηνος. Bonas, vel pulchras oves habens. *Omnino & ovium & paſcuorum bonitate excellens.*

Εὑρήσεται. Pro εὑρεθήσεται. Invenietur.

Εὑρεσιλογίας. Loquacitatis. Garrulitatis.

Εὐρίζῳ. Firmis radicibus nixo. Conſtanti. Diu duranti. David: *Conſtanti exultatione totius terræ.*

Εὐριζῶν. Radices dilatans. Vel, bonas radices habens. Bene firmiterque [terram] fundans, ita ut inconcuſſa & immota permaneat.

Εὔρινος. Sagaces nares habens. Olfactu pollens. Sophocles: *Canis ſagacis greſſus.*

Εὐρινότατος. Sagacitate narium præſtans. Optime olfaciens.

Εὐριπίδειον ἔπος. Verbum, vel verſus Euripidis. Et Εὐριπίδειος λόγος, oratio Euripidis. Euripides dixit: *Aliorum medicus, ipſe ulceribus ſcatens.* Et, *Columnæ enim domuum ſunt liberi mares.*

Εὐριπίδιον. Euripidium. Ariſtophanes. Imitatur autem ſermonem amantium. Amantes enim diminutivis nominibus compellare ſolent eos, quos amant.

---

[1] Οὐκ ἀναγκαίων] Puto addita præpoſitione περὶ legendum eſſe, περὶ οὐκ ἀναγκαίων. Alias enim conſtructio claudicabit.

[2] Ἦν δὲ καὶ εὑρετὴς ἑτοιμότατος ὧν τε αὐτὸς ἠπ.] Hæc ſunt verba Damaſcii de Iſidoro philoſopho, ut diſcimus ex Photio, apud quem in Excerptis ex iſto ſcriptore pag. 1036. hoc ipſum fragmentum legitur, ut Pearſonius recte obſervaverat.

[3] Ὅμηρος] Il. Δ. v. 182. Brevis Scholiaſta ad eum locum: Οὐ γὰρ ἐπιθετικῶς λέγει αὐτὴν τὴν γῆν εὐρεῖαν, ἀλλὰ τὴν εὐρὺ τῇ διαστάσει χάσμα ποιοῦσαν.

[4] Πάμπαν εὔρηνός τε κ.] Metri gratia ſcribendum eſt, πάμπαν εὔρρηνός τε καὶ εὔβοτος. Eſt enim initium Hexametri.

[5] Εὑρήσεται. ἀντὶ τοῦ, εὑρεθήσεται] Atticorum eſt, verba media pro paſſivis accipere. Sophocles *Oedip. Colon.* pag. 191.

Ποίᾳ γὰρ ἡ σὴ προσφορὰ δηλώσεται.

Scholiaſta monet, τὸ δηλώσεται ibi poſitum eſſe pro δηλωθήσεται.

[6] Δαβίδ] Pſalm. XLIII. v. 3. ſed ubi legitur εὐριζῶν. Vide vocem ſequentem.

[7] Καλῶς θεμελιῶν καὶ παγίως, ὥστε ἀσάλευτον αὐτὴν καὶ ἀτρ.] Hæc ſunt verba Theodoreti ad Pſalmum in nota præcedente indicatum.

[8] Σοφοκλῆς] In *Ajace* pag. 2. ut Portus etiam monuit.

[9] Στῦλοι γὰρ οἴκων εἰσὶ παῖδες ἀρρ.] Senarius hic legitur apud Euripidem in *Iphigenia in Tauris*, v. 57. ut Portus obſervavit.

[10] Ἐρωτικὴν μιμεῖται φωνήν. οἱ γὰρ ἐρ.] Hæc ſunt verba Scholiaſtæ Ariſtophanis ad *Acharnenſ.* pag. 391. (279 Ed. Baſ. *P.*)

Εὐριπίδης, Ἀθηναῖος, τραγικός, πρεσβύτερος τοῦ ἐνδόξου γενομένου. ἐδίδαξε δράματα ιβ΄, εἷλε δὲ νίκας δύο.

Εὐριπίδης, τραγικός, τοῦ προτέρου ἀδελφιδοῦς, ὡς Διονύσιος ἐν χρονικοῖς. ἔγραψε δὲ Ὁμηρικὴν ἔκδοσιν, εἰ μὴ ἄρα ἑτέρου ἐστί. δράματα αὐτοῦ ταῦτα, Ὀρέστης, Μήδεια, Πολυξένη.

Εὐριπίδης, Μνησάρχου, ἢ Μνησαρχίδου, καὶ Κλειτοῦς, οἳ φεύγοντες εἰς Βοιωτίαν μετῴκησαν· εἶτα ἐν τῇ Ἀττικῇ. οὐκ ἀληθὲς δὲ, ὡς [1] λαχανόπωλις ἦν ἡ μήτηρ αὐτοῦ. καὶ γὰρ τῶν σφόδρα εὐγενῶν ἐτύγχανεν, ὡς ἀποδείκνυσι Φιλόχορος. ἐν δὲ τῇ διαβάσει Ξέρξου ἐκυοφορεῖτο ὑπὸ τῆς μητρὸς, [2] καὶ ἐτέχθη, καθ' ἣν ἡμέραν Ἕλληνες ἐτρέψαντο τοὺς Πέρσας. γέγονε δὲ τὰ πρῶτα ζωγράφος· εἶτα μαθητὴς Προδίκου μὲν ἐν τοῖς ῥητορικοῖς, Σωκράτους δὲ ἐν τοῖς ἠθικοῖς καὶ φιλοσόφοις. [3] διήκουσε δὲ καὶ Ἀναξαγόρου, τοῦ Κλαζομενίου. ἐπὶ τραγῳδίαν δὲ ἐτράπη, τὸν Ἀναξαγόραν ἰδὼν ὑποστάντα κινδύνους, δι' ἅπερ εἰσῆξε δόγματα. σκυθρωπὸς δὲ ἦν τὸ ἦθος, καὶ ἀμειδὴς, καὶ φεύγων τὰς συνουσίας. ὅθεν καὶ μισογύνης ἐδοξάσθη. ἔγημε δὲ ὅμως πρῶτον μὲν Χοιρίνην, θυγατέρα Μνησιλόχου· ἐξ ἧς ἔσχε Μνησίλοχον, καὶ Μνησαρχίδην, καὶ Εὐριπίδην. ἀπωσάμενος δὲ ταύτην, ἔσχε καὶ δευτέραν, καὶ ταύτης ὁμοίως ἀκολάστου πειραθείς. ἀπάρας δὲ ἀπ' Ἀθηνῶν, ἦλθε πρὸς Ἀρχέλαον τὸν βασιλέα τῶν Μακεδόνων, παρ' ᾧ διῆγε, τῆς ἄκρας ἀπολαύων τιμῆς. ἐτελεύτησε δὲ ὑπὸ ἐπιβουλῆς Ἀρριδαίου τοῦ Μακεδόνος, καὶ Κρατεύα τοῦ Θετταλοῦ, ποιητῶν ὄντων, καὶ φθονησάντων αὐτῷ, [4] πεισάντων τε τὸν βασιλέως οἰκέτην κύνας ἐπαφεῖναι αὐτῷ. οἱ δὲ ἱστόρησαν, οὐχ ὑπὸ κυνῶν, ἀλλ' ὑπὸ γυναικῶν νύκτωρ διασπασθῆναι, πορευόμενον ἀωρὶ πρὸς Κρατερὸν τὸν ἐρώμενον Ἀρχελάου, (καὶ γὰρ σχεῖν αὐτὸν καὶ περὶ τοὺς τοιούτους ἔρωτας) οἱ δὲ, πρὸς τὴν γαμετὴν Νικοδήμου τοῦ Ἀρεθουσίου. ἔτη δὲ βιῶναι αὐτὸν οε΄, καὶ τὰ ὀστᾶ αὐτοῦ ἐν Πέλλῃ μετακομίσαι τὸν βασιλέα. [5] δράματα δὲ αὐτοῦ κατὰ μέν τινας οε΄. κατὰ δὲ ἄλλους, ἐνενήκοντα δύο. σώζονται δὲ οζ΄. νίκας δὲ εἵλετο ε΄. τὰς μὲν τέσσαρας περιών· τὴν δὲ μίαν μετὰ τελευτὴν, ἐπιδειξαμένου τὸ δρᾶμα τοῦ ἀδελφιδοῦ αὐτοῦ Εὐριπίδου. ἐπεδείξατο δὲ ὅλους ἐνιαυτοὺς κϛ΄. ἀπέθανε δὲ ἐπὶ τῆς ἐνενηκοστῆς τρίτης ὀλυμπιάδος.

ripide, filio fratris ipſius. Fabulas edidit per *Port*.

Εὐριπίδης. Euripides, Athenienſis, Tragicus, antiquior celebri illo Euripide. Docuit fabulas XII. Vicit bis.

Εὐριπίδης. Euripides, Tragicus, prioris ex fratre nepos, ut tradit Dionyſius in *Chronicis*. Scripſit editionem Homericam: niſi forte ea alterius ſit. Fabulæ ejus ſunt, *Oreſtes*, *Medea*, *Polyxena*, [&c.]

Εὐριπίδης. Euripides, Mneſarchi, ſeu Mneſarchidæ, & Clitonis F. qui in exilium pulſi, in Bœotiam migrarunt: deinde vero in Attica habitarunt. Non eſt autem verum, matrem ejus fuiſſe olerum venditricem. Nam genere nobiliſſimo natus fuit, ut demonſtrat Philochorus. Xerxe vero in Græciam trajiciente, mater eum in utero geſſit: natuſque fuit eo die, quo Græci Perſas fugarunt. Fuit autem initio pictor: deinde Prodici in Rhetoricis; Socratis vero in doctrina de moribus, & in rebus philoſophicis diſcipulus. Audivit etiam Anaxagoram Clazomenium. Animum vero ad tragœdiam ſcribendam appulit, cum vidiſſet Anaxagoram in capitis diſcrimen veniſſe, propter dogmata, quæ docuerat. Fuit autem homo ſeveris moribus præditus, & triſtis, & qui congreſſus fugiebat. Unde etiam oſor mulierum eſt habitus. Nihilominus tamen uxorem duxit; primum quidem Chœrinam, Mneſilochi filiam, ex qua Mneſilochum & Mneſarchidem & Euripidem ſuſcepit. Hac vero repudiata, habuit & alteram, quam æque impudicam eſt expertus. Cum autem Athenis diſceſſiſſet, ad Archelaum Macedoniæ Regem ivit, apud quem ſummo fruens honore vixit. Obiit ſublatus inſidiis Arrhidæi Macedonis, & Crateuæ Theſſali, qui poetæ erant, ac ipſi invidebant, & Regis ſervo perſuaſerant, ut canes in ipſum immitteret. Alii vero non a canibus, ſed a mulieribus noctu laceratum fuiſſe tradunt, cum intempeſta nocte ad Craterum Archelai delicias; (nam illum & hujuſmodi amoribus addictum fuiſſe ferunt) ut vero alii, ad uxorem Nicodemi Arethuſii iret. Annos eum vixiſſe ajunt LXXV. oſſaque ejus Pellam a Rege tranſlata fuiſſe. Fabulæ ejus, ſecundum nonnullos, fuerunt LXXV. ſecundum alios vero, XCII. ex quibus exſtant LXXVII. Vicit quinquies: quater ſuperſtes; ſemel vero poſt obitum, fabulam ejus in Scena exhibente Euripide, filio fratris ipſius. Fabulas edidit per totos annos XXVI. Obiit Olympiade XCIII.

---

[1] Ὡς λαχανόπωλις ἦν ἡ μήτηρ] Ariſtophanes tamen initio *Equitum* Euripidem ut filium λαχανοπώλιδος oblique his verbis perſtringit:

Μή μοί γε, μή μοι, μὴ διασκανδικίσῃς.

Scholiaſta ad eum locum: Διασκανδικίσῃς. διευριπιδίσῃς. ἡ γὰρ μήτηρ Εὐριπίδου σκάνδικας ἐπίπρασκεν· ὅ ἐστιν, ἄγρια λάχανα. Ἄλλως. Μὴ ἀποδειλιάσῃς. μὴ μεταμελήσῃς. σκώπτει δὲ τὸν Εὐριπίδην ὡς λαχανοπώλιδος υἱόν. σκάνδιξ γὰρ, εἶδος λαχάνου. Apertius idem Comicus in *Acharnenſibus*, pag. 394.

Εὐριπίδιον γλυκύτατον, ὦ φιλτάτιον,
Σκάνδικά μοι δὸς, μητρόθεν δεδεγμένος.
Euripides dulciſſime & amiciſſime,
Scandicem mihi da, quam a matre accepiſti.

Scholiaſta: Σκάνδικά μοι δός. καὶ ἐν τοῖς Ἱππεῦσι δεδήλωται, ὅτι ἡ μήτηρ Εὐριπίδου πωλεῖν ἐλέγετο σκάνδικας. θηλυκῶς δὲ ἡ σκάνδιξ ἐλέγετο. ἔστι δὲ λάχανον ἄγριον εὐτελές. Et in *Theſmophoriaz.* pag. 786.

Εὐριπίδου τοῦ τῆς λαχανοπωλητρίας.

[2] Καὶ ἐτέχθη, καθ' ἣν ἡμέρ.] Euripidem natum eſſe anno primo Olympiadis LXXV. Calliade Archonte, teſtatur Laertius in *Socrate* ſegm. XLV.

[3] Διήκουσε δὲ καὶ Ἀναξαγόρου τοῦ Κλαζ.] Idem teſtatur etiam Laertius loco laudato.

[4] Πεισάντων τε τὸν βασιλέως οἰκέτην κύνας ἐπαφ.] Locus hic in MS. A. auctior ſic legitur: Πεισάντων τε τ. β. οἰκ. τοὔνομα Λυσίμαχον, δέκα μνῶν ἀγορασθέντα, τοὺς βασιλέως, οὓς αὐτὸς ἔτρεφε, κύνας ἐπαφεῖναι, &c. Confer Noſtrum infra v. Προμέρου κύνες: ubi Promerus aliquis canes in Euripidem immiſiſſe traditur.

[5] Δράματα δὲ αὐτοῦ] Fabulas Euripidis accurate recenſet Meurſius in libello de trium Tragicorum fabulis: quem confer. Diligentiam tamen ejus effugit fabula Κρῆτες; cujus meminit Scholiaſta Ariſtophanis ad *Ranas*, pag. 252. & 276. ut & ante nos monuit Richardus Bentlejus in eruditiſſima Diſſertatione ad Malalam, pag. 22.

Εὔριπος. πέλαγος στενὸν, ἢ τόπος ὑδατώδης μεταξὺ δύο γαιῶν, τουτέστι [1] Βοιωτίας καὶ Ἀττικῆς. ἑπτάκις δὲ τῆς ἡμέρας τὸ ἐκεῖσε ὕδωρ τρέπεται.

Εὕρομεν. [2] παρατατικός. καὶ εὕροσαν.

Εὐροναίτοις. καλῶς ῥέουσιν.

Εὐροώτερος. [3] ὁ πλατύτερος.

Εὔρους. [4] Ἐμοὶ δὲ ἐξηγεῖτο λόγους Ἰσοκράτειους, ὅτε εἶδον ἄνθρωπον εὔρουν τε ἅμα καὶ ἀμφιλαφῆ τὴν διάνοιαν πρὸς τὰς πολιτικὰς ἐξηγήσεις.

Εὐρυόδεια. ἡ πλατυάμφοδος.

Εὐρώεντα. σκοτεινά. ζοφώδη.

Εὐρώεις. ὁ σκοτεινός. ἢ ὁ πλατύς. καὶ κλίνεται, εὐρώεντος.

Εὕρωμαι. ἀντὶ τοῦ εὑρήσω. καὶ εὕρωμεν, ἀντὶ τοῦ εὑρήσομεν.

Εὐρώπη. ὄνομα κύριον. καὶ ὁ τόπος. καὶ Εὐρώπιον κλῖμα. τὸ τῆς Εὐρώπης. καὶ πρέσβεις Εὐρωπαίων.

Εὐρώς. ὑγρότης σεσηπυῖα. Καλλίμαχος· Πέδιλα τὰ μὴ πύσε νήχυτος εὐρώς.

Εὐρώς. ἡ νοτία. παρὰ τὸ αὔρα, αὐρός· καὶ τροπῇ, εὐρώς. καὶ εὐρωτιῶ. [5] Θεόκριτος· Ἁ σύριγξ εὐρῶτι παλύνεται.

Εὐρώταν. ἐν Ἐπιγράμματι·

Τὸν δ' ὑπεροιδαίνοντα κατέσχεν πεπταμένη χείρ,
Οὐχ ὅλον Εὐρώταν, ἀλλ' ὅσον ἠδύνατο.

περὶ αἰδοίου ἀνδρὸς ὁ λόγος. καὶ αὖθις, φησὶ Λάκαινα πρὸς τὸν ἴδιον υἱόν·

Λεῖπε [6] τὸν Εὐρώταν, ἴθι Τάρταρον, ἡνίκα δειλὴν
Οἶσθα φυγὴν τελέθειν, οὔτ' ἐμὸς, οὔτε Λάκων.

Εὐρώτας. ποταμὸς Λακωνικῆς.

Εὐρῶτι. σηπεδόνι.

Εὐρωτιῶν. σαπείς. ἠφανισμένος. ἢ [7] εὐρωτιῶν, σκωληκοβρώτων.

Εὐρωτιῶν, [8] τοῦ εὐρωτιῶντος. ἐξήγησις τοῦ εἰκῇ κείμενος. τοῖς γὰρ εἰκῇ καὶ ἀμελῶς κειμένοις ἱδρὼς προσίζει καὶ νοτίς. τοιοῦτος δὲ ὁ τῶν ἀγροίκων βίος· ὥσπερ ἂν ἐπιμελὴς καὶ καθάριος ὁ τῶν ἀστικῶν. διόπερ καὶ εἰς πενίαν συνεχῶς ὑπὸ τῶν ποιητῶν τύπτεται καὶ ὀνειδίζεται· ὥς φησι Μένανδρος· Εἰς [9] τὰ καθαρὰ λιμὸς εἰσοικίζεται.

Εὔριπος. Euripus. Mare anguſtum, ſive fretum inter duas terras, Bœotiam nempe & Atticam: cujus aqua ſepties quotidie fluit & refluit.

Εὕρομεν. Invenimus. Imperfectum. Et εὕροσαν, [Bœotice pro εὗρον,] invenerunt.

Εὐροναίτοις. Late fluentibus. Pulchre fluentibus.

Εὐροώτερος. Latior.

Εὔρους. Copioſe fluens. Facundus. *Exponebat mihi orationes Iſocratis: quo tempore vidi virum illum non tantum ob linguæ facundiam, ſed etiam mentis ubertatem, aptiſſimum eſſe ad politicam prudentiam docendam.*

Εὐρυόδεια. Latas vias habens. Ampla.

Εὐρώεντα. Situ ſqualida. Obſcura. Tenebroſa.

Εὐρώεις. Squalidus. Obſcurus. Vel, latus. Et declinatur, εὐρώεντος.

Εὕρωμαι. Pro εὑρήσω. Reperiam. Et εὕρωμεν. Pro εὑρήσομεν. Reperiemus.

Εὐρώπη. Europa. Nomen proprium. Item, regio. Et Εὐρώπιον κλῖμα. Clima, vel plaga Europæ. Et, πρέσβεις Εὐρωπαίων, legati Europæorum.

Εὐρώς. Situs. Caries. Humiditas putris. Callimachus: *Crepidæ, quas putredo non corrupit.*

Εὐρώς. Caries. Situs. Humiditas. Putredo. Ab αὔρα fit αὐρὸς, & mutato α in ε, εὐρώς. Et εὐρωτιῶ. Situ ſqualeo. Putreſco. Theocritus: *Fiſtula ſitu ſqualet.*

Εὐρώταν. Eurotam [fluvium. Item, membrum virile.] In Epigrammate: *Illum vero penem ſupra modum tumentem expanſa manus continuit; non totum, ſed quantum potuit.* De membro enim virili hic verba fiunt. Et in alio Epigrammate fœmina Lacæna filio ſuo dicit: *Linque Eurotam, abi ad Orcum, quandoquidem timidorum & ignavorum more fugere conſueviſti, nec meus [filius,] nec Lacon.*

Εὐρώτας. Eurotas. Fluvius Laconicæ.

Εὐρῶτι. Situ. Putredine.

Εὐρωτιῶν. Putrefactus. Situ obſitus. Corruptus. Vel, εὐρωτιώντων. A vermibus corroſorum.

Εὐρωτιῶν. Situ obſitus. Squalidus. Eſt explicatio ejus, [quod apud Comicum ſequitur,] εἰκῇ κείμενος. Rebus enim per neglectum temere in aliquo loco jacentibus humor & mucor aliquis adhæreſcit. Talis eſſe ſolet vita ruſticorum: ut contra urbanorum munda & nitida. Quare etiam ut pauper a Comicis frequenter perſtringi & vituperari ſolet. Nam, ut Menander ait: *In mundas & nitidas ædes fames intrat.*

---

[1] Βοιωτίας καὶ Ἀττικῆς] Imo potius, Βοιωτίας καὶ Εὐβοίας. Vide Geographos.

[2] Παρατατικός] Rectius, Ἀόριστος β'. Eſt enim ab εὗρον: quod eſſe Aoriſti ſecundi, vel pueris notum eſt. Cæterum pro παρατατικὸς, ut habent MSS. Pariſ. in prioribus Editt. nullo ſenſu legitur, παρ' Ἀττικοῖς.

[3] Εὐροώτερος] Confer Etymologum v. Εὐρώεντα.

[4] Ἐμοὶ δὲ ἐξηγεῖτο λόγους Ἰσοκρ.] Idem fragmentum legitur etiam ſupra v. Ἀμφιλαφῆ, & infra v. Σεβηριανός: ubi integrum locum ſcriptoris anonymi habes.

[5] Θεόκριτος] *Idyll.* IV. v. 28.

[6] Λεῖπε τὸν Εὐρώταν, ἴθι Ταρτ.] Diſtichum hoc decerptum eſt ex Epigrammate Antipatri Theſſalonicenſis, quod ex codice MS. Anthologiæ ineditæ integrum exhibuimus ſupra v. Ἄρης.

[7] Εὐρωτιῶν] Scribe εὐρωτιώντων, ut reſpondeat voci ſequenti σκωληκοβρώτων.

[8] Εὐρωτιῶν] Nota hæc referenda eſt ad locum illum Ariſtophanis *Nubibus*, pag. 125.

Ἐμοὶ γὰρ ἦν ἄγροικος ἥδιστος βίος,
ΕΥΡΩΤΙΩΝ, ἀκόρητος, εἰκῇ κείμενος.

Vetus interpres: Εὐρωτιῶν. ἀντὶ τοῦ, ἱδρῶν. ἑρμηνεύει δὲ τοῦτο διὰ τοῦ εἰκῇ κείμενος. εὐρωτιῶσι γὰρ τὰ εἰκῇ κείμενα, ὥσπερ νοτίδος αὐτοῖς ἐγγινομένης καὶ σηπούσης. καὶ εὐρὼς, ὁ σκώληξ. ἐπὶ τοῖς ἀμελῶς κειμένοις ἱδρὼς προσίζει· τουτέστι, νοτίς. Confer etiam Noſtrum ſupra v. Ἀκόρητος.

[9] Εἰς τὰ καθαρὰ λιμ.] Ut ſenarius ſit ἀρτίπους, ſcribendum eſt,
Εἰς μὲν τὰ καθαρὰ λιμὸς εἰσοικίζεται.

Εὐρυάγυια.[1] πλατυάμφοδος.

Εὐρυβατεύεσθαι. πονηρεύεσθαι. τὸν γὰρ Εὐρύβατον, ἕνα τῶν Κερκώπων, γενέσθαι τοιχωρύχον φασίν. οἱ δὲ προδότην περὶ τοὺς χρόνους τοῦ Κροίσου.

Εὐρυβάτης. ὄνομα κύριον.

Εὐρύβατον[2] ἄνδρα. Φασὶ τοῦτον Ἐφέσιον εἶναι, καὶ λαβόντα χρήματα παρὰ Κροίσου, ὥστε στρατιὰν συναγαγεῖν εἰς τὸν πόλεμον τὸν εἰς τοὺς Πέρσας, προδότην γενόμενον, ἐγχειρίσαι τῷ Κύρῳ τὰ χρήματα τοῦ Κροίσου· καὶ ἐντεῦθεν τοὺς πονηροὺς Εὐρυβάτας καλεῖσθαι.

Εὐρύβατος.[3] πονηρός. ἀπὸ τοῦ πεμφθέντος ὑπὸ Κροίσου ἐπὶ ξενολογίαν μετὰ χρημάτων, ὥς φησιν Ἔφορος· εἶτα μεταβαλλομένου πρὸς Κῦρον. ἦν δὲ οὗτος Ἐφέσιος. οἱ δὲ τὸν Κέρκωπα τὸν ἕτερον. Διότιμος Ἡρακλέους ἄθλοις·

Κέρκωπές τοι πολλὰ κατὰ τριόδους πατέοντες
Βοιωτῶν σίνοντο. γένος δ' ἔσαν Οἰχαλιῆες,
Ὦλός τ' Εὐρύβατός τε, δύω βαρυδαίμονες ἄνδρες.

Νίκανδρος, Αἰγίνεον Εὐρύβατον πανουργότατον· οὗ μνημονεύει Ἀριστοτέλης ἐν ά περὶ δικαιοσύνης. Δοῦρις δὲ ἐν δ' τῶν περὶ Ἀγαθοκλέα, ἀπὸ τοῦ Ὀδυσσέως ἑταίρου. καὶ Ἀριστοφάνης Δαιδάλῳ, ὑποθέμενος τὸν Δία εἰς πολλὰ ἑαυτὸν μεταβάλλοντα, καὶ πλουτοῦντα, καὶ πανουργοῦντα, Εἴ δή τις ὑμῶν εἶδεν Εὐρύβατον Δία. λέγεται τὸν Εὐρύβατον κλέπτην ὄντα, εἱρχθέντα καὶ παραφυλαττόμενον, ἐπειδὴ συμπίνοντες ἔλυσαν αὐτὸν οἱ φυλάσσοντες, ἐκέλευσαν ἐπιδείξασθαι τὴν ἐπὶ τοὺς οἴκους ἀναρρίχησιν, τὸ μὲν πρῶτον διωθεῖσθαι· δεομένων δὲ ὡς οὐ βουλόμενον, ἐπεὶ μόλις ἀνέπεισαν, περιθέμενος τοὺς σπόγγους καὶ τὰς ἐγκεντρίδας, ἀναδραμεῖν εἰς τοὺς τοίχους. [4] ἀναβλέποντες δὲ ἐκεῖνοι, καὶ θαυμάζοντες τὰς τέχνας, λαβεῖν αὐτὸν τὸν ὄροφον, καὶ ὑπερβάλλοντα, πρὶν ἐκεῖνοι κύκλῳ περιέλθωσι, διὰ τοῦ τέγους καταπηδῆσαι.

Εὐρυάγυια. Latas vias habens.

Εὐρυβατεύεσθαι. Eurybati improbitatem & malas artes imitari. Eurybatum enim, unum ex Cercopibus, alii effractorem; alii vero circiter Crœſi tempora proditorē fuiſſe ajunt.

Εὐρυβάτης. Eurybates. Nomen proprium.

Εὐρύβατον. Eurybatum. Hunc ajunt Epheſium fuiſſe, &, cum a Crœſo pecuniam accepiſſet, ut ea exercitum ad bellum contra Perſas cōmpararet, turpi proditione pecuniam Crœſi Cyro tradidiſſe. Hinc omnes mali & improbi dicti fuerunt Eurybatæ.

Εὐρύβατος. Eurybatus. Id eſt, homo malus. Ductum hoc eſt ab eo Eurybato, qui a Crœſo cum pecunia miſſus ad milites mercede conducendos, ut ait Ephorus, deinde ad Cyrum defecit. Erat autem Epheſius. Alii eum alterum Cercopum fuiſſe ajunt. Diotimus in *Herculis laboribus: Cercopes in triviis Bœotorum frequenter verſantes, multis nocebant. Hi genere erant Oechalienſes, nomine Olus & Eurybatus, ambo viri pernitioſiſſimi.* Nicander Ægineum Eurybatum callidiſſimum fuiſſe [tradit:] cujus meminit Ariſtoteles in primo *de Juſtitia*. Duris vero libro IV. de rebus ab Agathocle geſtis, ab Ulyſſis ſocio [proverbium hoc ductum eſſe ait.] Et Ariſtophanes *Dædalo* introducens Jovem in varias formas ſe mutantem, & divitem, & callide alios decipientem, *Si quis veſtrum*, inquit, *vidit Eurybatum Jovem.* Ferunt autem Eurybatum, qui fur erat, cum in vinculis & cuſtodia aſſervaretur, a cuſtodibus largius ſe invitantibus ſolutum, juſſumque edere ſpecimen ſolertiæ ſuæ in ædibus conſcendendis, primum quidem hoc recuſaſſe; deinde vero cum tanquam invitum rogarent, & ægre rem ei perſuaſiſſent, tandem aptatis ſibi ſpongiis & ſtimulis, parietes adſcendiſſe. Illis autem ſuſpicientibus, & has artes admirantibus, ipſum prehenſo lacunari, eoque ſuperato, priuſquam illi ædes circumire poſſent, per tegulas [aufugiſſe, & de tecto] deſiliiſſe.

Εὐριδίκη. ὄνομα κύριον.

Εὔρυθμον. εὖ τεταγμένον.

Εὐρυκλῆς.[5] πᾶς ὁ ἐγγαστρίμυθος. ἀπὸ Εὐρυκλέους τοιούτου τινὸς μάντεως.

Εὐρυκρείων. μεγάλως βασιλεύων.

Εὐρυμέδων.[6] ποταμὸς Παμφυλίας.

Εὐρύνεται. πλατύνεται.

Εὐρυόδεια.[7] ἡ πλατεῖα ὁδός. καὶ κλίνεται εὐρυοδείας.

Εὐριδίκη. Euridice. Nomen proprium.

Εὔρυθμον. Concinnum. Aptum.

Εὐρυκλῆς. Eurycles. [Sic appellatur] quivis engaſtrimythus, ſive ventriloquus: ab Eurycle, qui hujuſmodi vates fuit.

Εὐρυκρείων. Late dominans.

Εὐρυμέδων. Eurymedon. Pamphyliæ fluvius.

Εὐρύνεται. Dilatatur. Amplificatur.

Εὐρυόδεια. Latas vias habens. Lata via.

---

[1] Εὐρυάγυια] Eſt urbis epithetum apud Homerum.

[2] Εὐρύβατον ἄνδρα. φασὶ τοῦτον Ἐφέσιον εἶναι, ϗ λ.] Ex Harpocratione. Huc egregie facit locus Diodori in Collectaneis Conſtantini a Valeſio editis pag. 241. qui ſic habet: Ὅτι Κροῖσος ὁ τῶν Λυδῶν βασιλεὺς προσποιησάμενος εἰς Δελφοὺς πέμπειν, ἔπεμπεν εἰς Πελοπόννησον Εὐρύβατον τὸν Ἐφέσιον, δοὺς αὐτῷ χρυσίον, ὅπως ὡς πλείστους ξενολογήσῃ τῶν Ἑλλήνων. ὁ δὲ πεμφθεὶς, πρὸς Κῦρον τὸν Πέρσην ἀποχωρήσας, τὰ κατὰ μέρος ἐδήλωσε. διὸ ϗ παρὰ τοῖς Ἕλλησιν ἐπισήμου γενομένης τῆς περὶ τὸν Εὐρύβατον πονηρίας, μέχρι τοῦ νῦν, ὅταν τις ὀνειδίσαι τινὶ βούληται μοχθηρίαν, Εὐρύβατον ἀποκαλεῖ. Id eſt, interprete Valeſio: *Crœſus Lydorum Rex Eurybatum Epheſium ſimulans ſe Delphos mittere, in Peloponneſum cum grandi pecunia miſit, ut quam plurimos milites conquireret. Sed Eurybatus ad Cyrum Perſarum Regem transfugiens, cuncta Crœſi conſilia ei detexit. Quamobrem cum hac Eurybati fraudulentia inſignis apud Græcos exſtiterit, hinc factum eſt, ut etiamnum, cum alicui malitiam exprobrare volunt, Eurybatum eum compellent.* Hic locus pulchre confirmat ea, quæ Suidas ex Harpocratione de Eurybato hic refert.

[3] Εὐρύβατος. πονηρός] Æſchines in oratione contra Cteſiphontem pag. 293. Ἀλλ', οἶμαι, οὔτε Φρυνώνδας, οὔτε ΕΥΡΥΒΑΤΟΣ, οὔτ' ἄλλος οὐδεὶς πώποτε τῶν πάλαι πονηρῶν, τοιοῦτος μάγος καὶ γόης ἐγένετο.

[4] Ἀναβλέποντες δὲ ἐκεῖνοι, ϗ θαυμάζοντες] Sic etiam habet Michael Apoſtolius. Sed, ne oratio ſit ἀνακόλουθος, ſcribendum eſt, ἀναβλεπόντων δὲ ἐκείνων, ϗ θαυμαζόντων. &c.

[5] Εὐρυκλῆς. πᾶς ὁ ἐγγαστρίμυθος· ἀπὸ Εὐρ.] Ex Enarratore Comici ad *Veſpas* pag. 503. qui plura habet.

[6] Εὐρυμέδων. ποταμὸς Παμφ.] Ex Harpocratione.

[7] Εὐρυόδεια] Eadem vox occurrit ſupra poſt v. Εὖρος: ſed loco alieno.

Εὐρύοπα. μεγαλόφθαλμον. ἢ μεγαλόφωνον. ἡ εὐθεῖα, εὐρύοψ.

Εὐρυπύλης.[1] πλατείας πύλης.

Εὐρύς. ὁ πλατύς.

Εὐρυσάκης. ὁ μεγάλην ἔχων ἀσπίδα. [2] Σοφοκλῆς·

Ἀλλ' αὐτό μοι σὺ, παῖ, λαβὼν ἐπώνυμον
Εὐρύσακες, ἴσχε διὰ πολυῤῥάφου στρέφων
Πόρπακος ἑπταβόειον ἄῤῥηκτον σάκος.

Εὐρυσάκης. ὄνομα κύριον. Καὶ [3] Εὐρυσάκειον. τέμενός ἐστιν Εὐρυσάκου τοῦ Αἴαντος ἐν Ἀθήναις οὕτως ὀνομαζόμενον.

Εὐρυσθένης. μεγαλοδύναμος.

Εὐρυσθεύς. ὄνομα κύριον. καὶ Εὐρυσθείδης.

Εὐρυχωρία. πλάτος. Εὐρύχορος δὲ, ἡ καλλίχορος.

Ἐύς. ὁ ἀγαθός. παιδὸς ἑῆος. ἀντὶ τοῦ, ἀγαθοῦ. καὶ, [4] Θεοὶ δοτῆρες ἐάων. ἀντὶ τοῦ, ἀγαθοῦ.

Εὐσέβεια.[5] ἐπιστήμη Θεοῦ θεραπείας. σπουδαῖοι τοιγαροῦν θύειν Θεῷ ἁρμόδιοι, ἁγνοὶ τυγχάνοντες. [6] ἐκνεύειν γὰρ τὰ περὶ Θεὸν ἁμαρτήματα, καὶ τὸν Θεὸν ἄγασθαι αὐτούς· ὁσίους τε γὰρ εἶναι καὶ δικαίους. καὶ [7] μὴ τούτους ἱερέας εἶναι. ἐπεσκέφθαι γὰρ περὶ θυσιῶν, ἱδρύσεων, καὶ καθαρμῶν, καὶ τῶν ἄλλων τῶν πρὸς τὸ θεῖον οἰκείων. † [8] Ὅτι ἡ εὐσέβεια κοῦφόν ἐστι, καὶ σωφροσύνης ἀνάπλεων, καὶ ἥκιστα ἀχθεινόν. ἡ γὰρ εὐσέβεια οὐ συνθνήσκει βροτοῖς· κἂν ζῶσι, κἂν θάνωσιν, οὐκ ἀπόλλυται.

Εὐσεβεῖν δεῖ τὰ πρὸς Θεὸν, ὡς τἄλλα πάντα δεύτερ' ἡγεῖται πατὴρ Ζεύς. καὶ αὖθις ἕτερος λέγει· Ὁδὸς ἀνθρώποις εἰς εὐδαιμονίαν ὑπὸ τοῦ Θεοῦ κατεδείχθη μία διὰ τῆς ἀρετῆς. τιμιώτατον δὲ ἐν αὐτῇ, καὶ ὥσπερ κεφάλαιον ἀρετῆς ἁπάσης, εὐσέβεια. μόνη γὰρ αὕτη τῶν ἀνθρωπίνων πραγμάτων ἱκανῶς ἐπιμελεῖται, καὶ πρὸς τὰ θεῖα γίνεται ἡγεμὼν ἀνθρώποις ἀγαθή.

Εὐσέβιος,[9] ὁ Παμφίλου, προσκείμενος τῇ Ἀρειανικῇ αἱρέσει, Ἐπίσκοπος Καισαρείας τῆς Παλαιστίνης, σπουδαῖος ἐν ταῖς θείαις γραφαῖς, καὶ τῆς θείας βιβλιοθήκης ἅμα Παμφίλῳ τῷ μάρτυρι ἐπιμελέστατος ἀνιχνευτής. ἐξέδωκε πολλὰ τεύχη, ὧν εἰσι τάδε· Εὐαγγελικῆς ἀποδείξεως λόγοι κ΄. Εὐαγγελικῆς προπαρασκευῆς λόγοι ιε΄. Θεοφανείας λόγοι ε΄. Ἐκκλησιαστικῆς ἱστορίας λόγοι ι΄. [10] Χρονικῶν κανόνων παντοδαπῆς ἱστορίας, καὶ τούτων ἐπιτομή. καὶ περὶ τῆς τῶν Εὐαγγελίων διαφωνίας. Εἰς τὸν προφήτην Ἡ-

Εὐρύοπα. Magnos oculos habentem. Vel, magna voce præditum. Caſus rectus eſt, εὐρύωψ.

Εὐρυπύλης. Latæ portæ. Latam portam habentis.

Εὐρύς. Latus, Amplus.

Εὐρυσάκης. Ingentem clypeum habens. Sophocles: *Sed, fili Euryſaces, accipe ſcutum ſeptemplex, & nulli telo pervium, nominique tuo conveniens; idque tene & verſa, arrepto loro accurate conſuto.*

Εὐρυσάκης. Euryſaces. Nomen proprium. Et Εὐρυσάκειον, fanum eſt Athenis Euryſacis, filii Ajacis, ita vocatum.

Εὐρυσθένης. Magnam ac amplam habens potentiam.

Εὐρυσθεύς. Euryſtheus. Nomen proprium. Et Εὐρυσθείδης. Filius Euryſthei.

Εὐρυχωρία. Ampla & late patens regio. Εὐρύχορος vero, pulchrum chorum habens.

Ἐύς. Bonus. Ut, παιδὸς ἑῆος. Filii boni. Et, Θεοὶ δοτῆρες ἐάων. *Dii donatores bonorum.*

Εὐσέβεια. Pietas eſt ſcientia cultus divini. Bonis igitur viris convenit, Deo ſacrificare, quia caſti ſunt, & a peccatis in Deum abſtinent, Deumque venerantur. Iidem etiam ſancti ſunt, & juſti, & ſoli ſacerdotes. Sunt enim periti ſacrificiorum, dedicationum, luſtrationum, & aliorum, quæ ad cultum numinis divini & ſacra pertinent. † Pietas eſt res levis, & modeſtiæ plena, & minime gravis. Pietas enim una cum hominibus non moritur: nec perit, ſive illi vivant, ſive moriantur.

Εὐσεβεῖν δεῖ τὰ πρ. *Pietas erga Deum colenda eſt. Cætera enim omnia minoris facit Jupiter pater.* Et alius inquit: *Hominibus ad felicitatem unica per virtutem via a Deo monſtrata eſt. Ipſius autem melior pars, & univerſæ virtutis caput quaſi eſt pietas. Hæc enim ſola juſtam rerum humanarum curam gerit, & hominibus ad Deum fidelis eſt dux.*

Εὐσέβιος. Euſebius Pamphili, Arianæ ſectæ addictus, Cæſareæ Palæſtinæ Epiſcopus, ſacrarum ſcripturarum ſtudioſus, & divinæ bibliothecæ una cum Pamphilo martyre diligentiſſimus inveſtigator. Multa edidit opera, inter quæ ſunt iſta: Demonſtrationis Euangelicæ libri xx. Euangelicæ Præparationis libri xv. Theophaniæ libri v. Eccleſiaſticæ Hiſtoriæ libri x. Canones Chronici variæ hiſtoriæ, & eorum epitome. De Euangeliorum diſſenſione. In Prophetam Eſaiam libri x. Contra Porphyrium, qui tunc, ut

---

[1] Εὐρυπύλης. πλατείας πύλης] Euſtathius, εὐρυπυλὴς, πλατεῖαν πύλην ἔχων.

[2] Σοφοκλῆς] *Ajace*, pag. 34. ut Portus monuit.

[3] Εὐρυσάκειον. τέμενός ἐστιν Εὐρ.] Ex Harpocratione.

[4] Θεοὶ δοτῆρες ἐάων] Homerus Odyſſ. Θ. v. 325. ſed ubi legitur δωτῆρες, per ω: uti etiam hic apud Suidam legendum eſt.

[5] Εὐσέβεια. ἐπιστήμη Θεοῦ θεραπ.———τῶν πρὸς τὸ θεῖον οἰκείων] Hæc ſunt verba Laertii lib. VII. in *Zenone*, ſegm. 119. ut Pearſonius etiam obſervaverat.

[6] Ἐκνεύειν] Sic habent MSS. Pariſ. itemque Laertius loco laudato. At priores Editt. minus recte, ἁγνεύειν.

[7] Καὶ μὴ τούτους] Laertius rectius, καὶ μόνους τούτους.

[8] Ὅτι ἡ εὐσέβεια κοῦφόν ἐστι, καὶ σωφρ.] Locus hic auctior legitur infra v. Εὐφημία.

[9] Εὐσέβιος, ὁ Παμφ.] Totus hic locus deſcriptus eſt ex Sophronio, Hieronymi interprete: ex quo & multa alia Grammaticus noſter in Collectanea ſua retulit. De Euſebio autem, ejuſque ſcriptis hic quicquam addere ſupervacaneum judicamus, quoniam alii viri docti de eo argumento abunde egerunt: quorum ſcripta in omnium manibus verſantur.

[10] Χρονικῶν καν.] Imo potius, Χρονικοὶ κανόνες, caſu recto.

ϛορίαν λόγοι ι΄. Κατὰ Πορφυρίου τοῦ τότε συγγράφοντος ἐν Σικελίᾳ, ὥς τινες οἴονται, λόγοι λ΄. Τοπικῶν λόγος α΄. Ἀπολογίας ὑπὲρ Ὠριγένους λόγοι ϛ΄. Περὶ τοῦ βίου τοῦ Παμφίλου λόγοι γ΄. Περὶ μαρτύρων ἕτερα συγγράμματα· καὶ εἰς τοὺς ρν΄ Ψαλμοὺς δεδοκιμασμένα ὑπομνήματα, καὶ ἕτερα πολλά. ἤνθησε μάλιστα ἐπὶ Κωσταντίνου τοῦ βασιλέως, καὶ Κωνσταντίου, καὶ διὰ τὴν φιλίαν τὴν πρὸς Πάμφιλον τὸν μάρτυρα, τῆς ἐπωνυμίας αὐτοῦ ἠξιώθη.

Εὐσέβιος ὁ Παμφίλου. οὗτος ὁ Εὐσέβιος ἔγραψε καὶ πρὸς Μαρῖνον, ἐν ᾧ λέγει, [1] ὅτι ἡ Χριστοῦ Ἐκκλησία δύο βίους νομοθετεῖ, καὶ τρόπους· τὸν μὲν ὑπερφυᾶ, καὶ τῆς ἀνθρωπίνης πολιτείας ἐπέκεινα, οἷος ἐστὶν ὁ μοναδικός· τὸν δὲ ὑποβεβηκότα, καὶ ἀνθρωπινώτερον, ὃς καὶ γάμοις ὑποτίθεται συγκοινωνεῖν.

Εὐσέβιος, Ἀράβιος, σοφιστής, ἀντισοφιστεύσας καὶ αὐτὸς Οὐλπιανῷ.

Εὔσημος. ὁ περιφανής.

Εὐσθένεια. ἡ ἰσχύς.

Εὔσκαρθμος. εὐκίνητος. ταχύς.

Εὐσκευούμεθα.[2] καλῶς παρεσκευάσμεθα, καὶ ἔχομεν πάντα, ὧν δεῖ πρὸς θάνατον. Οὕτω μὲν εὐσκευούμεθα. Σοφοκλῆς.

Εὐσπειρῆ. καλῶς συνεσπειραμένον.

--- Τὸν[3] εὐσπειρῆ δὲ δράκοντα,
Χρύσεον ῥαδινῶν κόσμον ἐπισφυρίων.

Εὐστάθεια. ἡ καρτερία.

Εὐσταθής. Αὐτὸς γὰρ λαβὼν ἄνεμον εὐσταθῆ, παρεκομίζετο παρὰ τὴν χώραν, ἀκινδύνως πλέων.

Εὐστάθιος, Ἐπιφανεύς. Χρονικὴν ἐπιτομὴν τὴν ἀπὸ Αἰνείου μέχρις Ἀναστασίου βασιλέως, ἐν [4] τόμοις θ΄. καὶ ἄλλα τινά. † Ὅτι Εὐστάθιος Σεβαστιανὸς Μακεδονικῆς θρησκείας ἦρξεν, ἅμα Βασιλείῳ Ἀγκυρανῷ, Ἐπισκόπῳ τῆς αὐτῆς πόλεως.

Εὐσταθῶς. [5] Ἀππιανός· Ὁ δὲ ἐστρατοπέδευσεν εὐσταθῶς, ᾗπερ ἐβούλετο. ἀντὶ τοῦ ἀσφαλῶς. βεβαίως.

Εὐσταλής. καλῶς ἐστολισμένος. ἢ κοῦφος. Ἀπεδίδρασκον εὐσταλεῖς, ὑποζύγια καὶ σκηνὰς καταλιπόντες. † Ἦν δὲ τὸ ἑπόμενον στράτευμα Μαρκελλίνῳ ἐπιφανέστερον τῷ εὐσταλεῖ τῆς ὁπλίσεως.

Εὐστέφανον. εὐτείχιστον.

Εὐστέφιος, Ἀφροδισιεύς, [6] σοφιστὴς ἐπιφανίων τῶν

quidam putant, in Sicilia ſcribebat, libri xxx. Τοπικῶν liber unus. Apologiæ pro Origine libri vi. De vita Pamphili libri iii. De Martyribus alia opuſcula. In Pſalmos cl commentarios eruditos; & multa alia. Floruit maxime ſub Conſtantino Imperatore, & Conſtantio, & ob amicitiam, quæ ipſi cum Pamphilo martyre interceſſit, ab eo cognomentum ſortitus eſt.

Εὐσέβιος ὁ Παμφίλου. Euſebius Pamphili. Hic contra Marinum etiam ſcripſit: in quo opere dicit, Chriſti Eccleſiam duo vitæ genera & inſtituta præcipere; quorum unum ſit excellens & ſupra communem vitæ humanæ rationem longe poſitum; quale eſt Monachorum. Alterum vero minus ſublime, & communi hominum vitæ accommodatum, quod nec a conjugio abhorreat.

Εὐσέβιος. Euſebius, Arabius, Sophiſta; qui & ipſe Ulpiani æmulus fuit.

Εὔσημος. Inſignis.

Εὐσθένεια. Robur. Fortitudo.

Εὔσκαρθμος. Agilis. Celer. Velox.

Εὐσκευούμεθα. Bene inſtructi ſumus, & omnia, quæ ad mortem neceſſaria ſunt, parata habemus. *Sic igitur omnibus inſtructi ſumus.* Sophocles.

Εὐσπειρῆ. In ſpiras bene convolutum. [In Epigrammate:] *Draconem vero pulchris ſpiris ambientem graciles talos, quorum eſt ornamentum.*

Εὐστάθεια. Firmitas. Conſtantia.

Εὐσταθής. Stabilis. Firmus. Conſtans. *Ipſe enim ventum conſtantem nactus, juxta terram tuto navigabat.*

Εὐστάθιος. Euſtathius, Epiphanenſis. Scripſit compendium Chronicum rerum ab Ænea uſque ad Anaſtaſium Imperatorem geſtarum, libris novem. Item, alia quædam. † Euſtathius Sebaſtianus cum Baſilio Ancyrano, ejuſdem urbis Epiſcopo, ſectæ Macedonicæ auctor fuit.

Εὐσταθῶς. Firmiter. Conſtanter. Tuto. Appianus: *Ille vero loco tuto & firmo, ut optabat, caſtra metatus eſt.*

Εὐσταλής, Bene veſtitus. Vel, levis, expeditus. *Fugiebant expediti, jumentis & tentoriis derelictis.* Item: *Exercitus autem, qui Marcellinum ſequebatur, decoro armaturæ genere erat inſignis.*

Εὐστέφανον. Bene muris cinctum.

Εὐστέφιος. Euſtephius, Aphrodiſienſis, So-

---

[1] Ὅτι ἡ Χριστοῦ Ἐκκλησία δύο βίους νομοθ.] Hæc plenius leguntur apud Cedrenum pag. 200. 201. & apud ipſum Suidam ſupra v. Βίος.

[2] Εὐσκευούμεθ. καλῶς παρεσκ.] Ex Scholiaſta Sophoclis ad *Ajacem*, pag. 49. ut Portus monuit.

[3] Τὸν εὐσπειρῆ δὲ δράκοντα, χρύσειον ῥαδ.] Verba hæc decerpta ſunt ex Epigrammate Antipatri Sidonii in mulieres, mundum ſuum Veneri dedicantes. Ipſum Epigramma ex cod. MS. Anthologiæ ineditæ integrum publici juris faciemus infra v. Κεκρύφαλον.

[4] Ἐν τόμοις θ΄] Imo, ἐν τόμοις β΄. Ecce enim clare Euagrius *Hiſtor. Eccleſ.* lib. v. cap. xxiv. Ἅπερ πάντα Εὐσταθίῳ τῷ Ἐπιφανεῖ ἐπιτέτμηται πάνυ λόγιστα ἐν δύο τεύχεσιν· ἑνὶ μὲν ἕως ἁλώσεως Ἰλίου. τῷ δὲ ἑτέρῳ, ἕως δωδεκάτου ἔτους τῆς Ἀναστασίου βασιλείας. Id eſt: *Quæ omnia ab Euſtathio Epiphanienſi ſcite admodum in compendium redacta ſunt duobus voluminibus: quorum prius uſque ad excidium Ilii; poſterius uſque ad annum duodecimum Imperii Anaſtaſii, res geſtas complectitur.* Plura de eo vide apud Voſſium in Addendis ad lib. ii. *de Hiſtor. Græc.* cap. xxi.

[5] Ἀππιανός] In *Iber.* pag. 450.

[6] Σοφιστὴς ἐπιφανίων τῶν ἐν Ἀδροτίοις τῶν ἐυκτηρ.] Locus hic corruptus eſt, quem Berkelius ad Stephanum v. Ἄδροττα, ſic in integrū reſtituendum eſſe cenſet, σοφιστὴς ἐπιφανῶν τῶν ἐν Ἀδροτίοις οἰκητήρων, ἃ κεῖται, &c. Hanc lectionem & ego ſecutus ſum, quoniam nihil melius in mentem mihi venit.

ἐν Ἀδρόττοις τῶν εὐκτηνείων, ὃ κεῖται ἐν Λυδίᾳ. ἔγραψε μελέτας.

Εὐστιβής. τετριμμένη.

Εὔστολον. εὔκοσμον. Ὁ δὲ παρῆγε, ποιήσας εὔστολον τὴν ἀκολουθίαν.

Εὐστομεῖν. τὸ εὐφημεῖν. καὶ οἱ Ἴωνες εὔστομα κείσθω φασί.

Εὔστομον. εὐπρόσωπον. ἀπὸ μέρους.

Εὐστόχιος,[1] Καππαδόκης, σοφιστής. ἔγραψε κατὰ Κώνσταντα τὸν βασιλέα καὶ ἀρχαιολογίαν Καππαδοκίας, καὶ λοιπῶν ἐθνῶν.

Εὖστρα.[2] τὸ μαδιστήριον, ἢ ἡ φλογίστρα. Ἀριστοφάνης·

Ἐν ταῖσιν εὔστραις κονδύλοις ἡρμοττόμην.

ἀντὶ τοῦ, ἐπαιδευόμην. ἀπὸ τῆς μουσικῆς.

Εὔσοια. εὐσθένεια. [3]Ζῶντά τ' εὐσοίας χάριν.

Εὐσύμβολος.[4] ἀντὶ τοῦ ῥᾳδίως καὶ εὖ συμβάλλων· τουτέστιν ἀγαθὸς συμβάλλειν. Ἀντιφῶν ἐν τῷ Πολιτικῷ.

Εὐσυνείδητος. καλῷ ζῶν συνειδότι.

Εὐσυνθετεῖν. εὐνοϊκῶς ἔχειν. Μασσαγέται ἐβουλεύσαντο εὐσυνθετεῖν πρός τε Γελίμερα καὶ Βελισάριον.

Εὐσύνοπτον. εὐεπίγνωστον. εὐθεώρητον.

Εὔσχημος, κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστιν Ἐμπολή· ὡς [5]Ἀθήναιος λέγει.

Εὐσχήμων. οὐχ ὁ πολλὰ κεκτημένος καὶ πλούσιος, ἀλλ' ὁ κόσμιος καὶ πειθόμενος τοῖς νόμοις, καὶ συνιστῶν.

Εὐταίων. ὄνομα κύριον.

Εὖτε. ἔστι καὶ χρονικόν· ἀντὶ τοῦ, ἡνίκα. καὶ ὁμοιωματικὸν, ἀναλογοῦν τῷ ἠΰτε. [6]Ἠΰτε βοῦς ἀγέληφι ταῦρος. Βοῦς μὲν, γενικῶς· ταῦρος δὲ, εἰδικῶς.

Εὐτέλεια. σμικροπρέπεια. Εὐτελία δὲ, ἡ εὐδαιμονία. παρὰ τὸ εὖ τελεῖν. [7]Ἀριστοφάνης· Σοὶ γὰρ διδόαμεν ἐπ' εὐτελίᾳ τὸν σανδαλίσκον.

Εὐτελής. ἐπ' ἀρετῆς. ὁ φειδωλὸς, καὶ [8]ὀλιγοδάπανος. οὕτω Μένανδρος·

Ἐγὼ δ' ἀνόητος, εὐτελὴς ὑπερβολῇ.

καὶ ὁ ἄσωτος ἐστὶ πολυτελής. θρασὺς σφόδρα.

phiſta, unus ex illuſtribus Adrottorum, quæ eſt urbs Lydiæ, incolis. Scripſit declamationes.

Εὐστιβής. Tritus. Trita.

Εὔστολον. Decorum. Ornatum. *Ille vero præceſſit, pulchro comitatu inſtructus.*

Εὐστομεῖν. Linguis favere. Bona verba dicere. Et Iones dicunt, εὔστομα κείσθω. Linguis faveamus.

Εὔστομον. Pulchrum. Formoſum. [Proprie, pulchrum os habens.] Pars ponitur pro Toto.

Εὐστόχιος. Euſtochius, Cappadox, Sophiſta. Scripſit Cappadociæ & reliquarum gentium Antiquitates, tempore Imperatoris Conſtantis.

Εὖστρα. Foſſa, in qua ſues mactatæ uruntur & depilantur. Uſtrina. Ariſtophanes: *In uſtrinis porcorum aptabar pugnis.* Id eſt, erudiebar. Tranſlatio ducta eſt a muſica.

Εὔσοια. Sanitas. Robur. Salus. [*Te mortuum ab hominibus aliquando requiſitum iri;*] *& viventem, ſalutis cauſa.*

Εὐσύμβολος. Facile & recte aliquid conjiciens. Bonus conjector. Antipho in *Politico.*

Εὐσυνείδητος. Bona vivens conſcientia.

Εὐσυνθετεῖν. Benevolo erga aliquem eſſe animo. Amicum ſe erga aliquem præbere. *Maſſagetis vero conſultum viſum eſt, erga Gelimerem & Beliſarium amicos ſe præbere.*

Εὐσύνοπτον. Conſpicuum. Manifeſtum.

Εὔσχημος. Euſchemus, Comicus. Ex fabulis ipſius eſt *Empole:* ut ait Athenæus.

Εὐσχήμων. Ita vocatur ille, non qui multa poſſidet, & dives eſt, ſed qui modeſtiæ ſtudet, & legibus obtemperat.

Εὐταίων. Eutæon. Nomen proprium.

Εὖτε. Eſt & adverbium temporis: pro ἡνίκα. Quum. Quando. Eſt & adverbium ſimilitudinis, cui in carmine reſpondet τὸ ἠΰτε. Veluti. Ceu. [Homerus:] *Veluti in armento taurus* [*præ reliquis excellit.*] Βοῦς [hic accipiendum eſt] generaliter: ταῦρος vero, ſpecialiter.

Εὐτέλεια. Parſimonia. Avaritia. Εὐτελία vero, felicitas. Ab εὖ & τελεῖν. Ariſtophanes: *Tu enim ob parſimoniam hunc ſandaliſcum diſcidiſti.*

Εὐτελής. [Vocabulum hoc interdum in laude ponitur, &] de virtute dicitur. Parcus. Frugalis. Sic Menander: *Ego vero ſtultus, & ſupra modum parcus.* Luxurioſus vero, eſt πολυτελὴς, i. e. ſumptuoſus, & valde ferox.

---

[1] Εὐστόχιος] Hujus, ut puto, Euſtochii meminit Stephanus Byzantius v. Παντικάπαιον.

[2] Εὖστρα. τὸ μαδιστήριον, ἢ ἡ φλογ.] Ex Scholiaſta Ariſtophanis ad *Equit.* pag. 357. (252. Ed. Baſ. P.)

[3] Ζῶντά τ' εὐσοίας χάριν] Apud Sophoclem *Oedip. Colon.* pag. 284. unde locus hic depromptus eſt, pro εὐσοίας hodie legitur εὐνοίας: minus recte, ut ex ſerie ſenſus patet. Utriuſque lectionis meminit vetus Enarrator ad iſtum locum, cujus verba hæc ſunt: Εὐνοίας χάριν. ἵνα εὐνοῇς αὐτοῖς. ἐν τοῖς ἀναγκαιοτέροις τῶν ἀντιγράφων γράφεται, εὐσοίας χάριν· ὃ καὶ οἱ ὑπομνηματισάμενοι ἀξιοῦσιν. εὔσοιαν δέ φασι τὴν εὐσθένειαν· καθάπερ καὶ ἐν Ἀμφιτρύωνι·

Ἐπὶ δὲ βλαστοῖ, τῶν τριῶν μίαν λαβεῖν
Εὔσοιαν ἀρκεῖ.

[4] Εὐσύμβολος. ἀντὶ τοῦ ῥᾳδ.] Ex Harpocratione.

[5] Ὡς Ἀθήναιος λέγει] Lib. XIII. pag. 571. ad quem locum vide Caſaubonum.

[6] Ἠΰτε βοῦς ἀγέληφι τ.] Sunt verba Homeri Il. Β. v. 480. ubi ſic legitur:

Ἠΰτε βοῦς ἀγέληφι μέγ' ἔξοχος ἔπλετο πάντων
Ταῦρος.

[7] Ἀριστοφάνης] In *Ranis.* pag. 231. (146. Ed. Baſ. P.) ubi ſic legitur:

Σὺ γὰρ κατεσχίσω μὲν ἐπὶ γέλωτι
Κἀπ' εὐτελείᾳ, τόνδε
Τὸν σανδαλίσκον, καὶ τὸ ῥάκος.

[8] Ὀλιγοδάπανος] Huc ſpectant verba illa Athenæi lib. II. pag. 40. Τελεῖν γὰρ, τὸ δαπανᾶν. καὶ πολυτελεῖς, οἱ πολλὰ ἀναλίσκοντες· καὶ εὐτελεῖς, οἱ ὀλίγα.

Εὐτειχεῖ πάγῳ. καλῶς τετειχισμένῳ.

Εὐτοκία. [1] πολύγονος.

Εὐτόκιος, [2] ἀπὸ Θρᾴκης ἐλθὼν, οὔτε γνώμης ἐπιεικῆς τις ἦν, οὔτε γένους εὖ ἥκων, ἀλλὰ καὶ στρατιώτης μὲν ὁ τυχών. πολλὰ δὲ χρήματα κοινὰ τοῦ ἰδίου τάγματος ὑποκλέψας, ᾤχετο εἰς τὴν Παλαιστίνην. ἐπεχείρησε μὲν οὖν Ἐλευθεροπολίταις ἑαυτὸν ἐγκαταλέξαι, τῆς βουλῆς μεταχὼν ἐπὶ χρήμασι μεγάλοις. καὶ ἐγλίχετο τὴν τύχην [3] μεταβαλεῖν ἐς τὸ εὐγενέστερον. ἀλλ' ὅμως οἱ Ἐλευθεροπολῖται οὐ προσεδέξαντο τὸν Εὐτόκιον. ὁ δὲ μετεχώρησεν ἐς τὴν Ἀσκάλωνα. καὶ ὁ τότε πρωτεύων Κρατερὸς εὐμενῶς αὐτὸν ὑπεδέξατο μετὰ τῶν χρημάτων, καὶ πολιτικῆς μετέδωκεν ἐλευθερίας. οἱ δὲ Θρᾷκες ὑστέρῳ χρόνῳ κατὰ πύστιν ἥκοντες ἐπὶ τὸν Εὐτόκιον, ἀπῄτουν τὸν Κρατερὸν τὸν Εὐτόκιον καὶ τὰ χρήματα. ὁ δὲ οὐ μεθίει τὸν ἄνδρα. τῶν δὲ στρατιωτῶν ἐπὶ δίκην ἐλθόντων, ὁ Κρατερὸς ὑπεραγωνίζεται τοῦ Εὐτοκίου, καὶ περιγίνεται τῶν Θρᾳκῶν· ἐφ' ᾧ καὶ χρησμὸς ἐξέπεσεν, ἔχων ὧδε.

Εὐτραπελία. [4] μωρολογία. κουφότης. ἀπαιδευσία. Ὁ δὲ Πτολεμαῖος πάντας ἐκέλευσεν ἀνακροτῆσαι, τῆς εὐτραπελίας ἀποδεχόμενος αὐτούς.

Εὐτράπελον. Οὔτε τινὰ ἔχων πρόφασιν, οὔτε λόγον εὐτράπελον. εὔστροφον. † [5] Οὕτω δ' ἦν εὐτράπελος τὴν φύσιν, ὥστε παρ' Ἀθηναίοις Ἀθηναῖος ἦν ἄκρος, καὶ Λάκων Λακεδαιμονίοις, καὶ Θηβαίοις Θηβαῖος. † Τὸν εὐτράπελον ἡ κωμῳδία ἐπιδέξιον καλεῖ. καὶ ἔστιν ἐν τῷ Ἀνασεσυρμένην. Εὐτράπελος οὖν κυρίως, ὁ μιμολόγος. ὁ γελωτοποιός.

Εὐτρεπῆ. τὰ ἕτοιμα, καὶ τέλος ἔχοντα.

Εὐτρεπισμός. ἡ ἑτοιμασία.

Εὐτρόπιος, Ἰταλὸς, σοφιστής. τὴν Ῥωμαϊκὴν ἱστορίαν [6] ἐπιτομικῶς τῇ Ἰταλῶν φωνῇ ἔγραψε· καὶ ἄλλα.

Εὐτρόπιος, ὁ εὐνοῦχος, ἐπίτροπος Θεοδοσίου τοῦ βασιλέως. καί φησιν Εὐνάπιος· Ὁ μὲν γὰρ Ῥουφῖνος, ἀνήρ τε ὢν, ἢ δοκῶν, καὶ ἐν ἀξιώμασι γεγονὼς, καὶ ποικίλαις ὁμιλήσας τύχαις, οὐ παρὰ λόγον, οὐδὲ τοῦ πρέποντος ἐκτὸς ἐδόκει κατεξανίστασθαι τῆς νεωτεριζούσης ἅπαντα τύχης. ὁ δὲ θαλαμηπόλος εὐνοῦχος, παραλαβὼν τὸ ἐκείνου κράτος, ἐς τοσόνδε κατέσεισεν ἅπαντα καὶ κατεβρόντησεν, ὥστε οὐ μόνον Ῥουφῖνος ἦν αὐτὸς, ἀλλ' ὁ τοῦ μύθου Σαλμωνεὺς μικρόν τι χρῆμα πρὸς αὐτὸν ἦν. ὅσγε ὢν εὐνοῦχος, ἀνὴρ εἶναι κατεβιάζετο. καὶ οἱ μὲν μῦθοί φασι, τὴν Γοργόνα φανεῖσαν, ἅμα τε φαίνεσθαι καὶ τοὺς ἰδόντας

Εὐτειχεῖ πάγῳ. Bene munito colle.

Εὐτοκία. Fœcunditas. Prolis copia.

Εὐτόκιος. Eutocius, e Thracia oriundus, nec animo probo fuit, nec genere nobili, ſed miles gregarius: qui cum magnam pecuniæ ſummam cohorti ſuæ ſuffuratus eſſet, in Palæſtinam abiit, operamque dedit, ut apud Eleutheropolitanos in civium numerum reciperetur, poſtquam magnis largitionibus effeciſſet, ut in Senatum adſciſceretur. Ex humili igitur conditione ad fortunæ ſplendorem aliquem pervenire cupiebat. Sed tamen Eleutheropolitani Eutocium non receperunt. Ille igitur Aſcalonem migravit: ubi Craterus, vir inter Aſcalonitas primarius, ipſum cum pecunia benigne ſuſcepit, & jure civitatis donavit. Thraces igitur, fama ejus rei ad ipſos perlata, ad Eutocium venerunt, a Cratero & Eutocium & pecuniam repetentes. Ille autem virum eis non tradidit. Quare cum milites rem ad judices detuliſſent, Craterus Eutocium defendit, & Thraces vicit: qua de re tale Oraculum editum eſt.

Εὐτραπελία. Facetiæ. Joci mimici. Nugæ leves & indoctæ. *Ptolemæus vero omnes applaudere juſſit, facetias eorum probans.*

Εὐτράπελον. Scurrilem. Facetum. Vel, qui facile vertitur. Verſatilis. *Nec ullam ſpecioſam habens cauſam, nec facetias orationis adhibens.* † *Ingenio autem fuit adeo verſatili, ut apud Athenienſes Athenienſis eſſet perfectiſſimus, & apud Lacedæmonios Lacon, & apud Thebanos Thebanus.* Εὐτράπελον Comici vocant hominem, naturali ingenii dexteritate præditum. Vide in v. Ἀνασεσυρμένην. Εὐτράπελος autem proprie dicitur homo, jocis mimicis utens. Vel, ſcurra.

Εὐτρεπῆ. Parata. Perfecta.

Εὐτρεπισμός. Apparatus.

Εὐτρόπιος. Eutropius, Italus, Sophiſta. Hiſtoriæ Romanæ compendium Latina lingua ſcripſit: & alia.

Εὐτρόπιος. Eutropius, Eunuchus, tutor Theodoſii Imperatoris. De eo Eunapius inquit: *Rufinus enim, cum vir eſſet, aut ſaltem eſſe videretur, honoribus etiam perfunctus, & varia fortuna jactatus, non præter rationem nec præter decorum fortunæ rerum mutatione gaudenti reſiſtere viſus eſt. Eunuchus vero cubicularius poteſtatem illius adeptus, omnia adeo concuſſit & inſtar tonitru perturbavit, ut non ſolum eſſet ipſe Rufinus, ſed etiam ille fabulis celebratus Salmoneus cum ipſo collatus parvum quiddam eſſe videretur. Hic cum eſſet eunuchus, vel ab invitis ſe virum credi voluit. Et fabulæ tradunt, Gorgonem,*

---

[1] Πολύγονος] Scribendum eſt πολυγονία, ut Portus etiam monuit.

[2] Εὐτόκιος, ἀπὸ Θρᾴκης ἐλθ.] Integrum hunc articulum deſcripſit Suidas ex Hiſtorico aliquo deperdito: quem ex ſtilo Eunapium eſſe ſuſpicor. Nam & multa alia Suidas in Collectanea ſua retulit, quæ Eunapii eſſe certo conſtat.

[3] Μεταβαλεῖν εἰς τὸ εὐγενέστερον. ἀλλ' ὅμως οἱ Ἐλευθ.] Locus hic in MS. Pariſ. A. auctior ſic legitur: Μεταβαλεῖν εἰς τὸ εὐγενέστερον. καίτοι ἤδη πρότερον μετατιθεὶς τὴν προαίρεσιν εἰς τὸ κρεῖττον, ἀλλ' ὅμως οἱ Ἐλευθεροπολῖται, τὸ πλῆθος ὑπειδόμενοι τῶν χρημάτων, οὐ προσεδέξαντο τὸν Εὐτόκιον, &c.

[4] Μωρολογία] An potius μιμολογία. In voce enim ſequenti ipſe Suidas εὐτράπελον exponit μιμολόγον. Heſychius tamen & Etymologus τὸ μωρολογία etiam agnoſcunt: unde vocem illam non exiſtimo eſſe ſollicitandam.

[5] Οὕτω δ' ἦν εὐτράπελος τὴν φ.] Fragmentum hoc de Alcibiade intelligendum eſſe, patet ex Cornelio Nepote, qui idem plane de eo refert. Eum confer.

[6] Ἐπιτομικῶς] Sic recte MSS. Pariſ. At priores Edit. male, ἐπιτίμως.

μεταβάλλειν εἰς λίθον. ὁ δὲ καθ' ἡμᾶς βίος ληρόν τινα καὶ περιττὸν καὶ φλήναφον τὸν μῦθον ἀπέδειξε. καὶ πολὺν καταχέει διασυρμὸν ὁ ἱστορικὸς τοῦ εὐνούχου τούτου, τοῦ βίου αὐτοῦ ἐπάξιον.

Εὐτρόπιος,[1] ὁ τοῦ βασιλέως Ἀρκαδίου πραιπόσιτος· ὃς οὐδὲν τῶν δεινῶν ἀπελίμπανε, τάς τε ἀρχὰς δημοσίᾳ πιπράσκων, καὶ τοὺς τῆς δυνάμεως συκοφαντῶν, ἐξορίαις τε τοὺς μεγιστᾶνας ὑποβάλλων, καὶ πᾶσαν ὕβριν τοῖς τῆς συγκλήτου ἐπάγων. ἀλλ' οὐδὲ τῆς τῶν βαρβάρων ἀπείχετο συμμαχίας, ὡς ἂν αὐτὸς ἐλπίζων ἐς τὴν τοῦ βασιλέως μεταβαίνειν ἀξίαν. καί ποτε καὶ τοὺς εἰς ἐκκλησίας πεφευγότας συλλαμβάνειν βουλόμενος, προύθηκεν ἐπιτρέπων τούτους ἐκ τῶν θυσιαστηρίων ἀφέλκεσθαι. καὶ ὁ μὲν νόμος ἐγέγραπτο. δίκη δὲ εὐθέως τῆς ὠμότητος ἠκολούθει. μετ' οὐ πολὺ γὰρ προσκρούσας τῷ βασιλεῖ, ἐν τοῖς πρόσφυξιν ἐγένετο, καὶ ὑπὸ τὸ θυσιαστήριον προύκειτο, Ἰωάννου ἐπισκοπεύοντος τοῦ Χρυσοστόμου, ἐκεῖθέν τε ἀφαιρεθεὶς, νυκτὸς τὴν κεφαλὴν ἀποτέμνεται. οὕτω μὲν ὁ Εὐτρόπιος δίκας τῆς ἁμαρτάδος ὑποστὰς, καὶ ἐξ αὐτοῦ τοῦ καταλόγου τῶν ὑπάτων ἠλείφθη, μόνου συνυπατεύσαντος Θεοδώρου γεγραμμένου. † Ἐπὶ τούτου τὸ τῶν εὐνούχων ἔθνος διὰ τὴν ἐκείνου βαρύτητα καὶ δυναστείαν ἐς τοσοῦτον ἐπέδωκε καὶ παρετάθη πλῆθος, ὥστε τινὲς ἤδη τῶν γενειάδας ἐχόντων εὐνοῦχοι βουληθέντες γενέσθαι, σὺν τοῖς ὄρχεσιν ἀφῃρέθησαν καὶ τὰς ψυχάς.

Εὐτρόχαλον. Εἶναι δὲ τὴν ἀσπίδα μικρὰν καὶ εὐτρόχαλον. περιφερῆ.

Εὔτροχον. Οἵ τε[2] ὀφθαλμοὶ τὸ τῆς διανοίας εὔτροχον ἀποσαφοῦντες.

Εὔτυκτα. παρὰ Ἡροδότῳ ἀντὶ τοῦ, ῥᾴδια, ἕτοιμα, εἰργασμένα, καλῶς κατεσκευασμένα.

Εὐτυχεῖ. ἐπιτυγχάνεται. Πόνου τοι χωρὶς οὐδὲν εὐτυχεῖ.

Εὐτυχής.[3] οὗτος [4] ἡγούμενος γέγονεν ἐν Κωνσταντινουπόλει μοναστηρίου, τῆς κατὰ Μάνεντα καὶ Ἀπολλινάριον ἀνιθέου μοίρας τρίτος ὑπασπιστὴς, ἄλλον εἶναι παρ' ἑαυτῷ τὸν Χριστὸν, καὶ ἄλλον τὸν Θεὸν Λόγον κηρύττων, μὴ ἀνεχόμενος ὁμοούσιον ἡμῖν καὶ ὁμοφυῆ τὴν σάρκα τοῦ Κυρίου ὁμολογεῖν· καὶ ἀπηρνεῖτο σώζεσθαι [5] λέγων ἐν τῷ Χριστῷ δύο Φύσεις μετὰ τῆς τούτων ἑνώσεώς τε καὶ συμφυΐας. οὐ μὴν δὲ ἀλλὰ καὶ τερατώδη τινὰ καὶ ἀλλόκοτα παρέπλαττεν, ἐξ οὐρανοῦ λέγων κατενεχθῆναι τὸ σῶμα τοῦ Κυρίου, καὶ ὡς διὰ σωλῆνος τῆς παρθένου παραδραμεῖν τὸν Θεὸν Λόγον, οὐρανόθεν τοῦτο ἐνδεδυμένον, ἵνα δόξῃ γεγεννῆσθαι ἐκ γυναικὸς, καίπερ μὴ γεγεννημένος. Μανιχαῖος οὗτος ὁ λόγος καὶ [6] πεφαντασμένος πολλῷ μᾶλλον ἐκεί-

simul ac conspiceretur, spectantes in saxa mutasse. Sed ætas nostra fabulam illam meras & futiles nugas esse demonstravit. Historicus autem Eunuchum pluribus aliis verbis irridet & insectatur, ut vita & mores ejus merentur.

Εὐτρόπιος. Eutropius, Præpositus cubiculi Arcadii Imperatoris, nullum sceleris genus prætermisit. Nam & magistratus pretio addixit, & viros gratia atque auctoritate pollentes calumniis insectatus est: quosdam etiam proceres in exilium misit, omnique contumeliæ genere amplissimum ordinem vexavit. Sed & barbarorum auxilia sibi adjungere non dubitavit, cum imperium Romanum jam spe sibi destinaret. Denique, cum nonnullos, qui ad Ecclesias confugerant, comprehendere vellet, legem proponi curavit, ut eos ab altaribus abstrahi liceret. Ac lex ipsa quidem publice proposita est: sed Dei vindicta brevi sævitiam ejus consecuta est. Neque enim multo post, cum Imperatorem offendisset, ipse ad Ecclesiam confugit, supplexque ad altare consedit, Joanne tum Chrysostomo Byzantinam Ecclesiam regente: unde noctu extractus, capite pœnas dedit. Hac pœna sceleris sui Eutropius affectus est, nomenque ejus ex fastis Consularibus erasum est, solius Theodori collegæ nomine retento. Sub hoc natio eunuchorum ob illius superbiam & potentiam adeo crevit, ut quidam jam barbati, cum eunuchi fieri vellent, una cum testibus & vitam amitterent.

Εὐτρόχαλον. Rotundum. *Scutum autem parvum & rotundum esse* [*dicebat.*]

Εὔτροχον. Volubile. Mobile. Agile. *Et oculi mentis agilitatem declarantes.*

Εὔτυκτα. Apud Herodotum significat, facilia, parata, elaborata, egregie confecta.

Εὐτυχεῖ. Bene succedit. *Sine labore nihil feliciter succedit.*

Εὐτυχής. Eutyches. Hic fuit Constantinopoli monasterii præfectus, impiæ sectæ Manetis & Apollinaris tertius defensor, docens, alium apud se ipsum esse Christum, & alium Deum Sermonem, non sustinens confiteri Domini carnem eandem habere naturam, quam nos, nobisque cognatam esse. Negabat etiam, salvas in Christo existere duas naturas, cum harum unione & concretione. Quinetiam alia quædam monstrosa ac absurda comminiscebatur, dicens, Domini corpus de cœlo descendisse, & per virginem, tanquam per canalem, transiisse Deum Sermonem, hoc [corpore] indutum, ut ex muliere natus videretur, quamvis ex ea natus non esset. Hæc oratio est Manichæa, & fanatica multo magis, quam illius [Manetis νου. μίαν φύσιν καὶ οὗτος διεστραμμένῃ καρδίᾳ τὸν Χριστὸν ἐπρέσβευεν.

---

[1] Εὐτρόπιος, ὁ τοῦ βασιλέως Ἀρκ.] Jacobus Gothofredus Disc. Historic. ad leg. *Quisquis,* hæc ex scriptore aliquo Eunapio coætaneo sumpta esse suspicatur. At sunt verba Joannis Antiocheni, quæ exstant in Excerptis a Valesio editis, pag. 849. ut Pearsonius recte monuit. Confer etiam Nostrum infra v. Ὕπατοι, ubi hæc ipsa repetuntur.

[2] Οἵ τε ὀφθαλμοὶ τὸ τῆς δ.] Hæc sunt verba Damascii de Isidoro philosopho, ut discimus ex ipso Suida supra v. Ἀποσαφοῦντες.

[3] Εὐτυχής. οὗτος ἡγούμενος γέγονεν ἐν Κωνσταντ.] Hæc, & quæ sequuntur usque ad finem articuli, ad verbum leguntur apud Theodorum Presbyterum in libello *de Incarnatione Domini*, unde ea Suidas descripsit.

[4] Ἡγούμενος γέγονεν ἐν Κωνσταντινουπ.] Theodorus Presbyter habet, ὃς ἦν ἡγούμενος μοναστηρίου ἑνὸς τῶν περὶ τὸ Βυζάντιον.

[5] Λέγων] Hæc vox supervacanea est, & salvo sensu deleri potest.

[6] Πεφαντασμένος] Theodorus Presbyter habet, πεφαντασιωμένος.

Εὐτυχίδης. πατρωνυμικόν.

Εὐοῖ. σχετλιαστικόν. τινὲς δὲ καὶ ἐπὶ εἰρωνείας ἐξέλαβον.

Εὐοιώνιστον. εὔφημον. καλὰ προσημαίνουσαν. [1] Εὐνίκης ἄγαλμα χρυσοῦν ποιήσας, ἀπέστειλε τῷ δήμῳ, ἅμα μὲν διὰ τὸ λυσιτελὲς, ἅμα δὲ διὰ τὸ εὐοιώνιστον εἶναι, [οἰόμενος] προσδέξεσθαι τὴν νίκην.

Εὐοῖ, [2] σαβοῖ. Δημοσθένης ὑπὲρ Κτησιφῶντος. Βακχικόν τι ἐπίφθεγμά ἐστιν, εὐοῖ, σαβοῖ. μυστικὰ μέν ἐστιν ἐπιφθέγματα. φασὶ δὲ τῇ Φρυγῶν φωνῇ τοὺς μύστας δηλοῦν· ἀφ' οὗ καὶ ὁ Σαβάζιος Διόνυσος.

Εὖ οἷ ᾆσαι. ἔστι τοῦτο ὕμνος εἰς Διόνυσον. καὶ ἀνευάσαι.

Εὐύφαντον.

Εὐφεγγίας. Ἀπὸ τῶν δύο τοίχων εὐφεγγίας ποιούντων.

Toup. in Suid. Ep. Crit. II. 173. ubi Εὐφεγγίας, quod legend. docet I. 208.

Ἐφείλιξαν. [3] ἀντὶ τοῦ, ἔφυραν. Σχοίνιόν τε ἐφείλιξαν μίλτῳ.

Εὐφήμει. καλὰ λάλει. ἢ ἐπαίνει. [4] Ἀριστοφάνης·

Εὔφημος πᾶς ἔστω λεὼς
Στόμα συγκλείσας. ἐνδημεῖ γὰρ
Θίασος Μουσῶν ἔνδον μελάθρων.

Εὐφήμει οὖν, σιώπα, μὴ ἀκαιρολόγει.

Εὐφήμου [5] στόμα φροντίδος. ἡ φωνή. στόμα γὰρ, ἡ φωνή. Ὅμηρος· Πολέμου στόμα. καὶ Σοφοκλῆς· Χαλκοστόμου κώδωνος. ὁ δὲ νοῦς, τὴν φωνὴν τῆς εὐφήμου φροντίδος ἱέντες. ὅ ἐστι, μετὰ φροντίδος πολλῆς εὐφήμως τὴν φωνὴν ἀφιέντες. Εὔφημον οὖν, τὴν σιωπηλήν. τὸ [6] γὰρ εὐφημεῖν ἐπὶ τοῦ σιωπᾶν τίθεται.

Εὐφήτης. ὄνομα κύριον.

Εὐφημία. [7] Εὐφημίας χάριν προτιμᾷ τὴν Λακεδαίμονα τὸ θεῖον, ἤπερ τῶν Ἀθηναίων βωμοὺς σύμπαντας, καὶ νεὼς, καὶ ἀγάλματα, καὶ ἑκατόμβας, καὶ τὸν λοιπὸν φλήναφον τῶν ῥαθυμούντων τε καὶ θοινάζειν γλιχομένων. οὐκοῦν διδάσκει ὁ λόγος, ὡς [8] ἡ ὄντως εὐσέβεια κοῦφόν ἐστι, καὶ σωφροσύνης ἀνάπλεον,

hæreſiarchæ oratio.] Hic enim perverſo corde Chriſtum unica natura præditum prædicabat. *Port.*

Εὐτυχίδης. Eutychides. Patronymicum.

Εὐοῖ. Euoe. Adverbium lamentantis. Quidam etiam vocem hanc pro adverbio ironiæ acceperunt.

Εὐοιώνιστον. Boni ominis. Fauſtum. Bona ſignificantem. *Aureum Victoriæ ſimulacrum fabricavit, idque populo miſit, non dubitans quin Victoriam accepturi eſſent, tum propter pretium, tum propter bonum omen.*

Εὐοῖ, σαβοῖ. Euoe, Saboe. Demoſthenes pro Cteſiphonte. Eſt exclamatio quædam bacchantium: vel, acclamatio myſtica. Ajunt autem Phrygum lingua myſtas his vocibus indicari: unde etiam Bacchus dictus ſit Sabazius.

Εὖ οἷ ᾆσαι. Euoe canere. Eſt hymnus in Bacchum: quem qui canebat, ἀνευάσαι dicebatur.

Εὐύφαντον. Bene textum.

Εὐφεγγίας. Claram lucem. A duobus parietibus claram lucem reddentibus.

Ἐφείλιξαν. Miſcuerunt. Tinxerunt. *Funemque minio tinxerunt.*

Εὐφήμει. Bona verba dic. Linguis fave. Vel, lauda. Ariſtophanes: *Linguis faveat omnis populus, ore clauſo. Cœtus enim Muſarum intus in ædibus præſens eſt.* Vel, εὐφήμει ſignificat, Sile. Ne intempeſtive loquaris.

Εὐφήμου στόμα φρ. Bona verba. Vox ejus, qui lingua favet. Στόμα enim interdum *vocem* ſignificat. Homerus: *Vox belli.* Et Sophocles: *Æreum os habentis tubæ.* Senſus autem eſt: Magna cum cura bene ominatam vocem mittentes; vel, bona verba dicentes. Vel, εὔφημον hic ſignificat tacitam. Εὐφημεῖν enim interdum ſignificat, ſilere, tacere.

Εὐφήτης. Euphetes. Nomen proprium.

Εὐφημία, Faventia. Silentium religioſum. Pietas. *Pietatem Lacedæmoniorum Deus pluris facit, quam univerſas Athenienſium aras, & templa, & ſtatuas, & hecatombas, & reliquas ineptias hominum ignavorum & epulari cupientium. Sententia igitur hæc docet, veram pietatem eſſe rem levem, & modeſtiæ*

---

[1] Εὐνίκης ἄγαλμα] Scribendum eſſe, νίκης ἄγαλμα, patet ex ipſo Suida infra v. Λυσιτελὲς, ubi fragmentum hoc repetitur.

[2] Εὐοῖ, σαβοῖ. Δημοσθ.] Confer Harpocrationem. v. Εὐοῖ. Apud Demoſthenem vero in oratione laudata pro Εὐοῖ hodie minus recte legitur αἰβοῖ, ut Portus etiam monuit.

[3] Ἐφείλιξαν. ἀντὶ τοῦ, ἔφ.] Hæc extra ordinem & ſeriem ſuam leguntur, quæ infra ſuo loco repetuntur.

[4] Ἀριστοφάνης] *Theſmophor.* pag. 767. (513. Ed. Baſ. P.) ubi pro ἐνδημεῖ rectius legitur ἐπιδημεῖ.

[5] Εὐφήμου στόμα φροντίδος. ἡ φωνή. στόμα γ.] Hæc ſumpta ſunt ex Scholiaſta Sophoclis ad *Oedip. Colon.* pag. 275. ut Portus monuit. Ibi autem rectius ſic legitur: Εὐφήμου στόμα φροντίδος. στόμα λέγει τὴν φωνήν. στόμα γὰρ ἡ φωνή. Et deinde: Οἱ δὲ τὸ εὐφήμου ἀντὶ τοῦ σιωπηλῆς. τὸ γὰρ εὐφημεῖν καὶ ἐπὶ τοῦ σιωπᾶν τέτακται.

[6] Τὸ γὰρ εὐφημεῖν ἐπὶ τοῦ σιωπ.] Vide Stanlejum ad Æſchyli *Choeph* v. 579.

[7] Εὐφημίας χάριν προτιμᾷ τὴν Λακεδ.] Pulcher eſt locus: cui multum lucis adfert Plato *Alcibiade* II. ad quem auctor anonymus, ex quo Suidas iſta mutuatus eſt, procul dubio reſpexit. Ibi enim Philoſophus refert, Athenienſes aliquando ad Oraculum Ammonis legatos miſiſſe, ſciſcitaturos cauſam, quare tam infeliciter adverſus Lacedæmonios rem gererent, licet ſumptuoſiſſimis ſacrificiis Deos colerent, eorumque templa pretioſiſſimis donariis ornarent; Lacedæmonii vero parcos & ſordidos in Deorum cultu ſe oſtenderent: Jovem vero reſpondiſſe, Βούλεσθαι αὐτῷ τὴν Λακεδαιμονίων εὐφημίαν εἶναι μᾶλλον, ἢ τὰ σύμπαντα τῶν Ἑλλήνων ἱερά: *Malle ſe Lacedæmoniorum faventiam,* (i. e. *pietatem*) *quam univerſa Græcorum ſacrificia.* Hoc loco Plato per εὐφημίαν intelligit pium & laudabilem Lacedæmoniorum morem, ea tantum a Diis petendi, quæ eſſent honeſta & bona; cum reliqui Græci nullo delectu tam bona quam mala Deos rogarent. Τὴν γοῦν εὐφημίαν, inquit Philoſophus, οὐκ ἄλλην μοι δοκεῖ λέγειν ὁ Θεὸς, ἢ τὴν εὐχὴν αὐτῶν. ἔστι μὲν γὰρ πολὺ διαφέρουσα τῶν ἄλλων. οἱ μὲν γὰρ ἄλλοι Ἕλληνες εὔχονται, ἅττ' ἂν τύχῃ ταῦτα, ἐάν τι ἀγαθὰ, ἐάν τι κακά. Idem paulo ante de Lacedæmoniis dixerat: Ἰδίᾳ καὶ δημοσίᾳ ἑκάστοτε παραπλησίαν εὐχὴν εὔχονται, τὰ καλὰ ἐπὶ τοῖς ἀγαθοῖς τοὺς Θεοὺς διδόναι. Nimirum, interdum contingit, ut homines vel imprudentes ea Deum rogent, quæ revera mala potius, quam bona ſunt; vel etiam adeo perfrictæ & ferreæ ſint frontis, ut ſanctiſſimo Numini turpes adhibere preces non vereantur. Hanc impietatem notat Seneca Epiſt. x. his verbis: *Nunc enim quanta dementia eſt hominum? turpiſſima vota Diis inſuſurrant: ſi quis admoverit aurem, conticeſcent, &, quod ſcire hominem nolunt, Deo narrant.* Optime igitur ſaluberrimum hoc præceptum ibidem adjicit: *Sic vive cum hominibus, tanquam Deus videat; ſic loquere cum Deo, tanquam homines audiant.*

[8] Ἡ ὄντως εὐσέβεια κοῦφ.] Hæc leguntur etiam ſupra v. Εὐσέβεια.

καὶ ἥκιστα ἀχθεινόν. εὐφημία γὰρ εὐκολώτατος πόνων. ἤκουσάς που, ὦ παῖ Ἀρίστωνος, καὶ Εὐριπίδου· Εὐφημία γὰρ παρὰ σπονδαῖσι κάλλιστον.

Εὐφημία. ὅτι Εὐφημίας τῆς γυναικὸς Ἰουστίνου τοῦ Θρᾳκὸς στήλη ἵστατο ἐν τῇ ἁγίᾳ Εὐφημίᾳ, ὑπ᾽ αὐτῆς κτισθείσῃ.

Εὐφημία[1] ἔστω. εὐφημίᾳ χρῶνται οἱ κωμικοὶ, ἐπειδὰν εὐχὴν ἢ ψήφισμα εἰσάγωσιν.

Εὐφήμιος. Πατριάρχης Κωνσταντινουπόλεως. ἐν τῷ Φατρία.

Εὐφορία. ἡ εὐθηνία.

Εὐφορίων, υἱὸς Αἰσχύλου τοῦ τραγικοῦ, Ἀθηναῖος, τραγικὸς καὶ αὐτός· ὃς καὶ τοῖς Αἰσχύλου τοῦ πατρὸς, οἷς μήπω ἦν ἐπιδειξάμενος, τετράκις ἐνίκησεν. ἔγραψε δὲ καὶ οἰκεῖα.

Εὐφορίων,[2] Πολυμνήστου, Χαλκιδεὺς, ἀπὸ Εὐβοίας, μαθητὴς ἐν τοῖς φιλοσόφοις Λακύδου, καὶ Πρυτάνιδος· ἐν δὲ τοῖς ποιητικοῖς, Ἀρχεβούλου τοῦ Θηραίου, ποιητοῦ, οὗ καὶ ἐρώμενος λέγεται γενέσθαι. ἐγεννήθη δὲ [4] ἐν τῇ ρκς′ ὀλυμπιάδι, ὅτε καὶ Πύῤῥος ἡττήθη ὑπὸ Ῥωμαίων, καὶ ἐγένετο τὴν ἰδέαν μελίχρους, πολύσαρκος, κακοσκελὴς, τῆς Ἀλεξάνδρου, τοῦ βασιλεύσαντος Εὐβοίας, υἱοῦ δὲ Κρατεροῦ γυναικὸς Νικίας στερξάσης αὐτόν. εὔπορος δὲ σφόδρα γεγονὼς, ἦλθε πρὸς Ἀντίοχον τὸν μέγαν ἐν Συρίᾳ βασιλεύοντα, καὶ προέστη ὑπ᾽ αὐτοῦ [5] τῆς ἐκείνου βιβλιοθήκης· καὶ τελευτήσας ἐκεῖ, τέθαπται ἐν Ἀπαμείᾳ, ὡς δέ τινες, ἐν Ἀντιοχίᾳ. βιβλία δὲ αὐτοῦ ἐπικὰ ταῦτα· Ἡσίοδος. Μοψοπία, ἢ Ἄτακτα. ἔχει γὰρ συμμιγεῖς ἱστορίας. Μοψοπία δὲ, ὅτι ἡ Ἀττικὴ τὸ πρὶν Μοψοπία ἐκαλεῖτο, ἀπὸ τῆς Ὠκεανοῦ θυγατρὸς Μοψοπίας. καὶ ὁ λόγος τοῦ ποιήματος ἀποτείνεται εἰς τὴν Ἀττικὴν χιλιάδα. ἔχει δὲ ὑπόθεσιν εἰς τοὺς ἀποστερήσαντας αὐτὸν χρήματα, ἃ παρέθετο, ὡς δίκην δοῖεν κἂν εἰς μακράν. εἶτα συνάγει διὰ χιλίων ἐτῶν χρησμοὺς ἀποτελεσθέντας. εἰσὶ δὲ βιβλία έ. [6] ἐπιγράφεται δὲ ἡ πέμπτη χιλιὰς περὶ χρησμῶν, ὡς [7] χιλίων ἐτῶν ἀποτελοῦνται.

Εὔφορος. κοῦφος. ἐλαφρός. Ὁ δὲ θυρεὸς τῶν Ἰβήρων εὔφορος.

Εὔφωνον κήρυκα. δυνάμενον μέγα βοῆσαι.

Εὐφώρατον. φανερόν.

Εὐφραδής. σαφής. ὁ καλῶς λέγων.

plenam, & minime gravem. Nihil enim minus laboris habet, quam lingua favere. Audiviſti etiam forte, fili Ariſtonis, illud Euripidis: Faventia & ſilentium religioſum in ſacris libationibus pulcherrimum eſt.

Εὐφημία. Euphemia. [Nomen proprium.] Euphemiæ uxoris Juſtini Thracis ſtatua ſtat in S. Euphemia, quam ipſa condidit.

Εὐφημία ἔστω. Silentium eſto. Linguis favete. Apud Comicos populus linguis favere jubetur, cum votum vel decretum concipitur.

Εὐφήμιος. Euphemius, Patriarcha Conſtantinopolitanus. Quære in v. Φατρία.

Εὐφορία. Fertilitas. Felix rerum proventus.

Εὐφορίων. Euphorion, filius Æſchyli Tragici, Athenienſis, Tragicus & ipſe; qui fabulis, quas pater in lucem ante non ediderat, in Scena certans, quater vicit. Scripſit & ipſe dramata quædam.

Εὐφορίων. Euphorion, Polymneſti filius, Chalcide Eubœæ oriundus, diſcipulus in Philoſophicis Lacydis & Prytanidis: in Poeticis vero, Archebuli Theræi, Poetæ, cujus etiam deliciæ fuiſſe fertur. Natus eſt Olympiade cxxvi. quo tempore & Pyrrhus a Romanis victus eſt. Colore fuit mellis inſtar flavo, carnoſus, vitioſis cruribus præditus; quem Alexandri, Regis Eubœæ, Crateri filii, uxor Nicia amavit. Cum autem amplas ſibi comparaſſet divitias, ad Antiochum Magnum Regem Syriæ ſe contulit, & ipſius Bibliothecæ ab ipſo præfectus eſt: ibidemque defunctus, Apameæ, vel, ut alii tradunt, Antiochiæ ſepultus eſt. Libri ejus, verſibus Heroicis ſcripti, ſunt hi: *Heſiodus. Mopſopia*, ſive *Miſcellanea.* Habet enim hiſtorias miſcellas. Mopſopia autem vocatur, quia Attica olim dicta fuit Mopſopia, a Mopſopia, filia Oceani. Poema autem hoc ſcopum ſibi propoſitum habet Atticam Chiliadem; continetque argumentũ adverſus eos, qui ipſum pecunia fraudarant, quam apud ipſos depoſuerat, [oſtendens,] eos vel multo poſt tempore pœnas daturos eſſe. Deinde colligit oracula, quæ poſt mille annos eventus comprobavit. Sunt autem libri v. qui inſcribuntur, Chilias, ſive de Oraculis, quæ poſt mille annos eventus comprobavit.

Εὔφορος. Qui facile ferri poteſt. Levis. *Iberorum autem clypeus eſt levis.*

Εὔφωνον κήρυκα. Præconem vocalem; ſive illum, qui magnum clamorem tollere poteſt.

Εὐφώρατον. Quod facile deprehendi poteſt. Manifeſtum.

Εὐφραδής. In dicendo perſpicuus. Diſertus. Facundus.

---

[1] Εὐφημία ἔστω] Ariſtoph. *Theſmophor.* pag. 783. (518. Ed. Baſ. P.)

[2] Εὐφορίων] Vide Meurſium in notis ad Helladium Beſantinoum, ubi ſcripta Euphorionis hujus diligenter & accurate recenſet.

[3] Πολυμνήστου] Sic rectius MS. Pariſ. A. quam priores Editt. quæ habent Πολυμνήτου.

[4] Ἐν τῇ ρκς′ ὀλ.] MS. A. habet, ἐν τῇ ρκ′ ὀλ. i. e. Olympiade cxx: ſed quæ lectio rationibus Chronologicis minus congruit. Pyrrhus enim a Romanis victus fuit Olympiade cxxvi; unde & Euphorionem eadem Olympiade natum fuiſſe oportet, ſi verum eſt, quod Suidas hic ait, Euphorionem natum fuiſſe eo tempore, quo Pyrrhus in Italia a Romanis victus fuit.

[5] Τῆς ἐκείνου βιβλ.] MS. Pariſ. A. habet, τῆς ἐκεῖσε δημοσίας βιβλιοθήκης.

[6] Ἐπιγράφεται δὲ ἡ πέμπτη χιλιὰς περὶ χρ.] Puto legendum eſſe, ἐπιγράφεται δὲ χιλιὰς, ἢ περὶ χρησμῶν; omiſſa voce πέμπτη: quam lectionem in verſione ſecutus ſum. Si enim vulgata retineatur, oportet ſtatuamus, Euphorionem de pluribus Chiliadibus in opere ſuo egiſſe: cui tamen repugnant ea, quæ Suidas ipſe paulo ante dicit, ὁ λόγος τοῦ ποιήματος ἀποτείνεται εἰς τὴν Ἀττικὴν χιλιάδα. Non me quidem latet, Euphorionem ab Athenæo & Stephano Byzantio laudari ἐν Χιλιάσι: ſed apud eos ἐν Χιλιάδι reſcribendum eſſe, recte, ut puto, monet Meurſius in notis ad Helladium Beſantinoum.

[7] Ὡς χιλίων ἐτῶν] Scribe, ὡς διὰ χιλίων ἐτῶν. Nam ſic & paulo ante Suidas loquitur.

Εὐφραῖος.[1] ὄνομα κύριον. Ὠρείτης ἦν τὸ γένος· μετεῖχε δὲ τῆς τοῦ Πλάτωνος διατριβῆς.

Εὐφραίων. ὄνομα κύριον.

Εὐφρήτης. ὁ Εὐφράτης ποταμός.

Εὐφρόνη. ἐπίθετον τῆς νυκτός. Ταύτην μὲν τὴν εὐφρόνην οὕτως ἔμειναν.

Εὐφρόνη. ἡ νύξ.

Τίς [2] τὸν μεγιστόφωνον ἔνδον τῆς στέγης
Ἔπεισεν ὄρνιν ὡρολογεῖν τὴν ἑσπέραν; +

+ τὴν Εὐφρόνην; legend. monet Dawes. M. crit. 312. et sic exstat in Edit. noviss. Fol. Rom. 1777. p. 169. V. 1114. at de Critico nostro nec verbum quidem in Notis.

Εὐφρονῶ τὰ σά. ἀντὶ τοῦ, εὔνους σοι εἰμί.

Εὔφρων. εὔθυμος.

Εὔφρων, κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστιν, [3] Αἰσχρά, Μοῦσαι, Συνέφηβοι, Θεωροί· ὡς Ἀθήναιος γράφει ἐν τοῖς Δειπνοσοφισταῖς.

Εὐφυᾶ. καλὴν φύσιν ἔχοντα. Ὡς εὐφυὴς καὶ εὐεπιχείρητος, ἀπεληλυθὼς τῆς διατριβῆς εἴη νεανίσκος. Πολύβιος· [4] Ὁ δὲ ἦν ὑπηρετικὸν σκεῦος εὐφυές, καὶ πολλὰς ἔχων ἀφορμὰς εἰς πραγμάτων οἰκονομίαν.

Εὐφυΐα. [5] Εὐφυὲς ἐστὶ τὸ οἰκειοῦσθαι μὲν πρὸς τὸ ἀληθές, ἀποστρέφεσθαι δὲ τὸ ψεῦδος. ὁ δὲ τοῦτο ἔχων, ἔχει καὶ τὸ κρίνειν τἀληθὲς δύνασθαι καλῶς. οἱ δὲ ῥᾳδίως μέν τισι παρακολουθοῦντες, καὶ μανθάνοντες, ὁμοίως δὲ ἔχοντες πρὸς πάντα τὰ μαθήματα, οὐκ ἂν κυρίως εὐφυεῖς λέγοιντο, τῷ μὴ ἔχειν τὸ κριτικὸν ἐν αὐτοῖς· ὅ ἐστιν ἡ πρώτη καὶ κυρίως εὐφυΐα. [6] καὶ τῶν προσφερομένων, εἴτε μαθήματα ταῦτα εἴη, εἴτε ἄλλα τινά, τὰ μὲν ἄξια εὐπορεῖσθαι καὶ φιλεῖν αἱρούμενοι· τὰ δὲ μὴ τοιαῦτα ἀποστρεφόμενοι καὶ μισοῦντες, εὖ τε τοῦτο ποιοῦσι, καί εἰσιν ἀγαθοὶ κριταί.

Εὐχαί. αἱ ὑποσχέσεις. [7] Τὰς εὐχάς μου τῷ Κυρίῳ ἀποδώσω. εὐχὴ γάρ, ἐπαγγελία Θεῷ τῶν κατ' εὐσέβειαν ἀφιερουμένων. προσευχὴ δέ, δέησις μετὰ ἱκετείας τῷ Θεῷ προσαγομένη.

Εὐχαίτης ἵππος. καλόθριξ.

Εὔχεμος.[8] ὄνομα κύριον. ὁ Αἰγεάτης.

Εὐχέρεια. εὐκολία.

Εὔχεται. καυχᾶται.

Εὐχείμονος.[9] τοῦ καλὰ ἱμάτια ἔχοντος.

Εὐφραῖος. Euphræus. Nomen proprium. Erat autem genere Orita, & Platonis diſcipulus.

Εὐφραίων. Euphræon. Nomen proprium.

Εὐφρήτης. [Ionice pro Εὐφράτης.] Euphrates fluvius.

Εὐφρόνη. Epithetum noctis. [Interdum & ipſa nox.] *Hanc quidem noctem ita manſerunt.*

Εὐφρόνη. Nox. [Piſides:] *Quis vocalem gallum docuit in ædibus horas noctis indicare?*

Εὐφρονῶ τὰ σά. Benevolo erga te ſum animo.

Εὔφρων. Qui eſt animo læto.

Εὔφρων. Euphron. Comicus. Ejus fabulæ ſunt, *Deformis*, *Muſæ*, *Synephebi*, *Spectatores*; ut ſcribit Athenæus in *Dipnoſophiſtis*.

Εὐφυᾶ. Egregia indole, vel ſingulari ingenii dexteritate præditum. Aptum. *Ut juvenis [ad quaſvis ſcientias] aptus, & argumentandi probe peritus eſſet, ſi e ſchola diſceſſiſſet.* Polybius: *Ille vero erat inſtrumentum aptiſſimum, & quo ad multas res gerendas opportune uti poſſes.*

Εὐφυΐα. Eum, qui a Græcis εὐφυὴς dicitur, talem eſſe oportet, ut veritatem amet, mendacium vero averſetur. Qui vero hoc habet, præditus eſt etiam facultate verum recte dijudicandi. Qui autem facile aliquos ſequuntur, & [ſcientias aliquas] addiſcunt, & erga omnes diſciplinas indifferentes ſunt, εὐφυεῖς proprie dici non poſſunt, quod careant judicio, in quo proprie & præcipue εὐφυΐα, ſive ingenii dexteritas ſita eſt. Qui enim ex iis, quæ ipſis offeruntur, ſive ea ſint diſciplinæ, ſive alia quædam, digniora amplectuntur & amant; ea vero, quæ talia non ſunt, averſantur & oderunt; recte id faciunt, & boni ſunt judices.

Εὐχαί. Vota. *Vota mea Domino perſolvam.* Εὐχὴ enim, ſive votum, eſt promiſſio rerum, quæ Deo pie conſecrantur. Προσευχὴ vero dicuntur preces ſupplices, quæ Deo adhibentur.

Εὐχαίτης ἵππος. Equus pulchras jubas habens.

Εὔχεμος. Euchemus. Nomen proprium. Ægeates.

Εὐχέρεια. Facilitas.

Εὔχεται. Gloriatur.

Εὐχείμονος. Pulchras veſtes habentis.

---

[1] Εὐφραῖος. ὄνομα κύριον. Ὠρ.] Ex Harpocratione.

[2] Τίς τὸν μεγιστόφωνον ἔνδον τ.] Duo hi ſenarii Jambici leguntur apud Georgium Piſidem in poemate de Creatione Mundi, ſive περὶ Κοσμουργίας, v. 1087. 1088.

[3] Αἰσχρᾷ] Hujus fabulæ meminit Athenæus lib. VII. pag. 370. ſed ubi corrupte hodie legitur, Εὔφρων, αἰσχραμίδας δὲ κεστρεύς ἐστι. Nam ſcribendum ibi eſſe, Εὔφρων Αἰσχρᾷ· Μίδας &c. ex hoc loco Suidæ recte obſervavit Caſaubonus ad Athen. lib. VII. cap. XVI.

[4] Ὁ δὲ ἦν ὑπηρετικὸν σκ.] Verba hæc de Damocle intelligenda eſſe, diſcimus ex ipſo Suida infra v. Σκεῦος, ubi fragmentum hoc repetitur.

[5] Εὐφυὲς ἐστὶ τὸ οἰκειοῦσθαι μὲν πρὸς τὸ ἀλ.] Hæc, & quæ ſequuntur uſque ad finem articuli, ſunt verba Alexandri Aphrodiſienſis in *Topic.* lib. VIII. pag. 278.

[6] Καὶ τῶν προσφερομένων εἴτε μαθήματα τ.] Hæc cum præcedentibus non cohærent, nec cum iis conjungenda ſunt, quoniam continent interpretationem verborum horum Ariſtotelis, quæ Suidas omiſit: Εὖ γὰρ φιλοῦντες καὶ μισοῦντες, τὸ προσφερόμενον εὖ κρίνουσι. Vide Alexandrum Aphrod. loco laudato.

[7] Τὰς εὐχάς μου τῷ Κυρίῳ ἀποδ.] Pſalm. CXV. v. 5.

[8] Εὔχεμος] Vide Noſtrum ſupra v. Ἐπιβολή.

[9] Εὐχείμονος] Imo potius, εὐείμονος, ut Portus etiam monuit. Vel, ſi hæc conjectura non placeat, quod literarum ſeries ei refragetur, dicendum eſt, Suidam hanc vocem excerpſiſſe ex ſcriptore aliquo, in quo εὐχείμονος corrupte ſcriptum erat pro λευχείμονος, i. e. albis veſtibus induti; a λευκὸς & εἷμα: quod verius mihi videtur. Non raro enim Suidas, corruptis codicibus deceptus, vocabula manifeſte ſpuria in Collectanea ſua retulit: ut Lectorem in notis noſtris paſſim monemus. Vide nos ſupra ad v. Δωτίς.

Εὐχειρία. ἡ διὰ χειρῶν εὐκινησία. Οἱ δὲ Μακεδόνες ταῖς εὐχειρίαις πολὺ περιῆσαν.

Εὐχολόγιον. τὸ βιβλίδιον.

Εὐχίδης,[1] καὶ Ἄσσαππος, καὶ Χρυσόμαζος, καὶ Ἐχίων, ὀνόματα κύρια. ὠκύπαλοι οὗτοι τοῖς ποσὶν ὑπῆρχον.

Εὔχομαί σοι τάδε. ἀντὶ τοῦ, καταρῶμαι, [2] παρὰ Ἀριστοφάνει.

Εὖχος. καύχημα.

Εὐχωλή. εὐχή. ἢ καύχημα.

Εὐχρηστία. ἡ καλὴ χρῆσις.

Εὐχροεῖς.[3] εὐσωματεῖς.

Εὐχυλότερος. ὁ ταχέως πεπτόμενος.

Εὐψυχία. ἀνδρεία. [4] Καθάπερ γὰρ ἐπὶ τῆς Ἐπαμινώνδα καὶ Πελοπίδα καὶ Βρασίδα καὶ Κλεομβρότου τελευτῆς, καὶ διὰ τὴν ἐν τῷ ζῆν ἀρετήν, καὶ τὴν ἐν τῷ τελευτᾷν εὐψυχίαν, ἀδυνατοῦσιν οἱ συγγραφεῖς ἀξίους εὑρίσκειν λόγους τῆς προκαθηγουμένης τῶν ἀνδρῶν ἐννοίας. καὶ αὖθις· [5] Μὴ εἶναι φοβερόν, ὅτι πλήθει προέχουσιν οἱ πολέμιοι. τὴν γὰρ εὐψυχίαν ἀεὶ τοῦ πλείονος ἐπικρατεῖν.

